ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
026000213281

OLD
882.01
ΕΥΡ
ΑΡΣ
1534

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

45-60

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

+ κτῆμα [illegible] χίου :~

# ΣΧΟΛΙΑ ΤΩΝ ΠΑΝΥ ΔΟΚΙΜΩΝ

εἰς ἑπτὰ τραγῳδίας τοῦ εὐριπίδου, συλλεγέν-
τα ἐκ διαφόρων παλαιῶν βίβλων καὶ
συναρμολογηθέντα παρὰ ἀρ-
σενίου ἀρχιεπισκόπου
μονεμβασίας.

# SCHOLIA IN SEPTEM EV-

ripidis Tragœdias ex antiquis exempla-
ribus ab Arſenio archiepõ monẽ-
baſię collecta, & nunc primũ
in lucem edita.




Ne quis hæc impune excudat Illuſtriſſimi
Senatus Veneti decreto cautum eſt.

M. D. XXXIIII.

Ἀρ. Εἰσαγ. 15671

Ταῦτα εἰσὶ τὰ ὀνόματα τῶν τραγῳδιῶν
ὧν τὰ σχόλια ταῦτα.

Εκάβη Ορέστης Φοίνισσαι
Μήδεια Ιππόλυτος Αλκηστις
Ανδρομάχη.

ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΩι ΠΑΝΑΓΙΩΤΑΤΩι ΚΑΙ ΜΑΚΑριωτάτῳ πατρὶ καὶ κυρίῳ ἡμετέρῳ κυρίῳ παύλῳ τρίτῳ τῆς ἁγίας τοῦ θείου ῥωμαϊκῆς, καὶ καθολικῆς ἐκκλησίας ἄκρῳ ἀρχιερεῖ, ἀρσένιος ὁ μονεμβασίας ἀρχιεπίσκοπος, ἐν κυρίῳ χαίρειν πάντοτε.

ΕΙ ΚΑΙ πρὶν πολυτλήτως μακαριώτατε πάτερ, τὸ τῶν ἑλλήνων γένος ἐξουτελίζων καὶ ταλανίζων ἐτύγχανον, ὑποπεσὸν ἤδη μυρίοις χειμῶσιν ἀνιαροῖς, ἀλλὰ τό γε νῦν ἔχον, αὐτὸ εὐδαίμον ἥγημαι καὶ μακαριστόν· ἅτε δή σε ἀρχιερέα μέγαν ἔναγχος κληρωσάμενον· κλεινόν τε καὶ ἀξιάγαστον· καὶ τὰ τῶν ἑλλήνων ἐκ σπαργάνων τὸ δὴ λεγόμενον θαυμάζοντά τε καὶ ἐκθειάζοντα· καὶ τοῖς ἐκείνων προστετηκότα· καὶ προσηρτημένον μαθήμασιν· ὅθεν καὶ πρὸ τοῦ λόγου τὼ χεῖρε κροτῶ· καὶ μεθ' ἡδονῆς ὑψόθι μετεωρίζομαι· καὶ συνεπαίρομαί σοι τῷ ἐπιβαίνειν τῆς ἄκρας ἀρχῆς, ἐπ' ἀγαθῷ κοινῷ τοῦ τῆς ἐκκλησίας πληρώματος· καὶ ἰδίᾳ τοῦ γένους ἡμῶν· ὁρῶ γὰρ αὐτὸ διὰ σοῦ ὅσον τάχος εὐδαιμονῆσον· καὶ τοὺς λόγους αὖθις εἰς ἐπίδοσιν ἥξοντας· τίς οὖν τοιαῦτα θεώμενος, οὐ σκιρτήσει· τίς οὐ χαρήσει· καὶ οὐ σωφρόνως χορεύσει, καὶ μέγιστον τὸν ἴακχον ᾄσεται; νῦν πᾶσα πόλις τῆς ῥώμης συνήδεται· νῦν πᾶς τις συντίθησι τὰ ἐγκώμια· καί σοι μεγαληγόρως τοὺς ὕμνους ἀναφωνεῖ· καὶ πάνδημον εὐτρεπίζει τὸν θρίαμβον· νῦν δέον νενόμικα καὶ αὐτός, μὴ σιγῇ παρελθεῖν τά γε μὴ σιγῆς ἄξια· ἀλλά τι τῶν πρὸς τὴν σὴν εὐφημίαν ἡκόντων διε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξελθεῖν κατὰ δύναμιν· ἐπεὶ κἂν εἰ παρῆσαν ὀρφεῖς, καὶ μουσαῖοι, ὅμηροί τε καὶ πίνδαροι, οὐδὲ πρὸς πολλοστημόριόν τι τῶν σῶν εὐφημιῶν ἠδυνήθησαν ἂν ἐφικέσθαι τὸ σύνολον· ἀρκτέον τοίνυν μοι κατὰ δύναμιν, ἐπεὶ οὐχ οἷόν τε εἰπεῖν κατ' ἔφεσίν τε καὶ βούλησιν. Σὺ μὲν παναγιώτατε πάτερ ἐξ ἁπαλῶν ὀνύχων τοῦτο δὴ τὸ τοῦ λόγου, τὴν ὁμηρικὴν πραγματείαν, καὶ τὴν ἀριστοτέλους σοφίαν, οὐ μόνον ὅση περὶ τὰ φυσικά, καὶ ὅση περὶ συλλογισμοὺς καταγίνεται, ἀλλὰ παντοίαν καὶ πᾶσαν τὴν ἐκείνων παιδείαν ἀπομαξάμενος ἔτυχες· καὶ τοῦτό μοι φλωρεντία· καὶ αὐτὴ ῥώμη συμμαρτυρήσετον· οὐ μὴν, ἀλλὰ καὶ πρὸς τὰ βάθη τῆς θεολογίας αὐτῆς καταδὺς, κἀκεῖ ἔλαιον οὐκ ὀλίγον καταναλώσας, ἀνέκυψας φέρων τὰ πρῶτα τῶν ἐν θεολογίᾳ καταβαλόντων πολλὴν φροντίδα τε καὶ σπουδήν· τῷ τοι καὶ ἀρετῆς πᾶν εἶδος κατωρθωκώς, ἁπασῶν ὁρμητήριον γέγονας· καὶ μετὰ περιουσίας ὅτι πλείστης, ἐπαινετοῦ παντὸς καὶ σωτηριώδους ἔφθασας ἐπὶ τὸ ἀκρότατον· ἐπαινετοὶ μὲν, καὶ οἱ πρὸ σοῦ ἀρχιερατεύσαντες, καὶ ὕμνων ἐπάξιοι καὶ εὐφημιῶν· σὺ δ' ὁ τοῦ παύλου συνώνυμός τε ὁμοῦ καὶ ὁμότροπος, καὶ μᾶλλον ἐκείνων ἐπαινετέος καὶ ἀξιάγαστος· οἷς γὰρ ἀληθοῦς πολιτείας καταβάλλου τὴν ὑποβάθραν, καὶ βίου θεαρέστου ὑπέδειξας ὑποτύπωσιν, καὶ εὐφημεῖσθαι τὰ μέγιστα ὑπὸ τούτων, καὶ μέγα κροτεῖσθαι παρὰ πάντων οὐκ ἀπεικός· τοιγαροῦν ὁ μὲν σου τὸ ἦθος, ὁ δὲ τὸν βίον, ἕτερος δὲ σου τὸ ἐπιτήδευμα ὑμνῶν διεξέρχεται· τὸ μὲν, ὅπως συνεσταλμένον διαπλέει τε καὶ μέτριον· καί σε πρὸς τὰ ἄνω ἐκ τῆς κάτω περιδινήσεως ἀποσπώμενον· τὸν δὲ ὡς οὐράνιον ὄντα καὶ ἄυλον· καὶ τοῖς ἀγγέλοις μικροῦ

θεῖν παραπλήσιον. τὸ ἐπιτήδευμα δὲ, ὡς καλοῦ παν-
τὸς μεταχείρησις. καὶ θεοεικέλων πρακτέων συμφόρη-
σις. ταῦτ᾽ οὖν ἅπαντα λόγῳ περιλαβεῖν, καὶ εὐκρινῶς
συντάξαι, ἀνέφικτον. τὸ δέ γε τῶν οἰκτιρμῶν πελαγί-
ζόν τε καὶ ἀκένωτον, ἀπορώτερον αὖθις πρὸς ἔκφασιν.
ἀλλὰ τίς σου τῶν θαυμασίων ἔργων ἀνήκοος. ὧν πᾶ-
σα μὲν πόλις μεστή. πάντων δ᾽ ἀνθρώπων ἀγυιαί. ἐῶ
φάναι τὸ πρὸς ἐπικουρίαν ὀξύ. τὸ πρόχειρον πρὸς τὸν
τῶν ἐπηρεαζομένων συνασπισμόν. τὸ πρὸς συνάρσιν τῶν
ἀδικουμένων ταχύτατον. τὸ ἑτοιμότατον πρὸς τὴν
τῶν αἰτουμένων παραψυχήν. τὸ πρὸς πᾶσαν ἐπίκλη-
σιν ἐκ θεαρέστου προηγμένην σκοποῦ κατεπειγμένον καὶ
σπουδαιότατον. τίς ἂν σου τὰ λοιπὰ ἀριδήλως ἐκ-
φράσειε. καὶ πρὸς τοὐμφανὲς καθηκόντως ἀγάγοιτο;
ἀλλ᾽ οὖν ἀρκεῖ καὶ ταῦτα φασίν, ἐξ ὄνυχος δεικνύναι
τὸν λέοντα. ἀλλὰ τούτων οὕτως ἐχόντων, μικράν τινα
ῥῆσιν τοῦ θεοφάντορος βασιλείου, εἴ μοι συγγνοίης. συγ-
γνοίης δ᾽ ἂν εὖ οἶδα μακαριώτατε παρρησιαζομένῳ
δὴ τὴν ἀλήθειαν, ἢ δέως ἂν παρῳδήσαιμι. ἐκεῖνος γὰρ
ἔν τινι τῶν ἑαυτοῦ λόγων προοιμιαζόμενος ἔλεγε. μάχε-
ται ἰουδαϊσμὸς ἑλληνισμῷ καὶ ἀμφότεροι χριστιανι-
σμῷ. ἐγὼ δὲ παρῳδῶν τὴν ῥῆσιν, οὕτω φημί. μάχον-
ται ἀγαρηνοὶ χριστιανοῖς. ἀμφότεροι δὲ, τοῖς ταλαιπώ-
ροις γραικοῖς. ἐκεῖνοι μὲν γὰρ τὸ ἡμέτερον βασίλειον
ἀνηλεῶς ἠνδραπόδισαν. καὶ τὰς πόλεις κατέσκαψαν.
καὶ τὸ γένος ἡμῶν εἰς τὰ γῆς πέρατα, ὥσπερ τινὰς αἰγυ-
πτίους ἀγύρτας περιπλανᾶσθαι καὶ περιέρχεσθαι διεσκέ-
δασαν. τῶν δ᾽ ἑσπερίων τινὲς, οὐχ ὅπως οὐκ ἀνίστανται
πρὸς ἐκδίκησιν τοῦ γένους ἡμῶν. ἀλλ᾽ εἴ τι καὶ πόπανον
ὑπὸ τῶν θεοστυγῶν ἐκείνων, εἴη που καταλελειμμένον ἐν
τῇ ἑλλάδι, κἀκεῖνο ἁρπάζοντες κατεσθίουσι. πέμπον-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τις ἡμῖν ἀμελεῖς τινας ἐπιτρόπους· μᾶλλον δ' εἰπεῖν
τελώνας· οἷς τῶν ἐπισκοπῶν πωλοῦσι τὰ εἰσοδήματα·
οἷς οὐκ ἀρκεῖ κουρεύειν ἐν χρῷ τὰ ταλαίπωρα πρόβα-
τα· καὶ τὸ γάλ' ἐκπίνειν· καὶ κατεσθίειν γε τὸν τυρόν, ἀλλ' οὐ-
δ' αὐτῶν τῶν δερμάτων ἀπέχονται· αἱ ἐκκλησίαι δὲ τῶν
ἐπισκοπῶν, πτῶσιν σοῦ ἀπειλοῦσιν οὐκ εἰς μακράν· αἱ
μάνδραι δ' ἀτημελεῖς οὖσαι, τῶν ποιμένων ἀποδημούν-
των, ὑπὸ μυρίων λύκων ἐπιβουλεύονται· ταυτὶ μὲν ἰτα-
λῶν τινων ὑπάρχει τἀνδραγαθήματα· καὶ οὐ λέγω περὶ
ἁπάντων· μὴ γὰρ οὕτω μανείην· ἀλλ' οἷς πεπλὸς ἤρισεν
οὐκ ἔχων στάσιν· καὶ δεῖπνα συχνὰ· καὶ χρονίζοντες πό-
τοι· καὶ κυμβάλων κρούσματα ῥαστώνης χάριν· θυμός·
φθόνος· ἔριδες· ἡδονή· καὶ ἅπας ὁ πικρὸς ἑσμὸς κοσμικῆς
ἀπληστίας· ἀφ' ὧν τὸ σεπτὸν σοῦ σμικρύνεται κράτος·
καὶ ταῦτα μὲν δὴ ταύτῃ· ἡμεῖς δὲ δύστηνοι μεγαρεῖς· οὔτ' ἐν
λόγῳ· οὔτ' ἐν ἀριθμῷ· τίνος χάριν παναγιώτατε; οὐ καὶ
αὐτοὶ πρεσβεύομεν τὰ χριστιανῶν; οὐ τῇ ἱερᾷ γ' ἐκκλη-
σίᾳ τῆς ῥώμης διατελοῦμεν πειθήνιοι; οὐ σὲ τὸν μέγαν
ἀρχιερέα καὶ ποιμένα, πατέρα καὶ διδάσκαλον οἰκουμε-
νικὸν, ὁμολογοῦμέν τε καὶ ἀνακηρύττομεν; τί τοίνυν ὥσπερ
τινὰς ὑποβολιμαίους, τῆς πατρικῆς κληρονομίας ἀπο-
στερεῖς; τὰ πατρῷα αἰτοῦμεν παναγιώτατε· καὶ ταῦτα
μέρος ἐκείνων πολλοστημόριον· οὐκ αἰτοῦμεν σκιάδιον
πορφυρόβαφον· πολυτελές τε καὶ πολυπρόσοδον· καίτοι
γε οὐδ' ἄποικος ὤν, ἕνα ἢ δύο τῶν ἑλλήνων ἐν τοσούτοις παν-
τοδαποῖς ἐναριθμεῖσθαι τῶν καρδηνάλεων· οὐδὲ ζητοῦμεν
πολυταλάντους ἀρχιεπισκοπάς· οὐδ' ἐπισκοπὰς καὶ
ἀββαδίας τῶν παχειῶν· ἀλλ' ὀλίγον τε φίλον τε· ταῦτα
δὲ καὶ τοιαῦτ' ἐν ῥώμῃ πεντεκαιδέκατον ἔτος οἶμαι τουτί,
γονυπετῶν ἐνώπιον λέοντος τοῦ παναγιωτάτου κατε-
τραγῴδησα γερῶς· ὃς οἴκτῳ τινὶ συγχυθεὶς, προμη-

θεῖάν τινα γραφῆναι προσέταξεν. ἤ τις ἐς τόδε μένει
νεκρά. οἶδα γὰρ ἀκριβῶς ὡς ὁ καλός που ῥήτωρ φη-
σίν. ὡς ἅπας μὲν λόγος ἂν ἀπῇ τὰ πράγματα, μά-
ταιόν τι φαίνεται καὶ κενόν. ταύτην πέμπω τῇ ὑμετέρᾳ
παναγιότητι. ὥστε ζωῶσαι αὐτήν, ἐμπνεύσαντα ζῶ-
σαν ψυχὴν τῷ παναγιωτάτῳ σου στόματι. καὶ τότε δὴ
τότε τοὺς τῶν ἑλλήνων λόγους ἀναζωπυρήσεις τὰ λοίσθια
πνέοντας. καὶ δείξεις ἐν ἑλλάδι ἰταλοὺς ἑλληνίζοντας. καὶ
ἕλληνας ἰταλίζοντας. ἑκατέρας ἀρίστους ἑκατέραιν
τοῖν γλώτταιν. οἵ σε καὶ ὑμνήσουσι λόγοις. καὶ ἐπαινέσουσιν
ἐγκωμίοις. τὴν ἀληθῆ σου σοφίαν. τὴν ἀρίστην σου φρόνη-
σιν. τὴν τῆς ἀληθείας τιμήν. τὸ ἱλαρόν σου καὶ κόσμιον καὶ
φιλάνθρωπον. τὸ ἐλευθέριον τῆς οὐρανίου σου καὶ μεγαλό-
νου ψυχῆς. ἄλλα τε πολλὰ καὶ ἀγαθά, καὶ τοῖς χρή-
ζουσι τὴν ἐπάρκειαν. ἅ σοι μεγίστην δόξαν ἐς τὸν ἐσό-
μενον σώσει. καὶ ἀπαθανατήσει τὴν μνήμην, παι-
δὸς δεχομένου παρὰ πατρός. καὶ ταῦτα μὲν ἐκ-
βαίη ἢ ἂν φίλον δόξοι θεῷ. καὶ σοὶ τῷ θειοτάτῳ γε
ἀρχιποίμενι. ἐπεὶ δ᾽ ἔθος ἐστὶ παλαιόν, διδόναι δῶ-
ρα ὀπτήρια, ἐγὼ δὲ ὑπό τε ποδάγρας καὶ πενίας.
δυοῖν ἐξωλεστάτοιν θηρίοιν κωλύομαι, ἰδεῖν μὲν τὴν
σὴν ἀρχιεροπρεπεστάτην καὶ θεοείκελον πρόσοψιν.
προσκύσαι δὲ καὶ προσπτύξασθαι καὶ τοὺς ἱεροαγίους σου
πόδας, τὰ εἰς ἑπτὰ τραγῳδίας τοῦ εὐριπίδου σπορά-
δην εὑρισκόμενα σχόλια, ἃ δή γε οἷά τις μέλισσα ἐνι-
ζάνων αἷς ἐνέτυχον βίβλοις τῶν παλαιῶν, ἔν τε τῇ
μίνωος πόλει καὶ ῥαδαμάνθυος. ἐνετίῃσί τε καὶ φλω-
ρεντίᾳ, ἐρανισάμενος ἐπιμελῶς, καὶ οἷόν τινα συνηρμο-
λογησάμενος σειράν, πέμπω δῶρον ὀπτήριον τῇ ὑμετέρᾳ
παναγιότητι. οἶδα γάρ σε μακαριώτατε ὁμηρικῶ-

πεςτὸν ὄντα· καὶ ποιηταῖς οὐχ ἧττον ἢ καὶ τοῖς φιλοσόφοις προσκείμενον. ὅτι δὲ καὶ οἱ τραγικοὶ τοῖς μετ' ἐπιστασίας διεξιοῦσι τἀκείνων, οὐκ ὀλίγην παρέχουσι τὴν ὠφέλειαν, τιμοκλέους ἄκουσον.

,, ὦ τᾶν ἄκουσον ἤν τί σοι δοκῶ λέγειν.
,, ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει.
,, καὶ πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει.
,, παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
,, ταύτας. ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
,, πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
,, μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
,, τοὺς γὰρ τραγῳδοὺς πρῶτον εἰ βούλει σκόπει.
,, ὡς ὠφελοῦσι πάντας. ὁ μὲν γὰρ πένης.
,, πτωχότερον αὐτοῦ καταμαθὼν τὸν τήλεφον
,, γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
,, ὁ νοσῶν τι μανικὸν, ἀλκμαίωνα ἐσκέψατο.
,, ὀφθαλμιᾶ τις, ἴσι φιν ἴδε τυφλόν.
,, τέθνηκέ τῳ παῖς, ἡ νιόβη κεκούφικε.
,, χωλός τίς ἐστι, τὸν φιλοκτήτην ὁρᾷ.
,, γέρων τις ἀτυχεῖ, κατέμαθε τὸν οἰνέα.
,, ἅπαντα γὰρ τὰ μείζονα ἢ πέπονθέ τις.
,, ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος,
,, τὰς αὐτὸς αὐτοῦ συμφορὰς ἧττον στένει.

καὶ ταῦτα μὲν τιμοκλέης. σὺ δὲ μακαριώτατε πάτερ τὰ τοῦ εὐριπίδου ἀσπασίως ὑποδεξάμενος, προσδόκα καὶ ἄλλα τῶν χρησιμωτάτων μετ' οὐ πολύ. ἀλουκᾶς ἀντώνιος ἰουῦντας ὁ τά τε ἄλλα ἐπιεικὴς, καὶ τῷ τυπουῦ ἐπιμελείᾳ καὶ δεξιότητι χρώμενος, ἑτοιμάζει δεύτερον ἀπήριον τῇ ὑμετέρᾳ παναγιότητι.

οὖλέ τε καὶ μάλα χαῖρε.

# ΣΧΟΛΙΑ ΑΞΙΟΛΟΓΩΤΑΤΑ, ΕΙΣ ἑπτὰ τραγῳδίας τοῦ Εὐριπίδου. ἐκ διαφόρων βιβλίων συλλεχθέντα.

ἀμιῶ, Κωνσταντίνου πορ... θεοδόσου:-

## ΕΙΣ ΤΗΝ ΕΚΑΒΗΝ.

Ἔκθεσις τοῦ δράματος. ἄρχεται ἐκ μονοστροφικῆς περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, νη. ὧν ὁ τελευταῖος. φθείρει θεῶν τις τῆς πάροιθ᾽ εὐπραξίας. ἐπὶ τῷ τέλει κορωνίς. Ἀφεὶς ὁ Πολύδωρος τὸ σῶμα ἑαυτοῦ, καὶ μόνη ψυχὴ ὤν, αἰωρεῖται ἐπάνω τῆς μητρὸς αὐτοῦ. καὶ λέγει εἰς ἐπήκοον αὐτῆς, τήν τε σφαγὴν αὐτοῦ. καὶ τὴν ἐσομένην τῇ ἀδελφῇ αὐτοῦ Πολυξένῃ ὑφ᾽ Ἑλλήνων. ἐποίησε δὲ τοῦτο ὁ ποιητὴς ἐξεπίτηδες. ἵνα δῆλα πᾶσι ποιήσῃ τὰ κατὰ τὸν Πολύδωρον. ὃ καὶ ἐν ἀρχῇ πάντων τῶν αὐτοῦ δραμάτων ποιεῖν εἴωθεν.

Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών.

Ἥκω.) τὸ ἥκω, ἀττικόν ἐστιν. οἱ γὰρ ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν ἧκον, ἥκω λέγουσιν. ῥέπει γὰρ τοῦτο πρὸς τὸ παρεληλυθός, καθόσον τὸ εἶμι, πρὸς τὸ μέλλον. Σκότου.) γράφεται καὶ τὸ σκότος οὐδετέρως. καὶ ὁ σκότος. καὶ τῷ μὲν οὐδετέρῳ χρῶνται οἱ κοινοί. τῷ δ᾽ ἀρσενικῷ, οἱ ἀττικοί. Ἅδης.) ἢ διὰ τὸν ἐν ἅδου τόπον νοητέον. ἵν᾽ ᾖ τὸ ᾤκισαι ἀντὶ τοῦ κατῴκισαι ὑπὸ τῶν νεκρῶν. καὶ τοῦ Πλούτωνος. καὶ Περσεφόνης, ἢ ἀντὶ τοῦ ὁ Πλούτων. ἅδης γὰρ καὶ Πλούτων ὁ αὐτὸς λέγεται. τὸ δὲ ᾤκισαι, ἢ ἀντὶ τοῦ κατῴκισαι. ἢ ἀντὶ τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατοικεῖται κατὰ ἀντιχρονισμόν, ὅπερ κατοικεῖται τόποις, ἢ τόπον τὸν ᾅδην μόνον νοήσεις. Πλάκα.) οὐ μόνον ἡ πετρώδης γῆ, ὥσπερ καὶ ἐνταῦθα· οὐ γὰρ οἷόν τε ἀρίστην αὐτὴν προσειπεῖν, εἰ πετρώδης ἦν, ἀλλ' ἐστὶ τὸ πλάκα ἀντὶ τοῦ γῆν. δῆλον δὲ ἐκ τοῦ σπείρειν. Κίνδυνος.) κινδυνεύω ἀντὶ τοῦ ἐν δεινῷ εἰμί, καὶ κινδυνεύω ποιῆσαι τόδε, ὅπερ οὐ θέλω δηλονότι, ἀλλ' ὑπὸ τῆς ἀνάγκης εἰς τοῦτο συνελκόμενος, καὶ κινδυνεύω πείσεσθαι τόδε· κυρίως κίνδυνος ἐπὶ τῶν δύο τούτων σημαινομένων, κίνδυνος γὰρ αὐτὸ τὸ δεινόν, καὶ κίνδυνος πείσεσθαί τινα τόδε· ὅπερ οὐκ αὐτὸ δηλοῖ τὸ δεινόν· ἀλλὰ τὴν ἐπὶ τὸ δεινὸν συνελαύνουσαν ἀνάγκην. Βίου.) βίος σημαίνει πέντε· τὴν τέχνην, ὡς τὸ ἐμπορικὸν βίον ἢ φιλόσοφον ζῆν· τὸν τρόπον, ὡς τὸ χρηστοῦ βίου ἐστί· τὸν παρόντα ἑνὸς ἑκάστου χρόνον τῆς ζωῆς· τὴν περιουσίαν, καὶ τὰς πρὸς τὸ ζῆν συντελούσας τροφάς. Ὅπλα.) τὰ φυλακτήρια οἷον θώραξ, κράνος· ἔγχος δὲ καὶ σπάθη, ἀμυντήρια. Θρηικίου.) ὁ θρᾷξ τοῦ θρᾳκὸς καὶ ἀπὸ τούτου, θρηίκιος κατὰ παραγωγήν, ἐκφωνουμένου τοῦ ι καὶ τρεπομένου τοῦ α εἰς η. Ξένος.) κυρίως ὁ φίλος, ὃν ἐπὶ τῆς πατρίδος τις ποιήσεται ἀπὸ ξένης ἐλθόντι· ἁπλῶς δὲ καὶ ὁ φίλος. Ἕως μὲν οὖν γῆς.)

Δεύτερον προοίμιον. Τὸ γῆς, μὴ νομίσῃς διὰ τὴν περὶ τὴν τροίαν γῆν, ὡς οἴονταί τινες κακῶς, ἀλλὰ δι' αὐτὴν τὴν τροίαν, ἵνα ᾖ τὰ ὁρίσματα τῆς, ἀντὶ τοῦ οἱ πύργοι· περιορισμὸς γὰρ τῆς ἐν τῇ πόλει γῆς, οἱ πύργοι· ὥστε τῆς γῆς ὁρίσματα, καὶ τὸ πύργοι τρωικῆς χθονός, ταυτόν ἐστιν· ὅτι δὲ ἐστὶ ταυτόν, καὶ οὐχ ὡς ἐκεῖνοι φασί, μαρτυρεῖ τό, ἐπεὶ δὲ τροία· ὃ ἐπιφέρει πρὸς τὰ δύο· δηλῶν ὡς ταυτοσήμαντά ἐστιν. Ἔκειτο δὲ ἀντὶ.)

ἐπειδὴ οἱ θεμέλιοι τῶν τειχῶν, ἐν τῇ γῇ κεῖνται. Τροφαῖσιν ηὐξόμην.) ἀντὶ τοῦ ἀνετρεφόμην. Παι/τρῷα.) ἢ τοῦ πατρὸς τὸ κτητικὸν ἀντὶ μόνης τῆς κτητικῆς. ἵν' ᾖ καλῶς ἔχειν τὸ ἐπαγόμενον. αὐτὸς δέ. Ἑστία.) ἑστία λέγεται ἡ ὅλη κατοικία, ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ τοῦ αὔω τὸ φωτίζω. καὶ φλογίζω. ἢ ἀπὸ τοῦ ἕζω τὸ κάθημαι. Τῷ θεοδμήτῳ.) οὐχ ὅτι θεόδμητος ἦν ὁ βωμὸς τῆς ἀθηνᾶς διὰ τοῦτο θεοδμήτῳ λέγει. ἀλλὰ τῷ τῇ θεᾷ παρὰ τῶν τρώων δομηθέντι. ἢ τῷ θείως καὶ θαυμαστῶς κτισθέντι. Πίτνει.) ἀντὶ τοῦ ἔπεσε. τοῦ πεσεῖν ἐφονεύθη. Πολλοῖς διαύλοις κυμάτων.) ὥσπερ ἑρμηνεία ἐστὶ, πρὸς τὸ πόντου σάλῳ. οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ τῆς θαλάσσης ταραχὴ, ἀλλ' ἡ συνεχὴς κυμάτων στροφαί. Ἀχιλέως.) διὰ τὸ μέτρον ἀφῄρηται τὸ ἓν λ. ὅμως καὶ σὺν τοῖς δύο γράφεται. καὶ ἐστὶ συνίζησις. Τριταῖον.) τὰ τρία. καὶ τέσσαρα, καὶ ἑξῆς ὀνόματα ἀριθμοῦ δηλωτικά. τὸ τρίτον δὲ καὶ τέταρτον καὶ ἑξῆς ὀνόματα τάξεως δηλωτικά. ἐστὶ γὰρ τρίτον μὲν τὸ ἔχον ὄπισθεν, πρῶτον καὶ δεύτερον. εἰσὶ δὲ ταῦτα τριγενῆ. ἀπὸ τῶν θηλυκῶν τούτων, τριταῖος, καὶ τεταρταῖος παράγωγα. ὡς ἀθηναῖος. μυκηναῖος. ἢ τοιοῦτό τι. ἔστιν οὖν ἄλλο τρίτον, καὶ ἄλλο τριταῖον. ὥσπερ ἄλλο ἀθῆναι, καὶ ἄλλο ἀθηναῖος. ἐνταῦθα δὲ τὸ τριταῖον, ἀντὶ τοῦ τρίτον λέγεται. λαμβάνεται δὲ τὸ τρίτον. τὸ τέταρτον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης, καὶ ἐπὶ μορίων. ἁρμοδιώτερον λέγεται ἔχοντα ἐν συνθέσει τὸ μόριον. οἷον τριτημόριον. τεταρτημόριον, καὶ ἑξῆς. ἔχουσι δὲ ἐρωτηματικὰ, τὸ πόσα, τὸ πόσον, τὸ ποσαῖον, καὶ τὸ ποσημόριον, καὶ πρὸς μὲν τὸ πόσα, ἅπαντα τὸ τρία. τυχὸν, ἢ τέσσαρα πρὸς δὲ τὸ πόσον, τὸ τρίτον,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ τέταρτον τῶν τάξεως, πρὸς δὲ τὸ ποσαῖον, τὸ τριταῖον ἢ τεταρταῖον. οἷον πρὸς τὸ ποσαῖον ἀπ' οὐρανοῦ πάρει, ἀπαντήσει τὸ τριταῖος τυχὸν, ἢ τεταρταῖος. ἤγουν τρίτην ἡμέραν ἔχω ἀφ' οὗ πάρειμι, ἢ τετάρτην. πρὸς δὲ τὸ ποστημόριον, τὸ δύοσον. τὸ τρίτον. τὸ τέταρτον τῶν μορίων. ἢ τὸ δύοσον τὸ τριτημόριον. τὸ τεταρτημόριον. ζητεῖ δὲ τὸ μὲν πόσα, διωρισμένον ποσόν. τὸ δὲ πόσος, τάξιν. τὸ δὲ ποσαῖον, συμβαῖνον τι ἐν τάξει. τὸ δὲ ποστημόριον, μέρος. ἐπεὶ δὲ τὸ ποσὸν διαιρεῖται, καὶ τὸ μὲν αὐτοῦ ἐστι συνεχές. τὸ δὲ διωρισμένον, εὗρεν ἡ φύσις καὶ τῶν τοῦ συνεχοῦς, ἕτερον ἐρωτηματικὸν, τὸ πηλίκον. ὥστε πρὸς μὲν τὸ πόσα, ἀπαντᾷ διωρισμένον ποσόν, πρὸς δὲ τὸ πηλίκον, συνεχές. Εὐθύνοντας.) ἤγουν ἀπευθύνοντας. πρὸς τὸ σημαινόμενον δὲ, ἀποδέδοται. Κλυδωνίῳ.) κλυδώνιον τὸ κῦμα τῆς θαλάσσης. ὁ παρὰ τῷ αἰγιαλῷ εὐδίας οὔσης, ἐπικλύζεται. Τυχεῖν.) τὸ τυχεῖν, ἀεὶ γενικῇ συντάσσεται. ἐνταῦθα δὲ τὸ ὅσον, οὐ πρὸς τὸ τυχεῖν λέγεται. ἀλλὰ πρὸς τὸ προηγησάμενον τὸ ἐμόν. Γεραιά.) τὸ γεραιὰ οὐ πρὸς τὸ ἐκποδὼν ἐστίν. ὡς οἴονταί τινες ἀντίπτωσιν ποιοῦντες. ἐπειδὴ τὸ ἐκποδὼν, γενικῇ συντάσσεται. ἀλλὰ πρὸς τὸ χωρήσομαι. ὥσπερ γὰρ φαμὲν ἀφαιρῶ σοι χρήματα, οὐ πρὸς τὸ χρήματα συντάσσοντες τὸ σοί, ὥσπερ τινὲς τῶν ἀμαθῶν οἴονται, ἀλλὰ πρὸς τὸ ἀφαιρῶ. τὴν γὰρ ἀφαίρεσιν ποιῶ, οὕτω καὶ τὸ χωρήσομαι τῇ ἑκάβῃ ἐκποδὼν, ἀντὶ τοῦ τὴν ὁρμὴν τῆς ἀποστασίας ποιῶ. περᾷ δὲ ὑπὸ τὴν σκηνὴν τοῦ ἀγαμέμνονος. ἵν' αὐτόθι τῇ κασάνδρᾳ ἐντύχῃ. ἥτις μαντεύσεται αὐτῇ περὶ τοῦδε τοῦ φαντάσματος. Φθείρειν.) τὸ ἀφανίζειν. καὶ τὸ βλάπτειν. καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θὸ λέγεται ἐφθάρθαι τὰ δικαστήρια.

## ΠΑΡΑΦΡΑΣΙΣ.

Ἐγὼ ὁ πολύδωρος, ὁ γεγονὼς υἱὸς τῆς ἑκάβης τῆς θυγατρὸς τοῦ κισσέως, πατρὸς τε τοῦ πριάμου, ἦλθον ἄρτι, ἀφεὶς τὸν ἀπόκρυφον τόπον τῶν νεκρῶν, καὶ τὰς πύλας τοῦ ἀφεγγοῦς τόπου· ὅπου ὁ ἅδης ᾤκισμένος ἐστὶν, ὡς ἀπὸ μερισμοῦ δηλονότι, χωρὶς τῶν οὐρανίων θεῶν· ὅς τις ὁ πρίαμος, ἐπεὶ κατέλαβεν τὴν τροίαν φόβος καὶ ὑποψία καταβληθῆναι ὑπὸ τοῦ ἑλληνικοῦ πολέμου, φοβηθεὶς, ἔξω ἔπεμψεν ἐμὲ τῆς τρωικῆς γῆς, πρὸς τὸ οἴκημα τοῦ πολυμήστορος τοῦ φίλου τοῦ θρακικοῦ· ὃς πολυμήστωρ γεωργεῖ τὴν ἀρίστην καὶ ἐπαινετὴν πεδιάδα τῆς χερρονήσου, τὸν ἱππικὸν καὶ πολεμικὸν λαὸν διεξάγων διὰ τοῦ δόρατος· πολὺν δὲ χρυσὸν ἐξέπεμψεν ὁ πατὴρ σὺν ἐμοὶ κρυφίως· ἵνα ἐάν ποτε καταβληθείη τὰ τείχη τῆς τροίας, μὴ εἴη τοῖς ζῶσι παισὶ στέρησις καὶ ἔνδεια τοῦ βίου, ἤγουν τῶν συντελούντων πρὸς τὴν ζωὴν, νεώτατος δ' ὢν τῶν παίδων τοῦ πριάμου· διὸ καὶ κρυφίως ἔξω ἔπεμψεν ἐμὲ τῆς γῆς· οὔτε γὰρ δυνατὸς ἦν βαστάζειν ὅπλα· οὔτε ἔγχος, διὰ τοῦ ἁπαλοῦ καὶ τρυφεροῦ βραχίονος· ἐν ὅσῳ οὖν χρόνῳ τὴν ὀρθίαν εἶχον θέσιν τὰ ὁροθέσια τῆς γῆς· οἵ πύργοι τε τῆς τρωικῆς χθονὸς ἦσαν ἀκατάβλητοι, καὶ ὁ ἕκτωρ ὁ ἐμὸς ἀδελφὸς εὐτύχει ἐν τῷ πολέμῳ, καλῶς παρὰ τῷ πολυμήστορι τῷ πατρικῷ φίλῳ, ἐν τροφαῖς καθά τις κλάδος ηὐξανόμην ὁ τάλας· ἐπεὶ δὲ ἡ τροία ἀπώλετο· καὶ ἡ ζωὴ τοῦ ἕκτορος ἀπώλετο κατὰ κοινοῦ, καὶ ἡ οἰκία ἡ πατρικὴ ἠφανίσθη, αὐτός τε ὁ πατὴρ ὁ πρίαμος ἔπεσεν, ἤτοι ἐφονεύθη ἐν τῷ βωμῷ τῷ θεοκατασκευάστῳ, σφαγεὶς ἐκ τοῦ παιδὸς τοῦ ἀχιλλέως



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ἄγαν φονικοῦ· τοῦ νεοπτολέμου δηλονότι, ἔκτεινεν ἐμὲ τὸν ταλαίπωρον ὁ πατρικὸς φίλος, ἕνεκα τοῦ χρυσοῦ, καὶ κτανὼν ἔρριψεν εἰς τὸν κῦμα τῆς θαλάσσης ὅπως ἔχῃ τὸ χρυσὸν ἐν τοῖς δόμοις, κεῖμαι δὲ ἐν τῷ αἰγιαλῷ ἄλλοτε ἐν τῷ κλυδωνίῳ, καὶ τῇ ταραχῇ τοῦ πόντου φερόμενος πολλοῖς δρόμοις κυμάτων ἄταφος, ἤτοι ἐστερημένος ταφῆς· νῦν δὲ ὁρμῶ, ἤτοι φέρομαι ἐπάνω τῆς μητρὸς τῆς ἑκάβης τῆς προσφιλοῦς, ἔρημον ἀφεὶς τὸ ἐμὸν σῶμα μετεωριζόμενος τρίτην ταύτην ἡμέραν ἤδη, ὅσον περ ἦμαρ δηλονότι ἐν τῇδε τῇ γῇ τῇ χερρονησίᾳ πάρεστιν ἡ ἐμὴ μήτηρ ἐκ τῆς τροίας ἡ ἀθλία· πάντες γὰρ οἱ ἀχαιοὶ ἔχοντες καὶ οἰκοῦντες τὰς ναῦς, κάθηνται ἡσύχως ὑπὸ ταῖς ἀκταῖς τῆς χθονὸς τῆς θρακικῆς· ὁ υἱὸς γὰρ τοῦ πηλέως ὁ ἀχιλλεύς, φανεὶς ἐπάνω τοῦ ἑαυτοῦ τάφου ἐκράτησε πάντας τοὺς ἕλληνας, κινοῦντας πρὸς τὸν οἶκον τὴν κώπην τὴν θαλασσίαν· ζητεῖ δὲ τὴν πολυξένην σφάγιον ὑπὸ τῷ τάφῳ ἤτοι ἐπάνω τοῦ τάφου, φίλον καὶ προσφιλὲς αὐτῷ δηλονότι, καὶ ἐπιτυχὴς γενήσεται τοῦδε, οὐ δὲ ἔσται ἀγέραστος παρὰ τῶν ἀνδρῶν τῶν φίλων, ἤτοι τῶν ἑλλήνων, ἡ μοῖρα γὰρ συνελαύνει καὶ φέρει θανεῖν ἀδελφὴν τὴν ἐμὴν κατὰ ταύτην τὴν ἡμέραν, θεάσεται γὰρ ἡ μήτηρ, δύο σώματα νεκρά, δύο παίδων, ἐμοῦ καὶ τῆς κόρης τῆς δυστήνου· φανήσομαι γὰρ ἐν τῷ αἰγιαλῷ ὁ ἄθλιος, ἔμπροσθεν τῶν ποδῶν τῆς δούλης, ἵνα τύχω ἐνταφιασμοῦ, τοὺς γὰρ ἐν τῷ ἅδῃ δυναμένους πλούτωνα καὶ περσεφόνην, ἐξῃτησάμην καὶ ἱκέτευσα ἐπιτυχεῖν τύμβου· ἤτοι ἐνταφιασμοῦ, καὶ πεσεῖν εἰς τὰς χεῖρας τῆς μητρός· τὸ ἐμὸν μέν· ὅσον περ ἤθελον τυχεῖν ἔσται· ὥστε τυχεῖν τούτου δηλονότι· ὑποχωρήσω γὰρ μακρὰν,

τῇ γεραιᾷ Ἑκάβῃ. διαπεράσαι γὰρ καὶ κινεῖ αὕτη τὸν πόδα ὑπὸ κάτω τῆς σκηνῆς τοῦ ἀγαμέμνονος, φοβουμένη τὸ ἐμὸν φάντασμα τουτέστι τὸ ὄναρ ὃ εἶδε περὶ ἐμοῦ φησὶν ὦ μῆτερ ἥτις ἐκ τῶν βασιλικῶν οἴκων εἶδες ἦμαρ δούλειον, ἤτοι δουλείαν, λίαν δυστυχὴς, ὅσον περ ποτὲ εὐτυχεῖς δηλονότι, ἀντισταθμήσας δέ τις τῶν θεῶν ἀπὸ τῆς πρότερον εὐτυχίας, ἔφθειρέ σε.

Ἄγετ᾽ ὦ παῖδες τὴν γραῦν πρὸ δόμων.

Τὰ τοιαῦτα εἴδη καλεῖται συστήματα ἐξ ὁμοίων, κατὰ περιορισμοὺς ἀνίσους. σύστημα δέ ἐστιν ὥς ἡφαιστίων φησὶ, μέτρων συναγωγὴ, ἤτοι δύο ἢ πλειόνων. ἢ ὁμοίων, ἢ ἀνομοίων. ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν, λακωνικὸν καλούμενον. διὰ τὸ τὸν λάκωνα ἀλκμᾶνα τούτῳ πρῶτον χρήσασθαι. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων δίμετρα ἀκατάληκτα, τὰ δὲ τῶν ἀποθέσεων, καταληκτικὰ δίμετρα. ἤτοι ἑφθημιμερῆ, ὃ μέτρον καλεῖται παροιμιακὸν διὰ τὸ πολλὰς παροιμίας τούτῳ τῷ μέτρῳ γεγράφθαι, τὸ μέντοι ἑκκαιδέκατον κῶλον. τὸ λδ', καὶ τὸ τριακοστὸν ἕκτον, μονόμετρά ἐστιν ἀκατάληκτα. ὃ καὶ ἀναπαιστικὴ ὀνομάζεται βάσις. τὰ δὲ πάντα κῶλα τοῦ συστήματος, εἰσὶ λη'. ὧν τελευταῖον· πέμψατε δαίμονες ἱκετεύω. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος ἐπὶ τῷ τέλει, κορωνίς. Λαζύμεναι.) ἔστι καὶ λάζυμι, καὶ λάζομαι τὸ λαμβάνω. τὸ μὲν, ἀπὸ τοῦ λάζυμι, τὸ δὲ, ἀπὸ τοῦ λάζω. τὸ δὲ λάζω, δύο σημαίνει, τὸ λαμβάνω, καὶ τὸ ὑβρίζω, καὶ τὸ μὲν λαμβάνω γίνεται, ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, καὶ τοῦ ἄγω ἄξω, ὃ δηλοῖ τὸ φέρω, τροπῇ τοῦ διπλοῦ εἰς διπλοῦν ἐλάζω καὶ λάζω. τὸ δὲ ὑβρίζω, ἐκ τοῦ λίαν ζέειν. ἀπὸ γοῦν τοῦ λάζομαι παθητικοῦ, τοῦ δηλοῦντος τὸ λαμ-

βάνω, γίνεται τὸ λαζύατο παρὰ τῷ ποιητῇ· οἱ δ' ὀδὰξ
λαζύατο γαῖαν· καὶ δῆλον ἐντεῦθεν ὅτι διαφορεῖται καὶ
κατὰ τὴν σύνταξιν. Βραδύπους.) ὁ βραδὺς τοὺς
πόδας. ἐνταῦθα δὲ τὴν κίνησιν λέγει βραδύπουν· τὸν
πόδα τιθεὶς ἀντὶ τῆς πορείας. Ἤλυσιν.) πορείαν
εἰώθασιν οἱ ποιηταὶ μετατιθέναι τοὺς χρόνους. τὸ γὰρ
ὀλομένην, οὐλομένην λέγουσιν· οὕτω καὶ τὴν ἔλευσιν
ἤλυσιν. Ὦ στεροπὴ Διός.) ἀντὶ τοῦ ὦ ἡμέρα ἡ δί-
κην ἀστραπῆς λάμπουσα· ἢ ἐπειδὴ πρὸς τὴν τοιαύτην
ὄψιν ἐδυσχέραινε, ποιεῖ τὸν λόγον, πρὸς τὴν ἀστραπὴν τοῦ
Διός· ἵνα ἀποτρέψῃ αὐτὴν καὶ ἀφανίσῃ. τὸ δὲ αἴρο-
μαι, ἀντὶ τοῦ ἐπαίρομαι καὶ μετεωρίζομαι· καὶ ὥσπερ
ἀνάστατός εἰμι. ἔννυχος δ' εἶπε πρὸς τὸ αἴρομαι δέον
ἐννύχως εἰπεῖν. Μῆτερ ὀνείρων.) μητέρα τῶν ὀνεί-
ρων εἶπε τὴν γῆν. ὅτι ἐξ ἀντιφράξεως τῆς σκιᾶς αὐ-
τῆς ἡ νὺξ γίνεται, καθ' ἣν οἱ ἄνθρωποι καθεύδοντες τοὺς
ὀνείρους βλέπουσιν, ἢ καθ' ἑτέρους, ὅτι ἐκ μὲν τῆς γῆς,
αἱ τροφαί· ἐκ δὲ τῶν τροφῶν· οἱ ὕπνοι· ἐκ δὲ τῶν ὕπνων
οἱ ὄνειροι. τῆς γῆς ἄρα οἱ ὄνειροι. μελανοπτερύγους δὲ
τοὺς ὀνείρους εἶπεν, ὅτι ἐν τῷ σκότει δοκοῦσιν ἵπτασθαι
ἄστατοι γὰρ εἰσι. Τοῦ σωζομένου.) οὐκ εἶπε τοῦ ὄν-
τος, ἀλλὰ τοῦ σωζομένου· ὃ γὰρ ἠβούλετο, τὸ σώζεσ-
θαι τὸν παῖδα δηλονότι, τοῦτο καὶ λέγει. Ὦ χθόνι-
οι.) χθόνιοι καὶ οἱ ἐπιχθόνιοι ἤτοι οἱ ἐπάνω τῆς
γῆς· τουτέστιν οἱ ἐγχώριοι καὶ ἐντόπιοι· καὶ οἱ ὑποχθό-
νιοι· ἤτοι οἱ ὑποκάτω τῆς γῆς. Ὃς μόνος.) ἢ πρὸς
τὸ μόνος ὑποστικτέον, ἵν' ᾖ τὸ τε οὐκ ἀργόν, οὕτως. ὃς
μόνος ὑπάρχων ἐμοὶ ἀπὸ τῶν ἐμῶν παίδων, καὶ ἄγ-
κυρα τῶν ἐμῶν οἴκων· ἐπειδὴ εἰκός ἐστιν αὐτὸν ἀνοι-
κτίσασθαι τὴν ἡμῶν ἀρχὴν, κατέχει τὴν χιονώδη θρά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κην. ἢ τὸ ἄγκυρα πρὸς τὸ οἴκων. καὶ πρὸς τὸ ἐμῶν ἐκληπτέον. οὕτως. ὃς μόνος ἄγκυρα ὢν τῶν οἴκων, καὶ τῶν ἐμῶν, ἤτοι τῶν κατ' ἐμὲ πραγμάτων, κατέχει τὴν θρᾴκην. ἢ οἴκων ἄγκυρα τουτέστι πλουσία ἄγκυρα. ἀπὸ μεταφορᾶς τῶν ναυτιλλομένων. οἳ πολλὰς ῥίψαντες ἀγκύρας, ἂν μηδὲν δι' αὐτῶν ἀνύσωσιν, ἐπὶ τῇ πλουσίᾳ τὰς ἐλπίδας ἔχουσιν. Ἤξει τι νέον) νέον τὸ νεαρὸν καὶ τὸ χαλεπὸν, ὡς ἐνταῦθα. Γοερόν.) τὸ γερὸν, καὶ ὁ γόος, καὶ τὸ κωκύειν, ποιαὶ φωναί εἰσι, καὶ ταυτά εἰσι τῇ ἐννοίᾳ, καὶ τῇ προφορᾷ. συγγενῆ γάρ εἰσι τὸ γ καὶ τὸ κ. μέσον γάρ ἐστι τὸ γ τοῦ κ καὶ χ. Οὔποτ' ἐμὰ φρήν.) οὔποτε φησὶν ἡ ἐμὴ φρὴν οὕτως φρίσσει. εἶτα ἐπάγει. ἀλίαστος ἤγουν ἄφυκτος. τουτέστιν ὃ φοβεῖται ἡ ἐμὴ φρὴν οὐ δύναται τοῦτο φυγεῖν. τὸ ταρβεῖν δὲ ταυτὸν τῷ φρίσσειν, ἢ οὔποτε ὁ ἐμὸς λογισμὸς ταρβεῖ, ὡς ἔξω φόβων καὶ κακῶν εἶναι. Ἑλένου ψυχὰν.) ἑλένου καὶ κασσάνδρας ἐν ναῷ ἀπόλλωνος ὄντων, ἐλθόντες ὄφεις. καὶ τὰ αὐτῶν περιλείξαντες ὦτα, οὕτως ὀξυηκόους εἰργάσαντο, ὡς μόνους τὰς τῶν θεῶν ἀκούειν βουλὰς, καὶ μάντεις ἄκρους εἶναι. εἶπε δὲ ψυχὴν ἑλένου, ἐπειδὴ τεθνηκὼς ἦν. Κασσάνδραν. δὲ καὶ οὐ κασσάνδρας, ἐπειδὴ ζῶσα ἦν. Ἐσίδω.) οὐκ εἶπεν ὄψομαι ὁριστικῶς. ἀλλ' ἐσίδω ὑποτακτικῶς. ἀεὶ γὰρ τὰ ἀπορηματικὰ, τουτέστι τὰ ἀπορίαν ἐμφαίνοντα, ὑποτακτικοῖς συντάσσονται. οἷον τί γένωμαι, καὶ ποῖ τράπωμαι, οὕτω δὲ χρὴ γράφειν. καὶ ταῦτα τὰ κῶλα. ἵν' ᾖ δίμετρα ὡς τὰ πολλά, ἐν γὰρ τοῖς ἀναπαιστικοῖς μονόμετρα μόνον διὰ μέσου εὕρηνται. οὐ μὴν καὶ δίμετρα καταληκτικά. ἀλλ' ἐν μόναις ταῖς ἀποθέσεσι. διὰ τοῦτο οὖν οὕτως ὠρθώθη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρ' ἡμῶν. οὐδὲ τις μέμφοιτο τοὺς προθέσεις, ἀλλ' ἴσως ὡς οὐκ ἂν ἔχοι τις ἄλλως ταυτὶ διορθώσασθαι. Καὶ τόδε δεῖμα.) καὶ τόδε ὃ μέλλω εἰπεῖν, φόβημά ἐστιν, τὸ φάντασμα τοῦ ἀχιλλέως τὸ φανὲν δηλονότι ὑπὲρ τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλθεν ἐμοί.

## ΠΑΡΑΦΡΑΣΙΣ.

Ἄγετ' ὦ παῖδες τὴν γραῦν πρὸ δόμων.) ὦ παῖδες ὦ δοῦλαι. ἄγετε τὴν γραῦν ἐμὲ δηλονότι πρὸ τῶν δόμων. ἤτοι ἔξω τῶν οἴκων. ἄγετε ὦ τρῳάδες ὀρθοῦσαι, ἀντὶ τοῦ ἀνορθοῦσαι καὶ ἀναβαστάζουσαι τὴν ὁμόδουλον ὑμῖν νῦν. πρόσθεν δὲ καὶ πρότερον ἄνασσαν. λάβετε ὡς γραῦν δηλονότι. φέρετε, ὡς ἄτυχον τρόπον τινά, πέμπετε. ἀντὶ τοῦ παραπέμπετε, ὡς ἄνασσαν δηλονότι, ἀείρετε, ἀντὶ τοῦ αἴρετε καὶ ἀνακουφίζετε τὸ δέμας ἐμοῦ. προσλαζύμεναι, ἤτοι λαμβανόμεναι καὶ ἐχόμεναι τῆς γεραιᾶς χειρὸς ἐμοῦ δηλονότι. καὶ ἐγὼ διερειδομένη καὶ στηριζομένη διὰ τῆς χειρὸς σκίπωνι σκολιῷ. ἤτοι ῥάβδῳ ἐπικαμπεῖ. καὶ βακτηρίᾳ ἐπερειστικῇ, σπεύσω. προτιθεῖσα καὶ ποιοῦσα ἤλυσιν καὶ πορείαν τῶν ἄρθρων, καὶ τῶν ἁρμονικῶν, ἤτοι τῶν ποδῶν, βραδύπουν καὶ ἀργήν. ὦ στεροπὰ καὶ ἀστραπὴ διός, ἀντὶ τοῦ ὦ ἡμέρα, ὦ νὺξ σκοτία καὶ σκοτεινή, τί ποτε ἀντὶ τοῦ διατί ἄρα αἴρομαι καὶ μετεωρίζομαι ἔννυχος καὶ νυκτερινή, ἐν δείμασι καὶ ἐν φόβοις, ἐν φάσμασι, καὶ φαντάσμασι, ὦ χθὼν πότνια καὶ σεβασμία, μῆτερ τῶν ὀνείρων τῶν μελανοπτερύγων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γῶν καὶ ἀφανῶν, ἀποπέμπομαι καὶ ἀποδιώκω τὴν
νυκτερινὴν ὄψιν, λέγει δὲ τὸ ὄναρ. ἣν εἶδον διὰ τῶν
ὀνείρων, περὶ τοῦ παιδὸς. ἤγουν ἕνεκα τοῦ παιδὸς
τοῦ φυλαττομένου κατὰ τὴν θράκην. καὶ περὶ τῆς πολυ
ξένης τῆς προσφιλοῦς θυγατρὸς, εἶδον γὰρ ὄψιν φο/
βερὰν. ἤτοι φόβου ποιητικὴν. ἔμαθον ἐδάην. ἀκρι/
βῶς ἔγνων. ὦ θεοὶ χθόνιοι. ἀντὶ τοῦ καταχθόνιοι ἢ
ἐγχώριοι, σώσατε τὸν ἐμὸν παῖδα. ἤγουν τὸν πολύ/
δωρον ὃς ἄγκυρά τε ὢν μόνος. ἤτοι στήριγμα, καὶ
φύλαξ τῶν ἐμῶν οἴκων, κατοικεῖ τὴν δυσχείμερον
θράκην, ἐν ἐπιτηρήσεσι τοῦ φίλου τοῦ πατρώου,
καὶ πατρικοῦ, ἤτοι τοῦ πολυμήστορος ἔσται καὶ κινήσεται
τι παράδοξον ἡμῖν δηλονότι. ἥξει τι μέλος γοερὸν,
καὶ θρηνῶδες ταῖς γοεραῖς ἡμῖν δηλονότι. οὔποτε ἀν/
τὶ τοῦ οὐδέποτε ἡ ἐμὴ γνῶσις οὕτως ὑπῆρξε δηλονό
τι ἄφυκτος. φρίσσει ταρβεῖ. ποῦ ἄρα θεάσομαι ὦ τρω
άδες τὴν θείαν ψυχὴν τοῦ ἑλένου περιφραστικῶς, ἀν/
τὶ τοῦ τὸν ἕλενον, ἢ τῆς κασάνδρας, ἵνα διακρίνω/
σιν ἐμοὶ τοὺς ὀνείρους. εἶδον γὰρ ἔλαφον κατάστικτον,
καὶ ποικίλην σφαζομένην ἐν ὄνυχι λύκου αἱματηρᾷ
ἀποσπασθεῖσαν τῶν ἐμῶν γονάτων, ἀφαιρεθεῖσαν
σὺν ἀνάγκῃ καὶ βίᾳ οἰκτρῶς, καὶ ἐλεεινῶς, καὶ τόδε
καὶ τοῦτο, λέγω τὸ φάντασμα τοῦ ἀχιλλέως ὑπὲρ
τῆς ἄκρας κορυφῆς τοῦ τύμβου, δεῖμα καὶ φόβος ἦλ/
θεν ἐμοί. Εκάβη σπουδῇ πρὸς ἑλιχθῆναι.) τὰ τοι/
αῦτα εἴδη τῶν χορῶν. καλεῖται συστήματα ἐξ ὁμοίων
κατὰ περιορισμοὺς ἀνίσους ὡς εἴρηται. ἔστι δὲ καὶ
τοῦτο τὸ μέτρον ἀναπαιστικὸν, λακωνικὸν καλού/
μενον. εἰσὶ δὲ τὰ μὲν τῶν κώλων, δίμετρα ἀκα/

ταληκτα· τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά· ἤτοι ἑφθημιμερῆ, ὃ μέτρον καλεῖται παροιμιακὸν ὡς εἴρηται. τὸ μέντοι ἑκκαιδέκατον κῶλον. τὸ κε΄. τὸ μ΄. τὸ ν΄. καὶ τὸ νε΄. μονόμετρά ἐστιν ἀκατάληκτα. τὰ δὲ πάντα κῶλα τοῦ συστήματος, νς΄. ὧν τὸ τελευταῖον Δειρῆς νασμῷ μελαναυγεῖ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει, κορωνίς. Ἑλίχθην.) προσέφυγον. ἦλθον γίνεται δὲ ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ, καὶ ἐκκλίνω. ὅθεν ἀλίζω, καὶ κατὰ μετάθεσιν λιχίζω ὁ παθητικὸς πρῶτος ἀόριστος ἐλίχθην. Σχεδία.) ναῦς ἀκατασκεύαστος. ἀπὸ ξύλων μόνων ἀπερίπτως συντεθειμένη. νῦν δὲ τὰς ναῦς λέγει τῶν Ἑλλήνων σχεδίας. σχεδία δὲ κατὰ τοὺς παλαιοὺς ἡ συντάχει γινομένη ναῦς. Πρότονος.) πρότονος τὸ σχοινίον δι' οὗ δεσμοῦσι τὸν ἱστόν. τὸ δὲ ἐπερειδομένας ἀντὶ τοῦ ἐπερειδούσας σχοινίοις τὰ λαίφη. τὸ λαίφη δὲ καὶ τὸ ἐπερειδομένας, καθόλου καὶ μέρος. οὐ γὰρ πᾶσα ναῦς ἐρείδεται τοῖς προτόνοις. ἀλλὰ μόνα τὰ λαίφη. δι' ὧν αὕτη φέρεται ἀνέμου ἐπιπνέοντος. Στέλλεσθε.) πορεύεσθε. τὸ στέλλω σημαίνει δ΄. στέλλω τὸ κοσμῶ. ἀφ' οὗ καὶ στολή. στέλλω τὸ πέμπω. ἀφ' οὗ καὶ ἀποστολή. στέλλω, τὸ πλέω. ἀφ' οὗ καὶ στόλος ὁ πολλῶν ἀπόπλους νεῶν. στέλλω καὶ τὸ κρύπτω. ἀφ' οὗ καὶ τὸ περιστείλαντες, ἀντὶ τοῦ κατὰ γῆν κρύψαντες, ἤγουν θάψαντες. Πολλῆς δὲ ἔριδος.) πολλῆς φιλονεικίας συνέκρουσε ταραχή. Σπεύδων.) σπουδὴν ποιούμενος. ἤτοι ἐσπευδεν. σπεύδω ἐγώ. ἐπισπεύδω ἕτερον. Τῆς μαντιπόλου βάκχης.) τῆς μαντικῆς κασσάνδρας. βάκχην δὲ αὐτὴν λέγει. ἐπειδὴ οἱ μαντευόμενοι ἐνθεοῦσιν ὑπὸ θεῶν γινόμενοι μαντεύονται. καθάπερ αἱ βάκχαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ διονύσῳ πληγεῖσαι, ἄνω καὶ κάτω φέρονται ὥσπερ μαινόμεναι. Ἀνέχων.) τιμῶν καὶ περιποιούμενος· καὶ γὰρ οἱ ἀνέχοντές τι καὶ ἀνακουφίζοντες, φροντίδος τοῦτο ἀξιοῦντες ἔχουσιν. ἀνέχω τὸ ἀναδίδωμι καὶ ἀναπέμπω. ὡς τὸ ἀνέχει ἡ γῆ βοτάνας. καὶ ἀνέχει ὁ ἥλιος ἀντὶ τοῦ ἀνέτειλε, καὶ ἀνέχειν ἐπὶ προσευχῆς τὰς χεῖρας ἀντὶ τοῦ ἀνατείνειν. Τὼ θησείδα.) οἱ τοῦ θησέως παῖδες ἀκάμας καὶ δημοφῶν οἳ ἦσαν ἀθηναῖοι τὸ γένος, ἐστράτευσαν ἐπὶ τὸ ἴλιον οὐχ ἡγούμενοι τινῶν. διὸ καὶ Ὅμηρος λέγει τὸν μενεσθέα μόνον ἡγεῖσθαι τῶν ἀθηναίων. ἀλλ' ἐπὶ τὴν ἀπολύτρωσιν τῆς αἴθρας τούτους ἐστρατευκέναι φασίν. Ἑλλάνικος δὲ λέγει διὰ τοῦτο αὐτοὺς ἀπελθεῖν ἐκεῖσε, ὅπως εἰ μὲν ἕλοιεν ἕλληνες τὴν τροίαν, λάφυρον αὐτὴν καὶ γέρας λάβωσιν. εἰ δὲ μή, κἂν λυτρώσασθαι δώροις. Δισσῶν μύθων.) ἤγουν διπλῶν. ὡς οὔτε ἀνηλεῶς δεῖ πρὸς τὴν παῖδα διατεθεῖσθαι, ἀρκεῖ γὰρ τὸ αἰχμάλωτον εἶναι, οὔτ' αὖ τὴν ἀχιλλέως παριδεῖν αἴτησιν, μεγάλως τὸν στρατὸν ὠφεληκότος. Γνώμη δὲ μιᾷ.) διαθέσει. σκοπῷ. Συνεχωρείτην.) συνέτρεχον. συνήρχοντο. συνεφώνουν. Στεφανοῦν) ὥστε τιμᾶν ἀπὸ μεταφορᾶς τῶν νικώντων, καὶ ἐστεφανωμένων. Χλωρῷ. προσφάτῳ. νεαρῷ. Τὰ δὲ κασάνδρας λέκτρα.) τὸ συγκαθεύδειν τὴν κασάνδραν τῷ ἀγαμέμνονι. ἀπὸ τοῦ ὀργάνου τὸν ἐνεργοῦντα, οὐδέον εἶναι ἔλεγον προτιμήσειν τῆς ἀνδρείας τοῦ ἀχιλλέως. Κόπις) ῥήτωρ. Ποικιλόφρων.) φρόνιμος. Δημοχαριστής.) τῷ δήμῳ χαριζόμενος ἐν τῷ λέγειν. Πῶλον. τὴν παῖδα λέγει μεταφορικῶς. Ἀπὸ μαζῶν.) εἰκότως πρὸς τὸ πάθος ἐπήγαγε τὸ ἀπὸ μαζῶν. οἱ γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πῶλοι γάλακτι τρέφονται, ἢ τὸ ἀπὸ μαζῶν, ἀντὶ τοῦ ἀπὸ τοῦ σοῦ στήθους, καὶ τῆς σῆς πρὸς αὐτὴν φύσεως. ἢ φυσικῆς προσπαθείας. μαστὸς καὶ μαζὸς διαφέρει, μαστὸς ὁ γυναικεῖος ἀπὸ τοῦ μεστὸς εἶναι γάλακτος, μαζὸς δὲ ὁ τῶν ἀνδρῶν, ἀπὸ τοῦ μὴ ἐξεῖναι. Ὀρφανὸν.) ἀντὶ τοῦ ὀρφανήν. ἀττικῶς, ὡς καὶ ἀριστοφάνης, οὐ μὴν δέ γ᾽ ὡς ἀρχῆς ἦν. οὐ χρὴ τοίνυν ὀρφανὰν γράφειν, ὡς ἔν τισιν εὕρηται, οὐ γὰρ ἁρμόζει τῷ μέτρῳ. [Ἀλλ᾽ ἴθι ναούς.) ἀλλὰ ἄπελθε εἰς τοὺς ναούς, ἐπαναφορὰ ἄπιθι πρὸς τοὺς βωμοὺς, διαφέρει δὲ ναὸς, βωμοῦ. ναὸς μὲν, ἔνθα τὰ εἴδωλα εἰσί, βωμὸς δὲ, ἔνθα αἱ θυσίαι γίνονται. Κήρυσσε.) ἐπικαλοῦ. Προπετῆ.) προκειμένην. Νασμῷ.) ῥεύματι. Μελαναυγεῖ.) μέλαιναν ὄψιν ἔχοντι.

## ΠΑΡΑΦΡΑΣΙΣ.

Ἑκάβη σπουδῇ πρὸς σ᾽ ἐλιάσθην.) ὦ Ἑκάβη σὺν σπουδῇ ὥρμησα πρὸς σὲ, καταλιποῦσα τὰς δεσποτικὰς σκηνὰς, ὅπου διὰ κλήρου ἐδόθην καὶ ἐτάχθην δούλη. ἀποδιωκομένη ἀπὸ τῆς πόλεως τῆς Ἰλιάδος τῇ ὀξύτητι τοῦ δόρατος δοριάλωτος γινομένη παρὰ τῶν ἀχαιῶν, ἐλιάσθην δηλονότι κατὰ κοινοῦ. οὐδὲν ἀπὸ τῶν παθῶν ἐλαφρύνουσα καὶ ἐλαττοῦσα. ἀλλὰ ἐπιφέρουσα μέγα βάρος μηνύματος, σοί τε ὦ γύναι ἦλθον κῆρυξ καὶ ἄγγελος ἀχέων καὶ θλίψεων. ἐν γὰρ τῇ συνελεύσει τῶν ἀχαιῶν τῇ πεπληρωμένῃ, περιάδεται καὶ φημίζεται κυρωθῆναι. δέδοται καὶ ποιῆσαι τὴν σὴν θυγατέρα θῦμα τῷ ἀχιλλεῖ, γινώσκεις δὲ ὅτι ἐπιβὰς ὁ ἀχιλλεὺς δηλονότι τοῦ τύμβου τοῦ ἑαυτοῦ, ἐφάνη σὺν ὅπλοις χρυσοῖς, ἐπεῖχε δὲ τὰς ναῦς τὰς ἐν τῷ πόντῳ τὴν πορείαν

ποιουμένας, ἐπερειδούσας τὰ ἅρμενα ἐν σχοινίοις τὰ δὲ βοῶν, ὦ δαναοὶ ποῖ πορεύεσθε, ἀφέντες τὸν ἐμὸν τύμβον ἄτιμον. συνέβη δὲ καὶ ἐπῆλθε ταραχὴ πολλῆς φιλονεικίας. δόξα δὲ καὶ γνώμη, καὶ ὑπόληψις, ἐχώρει καὶ ἐκινεῖτο εἰς τὸν στρατὸν τὸν πολεμιστήν. τοῖς μὲν, δοκοῦν ἦν δηλονότι, διδόναι σφάγιον τῷ τύμβῳ τὴν θυγατέρα δηλονότι. τοῖς δὲ, οὐχί (οἱ δὲ νεώτεροι συντάττουσιν οὕτως) τοῖς μὲν δοκοῦν ἀντὶ τοῦ δοκοῦντος, ἤτοι ἀρίστου ὄντος, διδόναι τῷ τύμβῳ σφάγιον τὴν πολυξένην δηλονότι. τοῖς δὲ, οὐχί. ἦν δὲ ὁ μὲν σπεύδων εἰς τὸ σὸν ἀγαθὸν, ὁ ἀγαμέμνων, τιμῶν τὴν κοίτην τῆς μαντικῆς κασσάνδρας. οἱ υἱοὶ δὲ τοῦ θησέως ἀκάμας καὶ δημοφῶν οἱ κλάδοι τῶν ἀθηνῶν, ἦσαν δημηγόροι λόγων διπλῶν. συνέτρεχον δὲ βουλῇ μιᾷ, ὥστε στεφανοῦν τὸν τάφον τοῦ ἀχιλλέως αἵματι προσφάτῳ καὶ παρθενικῷ. τὴν δὲ κοίτην τῆς κασσάνδρας οὐκ ἔλεγον προτιμήσειν τῆς ἀνδρείας τοῦ ἀχιλλέως. αἱ ἅμιλλαι δὲ τῶν κατατεινομένων λόγων. ἤτοι τῶν ἀγωνιστικῶς λεγομένων καὶ ἐριστικῶς πως καὶ κατά τινα τρόπον ἦσαν ἴσαι, μέχρις οὗ κατέπεισε τὴν στρατιὰν ὁ ὀδυσσεὺς ὁ ποικιλόφρων, ὁ κόπις καὶ ὁ λάλος ἤτοι ὁ ῥήτωρ ὁ ἡδὺς κατὰ τοὺς λόγους, ὁ τῷ δήμῳ χαριζόμενος, λέγων δηλονότι, μὴ τὸν ἄριστον πάντων τῶν ἀχαιῶν ἀχιλλέα, ἀποδιώκειν καὶ παραβλέπειν χάριν σφαγίων δουλικῶν. μηδέ τινα τῶν ἀποθανόντων στάντα πλησίον τῆς περσεφόνης εἰπεῖν, ὅτι οἱ δαναοὶ ἀπῆλθον τοῦ τόπου τῆς τροίας. κακοὶ καὶ ἀχάριστοι φανέντες τοῖς ἕλλησι τοῖς ἀποθανοῦσιν ὑπὲρ τῶν ἑλλήνων, παρακινήσεται δὲ συντόμως ὁ ὀδυσσεὺς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀποσπάσων τὴν πῶλον, ἤτοι τὴν πολυξένην ἀπὸ τοῦ σοῦ κόλπου. καὶ παρορμήσων καὶ παρακινήσων ἐκ τῆς γεραιᾶς χειρὸς τῆς σῆς. ἀλλ' ἄπιθι πρὸς ναούς. ἴθι πρὸς βωμούς. κάθισο παρακλήτρια τοῦ ἀγαμέμνονος διὰ τῶν γονάτων αὐτοῦ δηλονότι. ἐπικαλοῦ τούς τε ἐν τῷ οὐρανῷ θεοὺς τούς τε ὑπὸ κάτω τῆς γῆς. ἢ γὰρ αἱ λιταὶ ἐμποδίσουσιν ἔσεσθαι ἐστερημένην παιδὸς μελαίας, καὶ ἀθλίας, ἢ ἀπόκειται ἰδεῖν τὴν παρθένον προκειμένην τοῦ τύμβου. βαπτομένην ἐκ τῆς χρυσοφόρου δειρῆς ἐν ῥεύματι μελαναυγεῖ. καὶ μέλαιναν ὄψιν ἔχοντι αἵματος. Οἲ ἐγὼ μελέα.) σύστημα κατὰ περικοπὴν ὁμοιομερές. ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. ἔστι δὲ καὶ τοῦτο κατὰ περιορισμοὺς ἀνίσους. τὰ δὲ κῶλα πάντα αὐτοῦ. κγ. ὧν τελευταῖος Σὰς ψυχὰς αἰὼ φάμαν. ἔστι δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα. τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά, τὸ μέντοι ζ κῶλον, καὶ τὸ ιζ μονόμετρά ἐστιν ἀκατάληκτα. τὸ δὲ ιε τροχαϊκὸν φαλικὸν τίθενται γὰρ καὶ τὰ τοιαῦτα συστήματα ἐν μέσῳ τῶν ἀναπαιστικῶν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. καὶ ἐπὶ τῷ τέλει ὡσαύτως. Οἲ ἐγὼ μελέα.) φεῦ. μελέα εἰμὶ ἐγὼ δηλονότι. τί ἄρα βοήσω. ποίαν κραυγήν. ποῖον θρῆνον. δειλαία εἰμὶ δηλονότι. ἕνεκα τοῦ ἀθλίου γήρως ἕνεκα τῆς δουλείας τῆς οὐ φορητῆς. ὤμοι μοι τίς βοηθήσει ἐμοί ποῖον τέκνον ποία πόλις. ἀφανὴς ὁ πρίαμος. ἀφανεῖς οἱ παῖδες. Ποίαν ἢ ταύταν ἢ κείναν. τοῦτο λέγει ἀποροῦσα τί ποιήσει, καὶ τίνα βοηθὸν πρὸς τὰ παρόντα ἐπικαλέσεται. οὕτω δὲ χρὴ γράφειν ταῦτα τὰ κῶλος καὶ τὰ ἑξῆς ὡς διωρθώθη παρ' ἡμῶν. ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς τὺ δ' ἐς ἐπαρωγός, δύ-

ναται

νεται καὶ ἀντὶ τοῦ ἐστὶν εἶναι, καὶ ἀντὶ τοῦ ἔσται. ἡ γὰρ ἀπόστροφος ὥς φασι, καὶ ἀντὶ δύο τίθεται φωνηέντων ὡς τὸ βούλομ' ἐγὼ, καὶ ἀνθ' ἑνὸς, οἷον τοῦτ' ἐστίν. Ποῖαν ἢ ταύταν.) ποίαν ὁδὸν δηλονότι πορευθῶ. ἢ ταύτην ἢ ἐκείνην. ποῖ ἥσω καὶ ὁρμήσω ποῦ τις ἀπὸ τῶν θεῶν, ἢ ἀπὸ τῶν δαιμόνων ἔσται βοηθὸς ὦ τρωάδες αἱ ἀπαγγείλασαι κακὰ, ὦ τρωάδες αἱ ἐνεγκοῦσαι κακὰ πήματα, ὠλέσατε καὶ ἐφθείρατε ἐμὲ δηλονότι, οὐδαμῶς ἐστί μοι ἐν τῷ φωτὶ βίος θαυμαστὸς, ὦ τλῆμον πούς, ὁδηγὸς γενοῦ ἐμοὶ τῇ γραίᾳ πρὸς τὴν τῶν αἰχμαλώτων σκηνὴν, ὦ τέκνον, ὦ παῖ μητρὸς ἀθλιωτάτης, ἔξελθε ἀπὸ τῶν οἴκων, ἄκουε ὦ τέκνον τὴν φωνὴν τῆς σῆς μητρὸς, ἵνα ἀκούσῃς οἵαν ἀγγελίαν ἀκούω περὶ τῆς σῆς ψυχῆς ἕνεκα τῆς σῆς ζωῆς. Ησω.) ὁρμήσω. ἵημι τὸ ὁρμῶ καὶ πορεύομαι, ὁ μέλλων ἥσω, καὶ ψιλοῦται. ἵημι δὲ τὸ πέμπω, δασύνεται. Θεῶν ἢ δαιμόνων.) θεοὺς, ὑψηλότερόν τι τάγμα ἡγοῦντο τῶν δαιμόνων, ὃν γὰρ λόγον ἔχουσιν οἱ ἥρωες πρὸς τοὺς λοιποὺς ἀνθρώπους, ὑψηλότεροί τινες δοκοῦντες καὶ ὑπερέχοντες, τὸν αὐτὸν λόγον καὶ οἱ θεοὶ πρὸς τοὺς δαίμονας, ὑψηλότεροί τινες δοκοῦντες τούτων εἶναι. λέγονται δὲ καταχρηστικῶς θεοὶ, καὶ οἱ δαίμονες. Τρωάδες.) τρὼς ὁ κλίνεται τρωὸς καὶ τρωαὶ γυναῖκες, αἳ καὶ τρωάδες λέγονται, καὶ τρωϊάδες ποιητικῶς. Περὶ σᾶς ψυχᾶς.) ψυχὴ λέξις ὁμώνυμος οὖσα, σημαίνει τὴν ἐν τῷ ἀνθρώπῳ λογικὴν ψυχὴν, καὶ τὴν ἐν τοῖς ζώοις τοῖς ἀλόγοις, καὶ τοῖς φυτοῖς. ἔτι δὲ τὴν ζωὴν ὡς ἐνταῦθα εὐριπίδης φησὶ, καὶ ἀλλαχοῦ. ἐπεὶ δὲ τροίας θ' ἕκτορός τ' ἀπώλετο ψυχὴ, ἤγουν ἡ ζωὴ, καὶ τὴν φύσιν ὡς παρὰ σοφοκλεῖ, ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀντὶ τοῦ τῆς ἐμῆς φύσεως. Ἰὼ μᾶτερ μᾶτερ.) σύστημα ἕτερον κατὰ περικοπὴν ἀμοιβαῖον. ὁμοιομερές. ἐξ ὁμοίων γὰρ σύγκειται ἀναπαιστικῶν κώλων. εἰσὶ δὲ πάντα τὰ κῶλα λβ΄ ὧν τελευταῖον Κρείττων συντυχί᾽ ἐκύρησεν. εἰσὶ δὲ τὰ μὲν δίμετρα ἀκατάληκτα. τὰ δὲ τῶν ἀποθέσεων καταληκτικά, τὸ δὲ δ΄ καὶ τὸ ια΄. τὸ ιδ΄. τὸ ις΄. τὸ κς΄ καὶ τὸ λγ΄. μονόμετρα. καὶ πενθημιμερῆ. τὸ μέντοι ε΄ τροχαϊκόν ἐστι πενθημιμερές, καὶ τὸ λδ΄ ὁμοίως ἐφθημιμερές. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει, κορωνίς, τέλος γὰρ ἔχει τὰ ἀναπαιστικά. Ἰὼ μᾶτερ.) ὦ μῆτερ, διατί βοᾷς. διατί νεωστὶ κηρύξασα καὶ βοήσασα ἐκπλῆναι ἐποίησας ἤτοι συντόμως ἐξελθεῖν ἐμὲ τῶν οἴκων τῷδε τῷ θάμβει, καὶ ταύτῃ τῇ ἐκπλήξει ὡς καὶ καθ᾽ ὄρνιν. Θάμβει) τῷ θαύματι καὶ τῇ ἐκπλήξει. οἷς κατασχεθεῖσαν ὑπὸ τοῦ σοῦ λόγου, πετασθῆναι με ἐποίησας. Ἰὼ μοι μοι τέκνον.) διατί δυσφημεῖς καὶ ἐλεεινολογεῖς ἐμὲ λέγουσα δηλονότι ἐμοὶ κακὰ προοίμια. Αἶ αἶ.) δυσφημῶ δηλονότι. περὶ τῆς σῆς ψυχῆς. ἤτοι ἕνεκα τῆς σῆς ζωῆς. Ἐξαύδα.) ἐξάγγελε καὶ φανερῶς λέγε. μὴ κρύψῃς ἐπὶ πολύ. Δειμαίνω.) φοβοῦμαι ὦ μῆτερ διατί ἄρα ἀναστενάζεις. Ὦ τέκνον.) ὦ τέκνον μητρὸς ἀθλίας. Τί τόδ᾽ ἀγγέλλεις.) διατί ἀγγέλλεις καὶ μηνύεις; ἤτοι λέγεις τόδε. τουτέστι τί ἐστι τόδε ὃ ἀγγέλλεις. Σφάξαι σ᾽ Ἀργείων.) ἡ γέννα τοῦ πηλέως. ἤγουν ὁ υἱὸς τοῦ ἀχιλλέως ὁ νεοπτόλεμος, κοινῇ γνώμῃ τῶν ἀργείων, συντείνει καὶ σπεύδει σφάξαι σε πρὸς τὸν τάφον τοῦ πατρὸς αὐτοῦ δηλονότι. Ἄλλως. κοινὴ γνώμη τῶν ἀργείων συντείνει πρὸς τὸν τύμβον γνώμα. ἡ σπεύδει σφά-

ξαισε πρὸς τὸν τύμβον τοῦ πηλείδου. ἤγουν τοῦ ἀχιλλέως, τὸ κύνα, ἢ κλητικὴν διὰ τὴν πολυξένην νοητέον, ἢ δοτικὴν πρὸς τὸ πηλείδα. κρεῖττον δὲ ἐστὶ τὸ πρῶτον. Οἴμοι μᾶτερ.) οἴμοι ὦ μῆτερ. πῶς φθέγγῃ ἀμέγαρτα, καὶ ἀφθόνητα τῶν κακῶν. ἀφθόνητα διὰ τὸ εἶναι λίαν κακά. τοῖς γὰρ τοιούτοις οὐδεὶς φθονεῖ. μήνυσόν μοι αὐτὰ τοῦ εἰπὲ ὦ μῆτερ. Αὐδῶ παῖ.) λέγω παῖ φήμας δυσφήμους. ἤτοι πράγματα κακὴν φήμην καὶ ἀγγελίαν ἔχοντα ἀγγέλλουσιν ἐμοὶ κυρωθῆναι τῇ ψήφῳ τῶν ἀργείων ἕνεκα τῆς σῆς ζωῆς. Δόξαι ψήφῳ.) ἤγουν ἐκκλησιάσαντες οἱ ἀχαιοὶ κακὰ περὶ σοῦ ἐψηφίσαντο. Ω δεινὰ παθοῦσα.) ὦ παθοῦσα δεινὰ καὶ χαλεπὰ ὦ παντλήμων καὶ παναθλία. ὦ μῆτερ ἕνεκα τῆς δυστήνου. καὶ ἀθλίας βιοτῆς καὶ ζωῆς. οἵαν οἵαν. θαυμαστικόν. λώβην καὶ ὕβριν ἐχθίστην καὶ λίαν μεμισημένην ἀρρήτην καὶ ἄρρητον. ἤτοι πολλὴν καὶ μεγάλην ἐπήγαγέ σοι δαίμων τις. οὐδαμῶς ἐστί σοι ἡ παῖς ἥδε ἤγουν ἐγώ. οὐκέτι δὴ συνδουλεύσω ἡ ἀθλία τῷ γήρᾳ τῷ σῷ δηλονότι. Λώβαν.) οἱ γράφοντες λώβαν ἐχθίσταν. ἀγνοοῦσι τὰ μέτρα. σὺ οὖν μαθὼν μὴ γράφε τοῦτο. δίμετρον γὰρ ὀφείλει εἶναι τὸ κῶλον, ὡς καὶ τὰ λοιπά, διὸ καὶ ἐξεβλήθη παρ᾽ ἐμοῦ. Σκύμνον γάρ.) σκύμνος τὸ τοῦ λέοντος γέννημα. μόσχος τὸ τῶν βοῶν. νεβρὸς τὸ τῶν ἐλάφων. ἀρνειός, τὸ τῶν προβάτων. ὡς σκύμνον γὰρ καὶ ὡς οὐριθρέπτην μόσχον ὄψει με ὦ δειλαία τὴν δειλαίαν αἰφνιδίως ἀναρπασθεῖσαν τῆς σῆς χειρός, καὶ ὑπὸ τὸν σκότον τῆς γῆς τοῦ ἅδου πεμπομένην ἀποτετμημένην τὸν λαιμόν. Μόσχον. ἢ πρὸς τὸ δειλαίαν συνάπτεται πρὸς τὸ σκύμνον. ἵν᾽ ᾖ λεοντώδη σκύμνον διὰ τὸ νέον. σκύμνον δὲ, διὰ τὸ βασιλικόν. ἐστὶ δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ἀΐδα καὶ τῷ σκότῳ τῆς γῆς τὸ αὐτό. Καὶ σὲ μέν.) καὶ σὲ μὲν ὦ μῆτερ ἀθλία, κλαίω ἐν θρήνοις παγκλαύστοις, τὸν ἐμὸν δὲ βίον καὶ τὴν ζωήν, ὕβριν καὶ βλάβην οὖσαν, οὐ θρηνῶ, ἀλλ' ἡ συντυχία ἤγουν ἡ συνάντησις τοῦ θανεῖν, ἔκυρσε καὶ ὑπῆρξεν ἐμοὶ κρείττων ταύτης τῆς ζωῆς. Ἀλλὰ θανεῖν μοι.) ἤγουν τὸ τοῦ νῦν θανάτου σύμβαμμα προτιμότερον ἐμοὶ συνέβη τῆς ζωῆς, καὶ εἰ μὲν τὸ ἔκυρσε διὰ τοῦ ῦ ψιλοῦ, καὶ ἡ γράφεις, οὕτως ἐρεῖς, εἰ δὲ διὰ τοῦ η καὶ ῦ ψιλοῦ, οὕτως. ἀλλὰ ἡ συντυχία, καὶ ἡ σύμβασις ἐκήρυξεν εἰπεῖν, ἐκήρυξεν εἶπεν κατὰ ἀντιχρονισμόν, οὕτω δὲ λέγων, ἡ μέγα τὸ κρείττων γράψεις πρὸς τὸ πρῶτον ἢ μικρὸν πρὸς τὸ δεύτερον. Τὸν ἐμὸν δέ.) τὴν ἐμὴν δὲ ζωήν, ἀπολλυμένην δηλονότι, τὴν βλάβην καὶ τὴν φθοράν τὴν ἐμήν, οὐ μόνον οὐ μεταβαλλομένη κλαίω, ἀλλὰ καὶ τὸ ἀποθανεῖν παρ' ἐμοὶ συνάντημα ἐστί, κρεῖττον τῆς ζωῆς δηλονότι. Καὶ μὴν ὀδυσσεύς.) αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκη. ὧν τελευταῖος, ἄχισα τροίαν εἷλε τὴν εὐδαίμονα. ἐπὶ τῷ τέλει μὲν τῶν ἀποθέσεων παράγραφος, ἐπὶ τῷ τέλει δὲ πάντων τῶν στίχων κορωνίς, ἐξιόντων τῶν ὑποκριτῶν. Καὶ μήν.) καὶ μὴν ὦ ἑκάβη ἔρχεται ὁ ὀδυσσεὺς σὺν σπουδῇ ποδὸς σημαίνων καὶ δηλώσων, ἤτοι λέξειν μέλλων πρὸς σὲ ἔπος τι νέον. Γύναι.) νομίζω σε ὦ γύναι γινώσκειν τὴν ψῆφον, καὶ τὴν ἀπόφασιν τοῦ στρατοῦ, τὴν κυρωθεῖσαν καὶ τελειωθεῖσαν, ἀλλ' ὅμως λέξω. Τὴν κραθεῖσαν.) κιρνῶ ἐνεστὼς κεράσω μέλλων κεκέρακα παρακείμενος. ἐκράθην δεύτερος ἀόριστος. κραθεὶς μετοχή. λέγεται δὲ κρᾶσις ἐπὶ τῶν ὑγρῶν, οἷον οἴνου καὶ ὕδατος. καὶ τῶν τοιού-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν· μίξις δὲ, τῶν ξηρῶν· σίτου· κριθῆς· καὶ τῶν ὁμοίων·
Ἔδοξ' ἀχαιοῖς·) ἀρεστὸν ἐφάνη τοῖς ἕλλησι σφάξαι τὴν
σὴν παῖδα πρὸς τὸν ὑψηλὸν τάφον τοῦ ἀχιλλέως· ἐ-
μὲ δὲ πομπὸν καὶ ἀγωγὸν τῆς κόρης, ἔταξαν ὑπάρ-
χειν· ἡγεμὼν δὲ καὶ σφαγεὺς τοῦ σφαγίου τοῦδε, ἐ-
γένετο ὁ νεοπτόλεμος ὁ παῖς τοῦ ἀχιλλέως· Οἱ δ' οὖν
ὁ δράσον·) οἱ ἀττικοὶ χρῶνται τοῖς προστακτικοῖς,
ἀντὶ ὑποτακτικῶν ἀπαγορευτικῶν, καὶ αὐτοῖς τοῖς
προστακτικοῖς, ἀντὶ ὁριστικῶν· τοῦ μὲν οὖν πρώτου, τὸ
ἀριστοφάνους ἐν θεσμοφοριαζούσαις παράδειγμα· μὴ
ψεύσον ὦ ζεῦ τῆς ἐπιούσης ἡμέρας· τοῦ δευτέρου δὲ
μένανδρος· οἶδ' ὅτι ποίησον, ἀντὶ τοῦ ὅ, τι ποιήσεις·
τὸν αὐτὸν τρόπον καὶ εὐριπίδης· οἶδ' οὖν ὃ δράσον·
ἀντὶ τοῦ δράσεις ἐξένεγκεν· γίνωσκε οὖν ὃ ποιήσεις·
ὅρα ἵνα μὴ ἀφαιρεθῇς τὴν κόρην βίᾳ· μήτε ἔξω τοῦ
πρέποντος εἰς ἀγῶνας καὶ ἔριν τῶν ἐμῶν χειρῶν ἔλθῃς
γίνωσκε δὲ τὴν δύναμιν τὴν ἐμήν· ἢ τὴν τῶν ἀρχόν-
των ἰσχύων· καὶ τὴν ἐπέλευσιν τῶν σῶν κακῶν συνε-
τόν ἐστι καὶ ἐν τῇ δυστυχίᾳ φρονεῖν ἃ πρέπει· αἱ αὖ πα-
ρέστηχ' φεῦ φεῦ· ἐνέστηκε καὶ ἐπῆλθεν ὡς φαίνεται ἀ-
γωνία μεγάλη· ἔμπλεως θρήνων· καὶ οὐκ ἀμέτοχος ἀλ-
λὰ πεπληρωμένη δακρύων· καὶ γὰρ ἐγὼ οὐκ ἔθανον, ὅ-
που χρεία ἦν ἀποθανεῖν· ἤγουν εἰς τὴν εὐδαιμονίαν ἣν
εἶχον πρώην· οὐδ' ἔφθειρέ με ἡ μοῖρα· ἀλλὰ σώζει με ὅ-
πως βλέπω ἕτερα κακὰ μείζονα τῶν κακῶν ὧν εἶδον·
Εἰ δ' ἔστι· εἰ δ' ἔξεστι τοῖς δεδουλωμένοις ἐρωτῆσαι τοὺς
ἐλευθέρους ἤγουν τοὺς δεσπότας, μὴ λυπηρὰ καὶ τὴν καρ-
δίαν δάκνοντα· σοὶ μὲν, ἤτοι πρὸς σὲ χρεὼν καὶ πρέ-
πον ἐστὶν εἰρῆσθαι ὑπ' ἐμοῦ δηλονότι· ἡμᾶς δὲ τοὺς ἐρω-
τῶντας ἀκοῦσαι ταῦτα· ἢ οὕτως· σοὶ μὲν κείνοις ἀπο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κρίνασθαι πρέπον ἐστί· ἡμᾶς δὲ ἀκροᾶσθαι τοὺς ἐρωτῶντας ταῦτα. Ἔξεστ' ἐρωτᾶν.) ἐκδεδομένον ἐστὶν, ἐρωτᾶν. τῆς βραδυτῆτος γὰρ ἕνεκα οὐ φθονοῦσι. Οἶσθ' ἡνίκα.) γινώσκεις ὁπότε ἦλθεν τῆς τροίας κατάσκοπος δυσσημονία καὶ περιβολῇ δυστελεστάτων ἐνδυμάτων, καὶ κὴν ὄψιν ἔχων ἀπὸ τῶν ἱματίων· καὶ οἱ σταλαγμοὶ τοῦ φόνου κατέβρεχον τὴν σὴν γένυν ἤτοι τὸν σὸν πώγωνα. Φόνου σταλαγμοί.) μὴ λάβῃς εἰς τὸ φόνου ἔξωθεν τὸ ἕνεκα· ἀλλ' ἐστὶν ἡ γενικὴ πρὸς τὸ σταλαγμοί, τὰ γὰρ δάκρυα ἃ τότε ὁ ὀδυσσεὺς ἐδάκρυε φωραθεὶς, φόνου δάκρυα ἦν· ἔκλαιε γὰρ ἐπειδὴ περὶ ψυχῆς ἔτρεχεν· ὅθεν καὶ ἐν τῇ συνηθείᾳ, αἱμάτινα δάκρυα φαμὲν, ἤγουν φονικά. ἀπίθανον δὲ τὸ πλάσμα καὶ οὐχ ἁρμόδιον· οὐ γὰρ ἂν ἐσίγησεν ἑκάβη πολέμιον θεασαμένη κατοπτεύοντα τὰ κατὰ τοὺς τρῶας πράγματα. Οἶδα.) γινώσκω· οὐ γὰρ ἐξεπιπολῆς ἥψατο τῆς καρδίας μου τὸ πρᾶγμα. Ἔγνω.) ἡ ἑλένη δέ σε μόνη ἐγνώρισε καὶ ἀνήγγειλέ μοι. Μεμνήμεθα.) ἐνθυμούμεθα τὰ μέγιστα κινδυνεύσαντες. Ἧψω.) ἔψαυσας δὲ τῶν ἐμῶν γονάτων ἱκέτης ὤν; Γονάτων.) οἱ δεόμενοι ἥπτοντο τῶν γονάτων· ἢ τῆς χειρὸς· ἢ τῶν παρειῶν. Ὥστ' ἐνθανεῖν.) ναὶ ἡψάμην οὕτως, ὥστε δόξαι νεκρωθῆναι ἐν τοῖς σοῖς ἐνδύμασι τὴν ἐμὴν χεῖρα ὑπὸ τοῦ δέους. Ἔσωσας.) ἐρρυσάμην σε καὶ ἐξέπεμψά σε ἀπὸ τῆς πόλεως; Ὥστ' εἰσορᾶν.) ναὶ ὥστε βλέπειν τόδε τὸ φῶς τοῦ ἡλίου. Τί δῆτ' ἔλεξας.) τί λοιπὸν ἔλεξας δοῦλος ὑπάρχων ἐμὸς τότε; Πολλῶν.) ἔλεξα δηλονότι πολλὰ ἐνθυμήματα καὶ μηχανὰς λόγων· ὥστε μὴ ἀποθανεῖν. Οὐκοῦν.) οὐκοῦν κακὸς φαίνῃ κατὰ τάδε τὰ βουλεύματα· ὃς ἐξ ἐμοῦ ἔπαθες ὁποῖα λέγεις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παθεῖν. ποιεῖς γὰρ οὐδὲν καλὸν εἰς ἡμᾶς, ἀλλὰ κακὸν ὅσον δύνῃ. ἀγνώμον ὑπάρχει τὸ γένος ὑμῶν, ὅσοι μακαρίζετε τὰς ἀπὸ τοῦ δήμου συμβαινούσας τοῖς ῥήτορσι τιμὰς δι᾽ ὧν ἀρέσκειν αὐτῷ σπουδάζετε ἐκ τοῦ τὰ συμφέροντα αὐτῷ ἀγορεύειν. εἴθε μὴ γὰρ ἐγινώσκεσθε ὑπὸ ἐμοῦ. οἳ βλάπτοντες τοὺς φίλους οὐ φροντίζετε. καὶ οὐκ ἐπιστρέφεσθε ἐὰν λέγητε τῷ δήμῳ τι πρὸς ἡδονὴν καὶ ἀποδοχὴν αὐτοῦ. Ἀτὰρ τί.) τί σοφισάμενοι καὶ ἐφευρόντες, ἔδοξεν ὑμῖν εἰκότως τὴν περὶ τῆς ἐμῆς παιδὸς σφαγὴν βουλεύσασθαι. Ἀτάρ.) τί δὴ σόφισμα ἤτοι σοφὸν καὶ φρόνιμον ἡγούμενοι καὶ νομίζοντες τοῦτο οἱ ἕλληνες, ὥρισαν, ἤτοι ἐψηφίσαντο καὶ ἔταξαν τὴν κρίσιν τοῦ φόνου εἰς τήνδε τὴν παῖδα. ἆρα τὸ πρέπον ἤγαγεν αὐτοὺς ἐπὶ τὸ ἀνθρώπους κτείνειν πρὸς τὸν τάφον ὅπου πρέπει μᾶλλον βουθυτεῖν, ἢ θέλων ὁ ἀχιλλεὺς ἀνταποκτεῖναι τὴν κτανόντα αὐτὸν δηλονότι, δικαίως ἐπάγει τὸν φόνον εἰς τήνδε. Τείνει φόνον.) τείνει ὁ ἀχιλλεὺς φόνον εἰς τήνδε, ἀντὶ τοῦ ἐπάγει. καὶ τείνει ὁ λόγος εἰς τόδε, ἀντὶ τοῦ ἐφορᾷ. Ἀλλ᾽ οὐδέν.) ἀλλ᾽ οὐδὲν κακὸν πεποίηκεν αὐτὸν τὸν ἀχιλλέα ἥδε, ἡ πολυξένη. τὴν ἑλένην χρὴ αὐτὸν ζητεῖν σφάγιον τῷ τάφῳ. ἐκείνη γὰρ ὤλεσεν αὐτὸν τὸν ἀχιλλέα. καὶ ἤγαγεν εἰς τὴν τροίαν, εἰ δὲ πρέπει θανεῖν τινὰ ἐπίλεκτον. ὑπερφέρουσαν τε ἤτοι τὸ πλέον ἔχουσαν τῶν αἰχμαλώτων κατὰ τὸ κάλλος, οὐχ ἡμῶν τόδε. τὸ ὑπερφέρειν τῷ κάλλει δηλονότι, ἡ θυγάτηρ τοῦ τυνδάρεω ἑλένη ὡραιοτάτη καὶ εὐειδεστάτη ἐστὶ κατὰ τὸ εἶδος, καὶ ἐφωράθη ἀδικοῦσα τὸν ἀχιλλέα οὐδὲν ἔλαττον ἡμῶν. Τῷ μὲν δικαίῳ.) ἤτοι τῇ δικαιολογίᾳ καὶ κατὰ τὸ δίκαιον τόνδε τὸν λόγον κατὰ ἀγῶνος λέγω. ἅ τινα δὲ πρέπει ἀντιδοῦναι σε, ἀπαιτούσης ἤτοι χρέος ζητούσης ἐμοῦ, ἄκουσον

τῆς ἐμῆς χειρὸς ὡς λέγεις, καὶ τῆσδε γεραιᾶς παρειᾶς προσπίπτων καὶ παρακαλῶν, ἐπίσης ἀπτομαίσου κἀγὼ τῶν γονάτων καὶ τῆς παρειᾶς. καὶ ἀπαιτῶ τὴν ὑπάρξασάν σοι παρ᾽ ἐμοῦ τότε χάριν. καὶ ἱκετεύω καὶ παρακαλῶ σε, μὴ ἀφελκύσῃς τὸ τέκνον βιαίως ἐκ τῶν χειρῶν μου. Μηδὲ κτάνητε.) ἀρκούντως ἔχει τὸ πρᾶγμα ἕνεκα τῶν τεθνηκότων ἐν τῷ πολέμῳ δηλονότι. ἐπειδὴ ὁ μὲν ὀδυσσεὺς μόνος ἔμελλε λαβεῖν τὴν πολυξένην ἐκ τῆς ἑκάβης. τὸ δὲ θανεῖν αὐτὴν κοινῇ πᾶσι τοῖς ἕλλησιν ἔδοξε διὰ τοῦτο πρὸς μὲν τὸν ὀδυσσέα ἑνικῶς εἶπε τὸ μὴ ἀποσπάσῃς. πρὸς δὲ τοὺς ἄλλους, τὸ κτάνητε. Ταύτῃ γέγηθα.) ἐπὶ ταύτῃ χαίρω. καὶ ἐπιλανθάνομαι τῶν κακῶν. ἥδ᾽ ἀντὶ πολλῶν πραγμάτων δηλονότι. ἐστί μοι παραμυθία καὶ παρηγορία. πόλις τροφός. βακτηρία. ἡγεμὼν καὶ ὁδηγὸς ὁδοῦ. Οὐ τοὺς κρατοῦντας.) τοὺς ἄρχοντας οὐ πρέπει κρατεῖν τῶν πραγμάτων ἐκείνων δηλονότι ἃ μὴ χρεὼν ἤτοι οὐ πρέπον κρατεῖσθαι. οὐδὲ τοὺς εὐτυχοῦντας δοκεῖν καὶ νομίζειν πράττειν ἀεὶ εὖ ἤτοι εὐτυχεῖν. ἄλλως. οὐ τοὺς κρατοῦντας καὶ ἄρχοντας ἀνόμου καὶ κακῆς βουλῆς χρὴ ἔχεσθαι. ἀλλὰ πρὸς τὸ δίκαιον πίπτειν ἀεὶ τὸν μὴ προσηκόντων ἀπεχομένους. οὐδὲ τοὺς εὐτυχοῦντας ὑπολαμβάνειν ἀεὶ εὐτυχήσειν. εἶπε δὲ ἄμφω διὰ τοὺς ἕλληνας ὡς εὐτυχεῖς ὄντας, καὶ ἄδικα περὶ τῆς πολυξένης βουλευσαμένους. Κἀγὼ γὰρ ἦν.) καὶ ἐγὼ γὰρ ὑπῆρχον εὐδαίμων ποτέ. ἀλλὰ νῦν οὐχ ὑπάρχω. πάντα δέ μοι τὸν πλοῦτον, μία ἡμέρα ἀφείλετο. Οὐκ εἴμ᾽ ἔτι.) ἡ γὰρ εὐτυχία οὐκ ἐστὶν ἄλλο, ἢ εἶναι. ἡ δὲ δυστυχία οὐκ ἄλλο γ᾽ οὐδὲν, ἢ μὴ εἶναι. τὸ ἔτι οὖν εἶπεν, ὡς πρὸς τὸν πρόσθεν χρόνον. τὰ γὰρ παρόντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν πάλαι ὕστερά ἐστι καὶ ἐφεξῆς. Ἀλλ' ὦ φίλον γένειον.) ἀπὸ μέρους τὸ πᾶν. γένειον αἱ κατὰ τὰς σιαγόνας τρίχες, γένυς δὲ ἡ σιαγών, ἀλλ' ὦ ὀδυσσεῦ οἴκτειρον καὶ ἐλέησον. ἀπελθὼν δ' εἰς τὸν στρατὸν τῶν ἑλλήνων, παραίνεσον καὶ εἰπὲ ὅτι μέμψις καὶ δυσφημία ἐστὶν ἀποκτείνειν καὶ φονεύειν τὰς γυναῖκας, ἃς κατ' ἀρχὰς οὐκ ἐφονεύσατε ἀφελκύσαντες ἀπὸ τῶν βωμῶν. ἀλλ' ἠλεήσατε. Παρηγόρησον.) παραίνεσον. ἔστιν ἀγορά. ἀφ' οὗ ἀγορεύω ῥῆμα. ἐξ οὗ σύγκειται τότε δημηγορῶ, καὶ παρηγορῶ. καὶ συνηγορῶ. καὶ τὰ τοιαῦτα. Φθόνος.) καταχρηστικῶς ἀντὶ τοῦ μέμψις, διαφέρει δὲ φθόνος μέμψεως. ὅτι ὁ μὲν φθόνος. εἰς τοὺς καλοὺς καὶ ἀγαθοὺς ἀπὸ τῶν κακῶν. φθονοῦνται γὰρ τὰ καλὰ τοῖς κακοῖς. ἡ δὲ μέμψις ἀπὸ τῶν καλῶν, εἰς τοὺς κακούς τε καὶ πονηρούς. Βωμῶν ἀποσπάσαντες.) ἤγουν τοῦτο τὸ τοὺς τοῖς βωμοῖς καταφυγόντας μὴ κτείνειν, νόμιμον ἡγούμεθα ἐπίσης δοῦλοι καὶ ἐλεύθεροι. Νόμος δ' ἐν ὑμῖν.) νόμος δ' ἐν ὑμῖν τοῖς ἕλλησι κεῖται περὶ φόνου, ὅμοιος τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις. ἡ δὲ σὴ ἀξία καὶ ἐὰν κακῶς λέγῃ, καταπείσει. λόγος γὰρ ὁ ἐξιὼν ἐκ τῶν ἀδοξούντων καὶ ἀτίμων, καὶ ἐκ τῶν δοκούντων ἤτοι ἐξ ἐνδόξων καὶ ἐντίμων οὐ τὴν αὐτὴν ἔχει δύναμιν.

Νόμος.) νόμος δὲ κεῖται ἐν ὑμῖν τοῖς ἕλλησι περὶ φόνου ἴσος τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις. ἤγουν ἐν ἴσῳ κακῷ τάττων τὸν τοῦ δούλου φόνον. ὃν αὐτὸς δηλονότι ὑπόποινος φονευθήσεται, καὶ τὸν τοῦ ἐλευθέρου. Οὐκ ἔστιν οὕτω στερρός.) οὐκ ἔστι φύσις ἀνθρώπου οὕτω στερρὰ καὶ σκληρὰ ἥτις ἀκούουσα τοὺς θρήνους τῶν σῶν γόων καὶ τῶν πολλῶν ὀδυρμάτων, οὐκ ἂν ἐκπέμψοι δάκρυον. Στερρός. οἱ ἀττικοὶ τὰς εἰς α καὶ εἰς η λήγουσ

σας θυέκας, διὰ τοῦ ος λέγουσιν. οἷον ἡ οὐράνιος ἡ θε-
ός, ἡ στερρός. Ἑκάβη διδάσκου.) ὦ ἑκάβη διδά-
σκου. ἤτοι μάνθανε. μὴ δὲ τῷ θυμουμένῳ μέρει τῆς
ψυχῆς δηλονότι. ἤτοι ὑπὸ τοῦ θυμοῦ, τὸν οὖν λέγοντα,
ἐμὲ δηλονότι, ποιοῦ δυσμενῆ καὶ ἐχθρὸν ἐν τῇ φρενὶ
καὶ ἐν τῷ λογισμῷ. Μὴ δὲ τῷ θυμουμένῳ.) εἰς τρία
μεριζομένης τῆς ψυχῆς, εἰς λογικὸν. θυμικὸν. καὶ ἐπιθυ-
μητικὸν. ὅτε μὲν ἐστὶ τὸ λογικὸν καθαρὸν, διακρίνει, καὶ
λογίζεται τὰ προσήκοντα, καὶ καλῶς ἔχοντα. σκοτί-
ζεται δὲ ὑπὸ τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ, καὶ ὑπὸ ἄλ-
λου τινὸς συναντήματος. κἀντεῦθεν οὐ συγχωρεῖται
λογίζεσθαι τὰ δέοντα. Τῷ θυμουμένῳ.) οἱ μὲν, τῷ θυ-
μουμένῳ, τῷ θυμικῷ φασὶ τῆς ψυχῆς μέρει. τρία δὲ
μέρη τῆς ψυχῆς, λογικὸν, θυμικὸν, καὶ ἐπιθυμητικὸν. καὶ
τὸ μὲν θυμικὸν, ἔγκειται παρὰ τὴν καρδίαν. τὸ δὲ ἐπι-
θυμητικὸν παρὰ τὸ ἧπαρ. τὸ δὲ λογιστικὸν παρὰ τὸν ἐγκέ-
φαλον. ὃ καὶ λόγον αὐτοκράτορα ἔχει πρὸς ἐκεῖνα. ἐγὼ
δὲ ἐνταῦθα, θυμουμένῳ λέγω, τῷ θυμῷ. ὥσπερ γὰρ φα-
μὲν βουλόμενον οὐ μόνον τὸν θέλοντα, ἀλλὰ καὶ τὴν βού-
λησιν αὐτήν. καὶ μεμνημένον, οὐ μόνον τὸ μνείαν ἔχον,
ἀλλὰ καὶ τὴν μνήμην αὐτήν. οὕτω καὶ θυμούμενον, οὐ μόνον
τὸ θυμῷ κατεχόμενον. ἀλλὰ καὶ τὸν θυμὸν αὐτόν.

Ἐγὼ τὸ μὲν σόν.) οἱ μὲν τῆς ἑκάβης λόγοι, παρα-
κλήσει ἐοίκασιν. οἱ δὲ τοῦ ὀδυσσέως. ἀνάγκῃ. ἐγὼ τὸ
μὲν σὸν σῶμα ὑφ' οὗπερ οὖν ἐπράχθην, ἕτοιμός εἰμι καὶ
πρόθυμος ῥύεσθαι. ἃ δ' εἶπον ἐνώπιον πάντων οὐκ ἀρνή-
σομαι λέγω, πορθηθείσης τῆς τροίας, δοῦναι θῦμα τὴν
σὴν παῖδα τῷ ἀχιλλεῖ, αἰτοῦντι αὐτὴν δηλονότι.

Κοὐκ ἀρνήσομαι.) τῷ ἀρνεῖσθαι, ἐναντίον τὸ ὁμολο-
γεῖν. ὥστε τὸ οὐκ ἀρνεῖσθαι, ταυτὸν τῷ ὁμολογεῖν. Τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρώτῳ.) τὸ πρῶτον λαμβάνεται ἐνίοτε μὲν ἀπὸ τά-ξεως. ἐνίοτε δὲ ἀπὸ ἀριθμήσεως. ἐνταῦθα δὲ, ἀπὸ τά-ξεως λέγεται. Εν τῷδε γὰρ.) διὰ τοῦτο γὰρ δυσ-πραγοῦσιν αἱ πλείους πόλεις ὅταν τις ἀγαθὸς καὶ ἀν-δρεῖος ἀνὴρ, ἀπολαύῃ περιττότερον μηδὲν, τῶν φαύλων τε καὶ δειλῶν. ἐν ἡμῖν δὲ ὁ ἀχιλλεὺς ἄξιός ἐστι τιμῆς καὶ δόξης ὦ γύναι. θανὼν ὑπὲρ τῆς ἑλλάδος ἐνδοξό-τατα. ἐπεὶ ἄσχημον καὶ ἀπρεπές ἐστιν. ἢ ζῶντι μὲν ἐ-κείνῳ ἐχρώμεθα φίλῳ. ἀφοῦ δ' ἐφθάρη μηκέτι χρώ-μεθα φίλῳ δηλονότι. Εἰ εν.) ἔσω ταῦτα. Τί δαὶ τι ἐρεῖ τις.) κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν. τί ἐρεῖ τις, ἐὰν πάλιν γίνηται σύναγμα στρατοῦ, καὶ ἀνάγκη τῶν πολεμίων. πότερον μαχεσόμεθα. ἢ φιλοζωήσο-μεν. καὶ δειλιάσομεν. τὸν ἀποθανόντα βλέποντες οὐ δοξαζόμενον, ἀλλὰ καὶ ἐμοὶ ἐν ὅσῳ μὲν ζῶ, κατὰ τὸν καιρὸν τῆς ζωῆς μου, πάντα ἱκανὰ καὶ ἀρκοῦντα μέλ-λουσιν εἶναι κἂν μικρὰ ταῦτα ὦσι. τὸν ἐμὸν δὲ τά-φον βουλοίμην ἂν ὁρᾶσθαι τιμώμενον. ἐπὶ πολὺ γὰρ ἡ χάρις. ἤγουν ἡ τιμὴ διὰ μακροῦ γίνεται, καὶ πο-λυχρονία ταῖς διαδοχαῖς αὐξανομένη. ὁ γὰρ ὁρῶν τὸν τῆς τιμῆς ἀξιούμενον, πρὸς τὸν ἐγκείμενον ἀ-νάγει τὸν νοῦν. ἡγούμενος αὐτὸν μὴ δ' ἂν μετὰ θά-νατον οὕτως τιμᾶσθαι, εἰ μὴ πολλοῦ τινος ἄξιος ἦν περιών. Εἰ δ' οἰκτρὰ πάσχειν.) εἰ δὲ λέγεις πάσχειν ἐλεεινὰ, ἀντάκουε ἐμοῦ τάδε. ὑπάρχου-σι παρ' ἡμῖν γραῖαι γυναῖκες, οὐχ ἧττον ἐλεεινό-τεραι σοῦ. καὶ νύμφαι στερόμεναι τῶν νυμφίων οὓς ἡ τρωικὴ γῆ καλύπτει. ὑπόμενε ταῦτα. ἡμεῖς δὲ εἰ κακῶς νόμους τιθέαμεν δοξάζειν τὸν ἀνδρεῖον, μωρίαν χρεωστήσομεν. .... Πρεσβῦται.)

οὐχ ὡς δοκοῦσί τινες συγκριτικὸν ὂν πρεσβύτεραι, κατὰ συγκοπὴν ὡς πρεσβύται γέγονεν, ἐθέλοντες σιωπῆσαι τὸ σέβειν. ἀλλὰ τὸ πρεσβῦται ἀντὶ τοῦ γέροντες ἐστὶ διὰ μέσου. τὸ δὲ σέβειν, πρὸς τὸ ὄπισθεν ἧττον συντάττεται. ἵν᾽ οὕτως ἔχῃ. εἰσὶ παρ᾽ ἡμῖν γραῖαι γυναῖκες ἄθλιαι οὐχ ἧττον σοῦ. καὶ γέροντες, καὶ τὰ ἑξῆς.

Νύμφαι.) νύμφη ἡ ἄρτι εἰς γάμον ἐρχομένη. ἥτις ποιητικῶς νυὸς λέγεται. νύμφαι καὶ τὰ τῶν πηγῶν ὕδατα, καὶ οἱ ἔφοροι τούτων δαίμονες παρ᾽ ἕλλησιν. ἐνταῦθα δὲ νύμφαι ἁπλῶς, αἱ ἄνδρας ἔχουσαι γυναῖκες. Οἱ βάρβαροι δέ.) ὑπομένει φησὶ ταῦτα. ἡμεῖς δὲ ἐὰν οἰόμεθα καλῶς δοξάζειν τοὺς ἀγαθούς, ἀμαθεῖς δόξομεν. ὑμεῖς δὲ οἱ βάρβαροι, μήτε τοὺς φίλους ὑπολαμβάνετε φίλους μήτε, τοὺς ἐνδόξως καὶ καλῶς ἀποθανόντας τιμᾶτε, καὶ διὰ τοῦτο ἡ μὲν ἑλλὰς εὐδαιμονεῖ. ταῖς γὰρ καλαῖς βουλαῖς, ἔργα καλὰ ἕπονται. ὑμεῖς δὲ διάκεισθε κατὰ τὰ βουλεύματα ὑμῶν. αἰαῖ τὸ δοῦλον.) ὅμοιον τῷ παρὰ σοφοκλεῖ, κρείσσων γὰρ ἦν θανὼν μηκέτ᾽ ὢν ἢ ζῶν τυφλός. ὥσπερ γὰρ ἐκεῖ ὀφείλων θεῖναι τὸ κρεῖττον ἀπὸ τοῦ ῥήματος, ἵν᾽ ᾖ κρεῖττον μὴ εἶναι σε, ἢ ζῆν τυφλόν. ὁ δὲ, τίθησιν ἀπὸ τοῦ ὀνόματος, οὕτω κἀνταῦθα, ὀφείλων τάξαι τὸ πάνυ κακὸν ἀπὸ τοῦ πεφυκέναι, ὁ δὲ, τίθησιν ἀπὸ τοῦ ὀνόματος. καὶ φησὶ τὸ δοῦλον πάνυ κακόν. εἶτα ἐπάγει πεφυκέναι. ἤγουν ὥστε εἰς ὕπαρξιν ἐλθεῖν. οὐ μὲν τοίνυν κακὸν κατὰ τὴν ἑαυτοῦ φύσιν. γράφεται καὶ πέφυκ᾽ ἀεὶ τὸ δοῦλον λίαν πέφυκε κακὸν ἀεί. Ἄλλως. τὸ γενέσθαι τινὰ δοῦλον, λίαν κακόν ἐστιν. ὑπομένει γὰρ ἃ μὴ πρέπει ὁ ἄνθρωπος ἐκεῖνος, ὑπὸ τῆς ἀνάγκης νικώμενος. Ὦ θύγατερ.) οἱ ἐμοὶ μὲν λόγοι οἱ περὶ τοῦ σοῦ φόνου, φροῦδοι καὶ ἀφα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὕης εἰσὶ ῥιφθέντες πρὸς τὸν ἀέρα. σὺ δὲ εἰ ἔχεις, δύναμιν μείζονά τι καὶ κατά τι παρ᾽ ὃ ἡ μήτηρ, σπούδαζε ὡς στόμα ἀηδόνος ἀφιεῖσα πάσας φθογγὰς ὥστε μὴ στερηθῆναι τῆς ζωῆς. πίπτε δὲ ἐλεεινῶς πρὸς τὸ γόνυ τοῦδε τοῦ ὀδυσσέως, καὶ πεῖθε ἤτοι πειρῶ πείθειν. ἔχεις δὲ πρόφασιν καὶ ἀφορμήν. ἔστι γὰρ καὶ τῷδε τέκνα. ὥστε οἰκτεῖραι καὶ ἐλεῆσαι τὴν σὴν τύχην καὶ δυστυχίαν. Ἀμφὶ σοῦ φόνου.) περὶ τοῦ σοῦ φόνου ὃν ἐτάχθης σὺ δηλονότι φονευθήσεσθαι. φόνος γάρ τινος λέγεται ἢ ὃν αὐτὸς φονεύσεις ἕτερον. ἢ ὃν αὐτὸς ὑφ᾽ ἑτέρου φονεύεται. Τοῦ δ᾽ ὀδυσσέως γόνυ.) οἱ παλαιοὶ ἱκετεύοντες ἐδράττοντο τῆς γενειάδος, καὶ τῆς χειρὸς καὶ τοῦ γόνυος, τῆς μὲν γενειάδος, ὡς καταπαῦσαι, ἢ εἰπεῖν τι πρὸς ἄλλον ὑπὲρ τοῦ δεομένου, εἴγε δεήσει τοῦτο ποιεῖν. τῆς δὲ χειρὸς, ὡς ἐνεργῆσαι. τοῦ δὲ ποδὸς, ὡς βαδίσαι. Ἔχεις γὰρ πρόφασιν.) πρόφασις κυρίως ὁ προτεινόμενος εὐπρόσωπος λόγος ἐπὶ κατηγορίᾳ τινί, ἀπὸ τούτου ἁπλῶς καὶ ἡ αἰτία. Ὁρῶσ᾽ ὀδυσσεῦ.) ὁρῶ ἐπὶ σώματος. θεωρῶ ἐπὶ ψυχῆς. δηλοῖ δὲ δύο τὸ τὰ θεῖα ὁρῶ, καὶ τὸ σκέπτομαι. Ἐνταῦθα ἐφύλαξεν ὁ εὐριπίδης τὸ ἡρωϊκὸν ἦθος, οὐ γὰρ ταπεινῶς, ἀλλὰ μετὰ παῤῥησίας τὴν πολυξένην λέγειν εἰσήνεγκεν καὶ ὅρα ὅπως ὁ ποιητὴς εἰς τὸν κανόνα τῆς ἠθοποιΐας, τῷ μὲν παρεληλυθότι χρόνῳ χρῆται ἐν τῷ λέγειν ἧς πατὴρ μὲν ἦν ἄναξ, τῷ δὲ ἐνεστῶτι, νῦν δ᾽ εἰμὶ δούλη, τῷ δὲ μέλλοντι, ὅταν λέγῃ. ἔπειτ᾽ ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας τύχοιμ᾽ ἄν, καὶ τὰ λοιπά. Ὁρῶσ᾽ ὀδυσσεῦ κρύπτοντα τὴν δεξιὰν χεῖρα ὑπὸ κάτω τοῦ ἱματίου, καὶ τὸ πρόσωπον στρέφοντα εἰς τοὐπίσω, ἵνα μὴ ἅψωμαι τῆς γενειάδος σου. Θάρσει.) ἤτοι ἄφοβος ἔσο ἐκπέφευγας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἐμὴν ἱκεσίαν, οἱ δεόμενοι προτείνειν εἰώθασι διὰ ἱκέσιον· οἱ δὲ συνοικοῦντες, ἐφέστιον· οἱ δὲ φίλοι, φίλιον· οἱ δὲ ἐν μιᾷ τάξει καὶ συμμορίᾳ καταλεγόμενοι ἑταιρεῖον· οἱ δὲ ξένοι, ξένιον· οἱ δ' ἐν ὅρκοις συμφωνίας ποιοῦντες, ὅρκιον· οἱ δὲ ἀδελφοί, ὁμόγνιον· Ὡς ἑψόμαι σοι·) ὅτι ἀκολουθήσω σοι, καὶ χάριν τοῦ ἀπαραιτήτου, καὶ θέλουσα ἀποθανεῖν· εἰ δὲ μὴ θελήσω, φανοῦμαι γυνὴ δειλὴ καὶ φιλόζωος· κατὰ τί γάρ με πρέπει ζῆν· ἤ τινι πατὴρ μὲν ἦν ἄναξ πάντων τῶν φρυγῶν, καὶ τρώων· τοῦτο πρῶτον καὶ ἐξαίρετον ἐμοὶ τοῦ βίου καὶ τῆς ζωῆς· ἔπειτα ἀνετράφην ὑπὸ καλῶν ἐλπίδων βασιλεῦσι νύμφη ἐσομένη δηλονότι· ἔχουσα ζῆλον γάμου οὐ μικρόν, εἰς οὗ τινος ἑστίαν καὶ οἰκίαν παραγενήσομαι· Δέσποινα δ' ἡ δύστηνος·) ὑπῆρχον δὲ ἡ δύστηνος δέσποινα ἐν ταῖς ἰδαίαις γυναιξίν· ἐν παρθένοις τε περιφανής· ἰσότιμος τοῖς θεοῖς, πλὴν κατὰ τὸ θανεῖν μόνον· Πλὴν τὸ κατθανεῖν·) μὴ λάβε κατὰ ἔξωθεν εἰς τό, πλὴν τὸ κατθανεῖν· ἀλλ' ὥσπερ φαμὲν ἴσος ἐστὶν οὗτος ἐκείνῳ τὴν σύνεσιν, καὶ οὐ λαμβάνομεν ἔξωθεν τὸ κατὰ· καὶ πάλιν ὄμωσου ὄμωται· οὕτω κἀνταῦθα, εἰ καὶ τὸ πλὴν ἀντὶ τοῦ χωρίς, ποιεῖ τὴν ἀσάφειαν· οὕτω ἴση ταῖς θεαῖς, πλὴν τὸ κατθανεῖν μόνον· ἀντὶ τοῦ χωρὶς τοῦ κατθανεῖν ὑπάρχω ἐκείναις ἴση· ἄλλοι δὲ μὴ λαμβάνοντες κατὰ, γράφουσι τοῦτο πρὸς τὸ πλήν· ἀγνοοῦντες καὶ οὗτοι τὴν σύνταξιν· καὶ μὴν ἑτέρους ψυχρολόγους ἐστὶν ἰδεῖν, τὸ πλὴν, ἀντὶ τοῦ, εἰ μὴ λέγοντας· ἴση ταῖς θεαῖς, εἰ μὴ τὸ κατθανεῖν μόνον ὑπῆρχεν αὐτῇ· Νῦν δ' εἰμὶ δούλη·) νῦν δὲ ὑπάρχω δούλη· Πρῶτα μέν·) ἀντὶ τοῦ πρῶτον· Τὸ ὄνομα·) ἤτοι τὸ καλεῖσθαι δούλην οὐκ εἰωθὸς καὶ οὐ συνηθὲς ὂν ποιεῖ ἐμὲ

(ἐπιθυμεῖν θανεῖν. Εἰωθὸς.) ἔθω τὸ ἐξ ἔθους τι δια-
πράττω· ὁ μέλλων ἔσω· ὁ παρακείμενος εἶκα· ὁ μέσος
ἦθα καὶ ἀττικῶς εἴωθα· ἡ μετοχὴ εἰωθὼς τοῦ εἰωθότος,
τὸ οὐδέτερον τὸ εἰωθός· ἔπειτα ἴσως ἂν τύχοιμι δεσπο-
τῶν τινῶν καὶ ἀπηνῶν κατὰ τὰς φρένας· ὅστις ἐκεί-
νων λέγω, ἀγοράσει δι' ἀργυρίου ἐμὲ τὴν ἀδελφὴν
τοῦ ἕκτορος, καὶ ἑτέρων πολλῶν· προσθεὶς δὲ ἐν τοῖς
δόμοις ἀνάγκην σιτοποιὸν, ἤτοι ἀρτοποιητικὴν, ἀ-
ναγκάσει ἐμὲ ἄγουσαν ἡμέραν λυπηρὰν, καὶ σαί-
ρουν τὸ δῶμα· καὶ ἐφεστάναι ταῖς κερκίσιν, ἀντὶ
τοῦ ὑφάσμασιν, ἀπὸ μέρους τὸ πᾶν· τὰ ἐμὰ
δὲ λέχη καὶ τὴν ἐμὴν κοίτην μιανεῖ δοῦλος ὠνητὸς
ποθέν· τυράννων καὶ βασιλέων πρότερον ἄξια ὄντα·
οὐ δῆτα· ἤτοι οὐκ ἀνέξομαι ζῆν ἐν τούτοις· οὐ προ-
τιμήσω ταῦτα τοῦ θανάτου· ἀφίημι τόδε τὸ φέγγος τῶν
ὀμμάτων ἐλεύθερον· προστιθεῖσα τῷ θανάτῳ τὸ ἐμὸν
σῶμα. Ἄγ' οὖν μ' Ὀδυσσεῦ.) ἄγε ἐμὲ λοιπὸν Ὀδυσ-
σεῦ· οὔτε γὰρ θάρσος ἐλπίδος ὁρῶ· οὔτε δόξης, καὶ
ὑπολήψεως τινὸς, ὅτι ἀπόκειται ποτὲ πρᾶξαι κα-
λῶς· καὶ εὐτυχῆσαι. Ὦ μῆτερ.) σὺ δὲ μηδαμῶς
γίνη ἐμπόδιον ἐμοὶ, μηδὲ λέγουσα, μηδὲ δρῶσα· σὺν
ἐμοὶ δὲ βούλου θανεῖν ἐμὲ, πρὸ τοῦ τυχεῖν αἰσχρῶν
παρ' ἀξίαν· ὅς τις γὰρ οὐ συνήθειαν ἔχει πεῖραν λαμ-
βάνειν τῶν δυστυχιῶν, φέρει μὲν τιθεὶς ἐν τῷ ζυγῷ
τὸν αὐχένα· ἤγουν ἐν τῇ ἀνάγκῃ τῆς δυστυχίας· ἄ-
χθεται δὲ δηλονότι ὥσπερ βοῦς ἀγύμναστος ὑπὸ ζυ-
γὸν τιθέμενη· θανὼν δὲ εἴη ἂν μᾶλλον εὐτυχέστερος
ἢ ζῶν· τὸ γὰρ μὴ καλῶς ζῆν, μεγάλη ὀδύνη.

Δεινὸς χαρακτὴρ.) ἐκπλαγεὶς πρὸς τοὺς
τῆς πολυξένης λόγους, ὡς μετὰ φρονήματος εἰρη-

μένους γενναῖον, φησὶ μεγάλως χαρακτηρίζει καὶ δῆλο ποιεῖ τὸν εὐγενῆ ἢ εὐγένεια. πρὸς γὰρ τὴν εὐγενῆ αὐτοῦ φύσιν, καὶ τοὺς λόγους ποιεῖται. καὶ δῆλος τοῖς οὐκ εἰδόσιν αὐτ(ὸν) γίνεται. ἄλλως. ὅστις ἐστὶν εὐγενὴς, καὶ γένους λαμπροῦ, χαρακτηρίζει ἑαυτὸν καλοῖς λόγοις, καὶ ἤθεσι, καὶ δῆλος τοῖς οὐκ εἰδόσι τὴν ψυχὴν αὐτοῦ ἔνδοθεν καθίσαται, καὶ τῆς εὐγενείας ὄνομα μέγιστον τοῦτο γίνεται. ὅταν οἱ διαδεξάμενοι τοῦτο. ἄξια τούτου δρῶσιν ὁποῖον τι καὶ νῦν γέγονεν. Κἀπίσημος.) κυρίως ἐπίσημον ἀργύριον τὸ κεχαραγμένον. καὶ ἄσημον τὸ μὴ κεχαραγμένον. παράσημον, τὸ παρακεχαραγμένον. ἀπὸ τούτων δὲ καὶ ἐπίσημος ὁ διάδηλος ἁπλῶς, καὶ ἄσημος ὁ ἄδηλος, καὶ ἀφανὴς, καὶ παράσημος ὁ βεβλαμμένος τι μέλος. ἄλλως. Δεινὸς χαρακτήρ.) ἐπιτήδειος χαρακτήρ. ἤτοι σφραγὶς, καὶ σημεῖον, καὶ ἐπίσημος. ἤγουν διάδηλος ἐν βροτοῖς, τὸ γενέσθαι τινὰ δηλονότι ἀπὸ ἐσθλῶν καὶ εὐγενῶν. καὶ ἐπὶ μεῖζον ἔρχεται. ἤτοι αὐξάνει, καὶ πλέον γίνεται τὸ ὄνομα τῆς εὐγενείας τοῖς ἀξίοις. ἢ ὑπὸ τῶν πραττόντων ἀνάξια τῆς εὐγενείας. Καλῶς μὲν εἶπας θύγατερ.) τὸ καλῶς λέγειν, ἐνίοτε μὲν, τὸ καλλιεπημένα ῥήματα λέγειν δηλοῖ. ἐνίοτε δὲ τὸ ὀρθῶς, καὶ ἀληθῶς λέγειν ὡς ἐνταῦθα. ὦ θύγατερ καλῶς μὲν εἶπας. ἀλλὰ τῷ καλῷ ἔνεστι καὶ λύπη. εἰ δὲ πρέπει γενέσθαι τιμὴν τῷ ἀχιλλεῖ, καὶ φυγεῖν ὑμᾶς ὦ ὀδυσσεῦ μέμψιν, τὴν πολυξένην μὴ κτείνετε. ἐμὲ δὲ ἄγοντες πρὸς τὸν τάφον τοῦ ἀχιλλέως, κεντεῖτε, καὶ σφάζετε. μὴ φείδεσθε ἐμοῦ δηλονότι. ἐγὼ γὰρ ἔτικτον τὸν πάριν. ὃς ὤλεσε τὸν ἀχιλλέα τρώσας διὰ τόξου. Πρὸς πυράν.) πυρὰ τὸ πῦρ τὸ τῶν νεκρῶν ἁπτόμενον, καὶ

ὁ τόπος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ τόπος, ἐν ᾧ τὸ πῦρ ἅπτεται. Οὔσ᾽ ὦ γεραιά.) οὔτε ἀποθανεῖν ὦ γεραιὰ ᾐτήσατο τὸ φάντασμα τοῦ ἀχιλλέως. ἀλλὰ ταύτην ᾐτήσατο. Ὑμεῖς δ᾽ ἀλλά.) ἀλλὰ κἂν ὑμεῖς σὺν τῇ θυγατρί με ἀποκτείνατε. καὶ διπλῆ πόσις αἵματος τῇ τε γῇ γενήσεται, καὶ τῷ αἰτοῦντι ἀχιλλεῖ. ἄλλως. οὐκ ἔστι τὸ ἀλλὰ, ἀντὶ τοῦ καὶ ὡς οἱ οὕτω τινές. Ἀλλὰ οὕτως ἔχει. εἰποῦσα γὰρ ἑκάβη πρὸς ὀδυσσέα, τὸ ἡμᾶς δ᾽ ἄγοντες πρὸς πυρὰν ἀχιλλέως κεντεῖτε. ἐπείπερ αὐτοῦ ἤκουσαν, ὡς οὐκ αὐτὴν ἀλλὰ τὴν θυγατέρα ἀχιλλεὺς ᾐτήσατο, φησίν. ὑμεῖς δὲ ἐπεὶ οὐ βούλεσθε ἐμὲ μόνην ἀποκτεῖναι, ἀλλὰ σὺν τῇ θυγατρὶ φονεύσατε. Ἅλις σῆς.) ἱκανῶς ἔχει ὁ θάνατος τῆς σῆς θυγατρὸς. οὐκ ἄξιον προσενεχθῆναι· καὶ ἕτερον σφαγιάσαι. εἴθε μὴ δὲ τὸν δε ὠφείλομεν ποιεῖσθαι. Πολλή γ᾽ ἀνάγκη) ἀνάγκη ἐστὶ συναποθανεῖν με τῇ θυγατρί. Πῶς.) πῶς λέγεις συναποθανεῖν; οὐ γὰρ οἶδα ὅτι κέκτημαι δεσπότην σε, τοῦτό με ποιῆσαι ἀναγκάζοντα. Ὁποῖα κισσός.) ὥσπερ ὁ κισσὸς ἔχεται τοῦ δρυὸς, οὕτως ἕξομαι αὐτῆς. Οὐκ.) οὐχ ἕξει οὐ ποιήσεις τοῦτο, τὸ ἕξεσθαι δηλονότι τῆς θυγατρὸς, ἐὰν πείθῃ τοῖς φρονιμωτέροις σου. Οὐ μεθήσομαι) γίνωσκε ὅτι οὐκ ἀποστήσομαι τῆς παιδὸς οὐδ᾽ ἀπολύσω αὐτὴν ἐθελοντής. Ἀλλ᾽ οὐδ᾽ ἐγὼ ἀπολεύσομαι ἀπελιπὼν τήν δε. Μῆτερ πιθοῦ μοι.) ὦ μῆτερ πείσθητί μοι, καὶ σὺ ὀδυσσεῦ ἐνδίδου τοῖς κινήτορσιν ὀργιζομένοις πρεπόντως. σύ τε ὦ ἀθλία τοῖς ἄρχουσι μὴ πολέμει. θέλεις πεσεῖν πρὸς τὸ ἔδαφος τραυματίσαι τὸν σὸν γεροντικὸν σῶμα. βιαίως ἀποπεμπομένη, καὶ ἀτιμασθῆναι ὑπὸ νεανικοῦ βραχίονος, σπαραχθεῖσα. καὶ συρεῖσα, καὶ σύ γε πάθῃς ταῦτα. οὐ γὰρ ἄξιον παθεῖν. ἀλλ᾽ ὦ

προσφιλὴς μῆτερ, δός μοι τὴν γλυκυτάτην σου χεῖρα· καὶ τὴν παρειὰν προσερεῖσαι τῇ ἐμῇ παρηΐδι· ὅπου μετὰ ταῦτα· ἀλλὰ νῦν τελευταῖον θεάσομαι τὸν κύκλον τοῦ ἡλίου· τέλος δὲ δὴ λαμβάνεις τῶν ἐμῶν προσαγορεύσεων καὶ λαλιῶν· ὦ μῆτερ ὦ τεκοῦσα ἀπέρχομαι εἰς τὸν ᾅδην ἀνύμφευτος καὶ ἄμοιρος ὑμεναίων ὧν ἔπρεπεν ἐμὲ λαχεῖν δηλονότι· ὦ θύγατερ· ἐγὼ δὲ δουλεύσω ἐν τῇ παρούσῃ ζωῇ. Οἴμοι τί δράσω.) οἴμοι τί ποιήσω· εἰς ποίαν τύχην καταντήσω· ποῖον τέλος ἕξω τοῦ βίου· ποῦ πληρώσω τὸν βίον. Δούλη θανοῦμαι.) οὖσα πρὸς ἐλευθέρου· ἤτοι βασιλέως· ἐλεύθερος κατὰ ψυχὴν καὶ ἐλεύθερος κατὰ σῶμα· ὁ καλῶς ἐκτραφεὶς, ἤτοι εὐτυχῶς καὶ ἐλευθερίως· ὁμοίως καὶ δοῦλος· καὶ ἀπὸ μὲν τοῦ σώματος, ὁ ἐωνημένος· ἀπὸ δὲ ψυχῆς, ὁ κόλαξ· ἀπελεύθερος δὲ, ὁ ἀργυρώνητος μὲν πρῶτον· εἶτα ἐλευθερωθεὶς· ὁ δὲ ἐλευθερώσας αὐτὸν πάτρων· καὶ κλίνεται πάτρωνος. Ἡμεῖς δέ.) ἡμεῖς δὲ ἄμοιροι καὶ ἐστερημένοι πεντήκοντα τέκνων· δεκαεννέα ἐγέννησεν αὐτή· αὔξουσα δὲ τὸ πάθος ν λέγει· ἢ ὅτι συμπεριλαμβάνει καὶ τοὺς νόθους τοῦ πριάμου παῖδας τοῖς παισὶν ἑαυτῆς, διὰ τὴν διάθεσιν τοῦ ἀνδρός. Τί σοι πρὸς ἕκτορα.) τί βούλει ἵνα εἴπω ἕνεκα σοῦ πρὸς τὸν ἕκτορα· ἢ πρὸς τὸν γέροντα πρίαμον τὸν σὸν ἄνδρα· μήνυε πασῶν γυναικῶν ἀθλιωτάτην. Ὦ στέρνα.) περιπλεκομένη τὴν μητέρα ταῦτα φησίν· ὦ τῆς πρὶν τοῦ προσήκοντος καιροῦ ἀθλίας τύχης· Χαῖρ' ὦ τεκοῦσα χαῖρε κασάνδρα τ' ἐμοί.) τὸ ἐμοί· οὐ πρὸς τὸ κασάνδρα ἐστίν· εἰ γὰρ ἦν οὕτω διὰ τοῦ η ὤφειλε γράφεσθαι· ἀλλὰ πρὸς τὸ χαῖρε· συνάπτει δὲ καὶ πρὸς ἀμφότερα· χαῖρέ μοι ὦ τεκοῦσα· καὶ χαῖρε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοι ὦ κασάνδρα. Χαίρουσιν ἄλλοι.) μητρὶ δ' οὐκ ἔστι τὸ χαίρειν δηλονότι. χαίρει καὶ ὁ ἐμὸς ἀδελφὸς πολύδωρος ὁ ὑπάρχων ἐν τοῖς ἱππικοῖς θραξίν. Εἰς ἥγε.) χαιρήσεται δηλονότι. ἀπιστῶ δέ. ὅτι οὕτω κατὰ πάντα δυστυχῶ. Κόμιζ' ὀδυσσεῦ.) περικαλύψας τὴν κεφαλὴν ἱματίῳ. ὅτι πρὸ τοῦ σφαγῆναι ἐκτέτηκα τὴν καρδίαν. Κάρα.) κοινῶς μὲν ἡ κρὰς λέγεται τῆς κρατός. ἡ δὲ τραγῳδία, καὶ τὸ κρᾶτα λέγει οὐδετέρως. ὡς τὸ κάρα. ἡ δὲ κάρα, τῶν νεωτέρων ἐστίν. Εκτέτηκα.) Κυρίως τὸ τήκεσθαι ἐπὶ χιόνος λέγεται. καὶ κηροῦ. καὶ τῶν κατ' ὀλίγον ἀναλισκομένων. καὶ ἀπὸ τούτου ἐπὶ τῶν καταπιπτόντων ὑπὸ λύπης. καὶ διαρρεομένων. Ω φῶς.) προσειπεῖν γὰρ τὸ σὸν ὄνομα ἔξεστί μοι, ἤγουν ὁ καιρὸς ἐνδίδωσί μοι προσφωνῆσαι καὶ καλέσαι τὸ σὸν ὄνομα. Μέτεστι δ' οὐδὲν.) μετουσία γάρ ἐστί μοι σοῦ οὐδὲν πλέον, ἢ καθ' ὅσον χρόνον ἵσταμαι μεταξὺ τοῦ ξίφους. καὶ τοῦ τάφου τοῦ ἀχιλλέως. Οἳ ἐγὼ προλείπω.) φεῦ ἐγὼ ἐκλείπω. τὰ γὰρ μέλη μου λύεται. πρὸ τοῦ ἀποθανεῖν λείπω τὴν ζωήν, αἱ δ' ἁρμονίαι λύονται τῶν μελῶν μου. ὦ θύγατερ πρόσψαυσαι τῆς σῆς μητρὸς δὸς τὴν χεῖρα. μή με ἄτεκνον καταλείψῃς. ἀπωλόμην ὦ φίλαι γυναῖκες. οὕτω τὴν ἐκ τῆς λακεδαιμονίας ἑλένην θεασαίμην, τὴν ἀδελφὴν τοῦ κάστορος καὶ πολυδεύκους. διὰ γὰρ τῆς ὡραιότητος καὶ τοῦ προσόντος αὐτῇ κάλλους αἴσχιστα καθεῖλε καὶ κατέστρεψε τὴν πρὶν εὐδαίμονα τροίαν. Ποντιὰς αὔρα.) αὔρα ἡ ἐξ ὑγροῦ ἐκφερομένη διὰ τοῦ υ. ἄβρα δὲ ἡ δούλη διὰ τοῦ β. τὸ αὔρα εἰ καὶ ὁ κανὼν βραχύνει, ἀλλ' οὗτος μακρὸν τοῦτο δέχεται. ὡς καὶ τὸ φαίδρα ἐν ἑτέροις. καὶ ἀριστοφάνης. αὔρα τις ἐξέπνευσε μυστικωτάτη λέγων. ἄτις δὲ, γράφεται διὰ τὸ μέτρον ἄττει. τὰ τοιαῦτα

ἤδη τῶν χορῶν καλεῖται κατάχεισις. κατάχεισις δὲ ἐστιν ὡς Ἡφαιστίων φησὶν, ὅσα δουλεύων ὁ ποιητὴς αὐταποδώσει καὶ ἀνακυκλήσει. εἰσὶ δὲ τὰ παρόντα δύο στροφαί. τῆς μὲν οὖν προτέρας στροφῆς τὰ κῶλα ιαʹ, καὶ τῆς ἀντιστροφῆς, τοσαῦτα. τὸ αʹ ἀντισπαστικὸν. δίμετρον καταληκτικόν. ἤτοι ἑφθημιμερὲς φερεκράτειον. ἐξ ἐπιτρίτου αʹ καὶ βακχείου. τὸ βʹ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δʹ διΐαμβου, καὶ συλλαβῆς ἀδιαφόρου. τὸ γʹ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος τροχαϊκῆς συζυγίας. ἤτοι διτροχαίου, καὶ ἰωνικοῦ ἡμίσεως. ἐν μέν τοι τῷ τῆς στροφῆς κώλῳ παίωνας βʹ ἔχει ἀντὶ ἰωνικοῦ. τὸ δʹ, δίμετρον ὑπερκατάληκτον. καλεῖται δὲ περίοδος, διὰ τὸ συγκεῖσθαι ἐκ τροχαϊκῆς, καὶ ἰαμβικῆς συζυγίας. ἐστὶ δὲ τῶν ἀσυναρτήτων. τὸ εʹ ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ τροχαϊκῆς συζυγίας. ἤτοι διτροχαίου. τὸ ϛʹ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζʹ ἰωνικὸν ὅμοιον τῷ εʹ. τὸ ηʹ, ὅμοιον δίμετρον καταληκτικὸν. ἐξ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου βʹ. καὶ συλλαβῆς μιᾶς. τὸ θʹ χοριαμβικὸν δίμετρον. καταληκτικὸν. ἤτοι ἑφθημιμερὲς. ἐκ χοριάμβου, καὶ ἀναπαίστου. ἤτοι τριβραχέος διὰ τὴν ἀδιάφορον. τὸ ιʹ χοριαμβικὸν ὅμοιον. ἡμιόλιον. ἐκ χοριάμβου. ἤγουν ἐπιτρίτου βʹ. καὶ τροχαίου διὰ τὴν ἀδιάφορον. τὸ ιαʹ τροχαϊκὸν. ἰθυφαλλικὸν. ἐν τῷ τέλει τῆς στροφῆς, καὶ τῆς ἀντιστροφῆς παράγραφος μόνη. Τοῦ ὀδυσσέως λαβόντος τὴν πολυξένην, καὶ ἀπερχομένου, ἀνακλαίεται αὐτὴν ὁ χορὸς διὰ τὸ ἄδηλον, καὶ τὸ μὴ εἰδέναι τί μέλλει παθεῖν αὐτή. ὁ δὲ χορὸς οὗτός ἐστιν, ἐκ τρῳάδων γυναι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κῶν, καὶ φησὶ πρὸς τὸν τῆς θαλάσσης ἄνεμον. ἀπὸ ἑνι-
κοῦ δὲ, δηλοῖ πάσας τὰς γυναῖκας ὁ ποιητής. φησὶ
δὲ ταῦτα ὁ χορός. Ὦ αὔρα αὔρα) ὦ πνοὴ θαλασσία, ἥ τις
τὰς ταχείας ναῦς, τὰς ἐν τῇ θαλάσσῃ τὴν πορείαν ποι-
ουμένας. φέρεις ἐπὶ τὸ κῦμα τῆς θαλάσσης. ποῦ με τὴν
ἀθλίαν ἄξεις. ἤτοι πορθμευθῆναι ποιήσεις. Πορθμεύσεις.)
πορθμεύομαι ἐγὼ καὶ πορθμεύω ἕτερον. ὡς ἐνταῦθα, καὶ
παρὰ πλάτωνι, ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖ-
σε πορθμεῦσαι. Τῷ δουλόσυνος.) πρὸς τίνος οἶκον δού-
λη κτηθεῖσα ἀφίξομαι. ἢ πορθμεύσεις με ἀπὸ κοινοῦ πρὸς
τὸν ὅρμον τῆς δωρίδος ἢ εἰς τὸν ὅρμον τῆς θετταλικῆς
γῆς. ἤγουν εἰς τὰ φάρσαλα. οὐ πρὸς τὸ ἀφίξομαι τὸ ἢ
δωρίδος ἐστὶν, ἀλλὰ πρὸς τὸ πορθμεύσεις. εἰ γὰρ καὶ ἐνταῦ-
θα τὸ ἀφίξομαι νοεῖται, ἀλλὰ μετ' ὀλίγον ἐλέγχεται,
ὅταν λέγῃ τὸ ἢ νῆσον ἁλιήρει κώπᾳ πεμπομέναν.
Τάλαιναν.) ἔδει γὰρ εἰ πρὸς τὸ ἀφίξομαι ἦν, θεῖναι εἰ-
πεῖν πεμπομένη τάλαινα, νῦν δὲ ἐκ τούτου φαίνεται ὅτι
πρὸς τὸ πορθμεύσεις ἐστὶ τὸ ἢ δωρίδος. τὸ δὲ τῷ, δουλόσυ-
νος πρὸς οἶκον κτηθεῖσ' ἀφίξομαι, διὰ μέσου. τὸ ἢ δὲ τὸ
πρὸ τῆς δωρίδος ἢ ἀντὶ τοῦ ἄρα. ἢ διαζευκτικόν.
Ἔνθα.) ὅπου τὸν ἀπίδανον τὸν γεννήτορα τῶν καλλί-
στων ὑδάτων λέγουσιν ἀρδεύειν τὰ πεδία. ἢ πορθμεύσεις
με τὴν τάλαιναν πεμπομένην θαλασσίᾳ κώπῃ ἐλεεινὴν
ζωὴν ἔξουσαν ἐν τοῖς οἴκοις τῶν δεσποτῶν, εἰς τὴν νῆσον
τὴν δῆλον, ὅπου πρωτοφανὴς φοῖνιξ, καὶ δάφνη πρω-
τόγονος ἱεροὺς ἀνεβλάστησαν κλάδους. χάριν τῆς λη-
τοῦς τῆς φίλης εἰς τιμὴν τὴν ὠδῖνος τῆς δίας ἢ τῆς ἀ-
πὸ τοῦ διός, ἢ τῆς θαυμαστῆς. Ἁλιήρει κώπῃ.) ἢ πο-
ρθμεύσεις με τὴν τάλαιναν πεμπομένην ἁλιήρει κώπῃ.
ἐλεεινὴν ζωὴν ἔξουσαν ἐν οἴκοις, εἰς τὴν νῆσον. ἔνθα καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ πρωτόγονος φοῖνιξ ἱεροὺς ἀνέβλαστησε κλάδους χάριν τῆς λητοῦς τῆς φίλης· εἰς τιμὴν τῆς ὠδῖνος τῆς δίας· τουτέστιν εἰς τὴν δῆλον· τὸ φοῖνιξ· καὶ τὸ κῆρυξ, μακρὰν ἔχει φύσει τὴν λήγουσαν· καὶ δῆλοι ἀπὸ τῆς γενικῆς μακρὰν ἐχούσης τὴν παραλήγουσαν. Ἔνθα πρωτόγονος φασὶ τὸν δία πρὸς συνουσίαν ἐλθεῖν τῇ λητοῖ· μαθοῦσαν δὲ τὴν ἥραν τοῦτο, ζηλοτυπήσασαν κελεῦσαι μὴ ἐν τῇ γῇ γεννῆσαι διωχθεῖσαν τὴν λητώ· βιαζομένης δὲ αὐτῆς πρὸς τὴν ἀποκύησιν, συνέταξεν ὁ ζεὺς ἑρμῆν λαβόντα ἀπάξαι εἰς δῆλον· ἡ δὲ δῆλος ἦν νῆσος ὥς τινες φασίν, ἀναδοθεῖσα ἀπὸ θαλάσσης· ὡς δέ τινες κινουμένη πρῶτον τότε ἐστάθη· καὶ δήλη γενομένη· εἰς ἣν δῆλον ἡ λητὼ ἀφικομένη, ἔτεκεν ἀπόλλωνα· καὶ ἄρτεμιν· δύο φυτῶν ὑπὸ διὸς τότε ἀναφυέντων, φοίνικος· καὶ δάφνης. ἐτιμᾶτο οὖν ἐν τῇ νήσῳ ἀπόλλων· καὶ ἄρτεμις ὡς ἐκεῖ γεννηθέντες· ἱεροὺς δὲ τοὺς πτόρθους φησὶν ὡς ἀναδοθέντας τότε ἀπόλλωνος καὶ ἀρτέμιδος χάριν· πρωτόγονον δὲ εἶπεν αὐτὸν, ὡς πρῶτον γεννηθέντα τῆς δάφνης· καὶ ἡ δάφνη κλάδους ἀνέφυσε· μελούσης τεκεῖν τῆς λητοῦς τὸν ἀπόλλωνα. Χρυσέαν ἄμπυκα.) σὺν ταῖς ἀπὸ δήλου νέαις τὸ χρυσοῦν κρήδεμνον· καὶ τὰ τόξα ὑμνήσω τῆς ἀρτέμιδος. Ἄμπυξ.) κυρίως κόσμος τις, χρυσῷ καὶ λίθοις πεποικιλμένος· ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν· ἀφ᾽ οὗ κατὰ μεταφορὰν, καὶ οἱ διάχρυσοι χαλινοί, ἄμπυκες λέγονται. Η παλλάδος.) τῆς β ταύτης στροφῆς τὰ κῶλα ε, καὶ τὰ τῆς ἀντιστροφῆς, τὰ αὐτά· τὸ α ἰωνικὸν δίμετρον καταληκτικόν· ἐφθημιμερές· ἐξ ἰωνικοῦ ἀπὸ μείζονος· καὶ κρητικοῦ· ἤτοι ἀμφιμάκρου· τὸ β· ὅμοιον κατὰ πάντα· τὸ γ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, γλυκώνιον καλούμενον

ἐξ ἐπιτρίτου δ΄ καὶ ἰαμβικῆς συζυγίας, ἤτοι διϊάμβου.
τὸ δ΄ δίμετρον ἀκατάληκτον, προσοδιακὸν καλούμε
νον. ἀσυνάρτητον, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάττο
νος. τὸ ε΄ ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἐξ ἰωνικοῦ
ἀπὸ μείζονος. καὶ δισπονδείου. τὸ ς΄ χοριαμβικὸν. δίμε
τρον καταληκτικόν. ἐκ χοριάμβου, καὶ βακχείου. τὸ ζ΄
ὅμοιον ἐξ ἐπιτρίτου γ΄. ἢ δισπονδείου καὶ ἀναπαίστου.
δύναται δὲ εἶναι καὶ ἀντισπαστικόν. τὸ η΄ ἀντισπαστικὸν δί
μετρον ἀκατάληκτον. ἐξ ἐπιτρίτου δ΄. εἰ δὲ βούλει σπον
δείου. καὶ χοριάμβου. ἔχει δὲ τὸ τῆς ἀντιστροφῆς κῶλον,
τὸν πρῶτον πόδα πεντασύλλαβον. ἐπὶ μὲν τῷ τέλει τῆς
στροφῆς κορωνίς. δηλοῦσα τέλος εἶναι τὰς τοῦ χοροῦ ᾠ
δὰς. καὶ στροφάς. Η παλλάδος ἐν πόλει.) ἢ πορεύσεις
ἐμὲ ἐν ταῖς ἀθήναις. ὅπως ἐνβεβαμμένῳ ἀπὸ κρόκου
ὑφάσματι τοὺς πώλους τῆς τοῦ καλῆ δίφρον ἐχούσης
ἀθηνᾶς ἐζευγμένους ποιήσω διαφόρως ποικίλλουσα. καὶ
καλλωπίζουσα ἐν ποικίλαις μετάξαις ἀνθηραῖς. Ζεύξο
μαι ἅρματι πώλους) ἔθος ἦν ἐν ἀθήναις ὑφαίνειν τὰς παρ
θένους τῇ ἀθηνᾷ πέπλον. ἔχοντα τὰς ἀριστείας τῆς θε
οῦ. πολεμικῆς οὔσης. καὶ ἃ κατὰ γιγάντων κατέπραξα
το μετὰ τοῦ διός. ὕφαινον δὲ, ἐν τοῖς παναθηναίοις. τὰ
δὲ παναθήναια, ἑορτὴ τῆς ἀθηνᾶς. πάντων ἀθηναίων συνι
όντων ἐκεῖσε. καὶ τῶν ἄλλων ἑλλήνων πολλὰς ἡμέρας πανη
γυριζόντων. ἀνετίθετο δὲ ὁ πέπλος τῇ ἀθηνᾷ. εἰκότως δὲ
εἶπε τὸ ζεύξομαι πρὸς τοὺς πώλους. ζεύγνυνται γὰρ οἱ
πῶλοι. εἶτα προϊὼν εἰς τὸ ἢ τιτάνων γενεὰν, οὐ ζεύξομαι
ἵπποις. ἀλλὰ ὑφανῶ. καὶ γὰρ κἀνταῦθα ὑφανῶ ἔδει εἰ
πεῖν. ἀλλ' ἐτήρησε τὴν τροπὴν. ὡς ἔφαμεν πρὸς τοὺς πώ
λους. Τὰν ζεὺς.) ἥν τινα γενεὰν τῶν τιτάνων. θανατοῖ, ἤ
γουν ἐθανάτωσεν ὁ υἱὸς τοῦ κρόνου κεραυνῷ καυστικῷ. Ω
μοι τεκέων ἐμῶν) φεῦ ἕνεκα τῶν ἐμῶν τέκνων. φεῦ ἕνεκα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ πριάμου· πατέρα γὰρ τοῦτον τῶν τέκνων αὐτῆς καλεῖ. Χθονός τε.) ἤγουν τῆς πατρίδος. ἢ καταβέβληται, καὶ ἀφανίζεται καιομένη. αἰχμάλωτος ὑπὸ τῶν ἑλλήνων. Ἐγὼ δ᾽ ἐν ξένα γῆ.) κέκλημαι ἀντὶ τοῦ κεκλήσομαι δούλη. κατὰ ἀντιχρονισμόν. ἢ ἀντὶ τοῦ ἐκλήθην ἀφ᾽ οὗ γὰρ τῆς πατρίδος ἐξελήλαται πορθηθείσης, ἀπὸ τούτου τοῦ καιροῦ, εἰς δουλείαν ἐπέχθη. τὸ δ᾽ ἐν ξένη χθονί, ἢ οὗ ἔμελλεν ὡς ἔφαμεν ἀπελθεῖν νοητέον. ἢ διὰ τὴν χερρόνησον. ἐν ᾗ πρὸς τὸ παρὸν εὑρίσκεται. καταλιποῦσα τὴν ἀσίαν, ἤγουν τὸν τόπον τῆς τροίας, τὴν δούλην τῆς ἑλλάδος. τὸ ὅλον ἀντὶ μέρους. Λιποῦσ᾽ ἀσίαν.) ἐπειδὴ ἡ μὲν τροία ἐν ἀσίᾳ, ἐστίν. οἱ δὲ ταύτην πορθήσαντες ἕλληνες ἐν εὐρώπῃ, διὰ τοῦτο τὴν ἀσίαν δούλην τῆς εὐρώπης λελοιπέναι φησί. τὸ δὲ θαλάμους, ἀντὶ τοῦ τὰς ἐμὰς εὐνάς, τουτέστι πολλάκις ἐγεγόνειν, καὶ διὰ τοῦτο γάρ ἐστι τὸ ἀλλάξασα ἀΐδου θαλάμους, ἀντὶ τοῦ δοῦσα τὸ ἐμὸν λέχος τῷ σκυλεύσαντι, καὶ βουληθέντι φονεῦσαί με. Ἀλλάξασ᾽ ἀΐδα.) ἀντιστρόφως λέγεται. ἀντὶ τοῦ ἀλλαξαμένην ἀΐδαν τῶν θαλάμων. τουτέστι τῶν οἴκων ἀΐδαν κληρωσαμένη. ὅμοιον τῷ ὠνοῦμαι δραχμῆς ἢ τοιούτου τινὸς τόδε. ἤγουν διὰ δραχμῆς ὠνοῦμαι τόδε. καὶ τὸ ὠνεῖσθαι γὰρ ἀνταλλάττειν ἐστίν. ἐν τοῖς τοιούτοις γὰρ τὸ μὲν κατὰ γενικὴν προσφερόμενον, ἀεί ἐστι τὸ διδόμενον. τὸ δὲ κατὰ αἰτιατικὴν τὸ λαμβανόμενον. Ποῦ τὴν ἄνακτα.) αἱ περίοδοι αὗται πᾶσαι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρμε. ὧν ὁ τελευταῖος. οὕτω κατ᾽ ἦμαρ τυγχάνει μηδὲν κακόν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. Ποῦ τὴν ἄνασσαν.) ὦ τρωϊκαὶ γυναῖκες. ποῦ ἂν εὕροι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κι τὴν ἑκάβην, τὴν ἤδη ὑπάρχουσαν βασίλισσαν τῆς τροίας. Αὕτη πέλας σου ὦ ταλθύβιε ἐρριμμένη κατὰ γῆς κεῖται. συγκεκαλυμμένη τοῖς ἱματίοις. Ὦ ζεῦ τί λέξω.) ὁρῶν ὁ ταλθύβιος τὴν ἑκάβην ἀθλίως οὕτως διακειμένην, ἐκπληττόμενος λέγει πρὸς τὸν δία. πότερον ὦ ζεῦ σὺ τοὺς ἀνθρώπους ἐφορᾷς, ἢ δοκοῦντας οἱ ἄνθρωποι εἶναι θεοὺς ἔχουσι τὴν περὶ τούτου δόξαν ψευδῆ. τὸ δὲ τῆς τύχης διοικεῖ τὰ ἀνθρώπεια. οὕτω τὸ ψευδῆ. πρὸς τὸ δόξαν συντακτέον. οὐ πρὸς δοκοῦντας καὶ θεοὺς οἴονταί τινες ἀγνοήσαντες. καὶ ἀντὶ τοῦ ψευδῶς τὸ ψευδῆ ἐκλαβόντες. τὸ ψευδῆ δὲ μεθ' ἑρμηνευτικόν ἐστι τοῦ μάτην. καὶ τοῦ ἄλλως. Οὐχ ἥδ' ἄνασσα.) ἥδε οὐκ ἦν δέσποινα τῶν πλουσίων τρώων; ἥδε οὐκ ἦν γυνὴ πριάμου, τοῦ λίαν πλουσίου; καὶ νῦν ἡ μὲν πόλις ἀνάστατος γέγονεν ὑπὸ τοῦ πολέμου. αὕτη δὲ ἡ γραῦς ἑκάβη δεδουλωμένη, καὶ παίδων ἐστερημένη κεῖται ἐν τῇ γῇ. μολύνουσα τὴν ἀθλίαν κεφαλὴν διὰ τῆς κόνιος. Φεῦ φεῦ.) γέρων μὲν εἰμί. καὶ διὰ τοῦτο οὐ δέδοικα τὸ δυστυχεῖν. ὡς εἰ καὶ συμβήσεταί μοι δυστυχία ταχέως παρέλθοι. διὰ τὸ ὀλίγον ἔτι εἶναι τὸ λοιπὸν τῆς ζωῆς. ὅμως δ' εὔχομαι θανεῖν πρὸ τῆς δυστυχίας. ἢ τὸ γέρων μὲν εἰμί, διὰ τὸ τοῖς γέρουσι περισπουδαστότερον εἶναι τὸ ζῆν. ἐπειδὴ ὁρῶσιν ὡς ἐγγύς εἰσι τοῦ θανάτου. Ἀνίστασο ὦ.) ἐγέρθητι ὦ ἀθλία, καὶ μετέωρον τὴν πλευρὰν ἔγειρε, καὶ τὴν ἄγαν λευκὴν κεφαλήν. Ἔα.) τὸ ἔα ἢ ἀντὶ τοῦ ἄφες. ἢ ἐπὶ ἐκπλήξεως λαμβάνει. τίς ἐστιν οὗτος, ὅστις οὐκ ἀφίησι τὸ ἐμὸν σῶμα κεῖσθαι. τί με ὀχλεῖς καὶ ταράττεις ὅστις ὑπάρχεις, λυπουμένην; Ταλθύβιος ὁ τῶν ἀχαιῶν κῆρυξ ἥκω. μετακαλεσαμένου σε ὦ γύναι, τοῦ ἀγαμέμνονος, ὦ φίλτατη. ἀρχὴ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμὲ ἦλθες μετακαλέσων, ὥστε ἐπισφάξαι τῷ τάφῳ κατὰ τὸ δοκοῦν τοῖς ἕλλησιν; λίαν προσφιλὲς λέγεις. δεῦρο ἵνα σπεύσωμεν. ἐγείρωμεν κόνιν. προηγούμενοι καὶ προοδοποίει γέρον. Ἐγκονῶμεν.) ἐγκονῶ τὸ σπεύδω τουτέστι τὸ κόνιν ἐγείρω. οἱ γὰρ σπουδάζοντες κόνιν εἰς βάσιν ἀνιστᾶσι τοῖς ποσί. τὸ δὲ σπεύδωμεν. καὶ ἐγκονῶμεν. καὶ τὸ ἡγοῦμαι γέρον, ἔμφασιν ἔχει τῆς πολλῆς προθυμίας ἣν εἶχεν ἡ ἑκάβη ἀποθανεῖν σὺν ἅμα τῇ θυγατρί. Σὴν παῖδα.) τὴν σὴν θυγατέρα ἀποθανοῦσαν ἵνα θάψῃς ὦ γύναι ἦλθον μετακαλούμενος. πέμπουσι δέ με ὁ ἀγαμέμνων καὶ ὁ μενέλαος οἱ ἀτρεῖδαι. καὶ ὁ στρατὸς τῶν ἑλλήνων. Οἴμοι τί λέξεις.) ἀντὶ τοῦ τί λέγεις. λοιπὸν οὐχ ὡς μέλλουσαν τεθνήξεσθαι ἀφίκου πρὸς ἐμέ, ἀλλὰ μηνύσων κακά; τέθνηκας ὦ παῖ ἀπὸ τῆς μητρὸς ἁρπασθεῖσα. ἐγὼ δ᾽ ἄτεκνος ὅσον τὸ κατὰ σέ. Οὐκ ἄρα.) ἐνταῦθα οὐκ ἐρωτηματικὸν τὸ ἄρα. ἀλλὰ συμπερασματικὸν καὶ ἀποφαντικόν ἐστι. διὸ καὶ ὀξύνεται. τὸ ἆρα τὸ μὲν ἀπορηματικόν, ἤτοι κατ᾽ ἐρώτησιν τιθέμενον, περισπᾶται, καὶ μακρὸν ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκεται. τὸ δὲ ἄρα τὸ συμπερασματικόν, καὶ ἀποφαντικόν, ἀεὶ βαρύνεται, καὶ βραχύνεται. εἴρηται δὲ ὡς ἐπὶ τὸ πλεῖστον διότι καὶ βραχὺ σπανίως εὑρίσκεται.

Πῶς κάνιν.) πῶς αὐτὴν ἐφονεύσατε. ἆρα εὐλαβούμενοι, ἢ πρὸς τὸ ἀπηνὲς ἤλθετε. τουτέστι δεινῶς καὶ ἀπηνῶς ἐφονεύσατε. ὡς ἐχθρὰν φονεύοντες. Παρῆν μὲν ὄχλος. παρὸν ἦν πᾶν τὸ πλῆθος τῶν ἑλλήνων. τὸ δὲ πᾶς καὶ τὸ πλήρης κατ᾽ ἐπίτασιν λέγεται, ἔμπροσθεν τοῦ τάφου. τοῦ ἀχιλλέως. πρὸς τὰς σφαγὰς τῆς σῆς θυγατρός. Πρὸ τύμβου.) πῶς τοῦ ἀχιλλέως ἐν τροίᾳ ταφέντος, ὁ ταλθύβιος λέγει πρὸ τύμβου τοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀχιλλέως ἵςαθαι τοὺς ἕλληνας ὄντας ἐν χερρονήσῳ, καὶ φαμὲν ὅτι ἢ κενοτάφιον ἐν χερρονήσῳ ἐποίησαν, ἢ εἰς τροίαν ἀπῆλθον, καὶ ἔθυσαν τὴν κόρην. Λαβὼν δ᾽ ἀχιλλέως.) λαβὼν γὰρ ὁ τοῦ ἀχιλλέως παῖς νεοπτόλεμος τὴν πολυξένην ἀπὸ τῆς χειρὸς, ἔστησεν ἐπὶ τοῦ ἀνωτάτου μέρους τοῦ τάφου. Πέλας δ᾽ ἐγώ.) πλησίον ἦν καὶ ἐγώ. ἐπεὶ δὴ κήρυξ ἦν ὁ ταλθύβιος, διὰ τοῦτο πλησίον ἵςατο τοῦ νεοπτολέμου. ἵνα ὅταν βουληθῇ εἰπεῖν ὁ νεοπτόλεμος τι τοῖς ἀχαιοῖς, δι᾽ ἐκείνου εἴπῃ κήρυκος ὄντος. καὶ δυναμένου λέγειν εἰς ἐπήκοον πάντων. αὐτὸς γὰρ ἦν ὁ σιωπὴν παντὶ τῷ ςρατῷ κηρύξας. ὡς καὶ αὐτὸς παρακατιὼν λέγει. ὑπὸ νεοπτολέμου προσαχθεὶς Λεκτοί τ᾽ ἀχαιῶν.) ἠκολούθουν γὰρ καὶ ἐπίλεκτοι ἀπὸ τῶν ἑλλήνων ἐκλελεγμένοι νέοι, τὸ πήδημα τῆς σῆς παιδὸς καθέξοντες καὶ κρατήσοντες διὰ τῶν χειρῶν. Ἕποντο.) ἠκολούθησαν. τὸ θέμα ἕπω ἄχρηστον τὸ ἀκολουθῶ. ὁ β᾽ ἀόριστος ἕπον. κατὰ ὁμοίωσιν τοῦ ἔχω. ὁ β᾽ ἀόριστος ἔσχον ὁ μέσος ἑπόμην. τὸ γ᾽ τῶν πληθυντικῶν, ἕποντο. Πλήρες.) ὁ δὲ τοῦ ἀχιλλέως παῖς νεοπτόλεμος λαβὼν διὰ τῆς χειρὸς ποτήριον πάγχρυσον, ἔρρει θυσίας τῷ θανόντι πατρί, θυσίας. οἷον δηλονότι. μέλι. γάλα. καὶ ἄλφιτον. Χοαί.) χοὴ λέγεται ἐπὶ ὑγρῶν. μέλιτος. ἐλαίου. καὶ ἀλφίτου. καὶ τῶν ἑτέρων. θυσία γὰρ ἐπὶ σφαγῆς ζώων. Ἔρρει.) διὰ τοῦτο πρὸ τοῦ θῦσαι τὴν πολυξένην ἔρρει χοάς. ἵνα ἀναχθῆσα ὑπὸ τῆς χοῆς ἡ ψυχὴ πίῃ τοῦ αἵματος. Σημαίνει δ᾽ ἐμοί.) προςάσσει. παραδηλοῖ μοι κηρύξαι σιωπὴν παντὶ τῷ ςρατῷ τῶν ἑλλήνων. ἐπιτάσσει πως διὰ σημείων καὶ σχημάτων, οἷον ἔθος ἐςὶ τοῖς βασιλεῦσι διὰ νευμάτων πάθη τινὰ δηλοῦν. κατὰ μίμησιν τοῦ τῷ νεύματι. καὶ

βουλήματι τὸ πᾶν διοικονομοῦντος· παρακατιὼν γὰρ
φησὶ λογάσι δ' ἀργείων στρατοῦ νεανίαις ἔδωσε παρ-
θένον λαβεῖν· Σιγᾶτ' ἀχαιοί·) σιωπήσατε· σίγα
πᾶς ἔστω λαός· μιμεῖται τὸ πολλάκις κηρύττειν τὰ αὐ-
τὰ τοὺς κήρυκας· τὸ σίγα, εἰ μὲν ἐστὶ προστακτικὸν, ὀ-
ξύνεται· εἰ δὲ ἐπίρρημα, περισπᾶται· Πατὴρ δ' ἐμός·)
ἀντὶ τοῦ ἐμοῦ ἀττικόν· τὰς κτητικὰς ἀντωνυμίας οὐ
δέον ἔχειν κλητικὰς, διὰ τὸ μὴ τὰς αὐτὰς εἶναι, ταῖς
τῶν πρωτοτύπων αἰτιατικαῖς· λαμβάνονται γοῦν αἱ εὐ-
θεῖαι ἀττικῶς, ἀντὶ τῶν κλητικῶν· αἱ δὲ κτητικαὶ πᾶ-
σαι, εἴτε εὐθείας εἶεν, εἴτε γενικῆς· εἴτε ἧς οἱασοῦν ἄλ-
λης πτώσεως· ἤτοι ἑνικῆς· ἢ δυϊκῆς· ἢ πληθυντικῆς· εἰ
μὲν πρωτοτύπου προσώπου εἶεν, ἀντὶ τῆς πρωτοτύ-
που γενικῆς τοῦ πρώτου προσώπου λαμβάνονται· εἰ
δὲ δευτέρου, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ β
προσώπου· εἰ δὲ γ, ἀντὶ τῆς πρωτοτύπου γενικῆς τοῦ
πρώτου προσώπου· Δέξαι χοάς μου·) σπονδὴ, χοὴ·
θυσία· διαφέρουσι· σπονδὴ, ἐπὶ τῶν ξηρῶν· σίτου· καὶ
κριθῆς· χοὴ· ἐπὶ ὑγρῶν· οἴνου· μέλιτος· καὶ γάλακτος·
θυσία· ἐπὶ ζώων· προβάτων· καὶ τῶν ὁμοίων· ἄλλοι δὲ,
σπονδὴν· καὶ χοὴν ταυτὸν λέγουσιν· ὃ καὶ κρεῖττον·
Δέξαι χοάς·) λάβε μου ταύτας τὰς θυσίας τὰς θελκτη-
ρίους τὰς ἢ δωρητηρίους· τὰς πραΰνουσας τὰς ψυχὰς
τῶν νεκρῶν· ἢ τὰς κηλούσας τοὺς καταχθονίους δαί-
μονας· Νεκρῶν ἀγωγούς·) ἀναφερούσας τὰς ψυ-
χάς· ἄγω ῥῆμα τὸ κομίζω· καὶ φέρω· ἀγωγὸς ὁ φέ-
ρων· καὶ ὁ κομίζων καὶ ἐπὶ ἀρσενικοῦ· καὶ ἐπὶ θηλυκοῦ·
ἀγώγιμον τὸ φερόμενον· καὶ κομιζόμενον· ἀγωγὴ δὲ, ἡ
τοῦ κομίζειν ἐνέργεια· Ἐλθὲ δ' ὡς πίῃς·) ἐλθὲ δὲ ἵνα
πίῃς τὸ καθαρὸν αἷμα τῆς παρθένου ὅπερ σοι χαρίζο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεθα· καὶ ὁ στρατός· καὶ ἐγώ· καὶ λῦσαι τὰς ναῦς· καὶ τὰ σίδηρα· καὶ τὰ σχοινία τῶν νεῶν· δὸς δὲ ἡμῖν εὐμενοῦς ἀπὸ τῆς τροίας ὑποστροφῆς ἀγαθῆς ἐπιτυχόντας ἡμᾶς, εἰς τὴν πατρίδα ἀπελθεῖν. Δὸς δὲ ἡμῖν εἰπών, ὤφειλε τυχοῦσιν ἐπάξειν· ὁ δέ, ὥσπερ ἐκ μεταμελείας ἀποδίδωσι τὸν λόγον κατ' αἰτιατικὴν πρὸς τὸ ἀπαρέμφατον. Τοσαῦτ' ἔλεξε·) τοσαῦτα εἶπε· ὅλος δὲ ὁ στρατὸς εὐχὴν ἐποιήσατο· ἤτοι ἐπ' ἐκείνῳ ηὔξατο· ἤγουν μετὰ τὸ πληρῶσαι ἐκεῖνον τὴν εὐχὴν ἣν ηὔξατο.

Εἶτ' ἀμφίχρυσον) ἔπειτα περικεχρυσωμένον ξίφος λαβὼν ἀπὸ τῆς λαβῆς, ἐξεῖλκε τῆς θήκης. Φάσγανον·) τὸ ἐν σφαγαῖς γαννύμενον· ἢ τὸ κεγανωμένον· ἤγουν στίλβον σκεῦος· κουλεὸς δέ, ἡ ξιφοθήκη· ἀπὸ τοῦ ἐν αὐτῇ τὰ οὐλὰ ἤγουν τὰ ὀλέθρια ξίφη κεῖσθαι. Λογάσι δ' ἀργείων·) καὶ τοῖς ἐπιλέκτοις νεανίαις· τοῦ στρατοῦ τῶν ἑλλήνων ἔνευσε τὴν κόρην κρατῆσαι. Ἡ δ' ὡς ἐφράσθη·) αὕτη δὲ ἐπεὶ ἐφράσατο καὶ ἐνόησε, τοῦτον τὸν λόγον ἐδήλωσεν· ὦ ἕλληνες οἱ πορθήσαντες τὴν ἐμὴν πόλιν, ἐθελουσίως θέλω τε θνήξεσθαι· ὅρα ἵνα μή τις ἅψηται καὶ προσεγγίσῃ τοῦ ἐμοῦ σώματος· παρέξομαι γὰρ τὸν λαιμὸν εὐκαρδίως τε καὶ εὐψύχως· ἀπολελυμένην δέ με πρὸς θεῶν ἀφέντες, κτείνατε· ἵνα ἐλευθέρα θάνω· καὶ μὴ δούλη δηλονότι. Ἐλεύθερος·) ὁ ἀπολελυμένος· καὶ μὴ ὑπὸ δουλείαν· ἀνελεύθερος δὲ ὁ ἐπὶ φειδωλίας· ᾧ ἐναντίον ὁ ἐλευθέριος· ἡ δὲ σύνταξις οὕτω· πρὸς θεῶν μεθέντες· καὶ ἀφέντες ἐμὲ ἐλευθέραν· καὶ ἄνετον, κτείνατε· ὅπως θάνω ὡς ἐλευθέρα, καὶ οὐ δούλη· οὕτω μὲν ἐλευθέραν ἀντὶ τοῦ ἄνετον ἐκληπτέον· τὸ δὲ ἐλευθέρα· ἀντὶ τοῦ οὐ δούλη· ὡς δηλοῖ καὶ τὸ τῆς κατασκευῆς· εἰ γὰρ ἁψαμένων τινῶν ταύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

της ἀπέθνησκεν, δουλικῶς ἂν καὶ οὐκ ἐλευθέρως τεθνάναι ἔδοξεν. Ἐν νεκροῖς γάρ.) ἐν τοῖς νεκροῖς γὰρ καλεῖσθαι δεδουλωμένη δέσποινα οὖσα, ἐντρέπομαι. Λαοὶ δ' ἐπερρόθησαν.) ὁ δὲ λαὸς ἤχησεν. ἀπὸ μεταφορᾶς τοῦ ἤχου τῶν ῥοθίων. ὁ δὲ βασιλεὺς ἀγαμέμνων ἔλεξε τοῖς νέοις ἀφεῖναι τὴν παρθένον. Ἐπερρόθησαν.) εἰκότως καὶ ἁρμοδίως εἴρηται ἐπὶ πλήθους. ἤγουν ἀσήμως ἤχησαν. ἐκ μεταφορᾶς δὲ τῶν κυμάτων ἡ λέξις. τὸ γὰρ πλῆθος ὁμοῦ βοῆσαν ἄγνωστον τοῖς ἀκούουσιν, ὅ, τι καὶ λέγει. Οἱ δ' ὡς τάχισ' ἤκουσαν.) οὗτοι δ' ἐπεὶ ταχέως ἤκουσαν τὴν ἐσχάτην φωνὴν τοῦ βασιλέως. τέλος γὰρ πάσης ὑπεροχῆς ὁ βασιλεύς. καὶ πίνδαρος. τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι, μεθῆκαν. ὤφειλε δὲ εἰπεῖν οὕτως. οἱ δὲ ἐπεὶ ἤκουσαν τὴν ὑστέραν φωνήν. ἤγουν τὴν βασιλικήν, μεθῆκαν οὐδενὶ λέγειν ἔξεστιν, οὗ τινος βασιλέως μέγιστον ἦν κράτος μεθῆκαν. ὁ δὲ ἀντιστρόφως, ἐπεὶ τάχιστα φησὶν ἤκουσαν. μεθῆκαν. ἔστι δὲ ὁ σχηματισμὸς οὗτος, οὐ ποιητικὸς. ἀλλ' ἀττικός. καὶ συνήθης τοῖς ῥήτορσιν. ἄλλως. βουλόμενος οὕτως εἰπεῖν. οἱ δ' ὡς τάχιστα ἤκουσαν ὕστερον τὴν ὄπα τοῦ ἀγαμέμνονος, ὕστατον ἐπήγαγε πρὸς τὴν ὄπα. ἀντὶ τοῦ ἐπιρρήματος ὄνομα θείς. συνῆψε δὲ τὸ τάχιστα, πρὸς τὸ μεθῆκαν. ἄλλως. οὕτως ὤφειλεν εἰπεῖν. οἱ δ' ἐπεὶ ἤκουσαν ὑστάτην ὄπα οὗπερ καὶ μέγιστον ἦν κράτος, τάχιστα μεθῆκαν. ὁ δὲ, ἀντιστρόφως. ἐπεὶ τάχιστ' ἤκουσαν, μεθῆκαν. ἔστι δ' ὁ σχηματισμὸς μᾶλλον ῥήτορσι συνήθης ἢ ποιηταῖς. Κἀπεὶ τόδ' εἰσήκουσε.) ἐπειδὴ, ἀφοῦ δὲ ἤκουσε τοῦτο τὸ λόγιον τῶν δεσποτῶν, λαβοῦσα τὰ ἱμάτια, ἔσχισεν ἀπὸ τῆς ἄκρας ἐπωμίδος μέχρι τοῦ μέσου τῆς λαγόνος. καὶ ἔδειξε τὰ στήθη καθὼς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πυρ ἀγάλματα κάλλιστα. καὶ καταβαλοῦσα πρὸς γῆν τὸ γόνυ, εἶπε λόγον ἀθλιώτατον πάντων τῶν λόγων δηλονότι. Ἐπωμίδος.) ἐπωμὶς τὸ ὑπερέχον τοῦ βραχίονος. καὶ εἶδος ἐνδύματος. ἐνταῦθα δὲ τὸ πρότερον δοκεῖ λέγειν. Εἰς μέσον.) τὸ εἰς ἀντὶ τοῦ ἕως. καὶ παρὰ δημοσθένει. τούτῳ φιλανθρώπως ἐχρώμην εἰς τήνδε τὴν ἡμέραν. ἀντὶ τοῦ μέχρι τῆσδε τῆς ἡμέρας. λάμβανε δὲ τοῦτο τὸ εἰς, καὶ πρὸς τὸ λαγόνας κατὰ συνεκδοχήν. Ἰδοὺ τόδε.) ἰδοὺ ὦ νεανία. εἰ μὲν τόδε τὸ στέρνον παίειν προθυμῇ, παῖσον. εἰ δ᾽ ὑπ᾽ αὐχένα θέλεις, πάρεστι λαιμὸς εὐπρεπὴς ὅδε. Ὁ δ᾽ οὐ θέλων.) τὸ ἑξῆς, οὐ θέλων οἴκτῳ καὶ συμπαθείᾳ τῆς κόρης, τέμνει τὸν λαιμόν. ἐκ τούτου γὰρ πνεῖται καὶ ἀναπνεῖ ῥέον τὸ αἷμα. Διαῤῥοάς.) τὰς ἀρτηρίας. καὶ φλέβας τὰς τῆς ἀναπνοῆς. διαῤῥοαὶ πνεύματος αἱ φλέβες. ἐν αἷς τὸ αἷμα διοχετεύεται ἐκ τῶν ἀρτηριῶν. διαφέρει δὲ ἀρτηρία φλεβὸς, τῷ τὴν μὲν ἀρτηρίαν ἔχειν πνεῦμα πολὺ. καὶ ὑποκάτω κεῖσθαι τῆς φλεβὸς αἷμα δὲ ὀλίγον. τὴν δὲ φλέβα, αἷμα μὲν πολὺ. καὶ ἄνω κεῖσθαι τῆς ἀρτηρίας. πνεῦμα δὲ ὀλίγον. Κρουνοί.) σταλαγμοὶ δὲ τοῦ αἵματος. καὶ ἐκχύσεις προήρχοντο. ἡ δὲ καίπερ ἀποθνήσκουσα, προμήθειαν εἶχεν, ὥστε εὐπρεπῶς. καὶ εὐσχημόνως πεσεῖν. καὶ κρύπτειν, ἃ πρέπον κρύπτειν τὰ ὄμματα τῶν ἀῤῥένων. τὸ κρύπτω μετὰ αἰτιατικῆς λέγεται, καὶ πρὸς τὸ πρόσωπον, καὶ πρὸς τὸ πρᾶγμα. οἷον κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν. Κρύπτειν θ᾽ ἃ κρύπτειν.) οὐκ ὀλίγοι πειραθέντες ὁμαλῶσαι τὸ χωρίον τοῦτο. τοσοῦτον ἀπέσχοντο τοῦ τἀληθὲς εἰπεῖν ἐξευρεῖν, ὅσον ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐπικεχειρηκότας φανῆναι κατὰ γνώμην σφίσιν ἐπῆλθε. δυοῖν γὰρ οὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στῶν τῶν ἀσπιστικῶν, καὶ τοῦ γε νοῦ καθεστῶτος ἐν τῷ
ἐν σκότῳ, βουλόμενοι σῶμα περιχεῖναι, ἐναλλαγαῖς.
τι ἐχρήσαντο· καὶ προθέσεσιν ἐξέθεν· εἰς τὸ χρεὼν πε-
ὄμματα τῶν ἀρσένων κρύπτεσθαι φάσκοντες· ἐγὼ δὲ
οὐκ ἐκείνοις μεμφόμενος, καὶ τὸ δοκοῦν εἰπεῖν ἐμαυ-
τῷ, οἱ μὲν ἂν πάντες, ὅσοις ὀξύτητος ἐν λόγοις μέ-
λει, ἐκ τοῦ θέλεως ἀκούσαντες, ἢ μὴν τοῦτ' οὕτως ἔ-
χειν ψηφίσασθαι· λέγω γὰρ ὁ πολύβιος τὰ περὶ τῆς
κόρης, εἶτα ἐπιλέγχει· ἡ δὲ καὶ θνήσκουσα, ὅμως πρου-
νοεῖτο εὐσχήμως πεσεῖν· καὶ κρύπτειν ἐκεῖνα, ἃ χρε-
ὼν ἐστὶ κρύπτειν τὰ ὄμματα τῶν ἀρσένων· ὥσπερ γὰρ ἀ-
φαιροῦσι τὴν χλαμύδα φαμέν· καὶ στεροῦσι τὸ ἀργύρι-
ον· οὕτω καὶ ἀμφότερα αἰτιατικά· καὶ ὁ ἀφαιρούμε-
νος, καὶ ὃ ἀφαιρεῖται· καὶ ὁ στερούμενος, καὶ ὃ στερεῖται, οὕτω
καὶ κρύπτουσι τόδε λέγομεν· οἷον ἔχων τις κτήματα, καὶ
μόνος βουλόμενος ἀπολαύειν, κρύπτει ταῦτα τοὺς ἄλ-
λους· καὶ ἡ πολυξένη γυμνὴ οὖσα· εἰ καὶ τὸν περὶ τοῦ θα-
νεῖν ᾔδει· ἀλλ' οὖν πρόνοιαν εἶχεν εὐσχημόνως πεσεῖν· καὶ
τὰ αἰδοῖα ἄξια κρύπτειν· ἃ πρέπον ἐστὶ κρύπτειν τὰς τῶν
ἀνδρῶν ὄψεις, καὶ μὴ δεικνύναι· μάρτυς δὲ τούτου
ἄλλα τε πολλά, καὶ τὸ τοῦ σοφοκλέους· οὐδὲ γὰρ σι-
γᾷ κρύπτειν μ' ἔτι· καὶ ἄλλος· μήτοι με κρύψῃς τοῦτο,
ὅπερ μέλλω ποιεῖν. Ἐπεὶ δ' ἀφῆκε.) ἐπεὶ δ' ἐξέπνευ-
σε τὴν ψυχὴν ὑπὸ θανατηφόρου σφαγῆς, οὐδεὶς τῶν
ἀργείων εἶχε τὴν ὁμοίαν ἐργασίαν· ἀλλ' οἱ μὲν αὐτῶν,
τιμῶντες αὐτὴν διὰ τὸ θάρσος καὶ εὐψυχίαν, φύλλοις
καὶ στέφεσιν ἔβαλλον. Φύλλοις ἔβαλλον.) ἐρατοσθέ-
νης φησὶ περὶ τῆς φυλλοβολίας· ὡς πάλαι χωρὶς ἄ-
θλων ἀγωνιζομένων στεφάνων, τῷ νικήσαντι καθά-
περ ἔρανον ἐκ φύλλων ἐρρίπτουν τῶν θεατῶν ὅπως

ἕκαστος

ἕκαστος εὐπόρει. διὸ δὴ συνήθεις ἐγίνετο κύκλῳ περιπο-
ρευόμενον, ἐπαγείρειν, καὶ λαμβάνειν τὸ διδόμενον. οἱ
μὲν οὖν ἐμπορευόμενοι διάφορα δῶρα τῶν λοιπῶν. οἱ
μὲν ἐγγὺς καθήμενοι, στεφάνους ἐπετίθεσαν. οἱ δὲ ἀ-
νωτέρω, τοῦτο ὅπερ ἦν λοιπὸν, ἔβαλλον τοῖς ἄνθεσι. καὶ
φύλλοις. καὶ νῦν μὲν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις,
προβάλλουσι ζώνας. πέταλα. χιτωνίσκους. πετά-
σους. κρηπῖδας. διὸ συνήθου κύκλῳ περινοσοῦντας.
ἀγείρειν τὰ διδόμενα. ἕως μὲν οὖν ἐναγώνισμα κα-
τὰ τὴν ὀλυμπίαν ἦν, δαψιλὴς ἐγίνετο ἡ τῶν δωρεῶν
δόσις. πολυπλασιαζομένους δὲ τούτους, ταῦτα ἐμειοῦ-
το εἰς πολλὰ καταμεριζόμενα. καὶ τέλος ἡ φυλλοβολία
καταλείφθη. ταῦτα οὖν περὶ τοὺς χρόνους εὐριπίδου.
οὔτε γάρ ποτε ὁ ἀγερμὸς τῆς φυλλοβολίας ἀπεδέ-
χθη. φυλλοβολεῖται δὲ ἡ πολυξένη, ὥσπερ ἐν ἀγῶνι νι-
κήσασα. ἐφυλλοβολοῦντο γὰρ μετὰ τὸ νικῆσαι, καθὰ
καὶ προείρηται. Οἱ δὲ.) τινὲς δὲ ἐπλήρουν τὸν τάφον
βαστάζοντες δᾷδας ἐκ πεύκης. ὁ δὲ μὴ φέρων παρὰ
τοῦ φέροντος, τοιάσδε κατηγορίας ἤκουε. ἕστηκας ὦ
κακότροπε οὔτε πέπλον. οὔτε καλλωπισμόν τινα διὰ
χειρὸς φέρων ὑπὲρ τῆς νεανίδος. καὶ χάριν τῆς νεα-
νίδος; οὐ πορεύσῃ δώσων τι τῇ μεγαλοψύχῳ. καὶ εὐ-
καρδίῳ περισσῶς; καὶ κατὰ τὴν ψυχὴν ἀνδρεία; τοι-
αῦτα ἔλεγον περὶ τῆς θυγατρός σου ἀποθανούσης, τὴν
εὐγονωτάτην δὲ πασῶν γυναικῶν, ἀθλιωτάτην βλέ-
πω. Οὐκ εἶ τι δώσων.) οἱ μὲν λέγουσι τὸ εἶ ἀντὶ τοῦ
πορεύσῃ οἱ δὲ, ἀντὶ τοῦ ὑπάρχεις, οὕτως. Οὐκ εἶ καὶ
οὐχ ὑπάρχεις δώσων τι, τουτέστιν οὐ δώσεις. περί-
φρασις δὲ ἀττική. βέλτιον δὲ τὸ πρῶτον. Δεινόν τι
πῆμα.) χαλεπή τις αὕτη βλάβη τῶν θεῶν. ἤγουν ἡς

D

κτιοι οἱ θεοὶ ἀπαραίτητος. λέγει δὲ τὴν ἑαυτῶν ἅλωσιν, ἐπῆλθε τοῖς πριαμίδαις. καὶ τῇ πόλει τῇ ἐμῇ. τὸ δὲ ἐπέζεσεν. ἀντὶ τοῦ ἐπῆρεν. καὶ ηὐξήθη. ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος ἐν τοῖς λέβησι. καὶ ἐπαιρομένου ἐν τῷ ζέειν. Ὦ θύγατερ οὐ γινώσκω εἰς ὅπερ τῶν κακῶν θεάσομαι πολλῶν ὑπαρχόντων. ἐὰν γὰρ προσεγγίσω τινός, τὸ ἕτερόν με οὐκ ἀφίησιν. ἐφέλκεται δὲ ἀπὸ τοῦ ἑτέρου μέρους διάδοχος, κακῶν προτέρων δηλονότι κακοῖς ἑτέροις ἐπαγομένοις. καὶ νῦν τὸ μὲν σὸν πάθος οὐκ ἂν δυναίμην ἐξαλεῖψαι ἀπὸ τῆς φρενός ὥστε μὴ στένειν αὐτὸ δηλονότι. τὸ δὲ λίαν στένειν ἐμὲ καὶ θρηνῆσαι ἀφεῖλες ἀγγελθεῖσά μοι γενναία. καὶ μεγαλόψυχος. Οὔκουν δεινόν.) οὐ θαυμαστὸν φησὶν ὅταν κακὴ γῆ τυχοῦσα εὐκρασίας ἀέρων, στάχυν φέρει καλόν. ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα, καρπὸν κακὸν φέρει. ἐν δὲ τοῖς ἀνθρώποις τοῦτο οὐκ ἔστιν ἰδεῖν. ὅτι τὸ ἐκ φύσεως οὐ μεθίσταται. ὁ γὰρ κακὸς, ἀεὶ κακός ἐστι. καὶ ὁ ἀγαθὸς ἀεὶ ἀγαθὸς, κἂν ἀτυχήμασι περιπέσῃ. ταῦτα δὲ φησὶ θαυμάζουσα τὴν πολυξένην. Ἆρ' οἱ τεκόντες.) ὥσπερ ἀποροῦσα ἡ ἑκάβη τοῦτο φησίν. ἆρα τὸ γενέσθαι τινὰ ἀγαθῶν γονέων συντελεῖ πρὸς τὸ εἶναι τοῦτον χρηστὸν, ἢ τὸ πεπαιδεῦσθαι. καὶ ἀγωγῆς οὐκ ἀγεννοῦς λαχεῖν. ἐκ δὲ τοῦ λέγειν, ἔχει μέντοι καὶ τὸ τραφῆναι καλῶς δίδαξιν ἐσθλοῦ, φαίνεται τὸ μὲν τῶν γονέων προτιμῶν. τὸ δὲ τῆς παιδεύσεως ἐν δευτέρῳ τίθεσθαι. Ἆρ' οἱ τεκόντες.) ἆρα οἱ τεκόντες διαφορὰν ἔχουσιν. ἤτοι τὴν ἐναλλαγὴν ποιοῦσιν, ἢ αἱ ἀνατροφαί. Ἔχει γέ τι.) ἀντὶ τοῦ παρέχει κατά τι καὶ τὸ ἀνατραφῆναι καλῶς, δίδαξιν καὶ γνῶσιν ἀγαθοῦ. τοῦτο δὲ, ἤτοι τὸ καλῶς ἀνατραφῆναι ἢ τὸ ἐσθλὸν, ἐάν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μάθοι τὶς καλῶς. οἱ δὲ τὸ ἀπρεπές. μαθὼν τῇ διδασκαλίᾳ τοῦ καλοῦ. καὶ ταῦτα μὲν ὁ νοῦς ἀπέρριψε μάτην. σὺ δὲ ὦ παλαιὰ ἄπελθε καὶ ἐπὶ τοῖς ἀργείοις πε δὲ μὴ ἅπτεσθαι τῆς παιδός μου μηδένα. ἀλλὰ κωλύειν καὶ ἀποσοβεῖν τὸν ὄχλον. ἐν γὰρ πολλῷ στρατεύματι, ὄχλος ἀκόλαστος. καὶ ἀπαίδευτος. ἡ ναυτική τε ἀναρχία καὶ ἀνυποταξία, κρείσσων. καὶ ἰσχυροτέρα πυρός. Κακός δ' ὁ μὴ τι δρῶν.) κακὸς ὀνομάζεται παρὰ τοῖς ναύταις, ὁ μὴ σὺν αὐτοῖς δρῶν τι κακὸν, ἢ ὡς οὐχ ἑπόμενος αὐτοῖς, καὶ τὰ αὐτῶν πράττων ἥκιστα. σὺ δὲ ὦ δούλη παλαιὰ. λαβοῦσα τὸ ἀγγεῖον βάψασα ἤγουν κεμίσασα, κόμισον ὧδε. ὕδωρ δηλονότι. ἀπὸ τοῦ ἐνδοτάτου μέρους τῆς θαλάσσης. ἵνα τὴν ἐμὴν τὴν κακόνυμφον νύμφην, καὶ κακοπάρθενον παρθένον λούσω ἐν λουτροῖς πανυστάτοις. Βάψασα.) βάπτειν ἐστὶ τὸ χαλᾶν τι εἰς ὕδωρ. ἢ εἰς ἕτερόν τι ὑγρὸν. ὅμοιον δὲ τοῦτο τὸ ἔφαγε τοῦ ἄρτου. καὶ ἔπιε τοῦ οἴνου. Παρθένον τ' ἀπάρθενον.) οἱ μὲν τὸ ἀπάρθενον. ἀντὶ τοῦ κακοπάρθενον φασίν. ἐμοὶ δὲ οὐχ οὕτω δοκεῖ. ἀλλ' εἰποῦσα νύμφην τ' ἄνυμφον, νύμφην μὲν ὡς μνηστευθεῖσαν τῷ ἀχιλλεῖ. ἄνυμφον δὲ ὡς τῆς μνηστείας μὴ πληρωθείσης, ἐπήγαγε πρὸς μὲν τὴν νύμφην, τὸ ἀπάρθενον. πρὸς δὲ τὸ ἄνυμφον, τὸ παρθένον. Προθῶμαί τι.) εἰς τὸ μέσον θήσω. ὡς μὲν ἀξία ἐστὶ δηλονότι, πόθεν. οὐδαμῶς δυναίμην (τὸ πόθεν. καὶ τὸ οὐδαμῶς ταυτὸ σημαίνει. διαφέρουσι δὲ κατὰ τοῦτο. ὅτι τὸ μὲν πόθεν, ἐμφαίνει ἐρώτησιν τινά. τὸ δὲ οὐδαμῶς, πλείαν ἀπόφασιν) ὡς δὲ ἔχω καὶ δυναμαι ποιήσω. πόθεν ταῦτα λέγει ἀποβλέπουσα πρὸς τὴν πρόσθεν αὐτῇ προσοῦσαν

D ij

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐδαιμονίαν· καὶ τὴν νῦν ἀπορίαν· τό τε τοῦ κόσμου τ᾽ ἀγέρασα, πρὸς τό, ὡς δ᾽ ἔχω ἐστίν· οὕτω ὡς μὲν ἀξία ὑπάρχει δηλονότι, οὐκ ἂν δυναίμην λοῦσαι τε καὶ προθέσθαι· ὡς δὲ ἔχω ποιήσω τοῦτο· καὶ ἀγέρασα κόσμον ἀπὸ τῶν αἰχμαλωτίδων· Τί γὰρ πάθω·) ἤγουν τί ποιήσω· τὸ γὰρ ποιεῖν πάθος ἐστίν, ἐπειδὴ ὁ ποιῶν τι πάσχει τρόπον τινά, κατ᾽ αὐτὸ τὸ ποιεῖν, κόσμον ἀγέρας καλλωπισμὸν ἀγέρασα παρὰ τῶν αἰχμαλωτίδων· αἳ οἰκοῦσιν ἔνδον τῶνδε τῶν σκηνῶν· σύνοικοι ἐμοί· εἰ αὖ τις λαβοῦσα τοὺς νέους δεσπότας ἤγουν τοὺς ἕλληνας· ἔχει τι κλέμμα ἀπὸ τῶν ἑαυτῆς δόμων· κόσμον τῶν αἰχμαλωτίδων λέγει· χρυσία ἱμάτια· καὶ ἄλλ᾽ ἅττινα· ἵνα δὴ μήτις αὐτῷ ἐναντιωθῇ· ὡς αἰχμαλώτιδες οὐδὲν οὐδ᾽ ὁτιοῦν κέκτηνται φησίν· εἴ τις ἔλαθε τοὺς ἑαυτῆς δεσπότας ἔχειν τι τῶν οἰκείων, κλέψασα τοῦτο τοὺς δεσπότας, καὶ μὴ ὑπ᾽ ἐκείνων ἀφαιρεθεῖσα· Ὦ σχήματ᾽ οἴκων·) ὦ καλλωπισμοὶ τῶν οἴκων· ὦ δόμοι οἵ ποτε εὐτυχεῖς· ὦ πρίαμε εὐτεκνώτατε· ὁ ἔχων πλεῖστα· καὶ πολλὰ· καὶ κάλλιστα· ἡ γραῖά τε ἐγὼ αὐτὴ ἡ μήτηρ τῶν τέκνων, λίαν ἤλθομεν εἰς τὸ μηδέν· στερηθέντες τῆς πρώην ἐπάρσεως· εἶτα δῆτα καὶ ἐπαιρόμεθα· ὁ μέν τις ἐν δώμασι πλουσίοις· ὁ δὲ τίμιος κεκλημένος ἐν πολίταις· τὰ δὲ ὁ πλοῦτος καὶ τὰ τοιαῦτα· οὐδέν εἰσι δηλονότι· μάτην αἱ στροφαὶ τῶν λογισμῶν· καὶ ἡ μεγαλορρημοσύνη· ἐκεῖνος δ᾽ ἐστὶν εὐτυχέστατος, ᾧ τινι καθ᾽ ἡμέραν ἤγουν κατὰ τὴν ζωήν, μηδὲν ὑπάρχει κακόν· Ἄλλως· ὦ σχήματ᾽ οἴκων· ἀποδοῦσα ἡ ἑκάβη πρὸς τὴν προτέραν αὐτῆς τύχην· καὶ τὴν νῦν δουλείαν, φησί, τῶν πραγμάτων οὕτως ἐχόντων· καὶ τοῦ μὲν πρόσθεν εὐδαίμονος, νῦν δυστυχοῦς, τοῦ δὲ πρὶν δυστυχοῦς, νῦν εὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δαίμονος ἦτα ἐπαιρόμεθα, ὁ μὲν ἐν πλούτῳ· ὁ δὲ, ἐν πολλῇ τιμῇ· ταῦτα δὲ πάντα ὅ, τε πλοῦτος· καὶ ἡ δόξα· τά τ' ἄλλα τἀνθρώπινα, οὐδέν ἐστιν, ἄνω καὶ κάτω τῆς τύχης εὐρίπου δίκην ἰούσης· τὸ δὲ ἦτα, ἢ κατ' ἐρώτησιν· ἢ ἀποφατικόν· καὶ συλλογιστικόν, τὸ δὲ ἄλλως φροντίδων βουλεύματα ἤτοι διανοήματα· τουτέστι ματαίως φροντίζουσι περὶ τούτων οἱ ἄνθρωποι· τὸ γὰρ φροντίδων βουλεύματα, ἀντὶ τοῦ φροντίδες περιφραστικῶς. Ἐμοὶ χρῆν συμφοράν.) ἤτοι ἀπέκειτο γενέσθαι βλάβην, ἐξ ἐκείνου τοῦ καιροῦ δηλονότι, ὅτε κατὰ τὴν ἀρχὴν ἔκοψεν ὁ ἀλέξανδρος ὕλην ἀπὸ ἐλάτης δένδρου· πλεύσων ἐπὶ τὸ κῦμα τὸ θαλάσσιον διὰ τὰ λέκτρα τῆς ἑλένης· ἣν ὡραιοτάτην ὁ λαμπρὸς βλέπει ἥλιος, πόνοι γὰρ καὶ ἀνάγκαι ἐπικρατέστεροι τῶν πόνων κυκλοῦσιν ἡμᾶς δηλονότι· κοινὸν δὲ κακὸν ἀφανιστικὸν ἐξ ἰδίας μωρίας ἐπῆλθε τῇ τρωικῇ γῇ· συμφορά τε ἀπ' ἄλλων συμφορῶν δηλονότι· ἐκρίθη δὲ ἀντὶ τοῦ διεκρίθη ἡ ἔρις· Ἀν.) ἀντὶ τοῦ δίκην ἔριν ἐδίκασεν ἐν τῇ ἴδῃ τὰς τρεῖς θυγατέρας τῶν θεῶν ὁ βουκόλος ἀλέξανδρος, ἐπὶ πολέμῳ καὶ φόνῳ καὶ βλάβῃ τῶν ἐμῶν οἰκημάτων· Ἐμοὶ χρῆν συμφοράν.) τὰ τοιαῦτα ἤδη τῶν χορῶν, καλεῖται ἐπῳδικά· ἐπῳδικὰ δέ ἐστιν ὡς ἡφαιστίων φησίν· ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται· ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ· ἤτοι στροφῆς· ἀντιστροφῆς· καὶ ἐπῳδοῦ, οὐκ ἂν γένοιτο τὸ τοιοῦτον· ἐπὶ πλεῖον δὲ, οὐδὲν κωλύει ἐκτείνεσθαι· γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς, καὶ πεντὰς, καὶ ἐπὶ πλεῖον· ἔστι δὲ τὰ παρόντα τριὰς ἐπῳδική· καὶ εἰσὶ τῆς μὲν στροφῆς τὰ κῶλα θ̄· καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα· τὸ ᾱ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου ᾱ· καὶ ἰάμβου· τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

β΄ ὅμοιον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον· ἐξ ἐπιτρίτου α΄ διϊάμβου καὶ συλλαβῆς. τὸ γ΄ ὅμοιον ἐξ ἐπιτρίτου καὶ διϊάμβου καὶ συλλαβῆς. τὸ δ΄ δίμετρον ἀκατάληκτον πολυσχημάτιστον. πριάπειον καλούμενον ἐξ ἀντισπάστου καὶ χοριάμβου. τὸ ε΄ τροχαϊκὸν δίκωλον, τὸ ἑξῆς πενθημιμερὲς, ἐκ δύο χορείων, ἤτοι τριβραχέων καὶ συλλαβῆς. τὸ ϛ΄ τροχαϊκὸν ἰθυφαλλικόν. ἤτοι δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τρίτου διϊάμβου καὶ συλλαβῆς. εἰ δὲ βούλει ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων καὶ ἰάμβου. εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ΄ ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον. ἐκ παίωνος τρίτου διϊάμβου καὶ συλλαβῆς. εἰ δὲ βούλει ἰαμβικὸν ἑφθημιμερὲς ἐκ δύο ἀναπαίστων. καὶ ἰάμβου. εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ θ΄, χοριαμβικὸν ἡμιόλιον. εἰ δὲ βούλει δακτυλικὸν πενθημιμερές. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Ἐκρίθη δ' ὅπως.) ἐν Πηλέως καὶ Θέτιδος γάμῳ, τῶν τριῶν κεκλημένων θεῶν, ἥρας. ἀθηνᾶς. ἀφροδίτης. σὺν ἄλλοις θεοῖς, ἐπεὶ τὴν ἔριν οὐκ ἤγαγεν ὁ γάμος, δυσχεράνασα, μῆλον κατασκευάζει χρυσοῦν. ἐν ᾧ τῇ καλῇ τὸ μῆλον ἐπιγράψασα, ἀναβᾶσα ἐπὶ τοῦ τέγους, ῥίπτει τοῦτο παρὰ ταῖς τρισὶ θεαῖς. αἱ δὴ, ἀναγνοῦσαι τὸ μῆλον, ἤριζον πρὸς ἀλλήλας, ἑαυτὴν ἑκάστη καλλίω τῆς ἄλλης λέγουσα. ἀπελθοῦσαι οὖν παρὰ τῷ διΐ, ἠξίουν αὐτὸν τῇ μᾶλλον ὡραίᾳ διδόναι τὸ μῆλον. ὁ δὲ, τὴν κρίσιν ἀποφυγὼν τῷ μὴ δόξαι τὴν χάριν ταυτηνὶ πεποιῆσθαι. καὶ οὐκ εἰκότως. εἴτε γὰρ ἐδεδώκει τῇ ἥρᾳ, ὡς γυναικὶ ἂν δεδωκέναι ὑπελήφθη. εἴτε τῇ ἀθηνᾷ, ὡς θυ-

πατρί. εἴτε τῇ ἀφροδίτῃ, ἀδελφὴν αὐτὴν τιμῶν, ἔδοξεν. τοῦτο οὖν δεδοιχὼς, καὶ τῆς αἰτίας ἔξω γενέσθαι βουλόμενος, καθίζει κριτὴν ταῖς θεαῖς, ἀλέξανδρον τὸν πριάμου βουκόλον ὄντα. τότε παρ' αὐτὸν αἱ θεαὶ σὺν ἑρμῇ διὸς ἐπιπέμψαντος ἐκέλευον τῇ καλῇ νικώσῃ τὸ μῆλον δωρήσασθαι. ἐπαγγελόμεναι καὶ μείζους δώσειν αὐτῷ δωρεάς, εἰ μὴ πρὸς ἐκείνην. καὶ μὴ πρὸς ταύτην νεύσῃ τῇ κρίσει ἡ μὲν γὰρ ἥρα βασιλείαν αὐτοῦ μὴ στερηθεῖσα ὑπέσχετο ὡς ἔφορος ταύτης. ἀθηνᾶ δὲ, ἐν πολέμῳ κρατεῖν. καὶ μηδενὶ τῶν ἀντιπάλων ἡττᾶσθαι. πολεμικὴ γὰρ ἡ θεός. ἀφροδίτη τὴν ἑλένην προτείνει. καὶ δι' ἐκείνης γοητεύει τὸν αὐτόν. καὶ νικᾷ. καὶ λαμβάνει τὸ μῆλον ἆθλον ὧν ἐπηγγείλατο, τὸ δὲ ἦν, πεῖσαι τὴν αὐτὸν ἀκολουθῆσαι αὐτῷ εἰ πρὸς λακεδαίμονα ἀφίκοιτο. ναῦς οὖν φερέκλου κατασκευάσαντος αὐτῷ ἐπιβὰς, ἀνάγεται πρὸς τὴν σπάρτην. καὶ κατηρκὼς ἐκεῖ, καὶ τὴν ἑλένην λαβὼν, ἀπῆλθε πάλιν εἰς ἴλιον. Ἐπὶ δορὶ καὶ φόνῳ.) τοῦτο καλεῖται ἐπῳδὸς, διὰ τὸ ἐπᾴδεσθαι τῇ τε στροφῇ, καὶ τῇ ἀντιστροφῇ. ἤγουν μετὰ τὴν στροφὴν ᾄδεσθαι. ἰστέον δὲ ὅτι τὴν μὲν στροφὴν κινούμενοι πρὸς τὰ δεξιὰ οἱ χορευταὶ ᾖδον. τὴν δὲ ἀντιστροφὴν πρὸς τὰ ἀριστερά. τὴν δὲ ἐπῳδὸν ἱστάμενοι ᾖδον. ἐδήλου δὲ ὡς φασὶν ἡ μὲν στροφὴ, τὴν οὐρανοῦ ἐκ τῶν ἑώων πρὸς τὰ δυτικὰ μέρη κίνησιν. ἡ δὲ ἀντιστροφὴ, τὴν τῶν πλανητῶν. ὡς ἀπὸ δυσμῶν πρὸς ἕω γινομένην. ἡ δὲ ἐπῳδὸς τὴν τῆς γῆς στάσιν. ἱσταμένων τῶν χορευτῶν ᾀδομένων. ἔστι δὲ τῆς παρούσης ἐπῳδῆς τὰ κῶλα ιγ΄. τὸ α΄ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. ἐκ παίωνος γ΄ ἀντὶ ἰωνικοῦ τροχαϊκῆς συζυγίας. ἤτοι διτροχαίου. καὶ ἰάμβου. τὸ β΄ ἀναπαιστικὸν μονόμετρον. τὸ γ΄ ἰωνικὸν δίμετρον ἀ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατάληκτον. τὸ δ΄ δακτυλικὸν, ἢ ἀναπαιστικὸν πενθημιμερὲς. τὸ ε΄ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων δευτέρων δύο. τὸ ς΄ τροχαϊκὸν πενθημιμερές. τὸ ζ΄ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. ἐκ παίωνος γ΄. ἀντὶ τοῦ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος ἰαμβικῆς συζυγίας. ἤτοι διϊάμβου καὶ συλλαβῆς. τὸ η΄ ἐπιχοριαμβικὸν, τρίμετρον βραχυκατάληκτον ἐκ διϊάμβου χοριάμβου καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. τὸ θ΄ τροχαϊκὸν ἰθυφαλικὸν δίμετρον βραχυκατάληκτον. τὸ ι΄ ἰωνικὸν ἡμιόλιον. εἰ δὲ βούλει παιωνικὸν, ἐκ παίωνος β΄, καὶ δύο συλλαβῶν. τὸ ια΄ ὅμοιον δίμετρον καταληκτικὸν, ἐκ παίωνος δ΄ καὶ βακχείου. εἰ δὲ βούλει τροχαϊκὸν ἰθυφαλικὸν. τοῦ α΄ ποδὸς χορείου. ἐπὶ τῷ τέλει κορωνίς. εἶτα παράγραφος. ταῦτα γὰρ τοῦ τέλους τῆς ἐπῳδοῦ σημεῖα. Στένει δὲ καί τις.) στενάζει δ᾽ ἐν τοῖς οἴκοις καί τις κόρη τάλαινα πολύδακρυς εἰς τὸν εὐρώταν ποταμὸν τὸν πολύῤῥουν. μήτηρ τε τίθεται χεῖρα ἐπὶ κρᾶτα λελευκασμένον ἕνεκα τῶν θανόντων τέκνων. δρύπτεταί τε καὶ ξαίνεται τὴν παρειὰν ποιοῦσα τὸν ὄνυχα αἱματωμένον διὰ τῶν σπαραγμῶν. Τέκνων θανόντων.) οὐ μόνον αἱ τρῳάδες θρηνοῦσιν, ἀλλὰ καὶ τῶν ἑλλήνων οὐκ ὀλίγαι γυναῖκες, ἡ μὲν, ἀποθανόντος τοῦ ἀνδρὸς, ἡ δὲ, στερηθεῖσα τῶν τέκνων. δέον δὲ εἰπεῖν ἀμφὶ πᾶσαν τὴν ἑλλάδα. ὁ δὲ ἀμφὶ τὸν εὔρουν εὐρώταν εἶπεν ἀπὸ μέρους τὸ πᾶν, ποταμὸς δὲ οὗτος ἐν λακεδαιμονίᾳ. Γυναῖκες ἑκάβη.) μία τῶν δούλων ἑκάβης ἔρχεται φέρουσα τὸ σῶμα τοῦ πολυδώρου. ἰὼ γὰρ πεμφθεῖσα ὑπὸ τῆς ἑκάβης ἐπὶ τὸ κομίσαι ὕδωρ εἰς τὰ λουτρὰ τῆς πολυξένης, αὕτη οὖν ἡ δούλη ἀπελθοῦσα παρὰ θάλασσαν εὑρίσκει τὸ σῶμα τοῦ πολυ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δώρου· καὶ ἐλθοῦσα δείκνυσιν αὐτὸ τῇ ἑκάβῃ· λέγει δὲ πρὸς τὸν χορὸν τῶν αἰχμαλωτίδων· ὦ γυναῖκες ποῦ ἐστὶν ἡ ἀθλιωτάτη ἑκάβη ἡ νικῶσα ἐν ταῖς δυστυχίαις πάντα ἄνδρα· καὶ θήλειαν γενεάν· οὐδεὶς τὸν τῆς δυστυχίας στέφανον ἀντ' αὐτῆς λήψεται· οὐδεὶς μᾶλλον αὐτῆς ἀποίσει στέφανον· νικήσας αὐτὴν ἐν κακοῖς, ἐπεὶ γὰρ εἶπεν ἄνω ὡς πάντα ἄνδρα καὶ γυναῖκα νικᾷ ἐν τοῖς κακοῖς, ἐπήγαγε τοῦτο· ἕπονται γὰρ τῇ νίκῃ στέφανοι. Τί δ' ὦ τάλαινα.) τί ἐστι τὸ βούλημα τῆς σῆς κακοφήμου βοῆς· οὐ κηλίαν· ἣ ὅτι οὐδέποτέ σου ἠρεμεῖ τὰ λυπηρὰ μηνύματα. Ἑκάβη.) τῇ ἑκάβῃ φέρω ταύτην τὴν λύπην· ἐν ταῖς δυστυχίαις δὲ, οὐκ εὔκολον ἀνθρώποις εὐφημεῖν κατὰ τὸ στόμα· ἤτοι εὔφημα λέγειν· καὶ ἀγαθά. Καὶ μὴν ἥδε.) περῶσα τυγχάνει ἀντὶ τοῦ περᾷ ἀπὸ τῶν οἰκημάτων αὕτη· εὐκαίρως δὲ φαίνεται τοῖς σοῖς λόγοις. Ὦ παντάλαινα.) καὶ παναθλία· καὶ ἔτι μᾶλλον παναθλία δηλονότι· ἣ καὶ παρὸ λέγω ὦ δέσποινα· ὄλωλας· καὶ ἐφθάρης· καὶ οὐκέτι ὑπάρχεις βλέπουσα σαφῶς· χωρὶς παιδός· χωρὶς ἀνδρός· χωρὶς πόλεως· ἐξεφθαρμένη· τὸ ὄλωλας πρὸς τὸ ἐξεφθαρμένη συναπτέον· τὸ δὲ οὐκέτι βλέπουσα φῶς, διὰ μέσου· οὕτως· ὄλωλας ἐξεφθαρμένη· ἄπαις· ἄνανδρος· ἄπολις. Οὐ καινὸν εἶπας.) οὐ νέον εἶπας· εἰδόσι δὲ ὠνείδισας· ἤτοι εἰς ὀνειδισμὸν προέφερες· διὰ τί δὲ ἦλθές μοι φέρουσα τόνδε τὸν νεκρὸν τῆς πολυξένης, ἧς ὁ ἐνταφιασμὸς ἐδηλώθη ἡμῖν, ὑπὸ πάντων τῶν ἑλλήνων σπουδάζεσθαι. Ἡ δ' οὐδὲν οἶδε.) ὅδε ἡ ἑκάβη οὐδὲν γινώσκει· ἀλλὰ θρηνεῖ τὴν πολυξένην μοι· νέων δὲ πημάτων οὐκ αἰσθάνεται. Οἱ ἐγώ.)

φοῦ τάλαινα εἰμὶ ἐγώ. ἆρα φόρεις δεῦρό τὸ βακχεῖον κάρα τῆς μάντεως κασάνδρας. βακχεῖον κάρα τῆς κασάνδρας λέγει τὸ μανικὸν, ὡς μανικῆς. οἱ γὰρ μάντεις θεία μανία κατεχόμενοι μαντεύονται. φησὶ γὰρ πλάτων ἐν γοργία. ὡς ἡ μαντικὴ μανικὴ οὖσα πρῶτον, προστεθέντος τοῦ τ, μαντικὴ γέγονεν. Ζῶσαν λέλακας.) τὴν ζῶσαν εἶπας. τὸν θανόντα δὲ τόνδε, οὐ θρηνεῖς. ἀλλ' ἄθρησαι καὶ ἴδε σῶμα νεκροῦ γυμνωθέν. ἐπεὶ φανεῖταί σοι ἔκπληξις, καὶ παρὰ προσδοκίαν. Οἴμοι.) βλέπω δὲ τὸν ἐμὸν παῖδα πολύδωρον τεθνηκότα. ὃν ἐφύλαττεν ἐμοὶ ἐν τοῖς οἴκοις ὁ θρᾶξ πολυμήστωρ. ἀπωλόμην ἡ δύστηνος. οὐκέτι δή εἰμι. ὦ τέκνον. αἶ αἶ. κατάρχομαι μελῶν μανικῶν ἀρτιμαθὴς οὖσα δηλονότι κακῶν ἐξ ἐχθροῦ τινός. Βακχεῖον κάρα.) τὸ ἐνθουσιαστικόν. ἤγουν τὸ σῶμα. ἀπὸ τοῦ κρείττονος μέρους τὸ ὅλον. ὡς φαμὲν καὶ ἱερὰν κεφαλήν. τῆς μάντεως κασάνδρας φέρεις; Κατάρχομαι. εὕρηται τὸ ἄρχω, καὶ παρὰ πινδάρῳ αἰτιατικῇ. ἄρχε δὲ οὐρανῷ πολυνεφέλῳ κρέοντι θύγατερ δόκιμον ὕμνον. εὕρηται δὲ καὶ ἔντυνε τῶν παλαιῶν οὕτως. Βακχεῖον.) βάκχαι ἱέρειαι ἦσαν τοῦ διονύσου. καὶ κατεχόμεναι ὑπ' ἐκείνου ἐδόκουν μαίνεσθαι. ἄνετοι οὖσαι τὰς κόμας. καὶ τὰ ἱμάτια περιερρηγμέναι βοῶσαι τῷ διονύσῳ ἴακχε ἴακχε. ἐντεῦθεν γὰρ καὶ βάκχαι ἐκλήθησαν. βακχείων οὖν ἐνταῦθα νόμων λέγει τῶν μανικῶν. καὶ οἷς χρῶνται αἱ βάκχαι ὑμνοῦσαι τὸν θεόν. γράφεται δὲ καὶ βακχείων γόων. Αρτιμαθής.) ἀρτίως νεωστὶ. καὶ ἀρτίως ἀντὶ τοῦ ὁλοκλήρως. ἐνταῦθα οὖν ἀρτιμαθὴς κακῶν, ἀντὶ τοῦ ἀρτίως καὶ νεωστὶ, ἐπεὶ μαθοῦσα κακά. Εγνως γάρ.) ἔγνως δὴ ὦ δύστηνε τὴν βλάβην τοῦ παιδός σου. Απιστ' ἄπιστα.) τὰ τοιαῦτα ἤδη καλεῖται ἀνομοιόστροφα. ἀνομοιόστροφα δὲ εἰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στιν ὡς ἡφαιστίων φησὶν, ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν. καὶ διαιρεῖται εἰς δύο ἢ εἰς πλείονα. εἰ μὲν οὖν εἰς δύο διαιρεῖται, καλεῖται ἐπρόστροφον. εἰ δὲ εἰς πλείω ἀλλοιόστροφον. εἰσὶν οὖν τὰ παρόντα ἀλλοιόστροφα. τῆς δευτέρας δὲ στροφῆς ταύτης τὰ κῶλα ϛʹ. τὸ αʹ στίχος ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ βʹ παιωνικὸν ἡμιόλιον. ἐκ παίωνος πεντασυλλάβου καὶ ἰάμβου. διαιροῦνται γὰρ αἱ μακραὶ τῶν τοιούτων ποδῶν εἰς δύο βραχείας. τὸ γʹ ὅμοιον καθαρὸν ἐκ παίωνος δὲ καὶ ἰάμβου. τὸ δʹ ὅμοιον δίμετρον καταληκτικὸν. ἐκ παίωνος αʹ. καὶ δακτύλου. τὸ εʹ τροχαϊκὸν μονόμετρον ἀκατάληκτον. τὸ ϛʹ ὅμοιον τροχαϊκὸν ἑφθημιμερές. οὕτω διῃρημένα χρὴ ταῦτα τὰ κῶλα καὶ τὰ ἑξῆς, ὡς ἡμῖν διῄρηται. ἵν᾽ εὐχερῶς καὶ τίνος εἴη μέτρον ἔχομεν γνῶναι. ἐπὶ τῷ τέλει παράγραφος. Ἄπιστ᾽ ἄπιστα.) τουτέστιν οὐ πιστεύεσθαι δυνάμενα βλέπω, ἕτερα δὲ κακὰ ἀπὸ ἑτέρων. κακῶν κυρεῖ. ἀντὶ τοῦ ἐν τυγχάνει ἡμῖν δηλονότι. οὐδέποτε καταλήψεται ἐμὲ ἡμέρα χωρὶς δακρύων. καὶ χωρὶς στεναγμῶν. Ἡμέρα.) πρὸς μὲν τὸ ἡμέρα τὸ ἀδάκρυτος καὶ ἀστένακτος ἀποδοτέον. Ὦ τέκνον τάλαινας). δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ δʹ. τὸ αʹ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ βʹ καὶ γʹ ἡμιόλιον ἐκ παίωνος δʹ καὶ σπονδείου. τὸ δʹ δακτυλικὸν πενθημιμερές. Ὦ τέκνον ἀθλίας ματρός.) τίνι μόρῳ ἔθανες. τίνι τύχῃ κεῖσαι πρὸς τίνος ἀπὸ τῶν ἀνθρώπων. μόρῳ μὲν, τῷ θανάτῳ, πότμῳ δὲ, τῇ προφάσει. ἵν᾽ ᾖ ποίῳ θανάτῳ. καὶ ποίᾳ προφάσει. ἢ τίς ὁ ἀνελών σε εἰπὲ τέκνον. Οὐκ οἶδα.) σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων τριῶν. καὶ κώλου. ὃ τρίτον κείμενον δακτυλικόν ἐστι πενθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐκ οἶδα.) οὐ γινώσκω. κυρῶ δὲ, ἀντὶ τοῦ εὗρον καὶ
κατέλαβον αὐτὸν, ἐπὶ τῷ αἰγιαλῷ, ἐκβεβλημένον ὑ-
πὸ τῆς θαλάσσης. ἢ πτῶμα ὑπὸ δορὸς φονικοῦ. ἤτοι
ὑπό τινος φονευθέντα, ἐξήνεγκεν αὐτὸν ὁ πελάγιος
κλύδων τοῦ πόντου. ἐν ψαμάθῳ λευρᾷ. ἤτοι πλα-
τεία. καὶ ὁμαλῇ. Ὤμοι αἰαῖ.) ἡ τρίτη αὕτη στρο-
φὴ, κώλων ἐστὶν ζ̅. τὸ α̅ τροχαϊκὸν μονόμετρον. τὸ
β̅ ὅμοιον ἑφθημιμερὲς ἐκ χορείων. τὸ γ̅ ὅμοιον ἑφθη-
μιμερὲς καθαρόν. τὸ δ̅ τροχαϊκὸν ἰθυφαλικόν. τὸ ε̅
παιωνικὸν δίμετρον. ἐκ παίωνος α̅, καὶ παλιμβακ-
χείου. τὸ ς̅ ἀναπαιστικὸν ἑφθημιμερὲς, τοῦ β̅ πο-
δὸς δακτύλου. τὸ ζ̅ παιωνικὸν δίμετρον. ἐκ παίω-
νος α̅ καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει παράγραφος. Ὤμοι
αἰαῖ.) ἔμαθον τὴν νυκτερινὴν ὄψιν τῶν ἐμῶν ὀφθαλμῶν
οὐ παρέβη με τὸ φάσμα τὸ σκοτεινόν. καὶ ταχέως ἀ-
φισάμενον. ὃ ἐθεασάμην ὦ τέκνον περὶ σοῦ. οὐδα-
μῶς ὄντα ἐν τῷ φωτὶ τοῦ διός. τίς αὐτὸν ἐφόνευσεν
γινώσκεις ὦ ἐξ ὀνείρων φρονοῦσα. καὶ διανοουμένη εἰ-
πεῖν. Ἐνύπνιον.) ἢ πρὸς τὸ ὄψιν σιωπητέον. ἵν᾽ ᾖ τὸ
ἐνύπνιον καὶ κατὰ τοὺς ὕπνους φανεῖσάν μοι ὄψιν
τῶν ἐμῶν ὀμμάτων, ἢ πρὸς τὸ ἐνύπνιον ὑποστικτέον.
ἵν᾽ ᾖ τὸ ὄψιν τῶν ἐμῶν ὀμμάτων, ὥσπερ ἑρμηνεία τοῦ
ἐνύπνιον. κρεῖττον δέ ἐστι τὸ πρῶτον. τὸ ἀντὶ δὲ πρὸς τὴν
ὄψιν ἐστί. τὸ δὲ οὔ με παρέβα μελανόπτερον φάσμα
διὰ μέσου. Ποῦ δίκα ξείνων.) ποῦ ἐστιν ἡ τῶν φί-
λων δικαιοσύνη. Ἐμὸς ἐμός.) ἡ δ̅ αὕτη στροφὴ κώ-
λων ἐστὶ δ̅. ὧν τὸ α̅ παιωνικὸν ἡμιόλιον. ἐκ παίω-
νος δ̅ καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ β̅ ὅμοιον
δίμετρον ἀκατάληκτον. ἐκ παίωνος γ̅ καὶ κρητικοῦ.
τὸ γ̅ καὶ τὸ δ̅ ὅμοιον τῷ πρώτῳ. ἐπὶ τῷ τέλει παρα-

γράφον. Ω κατάρατε.) ἡ ε΄ αὕτη στροφὴ κώλων ἐστὶν ἑξ· τὸ α΄ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος καὶ σπονδείου· τὸ β΄ χοριαμβικὸν ἡμιόλιον καθαρόν· τὸ γ΄ ὅμοιον τῷ α΄ ἐκ παίωνος καὶ ἴαμβον· τὸ δ΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον· τὸ ε΄ ὅμοιον τῷ τρίτῳ· τὸ ς΄ ὅμοιον τῷ δ΄· οὕτω χρὴ γράφειν καὶ ταῦτα ὡς διῄρηται καὶ τὰ ἄνω· ἵν᾽ εἴη καὶ τὰ μέτρα σύγγνωστα· ἐπὶ τῷ τέλει παράγραφος. Εμός.) φίλος ἔκτεινεν θρᾶξ ὅπου ὁ πατὴρ ὁ γέρων ἔκρυψεν αὐτόν. Οἴμοι τί λέγεις· ἔκτεινε δηλονότι ἵνα κτανὼν ἔχῃ τὸν χρυσόν. Αῤῥητα.) οὐ δυνάμενα ῥηθῆναι· περαιτέρω· Ω μείζονα θαυμάτων οὐχ ὅσια· οὐδὲ φορητά. Ποῦ δίκη ξένων.) ποῦ ἐστὶν ἡ δικαιοσύνη τῶν φίλων ἢ ποῦ ἐστὶ ἡ δίκη τῶν ξένων· ἤγουν ἡ τούτους ἐφορῶσα καὶ τιμωρουμένη αὐτοὺς ἀποκτείναντας· ὃ καὶ κρεῖττον ἐστὶν· τοῦ πρώτου νοῦ· ὦ κατάρατε ἀξίε ὑπὲρ πάντας ἀνθρώπους πολυμίσητε, μονονουχὶ καὶ εἰς μέρη διείλου τὰ τοῦ παιδὸς μέλη· ὅστις ἐμέρισας τὸ σῶμα κόψας φασγάνῳ σιδηρῷ. Αλλ᾽ εἰσορῶ γὰρ.) τὸ ἀλλὰ πρὸς τοὐνθένδε σιωπητέον· τὸ δὲ εἰσορῶ γὰρ τοῦ δεσπότου δέμας ἀγαμέμνονος, διὰ μέσου· περιφραστικῶς δὲ τὸ τοῦ δεσπότου ἀγαμέμνονος δέμας· ἀντὶ τοῦ τὸν δεσπότην ἀγαμέμνονα. Τοὐνθένδε.) κατὰ τὸ ἀπὸ τοῦ δε. Εκάβη τί μέλλεις.) αἱ ἑξῆς αὗται συστηματικαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρϛη΄ ὧν τελευταῖος· κακόν τι πάσχειν τὸν δὲ χρυσὸν εὐτυχεῖν μετὰ τῶν ρνζ κώλων τμῆμα τὸ φεῦ· ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· καὶ ἐπὶ τῷ τέλει κορωνίς. Μέλλειν τὸ βραδύνειν.) τὸ ἀποκεῖσθαι· καὶ τὸ φαίνεσθαι. Τὰ κεῖθεν.)

ἢ τὰ ἀπὸ τοῦ στρατοῦ πρέποντα γενέσθαι· πυρὰν τὰ λέγω ποιῆσαι· καὶ ξύλα συνάξαι· καὶ τἄλλα τὰ πρὸς ταφὴν ἐπιτήδεια ἐγγόνει καλῶς· λοιπὸν οὖν ἐστὶ σέ τε ἐλθεῖν καὶ κρύψαι τὴν παῖδα ἐν τῷ τάφῳ· οὕτω τὰ ἐκεῖθεν νοητέον· τὸ δὲ ἐπὶ τῇ δ' ἐστὶ καλῶς· διὰ τοῦτο λέγει· ἐπεὶ λυπηρὸς ἐδόκει τῇ ἑκάβῃ ὁ τῆς θυγατρὸς θάνατος, οὕτως ἀθλίως ἀνῃρημένης· ἢ ὅτι καὶ τὸ πρὸς ταφὴν παρασκευαζόμενα ἐπιτήδεια λυπεῖ τοὺς ὁρῶντας· καὶ οὐκ ἔστιν ὃς ἰδὼν ταῦτα οὐ στενάξει· Ἐφ' οἷσπερ.) καθά· Θιγγάνειν.) ψαύειν· Ἐῶμεν.) ἀντὶ τοῦ ἐάσωμεν· Σχολάζεις.) βραδύνεις· Ἀποστελῶν σε.) μέλλων σε ἀποστέλλειν· Εἴ τι τῶνδε.) τῶν πραχθέντων· Ἔα ἐπὶ ἐκπλήξεως.) τίς ἐστιν οὗτος ὁ ἀποθανὼν ἀνὴρ τῶν τρώων οἷ' εἰσορῶ ἐπὶ ταῖς σκηναῖς· οὐ γὰρ πέπλοι τῶν ἀργείων τὸ σῶμα αὐτοῦ περικαλύπτοντες συμβάλλειν διδόασί μοι· Δύστηνε.) ταῦτα καθ' ἑαυτὴν λέγει ἡ ἑκάβη· πότερον πρὸς τὸ γόνυ προσελθοῦσα τούτου πέσω, ἢ ὑπομένω διὰ σιγῆς τὰ κακά. Ἄλλως.) ὦ δύστηνε πολύδωρε· τί δράσω ἐγὼ ἡ ἑκάβη, ἐγκύψασα δὲ διαλέγεται πρὸς τὸν νεκρὸν πολυδώρου καὶ πρὸς ἑαυτήν· ὅτι γὰρ ἀποστραφεῖσα ταῦτα λέγει· δῆλον ἐξ ὧν καὶ ὁ ἀγαμέμνων λέγει πρὸς αὐτήν τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν ὀδύρει· τὸ δὲ δύστηνε· ὁ δίδυμος φησὶ πρὸς τὸν πολύδωρον λέγειν τὴν ἑκάβην· ὦ δύστηνε πολύδωρε· ἐμαυτὴν γὰρ λέγω δύστηνον ἀποκαλοῦσα σέ· τί δράσω πότερα ἱκετεύσω ἀγαμέμνονα· ἢ σιωπήσω; Ἄλλως.) ὦ δύστηνε· τὸ δύστηνε οἱ μέν, διὰ τὸν πολύδωρον φασὶ τὴν ἑκάβην οὕτω λέγειν· ὦ δύστηνε πολύδωρε· λέγουσα γὰρ ἡ ἑκάβη σὲ δύστηνον, ἐμαυτὴν λέγω· ἢ πρὸς ἑαυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν οὕτω· ὦ ἑκάβη δύστηνε· λέγουσα γάρ σε δύστηνον ἐμαυτὴν λέγω· οὐ γὰρ τὸ ὄνομα ἐπαινεῖται ἢ ψέγεται· οὗτος αὐτὸς ὁ τὸ ὄνομα ἔχων ἐπαινεῖται ἢ ψέγεται. ἰστέον δὲ ὅτι οἱ ἐκλαμβάνοντες τὸ δύστηνον πρὸς τὸν πολύδωρον, οἱ μὲν τὸ ἑκάβη συντάττουσιν ὡς ἡμεῖς ἔφαμεν· οἱ δὲ, στίζουσι πρὸς τὸ σέ· τὸ δὲ ἑκάβη πρὸς τὸ κάτω συνάπτουσι λέγοντες τὴν ἑκάβην πρὸς ἑαυτὴν κοινολογεῖσθαι τὸ πότερον προσπέσω· διὸ καὶ κρεῖττόν ἐστι τὸ δύστηνε πρὸς τὸν πολύδωρον, καὶ οὐ πρὸς ἑαυτὴν λέγεσθαι. Τί μοι προσώπῳ.) ἀπορούσης τῆς ἑκάβης καθ᾽ ἑαυτὴν, ἆρα προσπέσω τῷ ἀγαμέμνονι· καὶ βοηθεῖν πείσω· ἢ οἴσω τὰ κακὰ ἐν σιγῇ· ἰδὼν ὁ ἀγαμέμνων οὕτως αὐτὴν ἐνδοιάζουσαν, φησί τί ἐγκλίνασα καὶ στρέψασα τὸ σὸν νῶτον ἐμοὶ θρηνεῖς, καὶ οὐ στρέψασα πρόσωπον πρὸς πρόσωπον λέγεις τὸ πραχθέν· τίς ἐστιν οὗτος ὁ νεκρός· τὸ δὲ ἐμοὶ καὶ τῷ προσώπῳ καθ᾽ ὅλον· καὶ μέρος εἴρηται· τὸ μὲν ἐμοὶ, ὅλον· τὸ δὲ προσώπῳ μέρος· μέρος γὰρ τοῦ παντὸς σώματος τὸ πρόσωπον. Ἆρ᾽ ἐκλογίζομαι.) εἰποῦσα ἄνωθεν ὡς πολεμίαν καὶ δούλην ἡγούμενος αὐτὴν ἀγαμέμνων, τὴν ταύτης ἀπώσαιτο δέησιν, νῦν φησὶν· ἆρα ἐκλογίζομαι, καὶ ὑπολαμβάνω τὰς φρένας τοῦδε πρὸς τὸ δυσμενὲς, καὶ τὸ ἐχθρὸν μᾶλλον ἢ τὸ φιλάνθρωπον· οὐκ ὄντος δυσμενοῦς καὶ ἐχθροῦ· ἐκ δὲ τοῦ οὕτω διαπορεῖν, φαίνεται ἑαυτὴν μεμφομένην· ὡς οὐκ ἀληθῆ περὶ ἐκείνου ὑπολαμβάνουσαν· ἐκεῖνον δὲ τῆς αἰτίας ἀπολύουσαν· ἄλλως. Ἆρ᾽ ἐκλογίζομαι.) ἐὰν στίξωμεν εἰς τὸ τοῦδε, νοητέον οὕτως· ἆρα χαλεπὰς καὶ ἐχθρὰς λογίζομαι τὰς φρένας τοῦ ἀγαμέμνονος· οὐκ ὄντος αὐτοῦ δυσμενοῦς· ἵν᾽ ᾖ τὸ πᾶν περὶ ἀγαμέμνον-

νος. ἢ εἰς τὸ μᾶλλον οἰκτέον ἤγουν οὕτως. ἆρα πρὸς
τὸ δυσμενὲς μᾶλλον ῥέπω. τούτου ὄντος οὐχὶ δυ-
σμενοῦς τὰς φρένας. Εἴ τι με βούλει.) εἰ μηδὲν ἀ-
πὸ τούτων βούλει εἰδέναι με, συμφωνεῖς ἐμοί. καὶ γὰρ
οὐδ' ἐγὼ βούλομαι ἀκούειν. Οὐκ ἂν.) οὐκ ἂν δυναί-
μην χωρὶς τοῦδε βοηθεῖν τοῖς ἐμοῖς τέκνοις. διατί
στρέφω τὸν νοῦν, καὶ διαλογίζομαι τάδε. ἀνάγκη τολ-
μᾶν. ἀντὶ τοῦ ἐπιχειρεῖν εἰπεῖν. κἂν τύχω βοηθείας δη-
λονότι. κἂν μὴ τύχω. ὦ ἀγάμεμνον ἱκετεύω σε πρὸς
τῶνδε τῶν γονάτων. καὶ πρὸς τοῦ σοῦ γενείου. καὶ πρὸς
τῆς δεξιᾶς χειρὸς δηλονότι, τῆς εὐτυχοῦς καὶ εὐδαίμο-
νος. Τί χρῆμα.) τί πρᾶγμα ζητοῦσα ἱκετεύεις δη-
λονότι. ποιῆσαι τὸν τῆς ζωῆς σου χρόνον ἐλεύθερον; ῥᾴ-
διον ἐστί σοι τοῦτο δηλονότι. Οὐ δῆτα.) οὐδαμῶς
βούλομαι δηλονότι ἐλευθερωθῆναι. τοὺς κακοὺς δὲ κο-
λάζουσα, τὸν ἅπαντά μου βίον θέλω δουλεῦσαι. καὶ
δὴ εἰς τίνα ἐπάρκειαν καὶ βοήθειαν καλεῖς ἡμᾶς. ἤ-
γουν ἐμέ; οὐδέν τι τούτων ὧν σὺ ὑπονοεῖς ἄναξ θέλω
δηλονότι. ὁρᾷς τόνδε τὸν νεκρὸν, καθ' οὗ στάζω δάκρυ-
ον; Ὁρῶ.) τὸ μέν τοι μέλλον, ἤτοι ὃ μέλλεις περὶ
τούτου εἰπεῖν, οὐ δύναμαι νοῆσαι. τοῦτον ἔτεκον ποτὲ
καὶ ἔφερον ὑπὸ τῆς ζώνης. τουτέστιν ἐν γαστρὶ εἶχον. καὶ
ἔφερον ζώνης ὕπο. ἀντὶ τοῦ ὑπὸ κάτω τῆς ζώνης ἐβά-
σταζον ποτὲ τοῦτον. καὶ ἔτεκον ὑπὸ τῆς ζώνης, ὅμοιον τῷ
ὁρῶ σ' Ὀδυσσεῦ δεξιὰν ὑφ' εἵματος κρύπτοντα τὴν χεῖ-
ρα. καὶ τῷ πέρα γὰρ, ἢ δ' ὑπὸ σκιὼ πόδα. Ἔστι δέ τις.)
ἔστι δὲ ὦ τλῆμον οὗτος τίς τῶν σῶν παίδων; Οὐ
τῶν θανόντων. οὐκ ἔστιν ἀπὸ τῶν υἱῶν τοῦ πριάμου τῶν
θανόντων ἐν ἰλίῳ. Η γάρ.) Ἆρα ἔτεκες καὶ ἄλ-
λον τινὰ παρ' ἐκείνους; Ἀνόνητά γε.) ἀνωφελῶς:

ὡς φαίνεται

ὡς φαίνεται ἔτεκον καὶ τὸν δεὸν ὁρᾷς. Ποῦ δ' ὤν.) ποῦ δὲ ἦν ἡνίκα ἐφθείρετο ἡ πόλις. Πατήρ νιν.) ὅπως τὴν ἐξέπεμψε φοβούμενος μὴ καὶ αὐτὸς ἀποθάνῃ. ὥσπερ δηλονότι οἱ ἄλλοι, ἁλούσης τῆς τροίας. Ποῖ τῶν τότε.) ποῦ ἐξέπεμψε δηλονότι χωρίσας μόνον τῶν τότε ὄντων τέκνων. εἰς τὴν δὲ τὴν χερρόνησον ὅπου ηὑρέθη θανών. πρὸς ἄνδρα τὸν πολυμήστορα δηλονότι ὃς ἄρχει τῆς δὲ τῆς χθονός; καὶ ἐνταῦθα ἐπέμφθη ὁ πολύδωρος φύλαξ χρυσοῦ πικροτάτου. πικρότατον λέγει τὸν χρυσόν, ὡς αἴτιον τῷ πολυδώρῳ τοῦ φονευθῆναι γενόμενον. αἴτιος γὰρ γέγονε πικρίας τῷ παιδὶ ὁ χρυσός. Θνήσκει δέ.) ἀντὶ τοῦ ἔθανε παρὰ τίνος. καὶ τίνος θανάτου τυχών. Τίνος.) ὑπὸ τίνος ἄλλου ἔθανε δηλονότι. ὁ θρᾷξ ὁ φίλος ὤλεσεν αὐτόν. Ὦ τλῆμον.) τοῦτο δύναται νοηθῆναι. καὶ πρὸς τὴν ἑκάβην διὰ τὸν φόνον τοῦ παιδός, πρός τε τὸν πολυμήστορα, ὡς χρυσοῦ ἕνεκα φονέα γενόμενον. καὶ πρὸς τὸν πολύδωρον, ὡς ἀδίκως φονευθέντα. Ὦ τλήμων.) ὦ ὑπομονητικὴ ἐν τοῖς δεινοῖς. ἢ τὸν πολυμήστορα τλήμονα. καὶ ὑπομονητικὸν λέγει, διὰ τὸ κέρδος ἀσεβείᾳ κοινωνήσαντα. Ηράσθη.) ὁ πολυμήστωρ καὶ τοιαῦτα ἐποίησεν, ἀφ' οὗ τὴν συμβᾶσαν βλάβην ἔγνω τῶν φρυγῶν. ἤτοι τῶν τρώων. οἱ γὰρ νεώτεροι τὴν αὐτὴν τροίαν καὶ φρυγίαν φασίν. Ποῦ δὲ ηὑρὼν αὐτόν. ἤ τις. Ἔφερε νεκρόν.) ἡ δὲ ἡ θεράπαινα ἤνεγκεν ἐντυχοῦσα ἐπὶ τοῦ αἰγιαλοῦ. Τοῦτον ζητοῦσα. ἢ ἐνεργοῦσα ἄλλως ἐνέργειαν. Ἐπορεύθη κομίσουσα ὕδατα λουτρὰ τῆς πολυξένης. Κτανὼν αὐτὸν ὡς φαίνεται ἔρριψεν ὁ φίλος. θαλασσόπλαγκτον ὑπὸ τῆς θαλάσσης φέρεσθαι. οὕτως διακόψας τὸ σῶμα ἔρριψεν. Ὦ σχετλία.) ὦ οἰκτρὰ σὺ τῶν ἀναριθμήτων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἕνεκα θλίψεων. Ὄλωλα.) ὄλωλα φησὶν ὑπὸ τῶν κακῶν καὶ τῶν συμφορῶν. καὶ εἰς τὸ μηδὲν ἥκω. ἢ ἐλλειπτικῶς φησίν. ὄλωλα φησὶν ἀγάμεμνον. καὶ οὐδὲν λοιπὸν τῶν κακῶν ἄκος εὑρεῖν δύναμαι. ἢ οὐδὲν ὑπολείπεταί μοι κακὸν ὃ οὐ πέπονθα. φεῦ φεῦ. τίς ἄλλη γυνὴ σοῦ δυστυχεστέρα ἐγένετο. οὐκ ἔστιν ἑτέρα δυστυχεστέρα ἐμοῦ δηλονότι εἰ μή που αὐτὴν τὴν δυστυχίαν λέγεις. ἀλλ' ὧν χάριν προσπίπτω τοῖς σοῖς γόνασιν, ἄκουσον. καὶ εἰ μὲν δίκαιά σοι παθεῖν φαίνομαι, ἀγαπώην ἄν. εἰ δὲ τὸ ἐναντίον, τουτέστιν ἀνόσια ἔπαθον, βοηθὸς ἐμοὶ γενοῦ ἕνεκα τοῦ ἀνοσιωτάτου ξένου. ὃς οὔτε τοὺς κάτω θεούς, ἤγουν τοὺς καταχθονίους. οὔτε τοὺς ἄνω. οὔτε τοὺς οὐρανίους δείσας, ἔργον ἀνοσιώτατον πεποίηκεν. τοὺς μὲν κάτω θεούς, ὅτι ἄταφον αὐτὸν ἔρριψεν. τοὺς δὲ ἄνω ὡς ἐφόρους ὄντας φιλίας, οὐκ ἔδεισεν. ἀλλ' ἐξειργάσατο τὸν φόνον τοῦ ἐμοῦ παιδός. τυχὼν ἐμοὶ κοινῆς τραπέζης. τουτέστι μετ' ἐμοῦ πολλάκις ἑστιαθεὶς καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων τυγχάνων. καὶ οὐκ αἰδεσθεὶς τοὺς κοινοὺς ἅλας. οὔτε τὴν φιλίαν αὐτήν. Εἰ μὲν ὅσια.) ὅσιον λέγεται τὸ δίκαιον. διαφέρει δὲ τοῦτο. ὅτι τὸ δίκαιον ὥσπερ γένος ὄν, διαιρεῖται εἰς ὅσιον καὶ δίκαιον. καὶ τὸ μὲν πρὸς θεοὺς ἐξ ἀνθρώπων γινόμενον, ὅσιον καλοῦμεν. τὸ δὲ πρὸς ἀνθρώπους, δίκαιον. ἐνταῦθα δὲ καταχρηστικῶς ἡ ἑκάβη τὸ ὅσιον λέγει.

Τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν.) νοητέον ἢ ὅτι τυχὼν ἐξ ἡμῶν, ὅσων δεῖ τυγχάνειν τοὺς φίλους πρὸς φίλων. καὶ λαβὼν πρέπουσαν κηδεμονίαν, ἔκτεινες τὸν ἐμὸν υἱόν. ἢ ὅτι τυχὼν δ' ὅσων δεῖ τυγχάνειν τοὺς τῶν βασιλέων παῖδας τρέφοντας ἐν οἴκοις χρημάτων λέγω, καὶ λοιπῆς δαπάνης. καὶ τὸ μὲν α-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοεῖται ἐκ τοῦ κοινῆς τραπέζης τυχὼν ἐμοί, καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων ὤν. τὸ δὲ δεύτερον πρὸς τὸ ἔκτεινεν. Καὶ λαβών.) ἐπιτυχὼν ἤγουν ὅσων πρέπει τυχεῖν φίλον καὶ λαβὼν προμήθειαν, ὅ ἐστι τὰ χρήματα. καὶ πᾶσαν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν. ἢ πρόνοιαν τῶν κατ' ἐμὲ πραγμάτων, ἐφόνευσε. τύμβου δ' οὐκ ἠξίωσεν. ἐπεὶ φονεῦσαι ἠθέλησεν. ἀλλ' ἔρριψεν εἰς τὴν θάλασσαν. ἡμεῖς μὲν οὖν δεδουλωμένοι. καὶ ἀδύνατοι εἰς ἐκδίκησιν ἐπίσης ὑπάρχομεν. ἀλλ' οἱ θεοὶ ἰσχύουσι. καὶ ὁ νόμος ἐκείνων ὁ κρατῶν πάντων. νόμῳ γὰρ θεὸν ἴσμεν, τῷ σέβειν θεοῦ νόμους. τῷ γὰρ φυλάττειν τὰ ὑπὸ τοῦ θεοῦ νενομοθετημένα, καὶ τὸ θεῖον νομίζομεν. Τυχὼν δ' ὅσων δεῖ.) νοητέον ἢ ὅτι τυχὼν ἐξ ἡμῶν ὅσων δεῖ τυγχάνειν τοὺς φίλους πρὸς φίλων, καὶ λαβὼν πρέπουσαν κηδεμονίαν, ἔκτεινε τὸν ἐμὸν υἱόν. ἢ ὅτι τυχὼν δ' ὅσων δεῖ τυγχάνειν τοὺς τῶν βασιλέων παῖδας τρέφοντας ἐν οἴκοις. χρημάτων λέγω καὶ λοιπῆς δαπάνης. καὶ τὸ μὲν πρῶτον νοεῖται ἐκ τοῦ κοινῆς τραπέζης τυχὼν ἐμοί. καὶ τὰ πρῶτα τῶν ἐμῶν φίλων ὤν. τὸ δὲ δεύτερον, πρὸς τὸ ἔκτεινεν. Καὶ δίκαι' ὡρισμένοι.) κακοσυνθέτως εἶπεν. ἔδει γὰρ οὕτως εἰπεῖν. καὶ τὰ δίκαια ὁρισθέντες παρὰ τοῦ θεοῦ τηρεῖν ἐν τοῖς πράγμασιν ἀδίκως βιοῦμεν. Ὃς εἰς σ' ἀνελθών.) ὁ θεῖος νόμος ἀναχθεὶς εἰς σέ, εἰ οὐ κυρωθήσεται. καὶ μὴ ποινὴν δώσουσιν οἱ τοὺς φίλους φονεύουσι. καὶ ἱεροσυλοῦσιν, οὐκ ἔστιν ἀπὸ τῶν πολιτευομένων πραγμάτων ἐν τοῖς ἀνθρώποις ἐν ἰσότητι οὐδὲν ἤγουν ἐν δικαιοσύνῃ. Ἀνελθών.) θαυμαστῶς ἐνταῦθα τὸ ἀνελθὼν κεῖται. διὰ γὰρ τὸ τῆς βασιλείας ὕψος, ταύτῃ τῇ λέξει ἐχρήσατο. τὸ γὰρ ἀνά, τὴν ἄνω φορὰν δηλοῖ. Θεῶν ἱερά.) ἱερὰ θεῶν

λέγει· ἢ τοὺς περὶ τῆς φιλίας γινομένους ὅρκους· καὶ αὐτὴν τὴν μετὰ σπουδῆς θεῶν ἀρχομένων φιλίαν, καὶ τὸ πρὸς τοὺς ξένους παρὰ τῶν θεῶν ταχθὲν δίκαιον. Ταῦτ' οὖν.) ἀντὶ τοῦ τοῦτο, ἤγουν τὸ ἀκυρῶσαι· καὶ μὴ πληρῶσαι τὸν θεῖον νόμον, αἰσχρὸν καὶ ἄδικον ἡγησάμενος, ἐντρέπη θέμε. Ως γραφεὺς τ' ἀποσαθεὶς.) ὡς ζωγράφος ἀποστὰς, κατανοεῖ τὰς εἰκόνας εἰ καλῶς ἐγράφησαν, οὕτω καὶ σύμε ἀθρησον οἵοις κακοῖς περιέπεσον. τὸ δὲ ἴδου βαρυτονεῖται ῥῆμα ὄν. ἐπίρρημα δὲ ὀξύνεται. Αποσαθεὶς.) οὐ πρὸς τὸν ἀγαμέμνονα νοητέον. ἀλλὰ πρὸς τὸ γραφεὺς. οὕτω. καὶ ἴδου με καὶ ἀνάθρησον οἷα ἔχω κακὰ. ὥσπερ γραφεὺς τὴν εἰκόνα βλέπει σταθεὶς ἀπὸ ἵνα μὴ πλησίον ὢν, διαχυθεὶη τοὺς ὀφθαλμοὺς, καὶ οὐ κατάληψιν ἀκριβῶς ποιήσαιτο. οἱ δὲ πρὸς τὸν ἀγαμέμνονα τὸ σταθεὶς λέγοντες, οὐ μόνον εὐήθεις εἰσὶν, ἀλλὰ καὶ τὸν εὐριπίδην συμπαραλαμβάνουσι μετ' αὐτῶν. πῶς γὰρ οὐκ ἠλίθιός τις λέγειν σταθεὶς ἀπὸ τοῦ ἀγαμέμνονος ὥσπερ γραφεὺς. Εὔπαις ποτ' οὖσα.) λάμβανε τὸ ἦν βασίλισσα ἀπὸ κοινοῦ. εὔπαις ποτ' οὖσα, ἦν βασίλισσα. νῦν δὲ γραῦς. καὶ ἄπαις. Ποῖ μ' ὑπεξάγεις πόδα.) ποῦ μεταφέρεις τὸν πόδα σου. τὸ ἐντελὲς. ποῦ μοι ὑπεξάγεις. ἐδισχυσάτει γὰρ αὐτὴ ἐπικουρεῖν ἀγαμέμνων διὰ τὸ φίλον εἶναι τὸν πολυμήστορα. οὐ γὰρ συνεμάχησε τοῖς τρωσὶ χαριζόμενος τοῖς ἕλλησι. Τί δῆ τα θνητοί.) ῥητορικῆς ἔπαινος. διατί ζητοῦμεν ἃ οὐδὲν ἐστι. τὴν δὲ πειθὼ μόνην οὐκ ἀσκοῦμεν ἰσχυρὰν οὖσαν. μισθοὺς διδόντες. Πειθὼ τὴν τύραννον.) τὴν ὥσπερ βασιλεὺς ὑπάγουσαν πάντας πρὸς τὸ δοκοῦν ἑαυτῇ λόγοις ποικίλοις καὶ πιθανοῖς. Οὐδέν τι μᾶλλον.) ἀντὶ τοῦ οὐ

δαμῶς· ὄνομα ἀντὶ ἐπιῤῥήματος· ὡς τὸ ταχὺς ἦλθεν· ἀντὶ τοῦ ταχέως· ὡς ὄνομα γὰρ δύναται ἔχειν ὑποτεταγμένον τὸ τί. Μοχθοῦμεν.) μετὰ πόνου μανθάνομεν. Πειθώ.) τὴν δὲ πειθὼ μανθάνειν ἀκριβῶς οὐ σπουδάζομεν· ἧς ἔδει μᾶλλον ἀντιποιεῖσθαι· ἵνα ὑπάρχῃ φησὶ πείθειν εἰς ἅ τις βούλοιτο· εἰπὼν δὲ τὸ ποτὶ, οὐκ ἀεὶ αὐτῇ ἀνατίθησι τὴν τοῦ πείθειν δύναμιν. Τί οὖν ἔτ' ἄν τις.) εἰς τί οὖν ἐλπίσει δέ τις πράξειν καλῶς. Ὑπερθρώσκοντα.) ὑπερτέλλοντα. Καὶ μὴν ἴσως.) σεμνότατον τὸ σχῆμα παρὰ τοῖς ῥήτορσιν. ἴσως φησὶ κενὸν ὑπάρχει τὸ τὴν ἀφροδίτην εἰς μέσον τεῖαν προτείνειν· ἀλλ' ὅμως λεχθήσεται· καὶ μὴν ἴσως κενὸν καὶ ἄκαιρον τόδε· τὸ ἔμπροσθεν τοῦ λόγου ποιεῖσθαι τὴν συνουσίαν τῆς θυγατρός, ἀλλ' ὅμως εἰρήσεται· πρὸς ταῖς σαῖς πλευραῖς εἰς ὕπνον τρέπεται ἡ ἐμὴ μαντικὴ παῖς· ἥντινα ὀνομάζουσιν οἱ φρύγες κασανδραν· ποῦ δῆτα δείξεις ὦ ἄναξ τὰς προσφιλεῖς νύκτας· ἢ ποῦ ἕξει ἡ ἐμὴ παῖς· τὸ ποῦ κατὰ κοινοῦ, χάριν τινὰ, καὶ ἀνταμοιβὴν, ἕνεκα τῶν ἐν τῇ εὐνῇ φιλτάτων ἀσπασμάτων· καὶ φιλημάτων τίνα χάριν ἕξει ἡ ἐμὴ παῖς ἀπὸ σοῦ; ἀπ' ἐκείνης δ' ἐγώ· ἐκ τῆς νυκτὸς γὰρ, καὶ ἐκ τῶν νυκτερινῶν φίλτρων, πάνυ μεγίστη γίνεται χάρις τοῖς βροτοῖς· ἄκουε δὴ νῦν ὁρᾷς τὸν δὲ τὸν θανόντα ἤγουν τὸν πολύδωρον, τοῦτον δρῶν καλῶς, ἤτοι εὐεργετῶν, ὄντα γυναικάδελφον σέθεν ἤγουν σοῦ δράσεις εὖ δηλονότι· ἑνός ἐστιν ἐμοὶ ὁ μῦθος ἐλλιπής· εἴθε γένοιτό μοι λαλιὰ ἐν τοῖς βραχίοσι· καὶ ἐν ταῖς κόμαις· καὶ ἐν τῇ βάσει τῶν ποδῶν ἢ ἐν τέχναις δαιδάλου· ἤ τινος ἀπὸ τῶν θεῶν· ἵνα πάντα τὰ μέλη μου ἅπτοιντο ὁμοῦ τῶν σῶν γονάτων· κλαίοντα· καὶ ἐπιλο

μένη παντοίους λόγους. ὦ δέσποτα. ὦ μέγιστον φάος
τοῖς ἕλλησιν· ἀντὶ τοῦ τῶν ἑλλήνων. πείθητι. καὶ δὸς ἐμοὶ
τῇ πρεσβύτιδι χεῖρα βοηθόν. εἰ καὶ μηδέν ἐστιν ἡ ἱκετεύ
ουσά σε δυνατόν. ἀλλ' ὅμως δεῖ αὐτὴν παρὰ σοῦ ἐλεη
θῆναι. ἴδιον γὰρ ἀνδρὸς ἀγαθοῦ τῇ δικαιοσύνῃ βοηθεῖν.
καὶ τοὺς κακοὺς δρᾶν ἀεὶ πανταχοῦ κακῶς. ἤτοι τιμω
ρεῖσθαι. Εἰ καὶ μηδέν ἐστιν.) ἡ ἱκετεύουσά σε ὡς αἰχ
μάλωτος. καὶ δούλη. ἀλλ' οὖν δι' αὐτὸ τὸ δίκαιον τιμώ
ρησαι τὸν πολυμήστορα. τοῦτο γάρ ἐστιν ἀνδρὸς ἀγαθοῦ,
τὸ τοὺς κακοὺς ἐντίμως τιμωρεῖσθαι. Δαιδάλου τε
χναισι.) περὶ τῶν δαιδάλου ἔργων. ὅτι ἐκινεῖτο. καὶ
περιῄει φωνὴν, αὐτός τε εὐριπίδης ἐν εὐρυσθεῖ λέγει, οὐκ
ἔστιν ὦ γεραιὲ μὴ δείσῃς τάδε, τὰ δαιδάλεια πάντα
κινεῖσθαι δοκεῖ. βλέπειν τ' ἀγάλματ' ἔσθ' ἀνὴρ κεῖνος σο
φός. καὶ Κρατῖνος ἐν θρᾴτταις. πάνυ κακὸν δ' ἴσως μα
στίων τινὰ ποτὲ χαλκοῦν ἢ ξύλινον. καὶ χρυσοῦν περι
σιν, οὐδαμῶς ξύλινος ἐκεῖνος. ἀλλὰ χαλκοῦς ὢν ἀπέ
δρα. πότερον δαιδάλειος ἦν. ἤ τις ἔκλεψεν αὐτόν. καὶ
πλάτων. οὗτος. τί ἔλεγε τάχυ τι σιγᾷς. οὐκ ἐρεῖς;
ἑρμῆς ἔγωγε δαιδάλου φωνὴν ἔχων. ξύλινος βαδί
ζων αὐτομάτως ἐλήλυθα. Δαιδάλου τέχναισι.)
ἀγαλματοποιὸς ὁ δαίδαλος ποιῶν ἀγάλματα οὕτω
κάλλιστα, ὡς ἱστορεῖσθαι περὶ τούτων τοῖς ποιηταῖς, ὅτι
φωνὴν ἠφίεσαν. καὶ ἐκινοῦντο. οὗτος ὁ δαίδαλος, καὶ πτε
ρὰ ὅτε ἐβούλετο περιετίθει. ἐπεὶ καὶ τὸν υἱὸν ἴκαρον ἐκ
κηροῦ πτερὰ πλασάμενος, καὶ περιθεὶς αὐτῷ ἐποίησεν ἐ
ναέριον κομισθῆναι. διαλυθέντος δὲ τοῦ κηροῦ, πέπτωκεν
εἰς τὸ νῦν καλούμενον ἀπ' αὐτοῦ ἰκάριον πέλαγος. φασὶ
γὰρ ἀμυνάμενον τὸν ἥλιον δαίδαλον, ὡς πεποιηκότα
τὴν θυγατέρα αὐτοῦ πασιφάην ἐρασθῆναι τοῦ ταύρου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μιγῆναι αὐτῷ, ἐπεὶ τότε πετόμενον ἤδε τὸν αὐτοῦ υἱὸν ἴκαρον ἐκ κηροῦ πτεροῖς χρώμενον, σφόδρα ὡς ἐμπεσεῖν τοῖς πτεροῖς. καὶ διαλυθῆναι ταῦτα παρασκευάσαι. καὶ τὸν ἐν τούτοις κουφιζόμενον ἴκαρον κατενεχθέντα πεπνίχθαι. Δεινόν γε θνητοῖς.) ἐπεὶ τὴν ἑκάβην ὁ χορὸς ἤδει δεομένην τοῦ ἀγαμέμνονος βοηθῆσαι αὐτῇ ἐχθροῦ ὄντος, ὡς τὴν πόλιν ταύτης πορθήσαντος, λέγει δεινὸ παθῶν. δεινόν ἐστιν ὅτι συμπίτνει καὶ συμπίπτει πάντα τοῖς θνητοῖς. καὶ οὔτε ὁ φίλος ἀεὶ φίλος. οὔτε ὁ ἐχθρὸς, ἀεὶ ἐχθρός. ἀλλ᾽ ὁ μὲν φίλος ἐστὶν ὅτε ἐχθρὸς γίνεται. ὁ δὲ ἐχθρὸς φίλος. καὶ οἱ νόμοι κελεύοντες τὸν μὲν φίλον ἀεὶ φίλον ἡγεῖσθαι. τὸν δὲ ἐχθρὸν, ἀεὶ ἐχθρὸν, λέγουσι. κεχωρισμένως τὰς ἀνάγκας τιθέντες διὰ τούτων τοὺς φίλους ἐχθρούς. καὶ τὸ ἀνάπαλιν. οἱ οὖν ἐάν τις ἀνάγκη συμβῇ, ὥσπερ καὶ νῦν, ὁ μὲν φίλος ἐχθρὸς. ὁ δὲ ἐχθρὸς, φίλος καθίσταται. οὕτω τοῦτο νοεῖται. οἱ δὲ ἀλλάττοντες τὰς λέξεις καὶ τὰς ἀνάγκας, ἀντὶ τοῦ ἀνάγκαι. καὶ τὸ νόμοι ἀντὶ τοῦ νόμους, καὶ τἄλλα ὁμοίως λέγοντες, ἀμαθεῖς. Ἄλλως δεινόν γε θνητοῖς. μεταλλακτέον τὰς πτώσεις. ἐστὶ γὰρ καὶ αἱ ἀνάγκαι τοὺς νόμους διώρισαν. ὁ γὰρ νοῦς. δεινὸν ὅτι πάντα συνέχεται τὰ κακὰ κατὰ ταυτὸν τοῖς ἀνθρώποις καὶ αἱ ἀνάγκαι τὰ νενομισμένα τοῖς ἀνθρώποις μετήλλαξαν. ἐδέδοκτο γὰρ πολέμιον εἶναι τῇ ἑκάβῃ τὸν ἀγαμέμνονα. ἀλλ᾽ ἡ ἀνάγκη τὸν νενομισμένον τῇ ἑκάβῃ μετήλλαξεν. Ἄλλως. ἐναντίως εἶπεν. ἔδει γὰρ καὶ τοὺς νόμους ἀνάγκαι διορίζουσιν. αὗται καὶ νόμων ἐπικρατέστεραι. οὐ τὸ ἐναντίον. διότι τὰ ἑκούσια τιμωροῦνται. οὐχὶ τὰ ἐξ ἀνάγκης δρώμενα. ὡς καὶ νῦν ἡμᾶς ἐξ ἀνάγκης φίλον ποιεῖσθαι τὸν πολέμιον. Ἀλ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λως.) διώρισαν. διετύπωσαν. ἀφορίζουσιν. οἷον αἱ ἀνάγκαι οὐκ ἀκολούθως τοῖς νόμοις πράττουσιν. ὅθεν αἱ ἀνάγκαι τῶν νόμων ἐπικρατέστεραι εἰσίν. οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. Ἐγώ σε καὶ τὸν σὸν παῖδα.) καὶ τὴν δυστυχίαν σου καὶ τὴν ἱκεσίαν χεῖρα ἐλεῶ. καὶ θέλων φησὶν ἕνεκα τοῦ δικαίου. καὶ τῶν θεῶν ταύτην σοι δοῦναι τὴν χάριν τὸ τιμωρήσασθαι δηλαδὴ τὸν ἄδικον ξένον. ὅπως δυνατὸν γένοιτο. ὥστε. καὶ σοὶ καλῶς γενέσθαι. καὶ τοῖς ἕλλησι μὴ δόξω διὰ κασάνδραν τιμωρεῖσθαι τὸν πολυμήστορα. Ἄλλως. βούλομαι ἕνεκα τῶν θεῶν. καὶ ἕνεκα τοῦ δικαίου, δοῦναί σοι τὸν ἀνόσιον τὴν δὲ τὴν δίκην. Μὴ δόξαιμι.) δέον δόξαι εἰπεῖν. πρὸς τὸ σοί τ᾽ ἔχειν. ὁ γὰρ τε σύνδεσμος τοῦτο ἀπαιτεῖ, δόξαιμι εἶπε πρὸς τὸ φανῆναι. ζητῶν δὲ πανταχοῦ ταύτην εὑρήσεις τὴν σύνταξιν. Ἔστι γὰρ ἡ ταραγμός.) τὸ τί ἐλλείπει. ἵν᾽ ᾖ, ἔστι γὰρ τί φησι, καθὸ τετάραγμαι ποῖον τοῦτο; τὸν ἄνδρα τοῦτον φίλον ἡγεῖται στρατός. Ἄλλως. ἔμελλεν εἰπεῖν ὅτι ἐστὶ φίλος τοῖς ἕλλησιν. εἶτα μεταλογισάμενος, φησίν. ὅτι ταραγμὸς ἐμπέπτωκέ μοι. ἀντὶ τοῦ τετάραγμαι. ἐννοήσας ὅτι φίλος ἐστὶ τῷ στρατεύματι ὁ πολυμήστωρ. Φεῦ οὐκ ἔστι θνητῶν.) ταῦτά φησιν ἐπειδὴ ἐν ἐξουσίᾳ ὢν ὁ ἀγαμέμνων. οὐ δύναται αὐτῇ χάριν παρασχεῖν. ὑφορώμενος τοὺς ἕλληνας. Φεῦ οὐκ ἔστιν.) οὐκ ἔστιν ὅστις ἀπὸ τῶν θνητῶν ἐστὶν ἐλεύθερος. ἀντὶ τοῦ ὅστις οὐκ ἔστι δοῦλος. ἢ γὰρ δοῦλός ἐστι χρημάτων κατὰ κοινοῦ ἤγουν φιλοχρήματος. ἢ δοῦλος κατὰ κοινοῦ, τύχης. καὶ εὐτυχίας. ἢ τὸ πλῆθος ἤγουν ὁ δῆμος τῆς πόλεως. ἢ αἱ γραφαὶ τῶν νόμων. ἤτοι αἱ νομικαὶ διατάξεις κωλύουσιν αὐτὸν μὴ χρῆσθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς νόμοις κατὰ γνώμην καὶ κατὰ θέλησιν. Η τύχης) τύχη λέγεται κυρίως ὅταν ἄλλο ἐνεργῇ τις, εἶτα ἄλλο συμβῇ. τύχαι παρ' ἕλλησι καὶ αἱ ταπειναὶ πράξεις τῶν ἀνθρώπων καὶ ὑποπεπταγμέναι καὶ αἱ ὑψηλαὶ καὶ ἐπικρατοῦσαι. ἀπὸ τῆς τύχης γὰρ ἐνόμιζον πάντα γίνεσθαι τοῖς ἀνθρώποις, οὐκ ἀπὸ εὐβουλίας τε καὶ κακοβουλίας. ἐνταῦθα κατὰ τὸ δεύτερον σημαινόμενον λέγεται ἤγουν ἢ χρημάτων γάρ ἐστι δοῦλος. ἢ τύχης ἐστὶ δοῦλος. τουτέστιν ὑψηλοτέρας τινὸς τάξεως καὶ ἐπικρατούσης. διαφέρει δὲ ἡ τύχη τοῦ αὐτομάτου, ὅτι τὴν μὲν τύχην εἶναι τοῦτο ὅπερ εἴρηται. τὸ δὲ αὐτόματον ὅταν γένηταί τι ἄλλο, ἄλλου μηδαμῶς ἐνεργοῦντος. δοῦλος δὲ τύχης ἐστὶν ὁ ἀναγκαζόμενος δουλεύειν τῇ τῶν κρειττόνων εὐτυχίᾳ. Επεὶ δὲ ταρβεῖς.) ἐπεὶ δὲ φοβῇ. καὶ τῷ ὄχλῳ πλέον νέμεις, ἀντὶ τοῦ κεχαρισμένα τοῖς ἕλλησιν, ἐγὼ ποιήσω σε ἀπολελυμένον τοῦ δὲ τοῦ φόβου. συνεπίστασο ἐὰν βουλεύσω τι κακὸν τῷ ἀποκτείναντι τὸν πολύδωρον δηλονότι. καὶ μὴ συμπράξῃς. ἐὰν γὰρ πάσχοντος τοῦ πολυμήστορος οἷα πείσεται. καὶ ὑπομενεῖ, φανῇ ἐκ τῶν ἀχαιῶν θόρυβός τις, ἢ κακοήθεια, κώλυε. μὴ φαινόμενος δι' ἐμὲ εἴργειν δηλονότι. τὰ δ' ἄλλα. κατὰ τὰ ἄλλα θάρρει. ἐγὼ ποιήσω πάντα καλῶς. Χερ) τίς σοι συνυπάρξει δύναμις.

Κεκεύθουσιν.) κρύπτουσι. Τιμωρήσομαι.) κολάσω. Εσω κράτος.) ἐπικράτεια. Δεινόν.) χαλεπὸν τὸ πλῆθος καὶ σὺν δόλῳ δυσκαταγώνιστον. Τί δ' οὐ γυναῖκες.) τί δὲ οὐ γυναῖκες εἷλον τὰ τέκνα τοῦ αἰγύπτου, καὶ τοὺς ἄρσενας ἐξοικισθῆναι ἐποίησαν τῆς λήμνου, ἀντίστροφον. ἀντὶ τοῦ τοὺς ἄρσενας ἐξῴκισαν ἄρδην τῆς λήμνου. Ιστορία. αἴγυπτος καὶ δα/

ναὸς ἀδελφοὶ ἦσαν. ἰοῦς δὲ τῆς ἰνάχου θυγατρὸς ἀπόγονοι. τούτων ὁ μὲν αἴγυπτος ἔσχε παῖδας ἄρσενας πεντήκοντα. ὁ δὲ δαναὸς καὶ αὐτὸς θυγατέρας ν. οὗτος τῷ ἀδελφῷ αἰγύπτῳ φθονῶν διὰ τὴν τῶν ἀρσένων κτῆσιν, καὶ φοβηθεὶς μήπως ὑπ' αὐτοῦ τῆς βασιλείας ἐκβληθῇ, ἀνδρωθέντων τῶν υἱῶν αὐτοῦ, ἐδίωξεν αὐτὸν εἰς αἴγυπτον ἅμα τοῖς παισὶν αὐτοῦ. ὅθεν καὶ ἀπ' αὐτοῦ αἴγυπτος ἐκλήθη. χρόνου δὲ τινος διαγινομένου, καὶ τῶν παίδων ἀνδρωθέντων, θαῤῥῶν αἴγυπτος τῇ τούτων δυνάμει, παρεγένετο εἰς τὸ ἄργος. ὁ δὲ δαναὸς φοβηθεὶς αὐτὸν, πρόνοιαν ποιούμενος τῆς βασιλείας, κατὰ τῶν αἰγύπτου υἱῶν τοιαύτην ἐσκέψατο ἐπιβουλήν. συνέθετο γὰρ τῷ αἰγύπτῳ συνάψαι πρὸς γάμον τὰς ἑαυτοῦ θυγατέρας τοῖς υἱοῖς αὐτοῦ. ἑτοίμως δὲ τοῦτο κατεπαγγελλόμενος τῷ αἰγύπτῳ, συνεβούλευσε ταῖς θυγατράσιν ὁ δαναὸς, ὥστε ἀνελεῖν νύκτωρ τοὺς ἑαυτῶν ἄνδρας, πρὸ τῆς μίξεως τῆς πρὸς αὐτούς. θάνατον ἐπαπειλήσας ταῖς μὴ τοῦτο ποιούσαις. αἱ μὲν οὖν ἄλλαι ἔχουσαι τὸ τοῦ πατρὸς πρόσταγμα ἀνεῖλον τοὺς ἄνδρας. μία δὲ τούτων μόνη ἡ ὑπερμνήστρα ἐφείσατο τοῦ λυγκέως, ἀπὸ τῆς μίξεως διάθεσιν ἐσχηκυῖα πρὸς αὐτόν. οὗτος δὲ σωθεὶς, ἐξεδίκησε τοὺς ἀδελφούς. ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ δαναοῦ ἅμα καὶ αὐτόν. καὶ τῆς τούτου βασιλείας ἐκράτησε τοῦ ἄργους ἅμα τῇ ὑπερμνήστρᾳ. καὶ γίνεται ἐκ τούτου ἄβας. ἐξ ἄβαντος προῖτος καὶ ἀκρίσιος. ἐξ ἀκρισίου, δανάη. ἐκ δανάης περσεύς. ἐκ περσέως, ἀλκαῖος. ἠλεκτρύων. καὶ σθένελος. ὧν ὁ μὲν ἀλκαῖος, ἔσχε τὴν ἀμφιτρύωνα παῖδα. ὁ δὲ ἠλεκτρύων τὴν ἀλκμήνην. ἐξ ἀλκμήνης δὲ ἡρακλῆς. καὶ ἴφικλος. ἐξ οὗ ἰόλαος. φασὶ δὲ οἱ ποιηταὶ ταύτας ἐν ἅδου κο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λάζεσθαι· διὰ τὸν φόνον τῶν ἰδίων ἀνδρῶν ὑδροφορεῖν καταδικασθείσας ἐν τετρυπημένῳ πίθῳ· ὅθεν καὶ παροιμία ἐπὶ τῶν αἰήνυτα μοχθούντων, εἰς τετρυπημένον πίθον ἀντλεῖν λεγομένη. Καὶ λήμνον ἄρδην, ἐν λήμνῳ γυναῖκες ἐτέλουν ἐτήσιον ἑορτὴν τῇ ἀφροδίτῃ· ἐπεὶ οὖν ποτε καταφρονήσασαι τῆς θεοῦ, ἀπέλιπον τὸ ἔθος, ἡ ἀφροδίτη ἐνέβαλεν αὐταῖς δυσωδίαν, ὡς μὴ δύνασθαι τοὺς ἑαυτῶν ἄνδρας αὐταῖς πλησιάσαι· αἱ δὲ, νομίσασαι ὑπὸ τῶν ἀνδρῶν καταφρονεῖσθαι, τούτους πάντας ἀπέκτειναν· ὁ δὲ δίδυμος οὕτω· πελασγοὶ ἐπιθέμενοι ποτὲ ταῖς ἀθήναις, πολλοὺς τῶν ἐξ ἀθηνῶν ἁρπάσαντες, ἤγαγον εἰς λήμνον· ἐν οἷς, καὶ γυναῖκας ἀττικάς· αἷς παλλακίσι χρησάμενοι ἔσχον παῖδας· οὓς αἱ μητέρες τῶν τε πατρίων τὴν γλῶτταν· καὶ τὰ ἤθη ἐδίδαξαν· οἳ καὶ συνήρχοντο τότε ἀλλήλοις· καὶ εἴ τις τύπτοι ἀπ᾿ αὐτῶν τινὰ, ἐβοήθουν ἅπαντες· καὶ μετὰ ταῦτα αἱ λήμνιαι γυναῖκες, τοὺς σὺν θόαντι πάντας ἀπέκτειναν· δι᾿ ἀμφότερα οὖν ταῦτα, ἡ παροιμία ἐδόθη τὰ λήμνια κακά. Αλλ᾿ ὡς κινεῖσθαι·) ἀλλὰ πῶς χρὴ κινεῖσθαι τὸν δὲ μὲν τὸν λόγον ἄφες· παράπεμψον δὲ χάριν ἐμοῦ, τὴν δὲ τὴν γυναῖκα διὰ τοῦ στρατοῦ ἀκινδύνως· καὶ σὺ ὦ γύναι πλησιάσασα τῷ φίλῳ τῷ θρακὶ, λέξον· καλήσει ἡ ἑκάβη ἡ ποτὲ ἄνασσα τῆς τροίας, διὰ χρείαν σοῦ μᾶλλον ἢ ἐκείνης· καὶ παῖδας καλεῖ δηλονότι· ὅτι δεῖ γινώσκειν καὶ τὰ τέκνα τοὺς ἀπ᾿ ἐκείνης λόγους· τὸν δὲ τάφον, ἤτοι τὴν ταφὴν τῆς νεοσφαγοῦς πολυξένης καρτέρησον ὦ ἀγαμέμνον· ἵνα οὗτοι οἱ ἀδελφοὶ· ἡ διπλῆ φροντὶς ἐμοὶ, ἐν μιᾷ φλογὶ κρυφθέντες, ἀντὶ τοῦ ἐν τῇ χθονὶ πλησίον ἀλλήλων δηλονότι. Κείνης χρέος·) μὴ λάβῃς ἔξωθεν τὸ διά· ἀλλ᾿ ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ σέ· οὕτω· καλήσει ἡ

ἑκάβῃ χρέος καὶ χρεία σοὶ οὐκ ἔλαττον ἢ ἐκείνῃ. ἤγουν ἡ ἀφίξις, σαυτῷ οὐκ ἔλαττον ἢ ἐκείνῃ ὑπάρξεις χρεία. ὥσπερ γὰρ φαμὲν καλῷ τῷ δεῖνα ἑαυτῷ βοηθῆσαι οὐχ ἧττον, ἢ ἐμοί. οὕτω καὶ τοῦτο. δέον δὲ εἰπεῖν σοί, σὺ εἶπε πρὸς τὸ χρέος. Ἔστω τάδε.) οὕτως ὡς λέγεις δηλονότι. καὶ γὰρ εἰ μὲν ἦν τῷ στρατῷ καιρὸς πλοῦ. οὐκ ἂν εἶχον σοὶ δοῦναι τὴν δωρεὰν ταύτην. νῦν δὲ, οὐ γὰρ ἀφίησιν ὁ ποσειδῶν πνοὰς ἐπιτηδείας, ἀνάγκη πρὸς καρτερεῖν προσδοκῶντας πλοῦν ἥσυχον. εἰ δὲ, γένοιτο κατά τινα τρόπον πραχθῆναι δηλονότι τὰ κατὰ σὲ εὖ καὶ καλῶς. καὶ ἑνὶ ἑκάστῳ. καὶ πόλει κατευμιον τόδε. λέγω τὸ, τὸν μὲν κακὸν πάσχειν κακόν. τὸν δὲ χρηστὸν, εὐτυχεῖν. Καὶ γὰρ εἰ μὲν ἦν.) οὐ καλῶς φησὶ ταῦτα ὁ ἀγαμέμνων. ἐχρῆν γὰρ αὐτὸν ἅπαξ διδόντα τὴν χάριν, σιωπῆσαι. καὶ μὴ ἐλέγξαι τὴν ἑαυτοῦ γνώμην. ἀλλ' οὐκ ἀνάγκη τοιαύτη ὑπέκειτο βασιλεῦς ὤν. Γένοιτο.) εἴη δὲ πραχθῆναι τὸ κατὰ σὲ καλῶς. ὅτι καὶ πᾶσι κατευύμιον τοῦτο. ὁ γὰρ φόνον δράσας, κοινὸν τοῖς ἀνθρώποις ἀδίκημα ἐποίησε. λυμηνάμενος τῷ κοινῷ νόμῳ. καὶ ἀδικήσας τὸ τῆς φύσεως ὁμοιογενές. Σὺ μὲν ὦ πατρὶς ἰλιάς.) τὰ τοιαῦτα ἤδη τῶν χορῶν καλεῖται ἐπῳδικά. ἔστι δὲ τὰ παρόντα πεντὰς ἐπῳδική. ἤτοι στροφὴ καὶ ἀντιστροφή. καὶ πάλιν στροφὴ καὶ ἀντιστροφή. καὶ ἐπῳδός. εἰσὶν οὖν τῆς α΄ στροφῆς τὰ κῶλα ϛ΄. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ πρῶτον ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος τρίτου ἀντὶ τοῦ ἰωνικοῦ. καὶ διϊάμβου. τὸ β΄ τροχαϊκὸν ἑφθημιμερές. ὃ καλεῖται εὐριπίδειον. ἢ ληκύθιον. τὸ γ΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. ἐκ χοριάμβου καὶ διισπονδείου. εἰ δὲ βούλει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δακτυλικὸν ἑφθημιμερές. τὸ δ΄ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος. χοριάμβου. καὶ συλλαβῆς. τὸ ε΄ ἀναπαιστικὸν πενθημιμερές. τὸ ϛ΄ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. καὶ παίωνος τρίτου. ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος διϊάμβου καὶ συλλαβῆς. τὸ αὐτὸ δύναται καὶ ἰαμβικὸν εἶναι ἑφθημιμερὲς τῶν πρώτων ποσῶν ἀναπαίστων. τὸ ζ΄ ἰωνικὸν δίμετρον καταληκτικὸν. ἤτοι ἑφθημιμερές. ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ κρητικοῦ. ἤτοι ἀμφιμάκρου. τὸ η΄ ἀντισπαστικὸν. δίμετρον ὑπερκατάληκτον. καθαρὸν. ἐξ ἐπιτρίτου δ΄ διϊάμβου καὶ συλλαβῆς. τὸ θ΄ δίμετρον ὑπερκατάληκτον καθαρὸν. ἐξ ἀντισπάστου διϊάμβου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει τῆς στροφῆς παράγραφος.

Σὺ μὲν ὦ πατρὶς ἰλιάς.) ἡ μὲν θεράπαινα κατὰ τὴν πρόσταξιν τῆς ἑκάβης, ἀπέρχεται πρὸς τὸν πολυμήστορα. ὁ δὲ χορὸς τῶν αἰχμαλωτίδων γυναικῶν λέγει τὰς συμφορὰς αὐτῶν, ἵνα μὴ ἀργὴ τὸ σχῆμα μέχρις οὗ ἔλθῃ ὁ πολυμήστωρ. λέγεται δὲ οὕτως. σὺ μὲν ὦ πατρὶς τρωική. οὐδαμῶς κληθήσῃ πόλις τῶν ἀπορθήτων. τοιόνδε νέφος. καὶ πλῆθος τῶν ἑλλήνων περικαλύπτει σε πορθήσαν ἐν δορὶ καὶ πολέμῳ. ἀπεκόπης γὰρ τὴν στεφάνην. καὶ τὸν καλλωπισμὸν τῶν πύργων. κατεχρώσθης δὲ ἤτοι μεμελάνωσαι ἐλεεινότατε κηλῖδι καπνοῦ αἰθάλου καὶ καυστικοῦ. ὦ τάλαινα πατρὶς δηλονότι. οὐκέτι ἐν σοὶ διατρίψω. καὶ ἐμπεριπατήσω σοι. κατὰ τὸ μεσονύκτιον ἐφθάρην. ὁπηνίκα ἐκ τῶν δείπνων, ἤτοι μετὰ τὰ δεῖπνα, κέχυται ἐπὶ τοῖς ὀφθαλμοῖς ὕπνος γλυκύς. ἀπὸ τῶν ὕμνων δὲ καὶ ἀπὸ τῶν χοροποιῶν θυσιῶν καταπαύσας ἑαυτὸν δηλονότι ὁ πόσις, ἔκειτο ἐν τοῖς θαλάμοις. οὐδαμῶς ὁρῶν τὸν ναυτικὸν ὅμιλον περιπα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦντα εἰς τὴν τροίαν· τὸ δόρυ δὲ ἔκειτο κατὰ κοινοῦ
ἐπὶ τῷ πασσάλῳ· τὸ δὲ ἀκόντιον εἰπών, ἀπὸ μέρους ἐδή-
λωσεν ὅλα τὰ ὅπλα· Στεφάνην πύργων·) ἤγουν
τοὺς δίκην στεφάνων περιβάλλοντας πύργους· ἢ τὸ στε-
φάναν γενικὴν τῶν πληθυντικῶν νόει· οὕτω γὰρ οἱ δω-
ριεῖς τὰς γενικὰς τῶν πληθυντικῶν ἐκφέρουσιν· ὅπερ οὕ-
τως ὁρεῖς· ἀποκέκαρσαι τῶν στεφάνων τῶν πύργων λέ-
γω· Αἰθάλῳ·) οὐ χρὴ γράφειν αἰθάλου καπνοῦ
κηλῖδι, ἤτοι καυστικῇ κηλῖδι· ἀλλ' αἰθάλῳ κηλῖδι· ἤτοι
καυστικῇ κηλῖδι· ἤγουν πυρί· ἢ καπνῷ ἀπὸ μέρους· πε-
ρισσὸν οὖν ἦν τῷ καπνῷ· διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ· ἵν'
οἰκεῖον ᾖ τὸ κῶλον πρὸς τὸ τῆς ἀντιστροφῆς· Κεῖτο·)
τὸ κεῖτο πρὸς τὸ ναύταν οὐκέθ' ὁρῶν ὅμιλον συναπτέον·
Τὸ δὲ ξυστὸν δ' ἐπὶ πασσάλῳ διὰ μέσου·) λάμβανε
δὲ εἰς τὸ πασσάλῳ ἢ ἔκειτο ἀπὸ κοινοῦ· ἢ ὑπῆρχεν· καὶ
μὴ ὥσπερ τινὲς τῶν ἀμαθῶν τὸ ἔθηκεν· αἰτιατικὴν τὸ
ξυστὸν λογιζόμενοι· Ἐμβεβαῶτα·) τὸ ἐμβαίνω, εἰ
μὲν πρὸς δοτικὴν συντάσσεται τὸ ἐν ἔχει τὴν δύναμιν·
εἰ δὲ πρὸς αἰτιατικήν, τὸ βαίνει· ὥσπερ κἀνταῦθα τὸ ἐμ-
βεβαῶτα τροίαν ἰλιάδα· φησὶ δὲ φιλόστρατος ἐν ἡ-
ρωικοῖς· ἐμβὰς τὴν ναῦν· ἐμβεβῶτα χρὴ γράφειν· οὐκ
ἐμβεβαῶτα· οὐχ οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς
ἀλλ' ἐκείνως· Ἐγὼ δὲ πλόκαμον·) τῆς β ταύτης
στροφῆς τὰ κῶλα ι· καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα·
τὸ α ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τοῦ β καὶ γ
ποδὸς χορείου· τὸ β ὅμοιον καθαρόν· ὃ καλεῖται ἀνα-
κρεόντειον· τὸ γ ὅμοιον πενθημιμερές· τὸ δ ἰωνικὸν
δίμετρον ὑπερκατάληκτον· ἢ ἐπιωνικὸν ἐξ ἐπιτρίτου
γ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ συλλαβῆς· τὸ ε ἀσυνάρ-
τητον, ἐξ ἀναπαιστικῆς βάσεως· καὶ ἰαμβικοῦ πενθημ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μιμεροῦς. τὸ ϛ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἐκ τριῶν χορείων καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ζ ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ η ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. ἐξ ἐπιτρίτου β. καὶ α. καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ β χοριάμβων. καὶ ἀναπαίστου. εἰ δὲ βούλει ἀναπαιστικὸν δίμετρον. τὸ ι ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. ἐπὶ τῷ τέλει τῆς ἀντιστροφῆς παράγραφος. Οἱ ἕλληνες μὴ δυνάμενοι τὴν τροίαν ἑλεῖν, ἵππον κατεσκεύασαν ξύλινον. ἀνατιθέμενοι δῆθεν τοῦτον τῷ ὀλυμπίῳ διῒ τῷ τὴν τροίαν φυλάσσοντι. ἐμβαλόντες δὲ τούτῳ πολλούς τε ἄλλους τῶν ἡρώων, καὶ μενέλαον. ἔστησαν πρὸ τῶν τειχῶν. αὐτοὶ δὲ ὑπεχώρησαν εἰς τὰς ναῦς, καὶ ἀνηνέχθησαν ἐν θαλάσσῃ. δοκοῦντες οἴκαδε ἀναστρέφειν. οἱ τοίνυν τρῶες ἐπιχειρήσαντες εἰς τὴν πόλιν τὸν δούρειον ἵππον ἀγαγεῖν, ἐπειδὴ οὐχ οἷοί τε ἦν εἴσω γενέσθαι διὰ τὸ μέγεθος, ἕνα τῶν πύργων ὥς φασί τινες κατενεγκόντες, οὕτως ἔνδον τὸν ἵππον εἰσήγαγον. βαθείας δὲ νυκτὸς γενομένης. καὶ τῶν τρώων ἀμερίμνως κειμένων, ὡς μηδενὸς τῶν ἑλλήνων φαινομένου ἐν τῷ λιμένι, ἐξελθόντες ἐκ τοῦ ἵππου οἱ ἕλληνες, ἔχοντες καὶ προδότας τῆς τροίας, ἀναβάντες ἐπὶ τοῦ τείχους μετὰ πυρσῶν καὶ βοῆς, ἐκάλεσαν τοὺς ἕλληνας. οἳ τότε ἐπανελθόντες παρεστήσαντο τὴν τροίαν.

Ἐγὼ δὲ πλόκαμον.) ἐγὼ δὲ τὸν πλόκαμον ηὐτρέπιζον κατὰ τάξιν. καὶ ἐκόσμουν ἐν μίτραις. καὶ ἀπανίοις ἀναδέτοις. ἤτοι ἐπάνω τῆς κεφαλῆς δεδεμένοις. λεύσσουσα εἰς κυκλοτερεῖς αὐγὰς τῶν χρυσέων κατόπτρων. ἵνα πέσοιμι εἰς τὴν κοίτην. εἰς δὲ τὴν πόλιν ἔμολεν ἦχος. κέλευσμα δὲ. ἤτοι βοὴ τῶν ἑλλήνων ἦν κα-

τὰ τὸ ἄστυ τῆς τροίας πέδα. ὦ ἕλληνες. πότε δὴ πότε πορθήσαντες τὴν τρωϊκὴν ἐξοχήν. τουτέστι τὴν ἀκρόπολιν, παραγενήσεσθαι εἰς τοὺς οἴκους. τὴν προσφιλῆ δὲ κοίτην λιποῦσα, μονόχιτων καθὰ κόρη λακεδαιμονία, καθίζουσα πρὸς τὴν σεμνὴν ἄρτεμιν ἱκέτις οὐκ ἤνυσα ἡ ἀθλία. τουτέστιν οὐκ ἠδυνήθην σωθῆναι. ἄγομαι δὲ ἐπὶ τὸ πέλαγος τὸ θαλάσσιον. ἰδοῦσα τὸν ἐμὸν ἄνδρα θανόντα. καὶ τὴν πόλιν ἀπὸ μακρόθεν ὁρῶσα, ἀφ' οὗ ἐπίστροφον ἡ ναῦς ἐσάλευσε πόδα. Ἀνὰ δὲ τοῖς μίτραισι.) μετὰ τὸ συνοχηθῆναι ἐν ταῖς μίτραις ἐκαλλωπιζόμην ἐπὶ τὸ καθεύδειν μετὰ τοῦ ἀνδρὸς κατὰ τὸ γυναικεῖον ἔθος. Ἀτέρμονας δὲ, περιφερεῖς.) τούτων γὰρ οὐκ ἔστι τέρμα. τὰ γὰρ κυκλοτερῆ τέρματα οὐκ ἔχει. λέγει δὲ λεύσσουσ' ἐς κυκλοτερεῖς αὐγάς. τουτέστι τὰς τέλος μὴ ἐχούσας. τούτων γὰρ οὐκ ἔστι τέρμα. παρὰ τὸ εἴωθος δὲ ἔφη μεσονύκτιον ἐνοπτρίζεσθαι.

Ἀνὰ δὲ κέλαδος.) τὸ δὲ οὐκ ἔστι περιττὸν ὡς οἴονταί τινες. ἀλλ' εἰώθασιν οἱ ἀττικοὶ ἐν ταῖς ἀποδόσεσι. καὶ ἐπαναλήψεσι τοῦτο τιθέναι. ὃ ζητῶν πανταχοῦ εὑρήσεις. Πότε.) λείπει τὸ εἰ μὴ νῦν. τοῦτο δὲ φησὶν ἔλεγον οἱ ἕλληνες παρακελευόμενοι ἀλλήλους. πότε τὴν ἀκρόπολιν πορθήσαντες τῆς τροίας, παραγένησθε εἰς τὰ οἰκεῖα. Δωρὶς ὡς κόρα.) δοῦρις ἐν τῷ ιβ΄ τῶν ὥρων, γράφει οὕτως. ὡς ὑπὸ αἰγινητῶν πειρατευόμενοι ἀθηναῖοι, στρατιὰν κατ' αὐτῶν ἀποστέλλουσιν. οἱ δὲ, ἅμα σπαρτιάταις, ἅπαντας ἀπέκτειναν. εἷς δὲ ὑπέστρεψεν ἄγγελος. ὃν περιστᾶσαι τῶν τεθνεώτων αἱ γυναῖκες καὶ τὰς περόνας τῶν ὤμων ἀφελόμεναι, ἐξετύφλωσαν εἶτα ἀπέκτειναν. οἱ δὲ ἀθηναῖοι, δεινὸν ἡγησάμενοι τὸ πραχθὲν, περιεῖλον τῶν γυναικῶν τὰς περόνας. ἐπέπε

εἰς ὁπλισμὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς ὁπλισμὸν αὐταῖς ἐχρήσαντο· καὶ οὐ πρὸς φυλακὴν τῆς σαμπεχόνης· αὐτοί τε ἐκόμων· αἱ δὲ γυναῖκες ἐκείροντο· καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν οἱ χιτῶνες· αἱ δὲ γυναῖκες ἐβρύαζον ταῖς δωρίαις στολαῖς· διὸ καὶ ἡμᾶς τὰς ἀχίτωνας, δωρίζειν ἔφασαν. Ἄλλως· αἱ λακεδαιμόνιαι κόραι διημερεύουσιν ἄζωστοι· καὶ ἀχίτωνες· ἱματίδιον ἔχουσαι πεπορπημένον ἐφ' ἑκατέρου τῶν ὤμων· καὶ καλλίμαχος· ἔσκεν ὅ τ' ἄζωστος· χἀτερόπορπος· ἔτι καὶ ἐν ταῖς ἀρχαίαις γραφαῖς· οὐκ ὀλίγα ὅτ' ἔσταλται· καὶ δωριάζειν τὸ γυμνὰς φαίνεσθαι τὰς γυναῖκας· ἀνακρέων· ἐκδῦσα χιτῶνα δωριάζειν. Μονόπεπλος.) αἱ λακεδαιμόνιαι γυναῖκες ἐν τοῖς ἀγῶσι μονοχίτωνες ἦσαν· πόρπας ἐφ' ἑκατέρου τῶν ὤμων ἔχουσαι· ὅθεν καὶ δωριάζειν τὸ γυμνοῦσθαι ἀνακρέων φησί. Ἄγομαι.) ἄγομαι ἐπὶ τὸ πέλαγος· ἑωρακυῖα τὸν ἄνδρα μου ἀποθανόντα. ἰστέον δὲ ὅτι τὸ ἐπειγόσιμον, πρὸς τὸ ἄγομαι συναπτέον τῇ ἐννοίᾳ. Κἀμ' ἀπὸ γῆς ὤρισεν ἰλιάδος.) τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα ι΄. τὸ πρῶτον ἐπιωνικὸν τρίμετρον, καταληκτικόν· ἐξ ἐπιτρίτου τρίτου· ἰωνικοῦ ἀπὸ μείζονος, καὶ δακτύλου· τὸ β΄ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου τρίτου· ἢ δ΄ καὶ σπονδείου· εἰ δὲ βούλει τροχαϊκὸν ἰθυφαλικόν· τὸ γ΄ χοριαμβικὸν δίμετρον καταληκτικόν· ἐκ χοριάμβου· καὶ ἀναπαίστου· τὸ δ΄ ἰαμβικὸν πενθημιμερές· τὸ ε΄ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον ἐκ σπονδείων· καὶ τροχαίων· τὸ ς΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· τὸ ζ΄ ἐπιχοριαμβικὸν δίμετρον· ὑπερκατάληκτον· ἐξ ἐπιτρίτου δ΄ χοριάμβου· καὶ συλλαβῆς· τὸ η΄ ἰαμβικὸν ἐφθημιμερές· τοῦ β΄ καὶ γ΄ ποδὸς χορείου· τὸ θ΄ παιωνικὸν ἡμιόλιον· ἐκ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παίωνος δ΄ καὶ δύο συλλαβῶν. τὸ γ΄ χοριαμβικὸν
τρίμετρον βραχυκατάληκτον. ἐκ χοριάμβου ἐπιτρίτου
α΄ καὶ τροχαίου. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.
Καί μ' ἀπὸ γῆς.) καὶ ἐμὲ ἀπὸ τῆς γῆς ἐξώρισε τῆς τρωϊ
κῆς. ἀπηγόρευσα ἡ ἀθλία τῇ λύπῃ. τῇ ἑλένῃ τῇ ἀδελ
φῇ τῶν διοσκούρων, κάστορος καὶ πολυδεύκους. καὶ τῷ
πάριδι καταρωμένη. ἐπεὶ με τῆς πατρώας γῆς, καὶ
τῶν οἴκων ἐξῴκισεν. οὐ γάμος. ἀλλὰ ταλαιπωρία δαί
μονός τινος κακοποιοῦ. ἥν τινα ἑλένην μήτε τὸ πέλαγος
ἀπαγάγοι πάλιν ἤγουν εἰς τοὐπίσω. μήτε ἀφίκοιτο
εἰς τὸν πρῶτον οἶκον. Διδοῦσα κατάρα.) πρὸς τὸ
ἀποσκοποῦσα ἐστὶν ἡ μετοχὴ τὸ κατάρα διδοῦσα. τὸ
δὲ ἐπεὶ νόσιμον καὶ τὸ τάλαινα ἀπρεπὲς ἄλγει, διὰ μέ
σου. εἰ καὶ φασί τινες τῶν ψυχρῶν πρὸς τὸ ἀπρεπὲς τὴν
μετοχὴν ταύτην εἶναι. Ω φίλτατ' ἀνδρῶν πρία
με.) ἐλθὼν ὁ πολυμήστωρ πρὸς τὴν ἑκάβην, πρὸς μὲν
τὸν πρίαμον ὡς ἀπόντα λέγει μόνον ὦ φίλτατε πρία
με δίχα τοῦ σύ. πρὸς δὲ τὴν ἑκάβην ὡς ζῶσαν χρῆται
τῷ σύ. καὶ θρηνεῖ αὐτήν τε ὡς δούλην. καὶ τὴν πόλιν αὐ
τῆς ὡς ἁλοῦσαν. καὶ τὴν νεοσφαγῆ πολυξένην. εἶτα γνω
μοτυπούμενος λέγει. οὐκ ἔστιν οὐδὲν βέβαιον. οὔτε εὐτυ
χία. οὔτε ἂν εὐτυχῇ τίς, ἡ κατ' ἐκεῖνον εὐτυχία ἀεὶ
παραμένει. ἀλλὰ τῆς μεταβολῆς τῶν πραγμάτων αἰ
τίους ἡγεῖται τοὺς θεούς. φύρειν γὰρ καὶ ἑνοῦν αὐτὰ τού
τους φησί. καὶ τὸν πλούσιον εἰς τὸ ὄπισθεν ἄγειν, πένη
τα καθιστῶντες. τοῦτο γάρ ἐστι τὸ πάλιν. τὸν δὲ πένη
τα εἰς τὸ πρόσθεν φέρειν. ἤγουν πρὸς εὐπορίαν. καὶ πλοῦ
τον. ποιοῦντας τὴν πραγμάτων σύγχυσιν. ἵνα τούτων
ἐν ἀδήλῳ καθεστώτων, μὴ προσέχωμεν αὐτοῖς, ὡς με
ταβαλλομένοις. ἀλλὰ τοὺς θεοὺς σεβόμενοι, αὐτῷ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ ἀγαθὰ· καὶ ἡμῖν συμφέροντα. αἱ περίοδοι δὲ αὗται στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ο. ὧν τελευταῖος, ξένῳ παισὶν, οὕπερ τὸν ἐμὸν ὤκιστα γόνον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Τὸ δὲ ἀλλὰ ταῦτα τί δεῖ θρηνεῖν.) οὐχ ὡς οἴονται τινὲς σιωπητικόν. δυσχεράνας γὰρ ὁ πολυμήστωρ ἄνωθεν πρὸς τὸ ἀβέβαιον τῶν πραγμάτων· καὶ τούτων ἀναθεὶς τὴν αἰτίαν τοῖς θεοῖς, νῦν φησίν· ἀλλὰ ταῦτα ἅπερ ἔφην τί θρηνεῖν δεῖ. οὐδαμῶς προχωροῦντα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν. τουτέστιν οὐχ ὑπερβαίνει τὰ κακὰ μεταβαλλόμενα· ἀλλ᾽ ἀεὶ κακὰ τυγχάνοντα· τὸ δὲ μεταβάλλεσθαί τι ἀεὶ ἀπὸ κακοῦ πρὸς τὸ καλὸν, ἔμπροσθεν τοῦ κακοῦ φαμὲν γίνεσθαι.

Ω φίλτατ᾽ ἀνδρῶν πρίαμε· καὶ σὺ ὦ ἑκάβη φιλτάτη δακρύω εἰσορῶν σε· τήν τε σὴν πόλιν· καὶ τὴν θυγατέρα σου τὴν θανοῦσαν πρὸ ὀλίγου. φεῦ· θαυμαστικόν. οὐκ ἔστιν οὐδὲν πιστόν· καὶ βέβαιον· οὔτε εὐδοξία καὶ εὐημερία. οὔτε εὐτυχοῦντα τινὰ, μὴ δυστυχήσειν. φύρουσι δὲ καὶ ταράττουσιν αὐτὰ οἱ θεοὶ, εἰς τοὔπισω· καὶ ἔμπροσθεν ἐντιθέντες σύγχυσιν. ἵνα ἀγνοίᾳ τοῦ μέλλοντος σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τὰ κακὰ, κατὰ τί δεῖ θρηνεῖν ἐμὲ δηλονότι, οὐδαμῶς προκόπτοντα καὶ προερχόμενα εἰς τὸ ἔμπροσθεν τῶν κακῶν ὅ ἐστιν, οὐ κατόπιν ἐόντα τὰ κακά. σὺ δὲ εἰ κατά τι μέμφῃ ἐμοὶ ἕνεκα τῆς ἀποδημίας, ἐπίσχες σαυτὴν δηλονότι. ἐτύγχανον μὲν ἀποδημῶν ἐν τῷ μέσῳ τῶν τῆς θράκης ὁρίων, ὅτε ἦλθες ὧδε. ἐπεὶ δὲ ἦλθον, αἴροντί μοι· καὶ κινοῦντι τὸν πόδα ἔξω τῶν δωμάτων. εἰς ταὐτὸν ἤτοι ὁμοῦ συμπίπτει. καὶ συναντᾷ ἡ δούλη σου αὕτη. ἀπαγγέλλουσα ἀγγελίας. ὧν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀκούων ἀφικόμην. Αἰσχύνομαί σε προσβλέπειν.) ὦ πολυμῆστορ, αἰσχύνομαι βλέπειν πρὸς σὲ κατὰ πρόσωπον. κειμένη ἐν τοιαύταις δυστυχίαις. σοὶ γὰρ ὦ τινι ὤφθην δυστυχοῦσα, αἰδοῦμαι ὀφθῆναι δηλονότι ὑπάρχουσα ἐν ταύτῃ τῇ δυστυχίᾳ, ὅπου εἰμὶ νῦν. καὶ οὐκ ἂν δυναίμην βλέπειν πρὸς σὲ ὀφθαλμοῖς ὀρθῶς ἀτενίζουσιν. ἀλλ' αὐτὸ μὴ νομίσῃς ἔχθραν σου ὦ πολυμῆστορ. ἄλλως τι καὶ νόμος αἴτιόν τι. λέγω τὸ μὴ βλέπειν γυναῖκας κατὰ πρόσωπον ἀνδρῶν. Αἰδώς μ' ἔχει). ἀγνοοῦντες μικροῦ πάντες ἐνταῦθα τὴν σύνταξιν, σόλοικον ἡγοῦνται. λέγοντες ὡς τυγχάνουσαν ἔδει εἰπεῖν. πρός τι αἰδώς μ' ἔχει. τὸ δ' οὕτω συντάσσεται. ἐν τῷ δὲ γὰρ τῷ πότμῳ καὶ τῇ τύχῃ, ὅπου εἰμὶ νῦν τυγχάνουσα, αἰδώς μ' ἔχει ἐκείνου τοῦ ἀνδρός, ᾧ τινι ἐφάνην δυστυχοῦσα. πρὸς τὸ αἰδὼς συντακτέον οὕτως αἰδὼς γὰρ ἔχει μ' ἐκείνου, ᾧ τῷ ὤφθην δυστυχοῦσα. τυγχάνουσα ἡ αἰδὼς ἐν τῷ δὲ τῷ πότμῳ. ὅπου εἰμί. τουτέστιν αἰδοῦμαι θεάσασθαί σε. ἡ δὲ αἰδώς, οὐκ ἀλλόθεν, ἢ ἐκ τῆς δυστυχίας ἐστίν. ἐν ᾗ νῦν πρόσκειμαι. ὃ δὲ καὶ κρεῖττον ἐστὶ τοῦ προτέρου. Καὶ θαῦμά γ' οὐδέν.) ἀξιώσθαί σε δηλονότι. ἀλλὰ τίς χρεία ἐμοῦ σοι. διὰ τί πρᾶγμα μετεπέμψω ἐκ τῶν δόμων, τὴν ἐμὸν πόδα ἤγουν ἐμέ. Ἀλλὰ τίς χρεία σ' ἐμοῦ.) ἔδει οὕτως εἰπεῖν. ἀλλὰ τίς χρεία σοὶ ἐμοῦ. νῦν δὲ ὁμηρικῷ ζήλῳ, ἀντὶ τοῦ σοὶ σὸν εἴρηκεν. λαμβάνων τὴν εἰς πρόθεσιν ἔξωθεν. ὡς τὸ χρειὼ βουλῆς ἐμὲ τε καὶ σέ. ἢ ἔπει ἡ οι δίφθογγος κουφίζεται καὶ συναλοίφεται ἐσω χαὐταῦθα σοί. Ἴδιον ἐμαυτῆς.) ἴδιον δή τι ἐμαυτῆς βούλομαι εἰπεῖν πρὸς σέ, καὶ τοὺς σοὺς παῖδας. τοὺς δὲ ἀκολούθους κέλευσον χάριν ἐμοῦ, μακρὰν κεῖσθαι τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ τῶν δόμων. Κέλευσον τῶν δ᾽ ἀποστῆναι δόμων.) ἀκολουθούντων τῷ πολυμήστορι τῶν αὐτοῦ ὑπηκόων, ἐλθόντι πρὸς τὴν ἑκάβην, ἰδοῦσα αὕτη ὡς οὐ δυνηθείη τὸ κατ᾽ αὐτοῦ δρᾶμα τελέσαι τούτων παρόντων, φησὶ πρὸς τὸν πολυμήστορα· κέλευσον ἀπελθεῖν τοὺς σοὺς δούλους, ἵνα σοι λάθρα εἴπω ὃ βούλομαι. καὶ ὃς πεισθεὶς, ὑποχωρεῖτε τοῖς αὐτοῦ δούλοις φησίν, οὐ γὰρ φοβοῦμαι μονωθεὶς ὑμῶν. τουτὶ γὰρ δηλοῖ, τὸ, ἐν ἀσφαλεῖ γὰρ ἥδε ἡ ἐρημία. Χωρεῖτε.) ἀποχωρεῖτε. ἐν ἀσφαλεῖ. ἀντὶ τοῦ ἐν οὐδενὶ φόβῳ ἐστὶν ἥδε ἡ ἐρημία. προσφιλὴς μὲν εἶ σύ, προσφιλὲς δὲ ἐμοὶ καὶ τόδε τὸ στράτευμα τῶν ἀχαιῶν. ἀλλὰ πρέπει δηλοῦν ἤτοι λέγειν σὲ τί τὸν εὐτυχοῦντα πρέπει βοηθεῖν τοῖς μὴ εὐτυχοῦσι φίλοις. ὅτι ἕτοιμος εἰμὶ ἐγώ. Πρῶτον μὲν εἰπέ.) διὰ τὸν παῖδα τὸν πολύδωρον, ὃν ἔχεις ἐν τοῖς δόμοις ἐκ τῆς ἐμῆς χειρὸς λαβὼν δηλονότι. ἔκ τε τοῦ πατρός, εἰ ζῇ. τὰ δὲ ἄλλα ἐρωτήσω σε κατὰ δεύτερον λόγον. Μάλιστα ζῇ.) κατὰ τὸ μέρος ἐκείνου. ἤγουν ὅσον δι᾽ ἐκεῖνον, εὐδαιμονεῖς. Ὦ φίλτατε.) ὡς λίαν καλῶς. καὶ ἀξίως σου λέγεις. χλευάζουσα αὐτόν, ταῦτα φησί. τί οὖν θέλεις ἐκ δευτέρου μαθεῖν ἐξ ἐμοῦ; Εἰ τῆς τεκούσης.) τοῦτο θέλω μαθεῖν, εἰ ὁ υἱός μου μέμνηταί κατά τι ἐμοῦ τῆς τεκούσης ἐκεῖνον. Ναὶ μέμνηται δηλονότι. καὶ ὧδε κρυφίως ἐζήτει ἐλθεῖν. Ὁ δὲ χρυσὸς ἀνελλιπὴς καὶ ἀκέραιος ἐστίν, ὃν ἦλθε φέρων ἐκ τροίας; σῶος ἐστίν, ἐν τοῖς ἐμοῖς φυλασσόμενος οἴκοις. Σῶσόν νυν αὐτόν.) φύλαττε δὴ αὐτὸν τὸν πλοῦτον. καὶ μὴ ἐπιθύμει τῶν πραγμάτων τοῦ πλησίον. Τὸ νῦν οὐκ ἔστι χρονικὸν ἐνταῦθα. ἀλλὰ συμπερασματικόν. ἀντὶ τοῦ δὴ λαμβανόμενον, ὥσπερ καὶ τὸ νῦν παραπληρωμα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τιχῶν. χρῶνται δὲ τῷ νῦν μόνοι οἱ ποιηταὶ, τῷ δὲ
νῶν, καὶ ποιηταὶ, καὶ λογοποιοί. ἴσθι δὲ ὅτι τὸ μὲν νῦν
τὸ χρονικὸν ἀεὶ μακρόν ἐστι. καὶ περισπᾶται. διὸ καὶ
τὸ νυνὶ ἐκ τούτου γινόμενον, μακρόν ἐστι. τὸ δὲ νῦν ἀν-
τὶ τοῦ δὴ, ἀεὶ βραχὺ. καὶ ὀξύνεται μόνον κείμενον. συν-
τεθὲν δὲ ἐγκλίνεται ὡς κἀνταῦθα. διὸ καὶ τὸ τοίνυν
ἐκ τούτου γινόμενον, βραχύ ἐστι. Ηκιστα.) ὀναίμην
οὐδαμῶς ἐρῶ τοῦ πλούτου τοῦ πλησίον. ἀπολαῦσαι
μὴ τοῦ ἰδίου ὦ γύναι. Οἶδας οὖν ἃ εἶπεν σοί. καὶ
τοῖς σοῖς τέκνοις θέλω; οὐκ οἶδα. τοῦτο δὲ δηλώσεις
διὰ τοῦ σοῦ λόγου. Αγαπηθήτω ὁ παῖς μου ὑπὸ σοῦ,
ὡς νῦν σὺ ἀγαπᾷ ὑπ᾽ ἐμοῦ. κατὰ μὲν τὸ φαινόμενον
λέγει ἀγαπάσθω ὁ πολύδωρος ὑπὸ σοῦ, οὕτως, καθὰ
σὺ νῦν φιλῇ ὑπ᾽ ἐμοῦ. κατὰ δὲ τὸ νοούμενον, ὡς σὺ φι-
λῇ ἀρτίως παρ᾽ ἐμοῦ, οὕτως ἐφιλεῖτο καὶ ὁ πολύδω-
ρος παρὰ σοῦ. Τί χρῆμα.) τί ἐστι τὸ πρᾶγμα ὅ-
περ ἐστὶ πρέπον εἰδέναι καὶ ἐμὲ, καὶ τὰ μὰ τέκνα. θη-
σαυροὶ παλαιοὶ χρυσοῦ κεκρυμμένοι τῶν πριαμιδῶν.
τοῦτο ἐστὶ τὸ πρᾶγμα. θησαυροὶ κεκρυμμένοι τῶν πρια-
μιδῶν. Ταῦτα ἐστὶν ἅτινά με θέλεις δηλῶσαι τῷ
παιδί σου. Ναί. διὰ σοῦ θέλω μηνῦσαι ταῦτα τῷ
πολυδώρῳ. ὑπάρχεις γὰρ εὐσεβὴς ἄνθρωπος. Κα-
τὰ τί οὖν χρεία ὑπάρχει τῆς ἐλεύσεως τῶν παίδων.
Λυσιτελές ἐστιν ἐὰν σὺ ἀποθάνῃς, τούτους γινώσκειν.
καλῶς εἶπας οὕτως τῇ δὲ τῇ διανοίᾳ. καὶ σοφωτέ-
ρως ἐμοῦ. Γινώσκεις ποῦ ἐστὶ τῆς τρωϊκῆς ἀθηνᾶς ὁ
ναός; Εκεῖ ἐστὶν ὁ χρυσός; Τί δὲ σημεῖον τοῦ τόπου ἐν ᾧ
ἐστίν. Μέλαινα πέτρα ὑπάρχει ὑπερκειμένη τῆς γῆς.
Ε ποῦ ὑπὲρ τούτοις θέλεις τι τῶν ἐκεῖ πραγμάτων δη-
λοποιεῖν μοι; Φυλάξαι σε τὰ χρήματα, μεθ᾽ ὧν ἐξῆλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐου τῆς πόλεως βέλος. Ποῦ δῆτα ἐστὶ δηλονότι. ἐντὸς τῶν πέπλων ἔχεις; ἢ κρύψασα ἀλλαχοῦ φυλάσσεις; Ἐν τῷ πλήθει τῶν λαφύρων ἐν ταῖς δὲ ταῖς σκηναῖς σώζεται τὰ χρήματα. τὸ δὲ ταῖς δὲ, ἀναφορικόν ἐστι καὶ δεικτικόν. ἡ μὲν οὖν ἑκάβη, δεικτικῶς εἶπε ταύταις ταῖς σκηναῖς. ὁ δὲ πολυμήστωρ ἀναφορικῶς νοήσας, ἐρωτᾷ. ποῦ δὲ αὗται αἱ κατασκηνώσεις τῶν ἀχαιῶν αἱ ναυτικαί. εἰς τὸ αἵ δε. στικτέον. τὸ δὲ λεῖπον ἰδία κατ᾽ ἐρώτησιν ἐν ὑποστιγμῇ. ναύλοχοι δὲ, τὰ ναύσταθμα. ποῦ δὲ αὗται αἱ στέγαι ἃς λέγεις ἔχειν τὸν χρυσὸν ἆρα τὰ ναύσταθμα τῶν ἑλλήνων. τουτέστιν ἐν ταῖς ναυσὶ λέγεις εἶναι τὸν χρυσόν. πρὸς ὃ ἐπάγει ἡ ἑκάβη. ὅτι οὐ τὰς ναῦς εἶπον στέγας. ἰδία γὰρ καὶ χωρίς εἰσὶ δηλονότι αἱ στέγαι τῶν αἰχμαλωτίδων γυναικῶν. τὰ ἔνδον δὲ πιστά. καὶ ἀσφαλῆ. καὶ ἐρημία. καὶ στέρησις ἀρσένων; οὐδεὶς τῶν ἀχαιῶν ἔνδον, ἀλλ᾽ ἡμεῖς μόναι. ἀλλὰ βάδιζε εἰς τοὺς οἴκους. καὶ γὰρ οἱ ἀργεῖοι ποθοῦσι λῦσαι τὸν πόδα. ἀντὶ τοῦ τὴν πορείαν τῶν νηῶν, ἐκ τῆς τροίας εἰς τὸν οἶκον. ἵνα πράξῃς πάντα ὧν χρεία ἐστίν, εἰς πρᾶξιν ἐλθεῖν. δηλονότι σὲ, ἐπαναστρέψῃς σὺν τοῖς παισίν, ὅπου κατῴκισας τὸν ἐμὸν υἱόν

Πράξας.) πρὸς μὲν τὴν ὑπόληψιν τοῦ πολυμήστορος, ἀντὶ τοῦ ποιήσας νοεῖται. πρὸς δὲ τὴν τῆς ἑκάβης, ἀντὶ τοῦ παθών. πράττω γὰρ καὶ τὸ ποιῶ. καὶ τὸ πάσχω. Οὔπω δέδωκας.) εἰσελθόντος εἴσω τοῦ πολυμήστορος, ἐκτὸς ὁ χορὸς ἱστάμενος τοῦτο φησίν. οὔπω δέδωκας. τὰ τοιαῦτα εἴδη τῶν χορῶν, καλεῖται μονοστροφικά. μονοστροφικὰ δὲ εἰσιν ὥς ἡφαιστίων φησίν, ὅποσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ κῶλα ιβ΄. τὸ α΄ ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β΄ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ΄, καὶ ἰάμβου. οὕτω δὲ χρὴ γράφειν τὰ κῶλα. ὡς ὑφ' ἡμῶν διηρέθη. ἵν' ἔχωμεν γνῶναι τίνος εἰσὶ μέτρα. τὸ τρίτον ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου. γ΄ καὶ ἰάμβου. τὸ δ΄ ὅμοιον τῷ β΄. τὸ ε΄ ὅμοιον τῷ γ΄. ἐξ ἐπιτρίτου δευτέρου. καὶ ἰάμβου. τὸ ϛ΄ ὅμοιον καθαρὸν ἀντισπαστικὸν ἡμιόλιον. τὸ ζ΄ ὅμοιον τῷ β΄. τὸ η΄ ἀντισπαστικὸν δίμετρον. ὑπερκατάληκτον. ἐξ ἀντισπάστου ἐπιτρίτου δ΄ καὶ συλλαβῆς. τὸ θ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τοῦ α΄ καὶ β΄ ποδὸς χορείου. τὸ ι΄ ἴαμβος τρίμετρος. τὸ ια΄ παιωνικὸν τρίμετρον ἀκατάληκτον. ἐκ παιώνων δ΄ δύο καὶ κρητικοῦ. τὸ ιβ΄ ὅμοιον κατὰ πάντα. ἐπὶ τῷ τέλει παράγραφος μόνη. Οὔπω δέδωκας δίκην. ἀλλ' ἴσως δώσεις, λέχριος καὶ πλάγιος. καθά τις εἰς ἄντλον. ἤτοι πέλαγος μὴ ἔχον λιμένα, στερηθήσῃ τῆς προσφιλοῦς ψυχῆς. ἀμαυρώσας καὶ ἀπολέσας τὴν ζωήν. τὸ γὰρ ὑπέγγυον. ἤτοι τὸ ἠσφαλισμένον τῇ δίκῃ. καὶ τοῖς θεοῖς οὐ συμπίτνει καὶ οὐ καταπίπτει. ὀλέθριον ὀλέθριον κακὸν εἰς ὃ μέλλεις ἐμπεσεῖν δηλονότι. ψεύσει καὶ ἀπατήσει ἡ ἐλπὶς τῆς δὲ τῆς ὁδοῦ. ἡ ἐλπὶς ἐπήγαγεν ἀντὶ τοῦ ἤγαγεν σε πρὸς τὸν ἀΐδην τὸν θανάσιμον τὸν τοὺς τεθνεῶτας δεχόμενον. ἰὼ. φεῦ ὦ τάλας ἐν χειρὶ δὲ ἀπολέμω καὶ γυναικεία. καταλείψεις τὴν ζωήν.

Οὔπω δέδωκας.) καὶ τοῦτον ἔνιοι φασὶ τὸν στίχον τὴν ἑκάβην λέγειν ἠρέμα καθ' ἑαυτὴν. ἵνα μὴ ὑποψίαν αὐτῷ δῷ, ὧν μέλλει τυγχάνειν. Αλίμενόν τις.) τοῦτο πρὸς τὸ ἄνω συντακτέον τὸ ἀλίμενόν τις, τῷ οὔπω δέδωκας ἀλλ' ἴσως δώσεις δίκην. τιμωρηθήσῃ φησίν, ὥς τις εἰς ἄντλον λέχριος καταπέσῃ ἀπολέσας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν βίον τῆς φίλης καρδίας. Τὸ γὰρ ὑπέγγυον.) δίδυμος οὕτως. τὸ ἀληθὲς φησὶν, οὔτε παρὰ τῇ δίκῃ, οὔτε παρὰ τοῖς θεοῖς ἐμπεσὸν ἀφανίζεται. τοῦτο δὲ διὰ τὸν πολυμήστορα. ὅτι μέλλει τιμωρηθῆναι. πρῶτος ἀρξάμενος τῶν ἀτόπων. ἄλλως. ὑπέγγυον. δίκαιον. ὧδε ὑποστικτέον. τὸ ἠσφαλισμένον φησὶ τῇ δίκῃ καὶ παρὰ τοῖς θεοῖς οὐ διαπίπτει. ἤγουν ὃ ἂν κυρώσῃ ἡ δίκη. τοῦτο βέβαιον παρὰ τοῖς θεοῖς. ἤγουν ὅ, τι τιμωροῦνται οἱ νόμοι ὡς ἄδικον, τοῦτο καὶ θεοὶ τιμωροῦνται. ἐπειδὴ οἱ νόμοι παρὰ θεῶν. καὶ ταῦτα βούλονται τιμωρεῖν. καὶ διεκδικεῖν, ἃ καὶ οἱ θεοί. δικαίως οὖν κολαζόμενος ὁ πολυμήστωρ, καὶ τοὺς θεοὺς ἐχθροὺς ἔχει. Ἄντλον δὲ λέγει, τὸ πέλαγος. καὶ ἀλίμενον. τὸ λιμένα μὴ ἔχον. Ἄλλως. Τὸ γὰρ ὑπέγγυον. τοῦτο διπλῶς νοητέον. τὸ γὰρ ὑπέγγυον καὶ φανερὸν τῇ δίκῃ καὶ τοῖς θεοῖς, ὀλέθριον κακόν. ἤγουν ὅπερ ὁμολογουμένως οἱ θεοὶ κακὸν ἡγοῦνται. καὶ μισοῦσιν, οὐ συμπίπτει. καὶ συμπίπτει ἤγουν οὐκ εἰς λήθην ἔρχεται. ἀλλὰ κολάζεται ὑπ' αὐτῶν. καὶ πάλιν. τὸ γὰρ ὑπέγγυον ὂν φανερόν. καὶ ὁμολογούμενον ὀλέθριον κακὸν, οὐ συμπίπτει. καὶ συνέρχεται τῇ δίκῃ καὶ τοῖς θεοῖς. ἤγουν οὐκ ἀποδεκτὸν αὐτοῖς ἐστιν. οἱ μὲν γὰρ ἀγαθοὶ, καὶ δίκαιοι. τὸ δ' ἄδικον, καὶ κακόν. Ἀμέρσας.) στερήσας. μέρδω ἐνεστὼς παρὰ ποιηταῖς. τὸ παρὰ τοῖς κοινοῖς μαρμαίρω. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμέρδω. ἤμερδον παρατατικός. ἀμέρσω μέλλων. ἤμερσα ἀόριστος. ἀμέρσας μετοχή. γίνεται δὲ τὸ μέρδω, ἀπὸ τοῦ μερίζω κατὰ συγκοπὴν τοῦ ι. καὶ ἐκβολὴ τοῦ σ τοῦ ἐν τῷ ζ. τὸ λευκὸν γὰρ καὶ λαμπρὸν μερίζει. καὶ διαιρεῖ τὴν ὄψιν εἰς τὰ ὁρατά. Ψεύσει σ' ὁδοῦ.) ἡ ἐλπὶς ταύτης τῆς ὁδοῦ. ἥτις ἐλπὶς ἤγαγέ σε ἐπὶ ὀλέθριον κακόν

πρὸς τὸν ἀΐδιω τὸν θανάσιμον ἀπατήσεται. Ὦ μοι τυφλοῦμαι.) ἔνδον τυφλούμενος βοᾷ. φεῦ μοι πηροῦμαι τὴν ὄψιν τῶν ὀφθαλμῶν ὁ ἄθλιος ἐγώ. Ἠκούσατε τὸν τοῦ πολυμήστορος κλαυθμὸν ὦ φίλαι; Ὦ μοι λίαν αὖθις. ὦ τέκνα ἕνεκα τῆς ἀθλίας σφαγῆς. Ὦ φίλαι ἐνήργηται νέα κακὰ ἐντὸς τῶν δόμων. Ἀλλ' οὐδαμῶς ἀποδράσητε ταχεῖ ποδί, ἤγουν φθάσω. καὶ καταλήψομαι ὑμᾶς ταχεῖ ποδί. καὶ οὐ μὴ διαφύγητε. πλήττων γὰρ καταβαλῶ τὰ θεμέλια τῶν δόμων τούτων. Ἰδοὺ βαρείας. βέλος πᾶν τὸ βαλλόμενον. καὶ τοῦτον δὲ τινὲς τὸν στίχον, ἀπὸ τοῦ πολυμήστορος φασὶ λέγεσθαι. ὡς βάλλοντος λίθους ἐν τοῖς οἰκήμασιν, ἵνα παίει τὰς αἰχμαλώτους. τὸ δὲ βούλεσθ' ἐπεισπέσωμεν τοῦ ἡμιχορίου. θέλετε ἵνα ἐπέλθωμεν, ἐπεὶ ὁ καιρὸς καλεῖ, ὥστε παρυπάρχειν τῇ ἑκάβῃ. καὶ ταῖς τρωϊκαῖς γυναιξὶ βοηθούς; Βαρείας.) βαρέως ἐμπιπτούσης. ἐπεισπίπτειν δὲ τὸ μετὰ σφοδρᾶς ὁρμῆς εἰσέρχεσθαι. Ἄρασσε.) πλῆττε. μηδαμῶς ἀκριβολογοῦ. καὶ ἐλέει, ἐκριζῶν τὰς πύλας. οὐδέποτε γὰρ τὸ φαεινὸν φῶς ἐμποιήσεις. καὶ ἐνθήσεις τοῖς ὀφθαλμοῖς. οὐ δὲ τοὺς παῖδας θεάσῃ ζῶντας οὓς ἐφόνευσ' ἐγώ. Ἦ γὰρ καθεῖλες.) ἆρα νενίκηκας τὸν πολυμήστορα. καὶ κρατεῖς τοῦ φίλου ὦ δέσποινα. καὶ πεποίηκας ὁποῖα λέγεις; Ὄψει.) θεάσῃ αὐτὸν ταχέως ὑπάρχοντα ἔμπροσθεν τῶν δωμάτων τυφλόν. ἐν τυφλῷ καὶ παραφερομένῳ ποδὶ βαδίζοντα. θεάσῃ καὶ τῶν δύο παίδων τὰ σώματα. οὓς ἐφόνευσ' ἐγὼ σὺν ταῖς τρῳάσι γυναιξί. δέδωκε δέ μοι τιμωρίαν. ὁρμᾷ δ' ὡς ὁρᾷς οὗτος ἐκ τῶν οἴκων. ἀλλὰ μακρὰν ἀπελεύσομαι. καὶ μακρὰν στήσομαι τοῦ δυσμαχωτάτου θρηκὸς θυμῷ περιρρεομένου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τυφλῶ ςεῖχοντα.) τυφλῷ ποδὶ πορευόμενον. ἤγουν διὰ ποδὸς, μὴ ὑποβλεπόντων ὀφθαλμῶν ὁδηγουμένε ὥσπερ γὰρ οἱ μαινόμενοι ἔνθα καὶ ἔνθα φέρονται, οὕτω καὶ οἱ τυφλοὶ, διὰ τοῦτο παραφόρῳ ποδὶ φησίν. ἤγουν παραφερομένῳ. καὶ οὐκ ὀρθῶς βαδίζοντι. ἀλλὰ τε τυφλωμένῳ, διὰ τὸ τετυφλῶσθαι αὐτόν. Ωμοι ἐγώ.) σύςημα κατὰ περικοπὴν ἀμοιβαίων ςίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων. κα. ἐπὶ τῷ τέλει παράγραφος. Ωμοι ἐγώ. πᾶ βῶ. πᾶ ςῶ.) τὰ τοιαῦτα ἤδη καλεῖται μονοςροφικὰ ὡς εἴρηται. καλεῖται δὲ καὶ μετρικὰ ἄτακτα. διότι μέτρῳ μὲν γέγραπται. οὔτε δὲ ὁμιότητα ἔχει πρὸς ἄλληλα, οὔτε ἀνακύκλοσιν. εἰσὶ τὰ παρόντα καὶ συςηματικὰ κατὰ περιορισμοὺς ἀνίσους. τὰ κῶλα δὲ πάντα λγ. τὸ α μονόμετρον χοριαμβικόν. τὸ β ὅμοιον δίμετρον καταληκτικόν. εἰ δὲ βούλει, δακτυλικὸν ἐφθημιμερὲς ἐκ σπονδείων. τὸ γ ἀντισπαςικὸν τρίμετρον ἀκατάληκτον. ἐκ παίωνος δ ἀντισπάςου. καὶ διϊάμβου. τὸ δ ἀντισπαςικὸν δίμετρον ὑπερκατάληκτον. τοῦ α ποδὸς ἑξασυλλάβε. τὸ ε δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐκ σπονδείων. τὸ ς ἀναπαιςικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ ἐπιχοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. ἐκ παίωνος α. χοριάμβου. καὶ β συλλαβῶν ἀδιαφόρων. καλεῖται δὲ καὶ προσῳδικόν. τὸν παίωνα ἔχων ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. τὸ η ὅμοιον ἐκ παίωνος τρίτου α. καὶ ἐπιτρίτου ἐξ ἀντισπάςου. καὶ ἐπιτρίτου τρίτου καὶ ἰάμβου. εἰ δὲ βούλει, ἀντισπαςικὸν τρίμετρον. βραχυκατάληκτον. ἐξ ἀντισπάςου. καὶ ἐπιτρίτου γ. καὶ ἰάμβου. τὸ θ ὅμοιον ἐκ παίωνος τρίτου α. καὶ ἐπιτρίτου δ. καὶ ἰάμβου. εἰ δὲ

βούλει ἔστω ἰωνικόν· ὁ γὰρ παίων οἰκεῖος μᾶλλον τοῖς ἰωνικοῖς· τὸ ι ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον· ἤτοι πενθημιμερές· εἰ δὲ βούλει, ἀναπαιστική βάσις· τὸ ια χοριαμβικὸν· ἡμιόλιον, ἐκ χοριάμβου· καὶ ἰάμβου· τὸ ιβ ὅμοιον δίμετρον καταληκτικὸν· ἐκ χοριάμβου καὶ ἀναπαίστου διὰ τὴν ἀδιάφορον· τὸ ιγ ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος· καὶ χοριάμβου· τὸ ιδ χοριαμβικὸν ὅμοιον τῷ ια· εἰ δὲ βούλει καὶ δακτυλικὸν πενθημιμερὲς ἀρχιλόχειον· τὸ ιε δακτυλικὸν τρίμετρον· τὸ ις προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ μείζονος καὶ χοριάμβου· τὸ ιζ χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν· εἰ δὲ βούλει καὶ δακτυλικὸν δίμετρον· ἀκατάληκτον· τὸ ιη παιωνικὸν ἡμιόλιον· ἐκ παίωνος α καὶ σπονδείου· τὸ ιθ ἀντισπαστικὸν· δίμετρον ἀκατάληκτον· ἐξ ἐπιτρίτου δ καὶ σπονδείου· εἰ δὲ βούλει τροχαϊκὸν δίμετρον· ἀκατάληκτον· τὸ κ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου δ δύο· καὶ ἀναπαίστων διὰ τὴν ἀδιάφορον· τὸ κα χοριαμβικὸν ἡμιόλιον καθαρόν· τὸ κβ δίμετρον ἀντισπαστικὸν καταληκτικὸν· φερεκράτειον ἐξ ἀντισπάστων καὶ κρητικοῦ, ἤτοι ἀμφιμάκρου· τὸ κγ ἰαμβικὴ βάσις· ἤτοι μονόμετρον· τὸ κδ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· τὸ κε ὅμοιον· τὸ κς ἰαμβικὸν ἐφθημιμερὲς· τοῦ γ ποδὸς χορείου· τὸ κζ ἰωνικὸν ἀπ' ἐλάττονος, καὶ κρητικοῦ· τὸ κη δακτυλικὸν ἐφθημιμερὲς ἐκ σπονδείων· τὸ κθ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου β ἀντισπάστου· καὶ συλλαβῆς· τὸ λ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ λα ἰωνικὸν ἀπ' ἐλάττονος· ἡμιόλιον· τὸ λβ ἰαμβι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κὸν δίμετρον. βραχυκατάληκτον. τὸ λγ', ὅμοιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ὁμοίως καὶ ἐπὶ τῷ τέλει.

Ὤμοι ἐγώ. ποῦ πορθμεύσω. ποῦ στῶ. ποῦ κέλσω. ἤτοι προσπελάσω. κυρίως ἐστὶ τὸ ναῦν προσορμίσαι τινὶ ὑφόρμῳ τόπῳ. ἐξοκεῖλαι δὲ τὸ ἐκβληθῆναι τὴν ναῦν, ἔξω τοῦ λιμένος. ὑπόκειται ἐστὶ ὁ πολυμήστωρ τετραποδίζων. διὸ φησὶ τετράποδος βάσιν θηρὸς τιθέμενος. ποίαν παρέλθω ὁδόν. ἆρα ταύτην. ἆρα ἐκείνην. ἆρα τὴν δε.

Κατ' ἴχνος.) ἴχνος ὁ τύπος τοῦ ποδός. καὶ ἀπὸ τούτου ὅπους. ἀφ' οὗ πάλιν ἴχνος καὶ ἡ πορεία. ἐπεὶ διὰ τῶν ποδῶν, καὶ ἡ πορεία γίνεται, λέγεται τὸ ἴχνος κατὰ μεταφορὰν, ἀπὸ τῶν ποδῶν. καὶ ἐπ' ἄλλων. οἷον ἴχνη χειρῶν. καὶ ἴχνος ἀνθρώπου. καὶ ἴχνος παλαιᾶς αἰτίας παρὰ σοφοκλεῖ. καὶ ἴχνη ἀγαλμάτων. καὶ ἁπλῶς ἐπὶ πάντων τῶν ἀμυδρῶς. καὶ ἐν τύπῳ φαινομένων.

Ὤμοι ἐγώ.) ἄθλιος εἰμὶ ἐγὼ δηλονότι. ποῦ ἔλθω. ποῦ σταθῶ ποῦ πλησιάσω. ποιούμενος ἐπὶ χεῖρα κατ' ἴχνος. ἤτοι κατὰ τοὺς πόδας βάσιν. καὶ πορείαν θηρὸς ὀρεινοῦ. ὥσπερ τὰ θηρία τέσσαρσι ποσὶ χρῶνται πρὸς βάδισιν οὕτω καὶ αὐτὸς χερσὶ, καὶ ποσὶ, χρήσομαι. δέον δὲ εἰπεῖν καὶ κατ' ἴχνος, ἀσυνδέτως εἶπε. ποίαν ὁδὸν δηλονότι ἐξαλλάξω. καὶ περιπατήσω. ἢ ταύτην. ἢ τὴν δε. χρήζων. καὶ θέλων καταλαβεῖν τὰς ἀνδροφόνους ἰλιάδας. αἳ διώλεσάν με. τάλαιναι τάλαιναι θυγατέρες τῶν φρυγῶν. ὦ κατάρατοι. εἰς ποῖον μέρος τῶν βαθυτάτων τόπων. καὶ καταδύσεων διὰ φυγῆς ἐλθοῦσαι δηλονότι, πτώσσουσιν. ἤτοι συστέλλονται. καὶ κρύπτονται ἐμέ. ἀντὶ τοῦ δι' ἐμέ. εἴθε ὦ ἥλιε θεραπεύσαις τὸ βλέφαρον τῶν ὀμμάτων ἐμοῦ τὸ αἱματηρὸν. ἐλευθερώσας τυφλὸν φέγγος. ἀντὶ τοῦ τοὺς τυφλοὺς τούτους ὀφθαλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοὺς. φέγγος ἐνθεὶς αὐτῷ δηλονότι. Ἄλλως. τὸ ἀπαλλάξας φέγγος, ἀντὶ τοῦ φῶς ἐνθεὶς νοεῖται τῷ τετυφλωμένῳ ὀφθαλμῷ. εἰ καὶ ἀσαφῶς εἴρηται διὰ τὴν τοῦ λέγοντος δεινοπάθειαν. καὶ τὸ ἄγαν τεθορυβῆσθαι. καὶ συγκεχύσθαι αὐτόν. τούτου χάριν καὶ τὸ ἀπαλλάξας, ἀντὶ τοῦ μεταποιήσας νοοῦσιν ἔνιοι. τιθέντες καὶ τὴν εἰς πρόθεσιν εἰς φέγγος. Ἄλλως. φέγγος ἀπαλλάξας. ἀπορρίψας τὸ σκότος. Πτώσσουσιν.) εἰς ποῖον μέρος τῶν μυχῶν, ἤτοι τῶν καταδύσεων διὰ φυγῆς ἐλθοῦσαι, πτώσσουσι δι' ἐμὲ ἤγουν συστέλλονται. Ἀκέσαιο.) ἀκέσαιο. πάνυ ἀνάρμοστον ἐν τῷ τε ῥυθμῷ, καὶ τῷ μέτρῳ διὰ τὴν ἀνάρμοστον χασμωδίαν. διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ τὸ ἐν. εὕρηται δὲ καὶ ἔν τισι τῶν παλαιῶν οὕτως. Ἥλιε φέγγος ἀπαλλάξας. διὰ τοῦτο πρὸς τὸν ἥλιον ποιεῖται τὸν λόγον.) ὡς φωτὸς παρεκτικόν. μὴ φαίνοντος γὰρ ἡλίου, ἅπαντα σκότος ἐστί. τῇ τούτου δὲ παρουσία, φῶς λαμβάνει. Κρυπτὰν βάσιν.) κρυπτὰν πορείαν νοῶ τούτων τῶν γυναικῶν. ποῦ τὸν πόδα ὁρμήσας, σαρκῶν, καὶ ὀστέων κορεσθῶ. ποιούμενος εὐωχίαν τῶν ἀγρίων θηρῶν. ἤγουν τῶν γυναικῶν. ὡς θήρας ταύτας καταθοινούμενος. λαμβάνων καὶ ἀφαιρούμενος ἀντίτισιν τῆς ἐμῆς βλάβης, καὶ τυφλώσεως. Ποῖ φέρομαι.) ποῖ ἀντὶ τοῦ ποῦ. ὅτε μὲν ἐπὶ κινήσεως λαμβάνεται, διὰ τῆς οι διφθόγγου γράφεται. ὅτε δὲ ἐπὶ στάσεως, διὰ τοῦ η. καὶ δῆλον ἀπὸ τοῦ πᾶ στῶ. εὕρηται δὲ καὶ ἐπὶ κινήσεως καὶ διὰ τοῦ η. καὶ δῆλον ἐκ τοῦ πᾷ βῶ. καὶ πᾷ κέλσω. Ποῖ φέρομαι.) ποῦ ἄγομαι τὰ ἐμὰ τέκνα μεμονωμένα λιπὼν ταῖς βάκχαις τοῦ ἅδου, ὥστε διασπαράξαι. καὶ διαμοιρᾶσαι μεληδόν. καὶ τοῖς κυσὶ δαῖτα ἐσφαγμένην. φονίαν ἀνήμερον. καὶ ἐκβολὴν ὀρεί-

ψειν θρηνῶν. ὑπενόει γὰρ αὐτὰς ῥίψαι τοῖς κυσὶ, μετὰ τὸ σφάξαι τοὺς παῖδας αὐτῆν φονικὴν καὶ ἀπάνθρωπον εὐωχίαν. καὶ ὀρεινὴν ἀποβολήν. Ἄλλως. ποῖ φέρομαι τὰ ἐμὰ τέκνα μεμονωμένα λιπὼν ταῖς βάκχαις τοῦ ᾅδου. ἤγουν ταῖς μαινομέναις ἐπὶ φόνοις. καὶ ὑπουργίᾳ τοῦ ᾅδου, ὥστε διαμοιράσαι. καὶ τοῖς κυσὶ δαῖτα σφακτὰν. ἤτοι ἐσφαγμένην φονίαν ἀνήμερον. καὶ ἐκβολὴν ὀρείαν. ἐπειδὴ πρότερον ἡνίκα διεμερίσαντο αὐτὰ ἔμελλον ῥίψειν τοῖς κυσὶ βρώματα. διὰ τοῦτο πρῶτον διαμοιράσαι, εἶτα ἐπάγει τὸ σφακτὰν κυσί τε φονίαν. δεικνὺς τὸν διαμερισμὸν οὐδὲν ἄλλο ἐσόμενον, ἢ τοῖς κυσὶ ῥίψιν. καὶ δαῖτα. τὸ δὲ ἀνήμερον. καὶ τὸ ὀρείαν λέγει, διὰ τὸ τὰ ἐν ὄρει ὄντα ἄγρια θηρία, οὕτω διαμερίζειν, ἃ ἂν τῶν ζώων θηράσωσιν. Πᾶ στῶ.) ποῖ φησὶ πορεύσομαι. ποῦ δὲ κάμψω. ποῦ δὲ στήσομαι ἐπὶ ταύτην ὁρμήσας τῶν παίδων μοι κοίτην. λέγει δὲ τὸν τόπον, ἔνθα ἐσφαγμένα τὰ τούτου τέκνα κατέκειτο. ὀφείλων ταῦτα φυλάξαι πρὸς τὸ μὴ ὑπὸ τῶν τρωιάδων ῥιφῆναι κυσὶν, ὡς ναῦς τὸ ἀρμένον συστρέφων. καὶ συστέλλων. δηλαδὴ τῶν ὀφθαλμῶν στερηθεὶς. ὅπερ γάρ ἐστι τῇ νηῒ τὸ ἱστίον, τοῦτο τῷ σώματι ὁ ὀφθαλμός. Λινόκροκον.) καθὼς ναῦς διὰ θαλασσίων σχοινίων, λινόκροκον φάρος ἐκτείνων, ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην πορευθεὶς τῶν ἐμῶν τέκνων φύλαξ. ἡ σύνταξις. πᾷ βῶ ἐατυθεὶς καὶ ὁρμηθεὶς φύλαξ τῶν ἐμῶν τέκνων, ἐπὶ τήνδε τὴν ὀλέθριον κοίτην. στέλλων. καὶ κινῶν ἐμαυτόν. ὥσπερ στέλλει ἡ ναῦς ἐν τοῖς ποντίοις πείσμασι καὶ σχοινίοις τὸ λινόκροκον φάρος, ἤτοι λαῖφος. τὸ δὲ πᾷ βῶ, πρὸς τὸ ἐατυθεὶς συναπτέον. τὸ δὲ στέλλων μετὰ ταῦτα λέγει. οἱ δὲ λέγοντες λινόκροκον φάρος τὸν ὀφθαλμόν. καὶ οὐ τὸ λαῖφος, ἂρ' ἔχει τις ἂν εἰπεῖν, ὡς εὖ μάλιστα πάντων οἱ δὲ ἀμαθεῖς

Ὀλέθριον κοίταν.) ὀλέθριον κοίτην λέγει, οὐχ ὅτι ἡ ὁ τόπος ἐν ᾧ ἔκειτο τὰ τέκνα αὐτοῦ ὀλέθριος· ἄψυχος γάρ ἦν· ἀλλὰ διότι φονευθέντα τὰ τέκνα ἔκειντο ἐν αὐτῷ, διὰ τοῦτο τὸν τόπον λέγει ὀλέθριον, ἀπὸ τοῦ τῶν τέκνων πάθους τὴν προσηγορίαν αὐτῷ τιθείς. Ὦ τλῆμον. ὡς σοι.) ὦ ἄθλιε δυσβάστακτά σοι λίαν πέπρακται κακά. καὶ σοὶ τῷ πράξαντι δηλονότι αἰσχρὰ, χαλεπὰ τὰ ἐπιτίμια· ἤγουν τὰς τιμωρίας ἔδωκεν ὁ θεὸς, ὅς τις ἐστὶ σοὶ ἐπαχθὴς καὶ κακωτικός. Αἰαῖ. ἰὼ ἐρήκης.) καὶ τὰ τοιαῦτα κῶλα ὅμοια ἐστὶ τοῖς εἰρημένοις μονοστροφικὰ καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ τὰ κῶλα τῆς ὅλης στροφῆς κβ. τὸ α ἰαμβικὸν μονόμετρον. τὸ β ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον. τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου α καὶ ἰωνικοῦ ἀπὸ μείζονος. μονόμετρον τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου α, ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἀμφιβραχέος. τὸ γ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος χοριαμβικοῦ πεντασυλλάβου. καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ ἰαμβικὸν πενθημιμερές. τὸ ε ὅμοιον τῷ ϛ. ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τοῦ γ ποδὸς ἀναπαίστου. τὸ ζ δακτυλικὸν δίμετρον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς φασὶν οἱ μετρικοί. τὸ η ἰωνικὸν ἀπ' ἐλάττονος ἡμιόλιον. εἰ δὲ βούλει παιωνικόν. τὸ θ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ὅμοιον τῷ ϛ. τοῦ γ ποδὸς ἀναπαίστου. τὸ ι ἰαμβικὸν μονόμετρον. τὸ ια ἰαμβικὸν ἑφθημιμερές. τὸ ιβ δίμετρον ἀκατάληκτον. καλεῖται δὲ ταῦτα ὡς ἡφαιστίων φησὶν, ἀνακρεόντεια καὶ ἀμφότερα. τὸ ιγ περίοδος. δύο γάρ εἰσι τροχαῖοι. καὶ δύο ἴαμβοι. καὶ καλεῖται τοῦτο τὸ κῶλον περίοδος. εὕρηται δὲ καὶ ἀντεστραμμένον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στραμμένου. τὸ ιδ', χοριαμβικὸν ἡμιόλιον. ἐκ χοριάμβου. καὶ σπονδείου. εἰ δὲ βούλει δακτυλικὸν ἑφθημιμερὲς. ὃ καλεῖται ἀλκμανικόν, τὸ ιε' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ις' ἀσυνάρτητον. ἐκ τροχαϊκῆς, καὶ ἀναπαιστικῆς βάσεως. τὸ ιζ'. παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων πρώτων δύο. τὸ ιη'. τροχαϊκὸν ἑφθημιμερὲς ὃ καλεῖται εὐριπίδειον. ἢ ληκύθιον. τὸ ιθ' δακτυλικὸν ἑφθημιμερὲς ἀλκμανικόν. τὸ κ' ἰαμβικὸν ἑφθημιμερὲς τοῦ α' ποδὸς ἀναπαίστου. τὸ κα', παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ δύο παιώνων πρώτων. τοῦ α' πεντασυλλάβου. καὶ τροχαίου. τὸ κβ', χοριαμβικὸν δίμετρον καταληκτικόν. ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου. καὶ κρητικοῦ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς. Ἰὼ θρήκης, ὦ γένος θρακικὸν ὁπλοφόρον. ὁρμητικὸν εἰς τὸν πόλεμον. καὶ ἐνθουσιαστικόν. δεσποζόμενον. καὶ κρατούμενον ὑπὸ τοῦ ἄρεος. ἰὼ ἀχαιοί. ἰὼ ἀγάμεμνον. καὶ μενέλαε, βοῶ φωνῶ. ἔλθετε. ἔλθετε ἕνεκα τῶν θεῶν. ἀκούει τίς. ἢ οὐδεὶς κλύων βοηθήσει. τί βραδύνετε; αἱ γυναῖκες ἔφθειράν με αἰχμαλώτιδες. χαλεπὰ ἐπάθομεν. οἴ μοι ἕνεκεν τῆς ἐμῆς βλάβης. εἰς ποῖον μέρος πορευθῶ, εἰς τὸν αἰθέρα ἀναπτάμενος τὸν ὑψηλὸν ἀΐξω, εἰς τὸ ἐν ὕψει κείμενον οἴκημα. ἔνθα ὁ ὠρίων ἢ ὁ σείριος ἀφίησιν ἀπὸ τῶν ὀφθαλμῶν λαμπηδόνας πυρὸς φλογίας. ἢ ἀΐξω ὁ τάλας εἰς τὸν πορθμὸν τὸν μελανοχρῶτα τοῦ ᾅδου. Ἀπορία. ἀποροῦσι τινὲς πῶς ἐνταῦθα ὁ πολυμήστωρ ὠρίωνος, καὶ σειρίου ἐμνήσθη. καὶ μηδενὸς ἄλλου τῶν ἄστρων. καὶ φασὶν ὅτι ὠρίωνος μὲν ἐμνήσθη ὡς κυνηγοῦ. ἅτε καὶ αὐτὸς τοῖς τοιούτοις χαίρων ὡς βασιλεύς. φασὶ γὰρ οἱ ποιηταὶ περὶ τοῦ ὠρίωνος, ὡς κυνη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γος ὤν, ὑπὸ σκορπίου δηχθεὶς ἀνῃρέθη· ὅτι παρ' ἀρτέμιδος ἠράσθη· τοῦ δὲ σειρίου ὡς καυσικοῦ· διακαὴς γὰρ ἦν καὶ αὐτὸς τῷ πάθει· καὶ δυσχεραίνων ἀπαραμύθητα· καὶ ἀπολέσθαι ζητῶν· Πορθμόν·) οἱ μὲν φασὶν ὡς πορθμὸς κυρίως, ἡ μέσον δύο γαιῶν θάλασσα· νῦν δὲ καταχρηστικῶς πορθμὸν τὸν τόπον καλεῖ· ἐγὼ δὲ φημὶ διὰ τὴν ἀχερουσίαν λίμνην τοῦτο λέγεσθαι· καὶ μαρτυρεῖ τὸ προηγούμενον ὡς οὐδὲν ἄλλο δηλοῖ τὸ ἐς ἀΐδα πορθμὸν, ἀλλ' ἢ πορθμὸν τὸν ἐς τοῦτον τὸν τόπον τοῦ ᾅδου φέροντα· Σύγγνωθ' ὅταν·) αἱ ἑξῆς αὗται περίοδοι εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρπϛ· ὧν τελευταῖος ἔχοντ' ἴδοιμεν· τῶν δ' ἀφέμενοι πόνων· μετὰ δὲ τὸν β στίχον κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον· ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· καὶ ἐπὶ τῷ τέλει κορωνίς· Σύγγνωθ' ὅταν·) ὅταν τις φησὶ πάθη κακὰ μείζονα ἢ δύναται βαστάσαι, συγγνωστέον ἐστὶν αὐτῷ τὸ ἐξαπαλλάξαι ἑαυτὸν τῆς ζωῆς· ἄλλως συγγνωστὸν ἔδει εἰπεῖν· ἐκφέρει δὲ πληθυντικῶς· ἀττικῶς· καὶ τοῦτο ζητῶν εὑρήσεις παρὰ πᾶσι καὶ ποιηταῖς καὶ λογοποιοῖς· ἡ δὲ σύνταξις· ὅταν πάθη τὶς κακὰ κρείσσονα ἢ φέρειν καὶ ὑπομένειν αὐτὰ, συγγνωστὰ· καὶ συγγνώμης ἄξιόν ἐστιν, ἀπαλλάξαι ἑαυτὸν τῆς ταλαίνης ζωῆς· τουτέστιν, ὁ κακοῖς συνὼν ἀφορήτοις, συγγνωστέος ἐστὶν ἀποθανών· τοῦτο δὲ εἶπεν ὁ χορὸς διὰ τὸν πολυμήστορα· στερηθέντα τῶν τέκνων καὶ τυφλωθέντα· καὶ ἀπολεγόμενον τὸ ζῆν, ἐξ ὧν αὐτὸς ἄνωθεν πρὸ τοῦ χοροῦ ἐδήλωσεν· εἰς αἰθέρα, ἢ εἰς ᾅδην ὁρμῆσαι βουλόμενος· Κραυγῆς ἀκούσας·) τῆς φωνῆς ἀκούσας παρεγενόμην· οὐ γὰρ ἠρέμα ἤχησεν ἡ θυγάτηρ τῆς πέτρας ἠχὼ· ποιοῦσα ταραχήν· εἰ δὲ μὴ εἰδείη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν ὅτι ἐπορθήσαμεν τὴν τροίαν. ἐφοβήθημεν ἂν οὐ μικρῶς. ἔφοδον νομίζοντες εἶναι τῶν πολεμίων.

Οὐ γὰρ ἥσυχος.) βοῆς ἐν ὄρει γενομένης, πληττόμεναι αἱ πέτραι ἀντηχοῦσι. διὸ καὶ θυγατέρα πέτρας καλεῖ τὴν ἠχώ. Ὦ φίλτατε.) ὑποστροφὴ καὶ ἐπεμβολὴ τὸ σχῆμα. ἀκούσας τῆς φωνῆς σου ὦ ἀγάμεμνον αἰσθάνθην. βλέπεις ἅ τινα πανθάνομεν; Ἔα.) ἐκπληκτικόν. ὦ δύστηνε. ὑποκρίνεται ἀγνοεῖν; ἵνα κατὰ τὸ δίκαιον ὑπὲρ τῆς ἑκάβης εἴπῃ. μὴ γνωσθείς, ὅτι προωμίλησεν αὐτῇ δόξῃ αὐτῇ χαρίζεσθαι. Ὦ δύστηνε.) ὦ ἄθλιε πολυμῆστορ. τίς ἔφθειρέ σε. τίς ἐποίησε τὸ ὄμμα τυφλόν. τὰς κόρας τῶν ὀφθαλμῶν αἱματηρὰς ποιήσας. καὶ τοὺς δὲ τοὺς παῖδας τίς ἔκτεινεν. ὄντως μέγαν θυμὸν ἐκέκτητο ἐπὶ σὲ καὶ τοὺς σοὺς παῖδας ὅστις ἄρα ὑπῆρχεν. Ἑκάβη με.) ἡ ἑκάβη σὺν ταῖς αἰχμαλώτισι γυναιξὶν ἔφθειρεν. οὐκ ἀπώλεσε μικρῶς. ἀλλὰ μεγάλως. καὶ μεῖζον ἀπωλείας.

Τί φής.) τοῦτο πρὸς τὸν πολυμήστορα. κατ᾽ ἐπίκρισιν δὲ τὸ σχῆμα. εἶτα πρὸς τὴν ἑκάβην ἀποστρέφεται. καὶ φησί. σὺ τὸ δε ὡς λέγει τὸ ἔργον ἐποίησας. σὺ τὴν τόλμαν ὦ ἑκάβη τὴν δὲ ἐτόλμησας τὴν ὑπερβολικήν;

Ὤμοι.) φεῦ τί πρᾶγμα λέγεις. ἆρα πλησίον ἐστί που ἡ ἑκάβη, δήλωσον. καὶ λέξον ποῦ ἐστιν. ὅπως ἁρπάσας αὐτὴν διὰ τῶν χειρῶν διασπαράξω. καὶ αἱματώσω τὸ σῶμα αὐτῆς. Οὗτος. τί πάσχεις.) ὦ οὗτος. τί ποιεῖς. Πρὸς θεῶν σε λίσσομαι.) ἕνεκεν τῶν θεῶν σε παρακαλῶ. ἄφες με ἐπαγαγεῖν αὐτῇ τὴν μαινομένην χεῖρα. Ἴσχε.) ἔπεχε σεαυτόν. ἐκρίψας τῆς καρδίας τὴν βαρβαρότητα. Τὸ βάρβαρον.) πολλάκις ἀντὶ προσηγορικοῦ ὀνόματος θηλυκοῦ μονογενοῦς, τίθεται



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδέτερον· οἷον τὸ σοφὸν τοῦ δεῖνος, ἀντὶ τοῦ ἡ σοφία·
τὸ αὐτεξούσιον· ἤγουν ἡ αὐτεξουσιότης· τὸ βάρβαρον
ἀντὶ τοῦ ἡ βαρβαρότης. Λέγ᾽ ὡς ἀκούσας·) λέγε μοι·
ἵνα ἀκούσας ἀμφοτέρων, σοῦ καὶ τῆς ἑκάβης, κρίνω
δικαίως ἀντὶ τίνος ταῦτα πανέχεις. Λέγοιμ᾽ ἄν·)
εἴποιμι ἄν σοι δηλονότι· ὑπῆρχέ τις ἀπὸ τῶν υἱῶν τοῦ
πριάμου νέος· πολύδωρος τοὔνομα· υἱὸς τῆς ἑκάβης·
ὅν τινα ὁ πατὴρ ὁ πρίαμος ἔδωκέ μοι ἀπὸ τῆς τροί-
ας, ἀνατρέφειν ἐν τοῖς ἐμοῖς δόμοις· ὑποψίαν ἔχων
τῆς τρωϊκῆς κρατήσεως· τοῦτον τὸν πολύδωρον ἐφό-
νευσα· ἀντὶ τίνος δὲ αἰτίας ἐφόνευσα αὐτόν, ἄκουσον·
Προκατάστασις τὸ ῥῆμα· ἔδεισα ἵνα μὴ ὁ παῖς κατα-
λειφθεὶς σὸς ἐχθρός, συνάξῃ τὴν τροίαν· καὶ συνοικίσῃ
ἐκ δευτέρου· οἱ δὲ ἀχαιοὶ μαθόντες τινὰ ἀπὸ τῶν υἱῶν
τοῦ πριάμου ζῶντα· κινήσειαν πάλιν ναυτικὸν εἰς τὴν
γῆν τῶν τρώων· καὶ μετὰ ταῦτα ἀφανίζοιεν ταῦτα τὰ
χωρία τῆς θρᾴκης, λείας ἀπελαύνοντες· τοῖς δὲ γείτο-
σιν ἡμῖν τῶν τρώων, ὑπάρξει κακόν· ἐν ᾧ κακῷ, ἀρτί-
ως ἐπάσχομεν· ἡ ἑκάβη δὲ μαθοῦσα τὸν θάνατον τοῦ
παιδός, τοιῷδε δόλῳ ἤγαγεν ἐμέ, ὡς λέξουσα τοὺς θη-
σαυροὺς τοῦ χρυσοῦ, τῶν υἱῶν τοῦ πριάμου, κεκρυμμέ-
νους ἐν τῇ τροίᾳ· ἐμὲ δὲ μόνον σὺν τοῖς τέκνοις, εἰς τοὺς
οἴκους εἰσφέρει· ὅπως μὴ ἄλλος τις αὐτὸς γνοίη τάδε·
ἐκάθισα δὲ ἐν μέσῳ τῆς κλίνης, κλίνας τὸ γόνυ· πολ-
λαὶ δὲ χεῖρες· (ἤγουν γυναῖκες, ἀπὸ μέρους τὸ πᾶν· ὡς
τὸ τοίην γὰρ κεφαλὴν· ἀντὶ τοῦ ἄνδρα) πολλαὶ δὲ κό-
ραι τρώων παρθένοι ἐκάθηντο· αἱ μέν, ἀπὸ τῆς ἀριστε-
ρᾶς· αἱ δὲ ἀπὸ τῆς δεξιᾶς, καθὰ ποιοῦσιν εἰς φίλους·
κρατοῦσαι τὸ ὕφασμα (ἀπὸ γὰρ τοῦ ποιοῦντος τῆς κερ-
κίδος, τὸ ποιούμενον ὠνόμασε) τῆς μακεδονικῆς χε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρὸς ἐπῄνουν ὑπὸ τὸ φῶς τοῦ ἡλίου θεώμεναι τὰ δὲ τὰ ἱμάτια· ἄλλαι δὲ τὸ θρακικὸν ἀκόντιον θεωροῦσαι· τοῦ τὸ γοῦν ἤπε χάμακα, μεμονωμένον ἐποίησαν τοῦ διπλοῦ ἐνδύματος· τοῦ ἀκοντίου· καὶ τοῦ ὑφάσματος·

Ὅσαι δὲ) ὁπόσαι δὲ ἦσαν τοκάδες· ἤγουν μητέρες τὰ ἐμὰ παιδία λαβοῦσαι, ὡς δὴ εὐειδῆ ὄντα ἐθαύμαζον, ἄλλη τῇ ἄλλῃ ἀνὰ μέρος ἀποδιδοῦσαι· ὅπως ἐμοῦ τοῦ πατρὸς πορρωτάτω γένοιντο· καὶ δυσχερέστατα αὐταῖς·

Κᾆτ' ἐκ γαλήνης·) καὶ εἶτα ἐκ κολακευτικῶν· καὶ ἡσύχων προσφωνημάτων πῶς νομίζεις, κεντοῦσι τοὺς παῖδας· λαβοῦσαι ξίφη ἐκ τῶν ἱματίων· καλῶς δὲ πρῶτον ἀπέκτειναν τοὺς παῖδας, ἵνα ὁρῶν ὁ πατὴρ ἀνιῷτο. Αἱ δὲ πολεμίων·) αὗται δὲ ξυλλαβόμεναι τρόπον ἤτοι δίκην ἐχθρῶν, κατεῖχον τὰς ἐμὰς χεῖρας· καὶ τοὺς πόδας· τοῖς παισὶ δὲ τοῖς ἐμοῖς βοηθῆσαι θέλων ἐγώ, εἰ μὲν τὸ πρόσωπον ἐξανίστων, ἀπὸ τῆς κόμης ἐκεῖναι ἐκράτουν· εἰ δὲ ἐκίνουν τὰς χεῖρας, ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος, οὐδὲν ἐπλέον ὁ ἄθλιος· τὸ ἔσχατον δὲ βλάβος, τοῦ βλάβους πλέον ὑπῆρχεν· ἐποίησαν χαλεπά· περόνας λαβοῦσαι αἱ γυναῖκες, κεντοῦσι τὰς ἀθλίας κόρας τῶν ἐμῶν ὀφθαλμῶν· καὶ αἱματηρὰς ποιοῦσιν· εἶτα κατὰ τοὺς οἴκους φυγάδες γενόμεναι ἐπορεύθησαν· ἐκπηδήσας δ' ἐγὼ καθάπερ θήρ, ἐδίωκον τὰς φονικὰς κύνας· ἐξετάζων καὶ ἐρευνῶν πάντα τὸν τοῖχον καθὰ κυνηγός, κρούων· τύπτων· τοιαῦτα ἔπαθον σοῦ χάριν σπουδάζων τὸν ἐχθρόν σου φονεῦσαι ὦ ἀγάμεμνον· ἵνα δὲ μὴ εἰς πολὺ ἐκτετεταμένους ἐξαπλῶ τοὺς λόγους εἰ τις τῶν παλαιῶν ἐβλασφήμησε τὰς γυναῖκας, ἢ ἀρτίως ἐστί τις λέγων κακῶς, ἢ ἀπόκειται λέγειν, ταῦτα πάντε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῶ συναθροίσασ' καὶ συντόμως συλλαβὼν, εἰπὼ· οὔτε γὰρ θάλασσα οὔτε γῆ ἀνατρέφει τοιόνδε γένος· ὁ δὲ διόλου συντυχὼν τῷ γένει τῶν γυναικῶν, ὃ λέγω γινώσκει καλῶς. Θανάσιμον μόρον.) μόρος οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη ὡς ἔχει κἀνταῦθα. οὐ γὰρ ἔστι λέγειν θανάσιμον θάνατον. Θανάσιμον.) τὰ ἐπίθετα ἢ ἕτερόν τι δηλοῦσι τῶν ὀνομάτων ἐφ' ὧν λέγονται. ἢ τὴν αὐτὴν αὐτοῖς ἔχουσι σημασίαν, πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου λέγεται. ἢ ἑτέραν αἰτίαν ἔχει καθ' ἣν λέγεται, ὡς ἐνταῦθα ὁ θανάσιμος ἐπιθετικῶς λεγόμενον· οὔτε ἕτερόν τι σημαίνει. ἢ ὁ θάνατος ἐσήμανεν. οὔτ' αὐτὸ σημαῖνον αὐτῷ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου λέγεται. οὐ γὰρ ἔστι ποτὲ θάνατος μὴ θάνατον ἐμποιῶν· οὔτε ἄλλην τινὰ αἰτίαν ἔχει καθ' ἣν λέγεται. ὥστε ἀρκοῦντος τοῦ θανάτου τῷ λόγῳ, τὸ θανάσιμος περιττῶς κεῖται. κατὰ ποιητικὴν ἐξουσίαν. Πολλαὶ δὲ χεῖρες.) κόραι λέγω τρώων· ἤγουν νέαι καὶ παρθένοι ἐκάθηντο. αἱ μὲν, ἐξ ἀριστερῶν· αἱ δ' ἔνθεν· ἤγουν ἀπὸ τῆς δεξιᾶς ὡς δὴ παρὰ φίλῳ, κρατοῦσαι τὴν κερκίδα. ἀντὶ τοῦ ὕφασμα τῆς μακεδονικῆς χειρὸς, ἐπῄνουν βλέπουσαι ὑπὸ τὰς αὐγὰς ἤγουν ὑπὸ τὸ φῶς, τούς δὲ τοὺς πέπλους. Τὸ δὲ χεῖρες, καὶ τὸ κόραι ἐκ παραλλήλου. Κερκίς.) τὸ ὕφασμα ἐνταῦθα. ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον. κερκὶς γὰρ κυρίως ὁ ἄτρακτος ἐν ᾧ ὑφαίνουσιν. Διπτύχου.) δίπτυχον στόλισμα λέγει, ἢ τὴν σπάθην· καὶ τὸν πέπλον. ἢ τὴν σπάθην μόνην· διὰ τὸ εἶναι αὐτὴν δίστομον. Πλήθει γυναικῶν.) ὑπὸ τοῦ πλήθους τῶν γυναικῶν κωλυόμενος δηλονότι, οὐδὲν ἤνυσεν ὁ ἄθλιος. Τοιάδε σπεύδων.) τοιάδε πέπονθα ὦ ἀγάμεμνον· σπεύδων εἰς τὴν σὴν χάριν· καὶ πολέμιον σὸν κτεί

νέων, ὑποδύω ἐγὼ· ἐπιϋποδύω δὲ ἕτερον. Μηδὲν θρασύνου.) μετριοφροσύνη ἐνταῦθα τοῦ χοροῦ· τῷ γὰρ εἰπεῖν πολλαὶ μὲν ἡμῶν εἰσὶ καλαὶ καὶ μὴ συναριθμῆσαι ταῖς καλαῖς ἑαυτὰς, ὑπὸ δὲ τῶν κακῶν, τὸ πεφύκαμεν, τὸ μέτριον ἐνταῦθα ἔδειξεν· τὸ πολλαὶ ἱκανὸν ἦν καὶ μόνον, τετελεσμένον ποιῆσαι τὸν λόγον. νῦν δὲ ἐπάγει καὶ τὸ αἱ μὲν, καὶ ποιεῖται τὸν λόγον ὡς ἀπ' ἄλλης ἀρχῆς. ἵνα οἰκειότερον ἀποδοθῇ πρὸς αὐτὸ, τὸ αἱ δέ. Μηδὲν θρασύνου.) μηδαμῶς ἐπαίρου, μὴ δὲ τοῖς σαυτοῦ λόγοις συναγαγὼν καὶ συμμίξας, οὕτως ὅλον τὸ γένος μέμφη τῶν γυναικῶν. πολλαὶ γὰρ ἀφ' ἡμῶν, αἱ μὲν ὑπάρχουσιν ἐπαινεταὶ καὶ ζηλωταί. ἄλλαι δὲ εἰς τὸν κατάλογον τῶν κακῶν ὑπαρχόμεναι ἐπίμεμπτοι καὶ ὕβρεως ἄξιαι. Ἀγαμέμνον οὐκ ἔπρεπε ποτὲ τὴν γλῶσσαν. ἤγουν τοὺς λόγους τῶν ἀνθρώπων, ἰσχύειν καὶ δύνασθαι πλέον τῶν πράξεων. ἀλλ' εἴτε ἀγαθὰ ἔπραξεν ὁ ἄνθρωπος, ἀγαθὰ ἔπρεπε λέγειν. εἴτε πάλιν ἔδρασε φαῦλα, ἔδει τοὺς λόγους ὑπάρχειν ἀσθενεῖς. καὶ μὴ δύνασθαι τὰ ἄδικα εὐλογοποιεῖν ποτε. σοφοὶ μὲν οὖν ὑπάρχουσιν οἱ τάδε ἀκριβῶς μεμαθηκότες ῥήτορες. οἱ δυνάμενοι τὸ δίκαιον σοφίσασθαι ἐν ῥητορικῇ. ἀλλ' οὐ δύνανται μέχρι τέλους ὑπάρχειν σοφοὶ, ὡς τῆς ἀληθείας ἐν ὑστέρῳ φαινομένης. ὡς καὶ ἡσίοδος φησί· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει ἐς τέλος ἐξελθοῦσα. κακῶς δὲ διεφθάρησαν. καὶ οὔπω οὐδεὶς ἐς τὸ δὲ ἐξέφυγε. Καί μοι τὸ μὲν σὸν καὶ τὸ μὲν πρὸς σὲ, ἤτοι ὁ πρὸς σὲ λόγος, οὕτως μοι διάκειται ἐν προοιμίοις πρὸς τοῦτον δὲ ἐλεύσομαι. καὶ διὰ λόγων ἀποκρινοῦμαι. πῶς λέγεις τοὺς ἕλληνας διπλοῦν πόνον ἀπαλλάσσων καὶ ἐλευθερῶν χάριν τοῦ ἀγαμέμνονος τὸν ἐμὸν υἱὸν πεφονευκέναι. ἀλλ' ὦ κακότροπε. ἐν πρωτολογίᾳ μὲν, οὐ δή ποτε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ βάρβαρον γένος, γένοιτ᾽ ἂν προσφιλὲς τοῖς ἕλλησιν· οὐ γὰρ δυνηθείη ἂν γενέσθαι· τίνα δὲ χάριν σπουδάζων γενέσθαι σοι, πρόθυμος ὑπῆρχες πρὸς τὸ βοηθῆσαι τούτοις ἄρα ἐπιγαμβρεύσων, καὶ μέλλων συνάπτεσθαι αὐτοῖς εἰς γάμον τινά; ἢ ὑπάρχων τινὸς συγγενής· ἢ τίνα ἀφορμὴν ἔχων· ἢ ἔμελλον πάλιν πλεύσαντες, ἀφανίσαι τὰ γεννήματα τῆς σῆς γῆς· τίνα νομίζεις πείσειν τάδε· εἰ θέλεις εἰπεῖν τὴν ἀλήθειαν, ὁ χρυσὸς ἐφόνευσε τὸν ἐμὸν υἱόν· καὶ ἡ αἰσχροκέρδεια ἡ σή· ἡ τοῦ σοῦ κέρδους ἐπιθυμία

Ἐπεί·) στοχαστικὸν τοῦτο· εἰ δὲ μὴ, δίδαξον τοῦτο· πῶς ὅτε τὸ ἴλιον εὐδαιμόνει· καὶ περιεῖχε τὸ τεῖχος τὴν πόλιν· ἐβίου τε ὁ πρίαμος· καὶ τὸ τοῦ ἕκτορος ἤκμαζε δόρυ, διατί εἴπερ ἤθελες χάριν ποιῆσαι τῷ ἀγαμέμνονι, ἔχων καὶ ἀνατρέφων ἐν τοῖς σοῖς οἴκοις τὸν παῖδα, οὐκ ἔκτεινας τότε· ἢ ζῶντα αὐτὸν οὐκ ἔφερες τοῖς ἕλλησιν· ἀλλ᾽ ὅτε οὐκέτι ὑπήρχομεν ἐν εὐτυχίᾳ ἐν τῷ ζῆν, ἡ δὲ τροία ἐσημαίνετο ὑπὸ τοῦ καπνοῦ, καὶ ἦν φανερὰ καιομένη ὑπὸ τῶν πολεμίων, ἐφόνευσας τὸν παῖδα τὸν φίλον, ἐπὶ τὴν οἰκίαν ἐλθόντα τὴν σήν· πρὸς γὰρ τούτοις ἄκουσον ἵνα φαῦλος φανῇς· ἔπρεπεν εἴπερ ὑπῆρχες φίλος τοῖς ἕλλησι, τὸν χρυσὸν ὃν λέγεις ἔχειν ἐν τοῖς δόμοις οὐ σὸν, ἀλλὰ τούτου, φέροντα δοῦναι τοῖς πενομένοις ἀχαιοῖς· καὶ χρόνον πολὺν ἀπὸ τῆς πατρικῆς γῆς ἀποξενιτευθεῖσιν· Οὐ φὴς οὐ σόν·) οὐκ εἶπεν ὁ πολυμήστωρ περὶ τοῦ χρυσοῦ· ἐπελάθετο οὖν ὁ ποιητὴς ἑαυτοῦ· καὶ ἔστιν ἀκατάσκευα τὰ ταῦτα·

Σὺ δ᾽ οὐδὲ νῦν·) σὺ δ᾽ οὐδὲ ἀρτίως πρόθυμος εἶ ἐκβαλεῖν τὸν χρυσὸν ἀπὸ τῆς σῆς χειρὸς, ἀλλ᾽ ἔτι κρατεῖς ἐν δόμοις· ἀλλ᾽ οὕτως ἀνατρέφων τὸν ἐμὸν παῖδα ὡς ἔδει σε ἀνατρέφειν, εἶχες ἂν δόξαν καλήν· ἐν γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῖς δυστυχίαις οἱ ἀγαθοὶ φίλοι σαφέστατοι ὑπάρχουσι. τὰ καλὰ δὲ πράγματα ἐξ ἑαυτῶν ἔχει τοὺς φίλους. εἰ δὲ ἔνδειαν εἶχες χρημάτων, ὁ δὲ πολύδωρος ἔζη, πλοῦτος ἄν σοι μέγας ὑπῆρχεν ὁ ἐμὸς παῖς.

Νῦν δ' οὔτ' ἐκεῖνον.) ἄρσις καὶ θέσις. νῦν δὲ, οὔτε τὸν πολύδωρον ἔχεις σὸν φίλον. καὶ ἡ ὠφέλεια τοῦ χρυσοῦ ἔφθαρται. οἵ τε σοὶ παῖδες διεφθάρησαν. καὶ σὺ πράττεις ὧδε δυστυχῶς. σοὶ δ' ἐγὼ ἡ ἑκάβη λέγω ὦ ἀγάμεμνον, εἰ τῷδε βοηθήσεις, φανῇ ἄδικος. οὔτε εὐσεβῆ γὰρ ξένον καὶ φίλον. οὔτε πιστὸν. οὐχ ὅσιον καὶ δίκαιον δράσεις εὖ, ἤγουν εὐεργετήσεις οἷς πᾶσιν ἔπρεπεν ἡ σὴ εὐποιΐα δηλονότι. αὐτὸν δέ σε φήσομεν χαιρέκακον εἶναι. τοὺς δεσπότας γὰρ οὐ λοιδορῶ. ἐπιδιόρθωσις τοῦτο.

Εἰ τῷδε. βοηθήσεις, κακῶς φανῇ παρ' ἐμοῦ. Οὔτε γάρ). τὸ ἑξῆς. οὔτε γὰρ εὐσεβῆ. οὔτε ὅσιον. οὔτε δίκαιον εἰς ξένον εὖ δράσεις. τὸ δὲ οἷς ἐχρῆν διὰ μέσου. αὐτὸν δὲ εὐφραίνεσθαι τοῖς κακοῖς σε λέξομεν. τοιοῦτον κακὸν ὑπάρχοντα. ἐὰν δὲ καὶ εἴπω τι δάκνον ὑμᾶς, ἀλλ' οὖν οὐ λοιδορῶ. φεῦ φεῦ.) θαυμαστικόν. τὰ ἀγαθὰ πράγματα λίαν ἐμπαρέχουσιν ἀεὶ τοῖς ἀνθρώποις ἀφορμὰς καὶ ὑποθέσεις χρηστῶν λόγων. Ἀχθεινά μέν μοι.) ἀχθεινὸν καὶ βαρύ μοι ἐστὶ τὸ κρίνειν καὶ δικάζειν τὰ ξένα κακά. ἀλλ' ὅμως ἀνάγκη ἐστὶ κρίνειν. καὶ γὰρ ἀτιμίαν ἐπάγει λαβόντι ἐμὲ εἰς χεῖρας ταύτην τὴν ὑπόθεσιν ἀποδιώξαι. ὅπως δὲ γνῷς, ἐμοὶ φαίνη οὔτε δι' ἐμὴν χάριν. οὔτε χάριν τῶν ἑλλήνων φονεῦσαι τὸν πολύδωρον. ἀλλὰ δοκεῖς ὅτι ἔκτεινας ἵνα τὸν χρυσὸν κατέχεις ἐν τοῖς σοῖς δόμοις. λέγεις δὲ ἑαυτῷ συμφέροντα. ἐν δυστυχίαις ὑπάρχων. ἴσως γὰρ παρ' ὑμῖν τοῖς βαρβάροις, εὔκολόν ἐστι τὸ κτείνειν ξένους. ἡμῖν δὲ τοῖς

ἕλλησι τὸ ξενοκτονεῖν αἰσχρόν· πῶς οὖν ἐγὼ κρίνας σὲ μὴ ἀδικεῖν, ἐκφύγω τὴν μέμψιν· οὐκ ἂν δυναίμην τοῦτο ποιῆσαι· ἀλλ' ἐπειδὴ τὰ μὴ καλὰ ποιεῖν ἐτόλμησας, ὑπόμενε καὶ τὰ μὴ φιλούμενα ὑπὸ σοῦ· φίλος λέγεται καὶ ἐπὶ τοῦ φιλοῦντος, καὶ ἐπὶ τοῦ φιλουμένου. Οἴμοι ὑπὸ γυναικὸς ὡς ἔοικεν νικώμενος, παρέξω τοῖς ἐλάττοσιν, ἤτοι τοῖς κακοῖς τιμωρίαν. Ἡσσώμενος) ἡσσώμενος δούλου γυναικὸς, ἢ τῆς ἑκάβης νοητέον, ἢ τῆς κασάνδρας· καὶ περὶ μὲν τοῦ πρώτου, οὐδὲν δεῖ μηκύνειν, ὡς προφανοῦς· εἰ δὲ πρὸς τὴν κασάνδραν ἐκφέρομεν, οὕτω συντακτέον· οἴμοι ὡς ἔοικεν ἡσσώμενος δούλης γυναικὸς, δώσω δίκην· ἐκείνη γάρ ἐστιν αἰτία τοῦ συμμαχῆσαι μὲν τῇ ἑκάβῃ τὸν ἀγαμέμνονα· ἐμοῦ δὲ καταψηφίσασθαι· ἀγνοήσαντες δέ τινες τὸ λεπτὸν τῆς ἐννοίας, ἐσολοίκισαν τὸ ἡσσώμενος πρὸς τὸν ἀγαμέμνονα· ἀλλ' οὐ πρὸς τὸν πολυμήστορα λέγεσθαι· ἐκφέροντες οὕτω· ἡσσώμενος ὦ ἀγάμεμνον δούλης γυναικὸς σὺ τῆς κασάνδρας ὑφέξω ἐγὼ δίκην· ὅπερ ἐσχάτης ἂν εἴη ἀμαθίας· κρεῖττον δὲ πρὸς τὴν ἑκάβην τὸ δούλης γυναικὸς λέγεσθαι. Οὐκοῦν) δικαίως ὑφέξεις δίκην, ἐπειδὴ κακὰ ἔπραξας. Οἴμοι) τῶν τέκνων ἕνεκα· καὶ τῶν ὀφθαλμῶν ὁ τάλας ἐγώ. Ἀλγεῖς;) λυπῇ, τί δαὶ οὐ δοκεῖς ἀλγεῖν ἐμὲ τοῦ παιδός μου ἕνεκεν; Χαίρεις) χαρὰν ἔχεις ἀτιμάζουσά με ὦ κακότροπε σύ. Οὐ γὰρ πρέπει με χαίρειν τιμωροῦσαν· καὶ κολάζουσαν σε; ἀλλ' οὐ χαιρήσεις, ἡνίκα σε ἡ θάλασσα κρύψῃ· ἆρα διὰ νηὸς παραπεμφθεὶς τοὺς ὅρους τῆς ἑλλάδος; Νοτίς) ποντία καλύψει· ἢ ποντίσει πεσοῦσαν ἐκ τῶν καταρτίων. Λέγουσιν ὅτι οἱ ἕλληνες καταρώμενοι πάντοτε καὶ ὑβριζόμενοι ὑπὸ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑκάβης θυμωθέντες ἔῤῥιψαν ταύτην ἀναβιβάσαντες ἀπὸ τοῦ ἱστοῦ τῆς νεώς· καὶ λιθοβολήσαντες ἐκεῖνω, ὕστερον τοὺς λίθους ἀπὸ ταύτης ἐκβαλόντες εὗρον σκύλακα. Πρὸς τοῦ βιαίων.) τοῦτο οὕτως νοεῖται. εἰπόντος γὰρ τοῦ πολυμήστορος πεσεῖσθαι αὐτὴν ἐκ τῶν ἱστῶν, ἀποροῦσα αὕτη φησί, παρὰ τίνος τυγχάνουσα ἁλμάτων, καὶ πηδημάτων βιαίων· καὶ ἀκουσίων, κρύψει με· ἅλματα γὰρ βίαια τὰ ἀκούσια φαμὲν· ἅπερ οὐχ ὁ ἁλώμενος δρᾷ ἑκουσίως ἀλλ᾽ ὑπό τινος ἑτέρου ἀναγκαζόμενος πράττει. Πρὸς τοῦ βιαίων.) πρὸς τίνος ἀναγκαστικῶν ἐπιτυγχάνουσαν πηδημάτων. Αὐτὴ ἀναβήσῃ ἐν τῷ ἀνωτάτῳ τοῦ ἱστοῦ· ἤγουν τῇ ἀκρα τῶν τροχαλιῶν· Διὰ νώτων ἐπτερωμένων, ἢ ποίῳ τρόπῳ· Κύων γενήσῃ· πυρώδεις ὀφθαλμοὺς ἔχουσα. ἤτοι ἠγριωμένους· Πῶς δὲ γινώσκεις τὴν ἐναλλαγὴν τῆς μορφῆς μου· ὁ ἐν τοῖς θραξὶ μάντις ἔλεξε διόνυσος ταῦτα. Θρηξὶ μάντις.) ἢ ἐν τῇ θράκῃ διονύσου μαντεῖον ἦν. ἢ ἀνήρ τις ἐν θράκῃ διόνυσος καλούμενος.

Διόνυσος.) οἱ μὲν, περὶ τὸ παγγαῖον εἶναι τὸ μαντεῖον φασὶ τοῦ διονύσου· οἱ δὲ, περὶ τὸν αἷμον· οὗ εἰσὶ καὶ ὀρφέως ἐν σανίσιν ἀναγραφαί· περὶ ὧν φησὶν ἐν ἀλκήστιδι· οὐδέ τι φαρμάκων θρῄσσαις ἐν σανίσι τὰς ὀρφεία κατέγραψε γῆρυς· ὅτι δὲ διόνυσος μάντις, καὶ ἐν βάκχαις φησί· μάντις δ᾽ ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον· καὶ μανιώδες μαντικὴν πολλὴν ἔχει. Σοὶ δ᾽ οὐκ ἔχρησεν.) σοὶ δὲ οὐκ ἐμαντεύσατο οὐδὲν τῶν κακῶν ὧν ἔχεις; Οὐ γὰρ ποτ᾽ ἄν.) οὐκ ἔχρησε δηλονότι· οὐ ποτε γὰρ ἂν σὺ εἷλες ἐμὲ ὧδε σὺν δόλῳ. Θανοῦσα δ᾽ ἢ ζῶσ᾽.) θανοῦσα μὲν ἐκπλήσω τὴν ἐνθάδε βίον ἤτοι τὸν ἐν τῇ μορφῇ τοῦ κυνός, ἢ ζῶσα· τὸ ἐκπλήσω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν βίον, πρὸς τὸ ζῶσα μόνον λέγει. πρὸς δὲ τὸ θανοῦσα τὸ μεταβληθήσομαι εἰς κύνα. ἐπειδὴ προεῖπεν ὁ πολυμήστωρ γενήσεσθαι αὐτὴν κύνα διαπορεῖ. καὶ ἐρωτᾷ αὐτόν. τί λέγεις. θανοῦσα γενήσομαι κύων, ἢ ζῶσα μεταβληθήσομαι εἰς τὴν κυνὸς μορφήν; ὃ καὶ λύει οὕτως. θανοῦσα. ἔφη γὰρ πυθαγόρας. καὶ μετ᾽ ἐκεῖνον πλάτων. ὡς αἱ τῶν ἀθλίως βεβιωκότων ψυχαὶ, ἀποθανόντων εἰς ἄλλα ζῶα εἰσέρχονται. καὶ λίθους. καὶ ξύλα. καὶ φυτὰ ἵνα ἐν τῇ πρὸς ταῦτα διατριβῇ δίκην ὑποσχοῦσαι πρέπουσαν ὧν ἥμαρτον, εἰς τὴν ἀρχαίαν ἐπανέλθωσιν τάξιν. ὅθεν καὶ πυθαγόρας ποτὲ ἀκούσας ὄνον ὀγκώμενον ἔφη. ὡς φίλου μου ψυχὴ ἐστὶν αὕτη ἡ ἐν τῷ ὄνῳ. καὶ διὰ τοῦτο ἐπέγνωμεν. Θανοῦσα. τουτέστι μέχρι θανάτου κύων ἔσῃ. ἐπωνομασθήσεται δὲ τῷ τάφῳ τὸ σὸν ὄνομα. ἤγουν κύων. Ἐπῳδὸν καὶ ἐπώνυμον τῆς ἐμῆς μορφῆς, ἤ τι ἄλλο ἐρεῖς. Εἰρήσεται καὶ λεχθήσεται δηλονότι σῆμα καὶ μνημεῖον τῆς ταλαίνης κυνὸς. τέκμαρ καὶ σημεῖον τοῖς ναύταις. Μορφῆς ἐπῳδόν.) ἐπώνυμον τῆς κυνικῆς μορφῆς, ἢ ἀλλότι τῆς ἀνθρωπίνης ἣν ἔχω λέξεις. Κυνὸς ἀθλίας τοῖς ναύταις τεκμήριον. Περὶ τοῦ κυνὸς σήματος καὶ ἀσκληπιάδης φησὶν. ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα. Οὐδαμῶς μοι φροντίς ἐστι. τιμωρηθέντος σοῦ παρ᾽ ἐμοῦ. Ἀνάγκη δὲ ὑπάρχει καὶ τὴν σὴν παῖδα κασάνδραν ἀποθανεῖν. Ἀπέπτυσ᾽ αὐτῷ. καταφρονῶ τῶν σῶν μαντευμάτων. σοὶ δ᾽ εἴη ταῦτα γενέσθαι, ἅπερ ἐμοὶ μαντεύῃ. Κτενεῖ δὲ αὐτὴν ἡ σύνοικος τοῦ δὲ τοῦ ἀγαμέμνονος ἡ πικρὰ κλυταιμνήστρα. Πικρὰν οἰκουρὸν τὴν κλυταιμνήστραν φησὶν, ὡς μοιχευομένην τῷ αἰγίσθῳ. ὃν ἔλιπεν ὁ ἀγαμέμνων, ὅτε ἀπῄει εἰς τροίαν, κηδεμόνα τοῦ οἴκου.

αὐτοῦ. καὶ ἀποκτείνασαν τὸν ἴδιον ἄνδρα ἀγαμέμνο/
να ὕστερον. ὡς καὶ πολυμήστωρ μετ' ὀλίγον αὐτῷ ἀγαμέ/
μνονι λέγει, ὑπὸ πελέκεως ἀναιρεθήσεσθαι. φοβουμένη
γὰρ αὐτὴ ἡ κλυταιμνήστρα αὐτὸν, μὴ τὴν πρὸς αἴγισθον
αὐτῆς μοιχείαν καταμαθὼν αὐτὴν μετ' αἰγίσθου τιμω/
ρήσεται, τοιόνδε βουλεύει. ἱμάτιον κατεσκεύασε μὴ ἔ/
χον διεξόδους. μήτε κεφαλῆς, μήτε χειρῶν. ἐν ᾧ περι/
βαλοῦσα αὐτὸν λελουμένον, ἀπέκτεινε. διὰ τοῦτο γὰρ καὶ
πολυμήστωρ λέγει πρὸς αὐτόν. κτενεῖ ὥς σ' ἐν ἄργει φονία
λουτρά σ' ἀναμένει. Μήπω μὴν μανείη τοσόνδε ἡ θυ/
γάτηρ τοῦ τυνδάρεω;) καὶ τοῦτον δὲ τὸν ἀγαμέμνονα
κτενεῖ. ἐξάρασα πέλεκυν ἄνω. Οἱ νεώτεροι μὴ νοή/
σαντες τὸ ὁμηρικὸν. δειπνήσας ὥς τίς τε κατέκτανε
βοῦν ἐπὶ φάτνῃ. ὅτι ἀνελθὼν εἶδε μετὰ τοὺς πόνους ἀπο/
λαύσεως τυχεῖν, τοῦτον ὡς βοῦν ἀπέκτεινεν ἡ κλυται/
μνήστρα προστεθείκασιν ὅτι καὶ πελέκει ἀνῃρέθη. διὸ σημειω/
τέον ἐνταῦθα τι, καὶ τοῦτό τε τοῦτον πέλεκυν ἐξάρασ' ἄνω.
Οὗτος σὺ μαινόμενος ὑπάρχεις. καὶ ἐπιθυμεῖς τυχεῖν
καὶ ἄλλων κακῶν. Κτενεῖ ὅτι καὶ ἐν τῷ ἄργει φονικὰ λου/
τρά σε περιμένει. ἐπειδὴ ἐνδύσασα αὐτὸν τὸ μὴ ἔχον
πέρας ἱμάτιον, ζέμα αὐτῷ κατέχεεν ἡ κλυταιμνήστρα.
Ἐκβάλλετε αὐτὸν ὦ δοῦλοι μακρὰν, μετὰ βίας.
Πονεῖς ἀκούων; Οὐ καθέξετε τὸ στόμα αὐτοῦ; Ἀσφα/
λίσατε. καὶ γὰρ ὑβρίζει ταῦτα δὲ φησὶν ὡς πιεζόντων αὐ/
τοῦ τῶν οἰκετῶν τὸ στόμα. Οὐκ ἐξορίσετε αὐτὸν που
τῶν ἐρήμων νήσων, ἐπεὶ καὶ λίαν οὕτως ἀναισχυντεῖ;
Σὺ δ' ὦ τάλαινα ἑκάβη πορευθεῖσα, θάπτε τοὺς διπλοῦς
νεκρούς. καὶ ὑμᾶς δὲ ὦ τρῳάδες πρέπον ἐστὶ πελάζειν
ταῖς σκηναῖς τῶν δεσποτῶν. καὶ γὰρ ὁρῶ τὰ πνεύμα/
τα πρὸς τὸν πλοῦν ἥκει δὲ εἰς τὴν πατρίδα καλῶς πλεῖν/

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαιμεν· καὶ καλῶς τὰ ἐν τοῖς οἴκοις ἔχοντα ἴδοιμεν· ἐλευθερωθέντες τῶν θλίψεων· καλῶς δὲ ἐπεύχεται· ἐπειδὴ ἄτοπα παρὰ τοῦ πολυμήστορος ἤκουσεν· Ἴτε πρὸς λιμένας·) πορεύεσθε πρὸς τοὺς λιμένας· καὶ πρὸς τὰς κατοικίας ὦ φίλαι, πεῖραν τῶν δεσποτικῶν λη/ψόμεναι πόνων· ἰσχυρὰ γὰρ ἐστὶν ἡ τῆς δουλείας ἀ/νάγκη· Ταῦτα δὲ πρὸς ἑαυτὰς λέγουσιν αἱ ἀπὸ τοῦ χοροῦ·

Τέλος σχολίων τῶν εἰς ἑκάβην·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΕΙΣ ΤΟΝ ΕΥΡΙΠΙΔΟΥ ΟΡΕΣΤΗΝ.

Ουκ ἔστιν οὐδὲν δεινόν. Ἡ ἔκθεσις τοῦ δράματος, ἐκ μονοστροφικῆς ἐστὶ περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλη. ὧν τελευταῖος, τὴν δ᾽ ἐξεγείραι συμφορὰ κινήσεται. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς δυστυχία, ὑπερῆρεν ἅπασαν, διὰ τοῦτο αὐτὴ ἡ Ἠλέκτρα γνωμοτευομένη, ταῦτα φησὶ καθ᾽ αὑτήν. δείξει γὰρ ὡς ἐξ ἀρχῆς τὸ γένος αὐτῆς συμφοραῖς ὑπέκειτο. ἵνα δὲ μὴ καθ᾽ ἕκαστον ἀπαριθμῆται τὰ συμβαίνοντα τοῖς ἀνθρώποις κακὰ, περιλαμβάνει διὰ τοῦ γενικοῦ ὀνόματος τοῦ δεινοῦ. διαιρουμένου εἰς πάθη καὶ συμφοράς. καὶ πάθη μέν εἰσι τὰ συμπίπτοντα τοῖς σώμασι νοσήματα. συμφοραὶ δὲ, αἱ ἐπερχόμεναι τοῖς ἀνθρώποις θλίψεις. καὶ τὸ ὧδ᾽ εἰπεῖν ἔπος, διὰ τοῦτο ἔφη. διότι καθολικῶς ἐξήνεγκεν, ἤγουν εἴρηκεν. ἐπεὶ δὲ πάθη καὶ συμφορὰν εἴρηκε, προτιμᾷ τὸ θηλυκὸν τοῦ οὐδετέρου. ἀποδιδοὺς τὸ ἧς πρὸς τὴν συμφοράν. γίνωσκε γὰρ ὅτι ἐὰν εὑρεθῶσιν ὀνόματα ἀρσενικὸν καὶ θηλυκὸν, μάλιστα μὲν τὸ ἀρσενικὸν προτιμᾶται τοῦ θηλυκοῦ. συμβαίνει δὲ ἔστιν ὅτε καὶ τὸ ἀνάπαλιν. ὁ αὐτὸς δὲ λόγος ἐστὶ, καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων. κειμένου ἀρσενικοῦ. καὶ θηλυκοῦ. καὶ οὐδετέρου ὀνόματος, ἀποδίδοται ἡ σύνταξις πρὸς τὸ οὐδέτερον, ὡς εἰς πρᾶγμα.

Οὐκ ἔστιν οὐδὲν δεινόν.) τὸ δεινὸν ὄνομα ἐστὶ γενικόν. καὶ διαιρεῖται εἰς πάθος. καὶ συμφορὰν. καὶ πάθος μὲν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ νοσήματα· συμφορὰ δὲ, αἱ δυσυχίαι, καὶ τὰ ἐπί/
τηαι. Ἄλλως· Οὐκ ἔστιν οὐδὲν δεινόν· ὅπερ οὐχ ὑφί/
σταται τῶν ἀνθρώπων ἡ φύσις· τοῦτο δέ φησι παρόσον
ἔκτοπον, καὶ ἀλόκοτον ὑπέστη τιμωρίαν ὁ τάνταλος·
ἢ διὰ τὰς τοῦ γένους συμφοράς, ἢ δι' ἑαυτὴν ὡς γε τλη
μόνως συνυποφέρει τῷ ἀδελφῷ τὴν τύχην· ἢ διὰ τὸν
ὀρέστην. Ἄλλως· Ὦ δ' ἔπος εἰπεῖν ἔπος· ὡς ἐν συντόμῳ
εἰπεῖν· οὐκ ἔστι δεινὸν· οὔτε πάθος· οὔτε συμφορὰ· ἧς οὐκ
ἂν τὸ ἄχθος ἡ τῶν βροτῶν φύσις ἀπενέγκαιτο· εἰς θηλυ
κὸν δὲ ἐξ οὐδετέρου τὸν λόγον ἀπέδωκεν, ἐπειδὴ προ
τιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκόν. Οὐκ ἔστιν οὐδὲν
δεινόν.) ὡς ἐπέρχεται δηλονότι εἰπεῖν ἔπος οὕτως· ἤ/
τοι ὡς ἐν συντόμῳ εἰπεῖν, οὐκ ἔστιν οὐδὲν χαλεπὸν· οὔτε
πάθος καὶ κάκωσις· οὐδὲ συμφορὰ ἀπὸ θεῶν πεμφθεῖ
σα, ἧς οὐκ ἂν βαστάσει βάρος ἡ φύσις ἀνθρώπου.

Οὐ δὲ πάθος.) πάθος ἐπὶ σώματος, τὸ τραῦμα· καὶ
ἡ πληγή· ἣν ξίφει τις ἐπλήγη· ἢ τοιούτῳ τινί· ὃ ἀπὸ μὲν
τοῦ ποιοῦντος, λέγεται πρᾶγμα· καὶ πρᾶξις· ἀπὸ δὲ
τοῦ πάσχοντος, πάθος· ὥσπερ τὸ λῆμμα ἀπὸ μὲν τοῦ
λαμβάνοντος λέγεται λῆμμα· ἀπὸ δὲ τοῦ διδόντος,
δῶρον· ἀπὸ τούτου πάθος καὶ ἐπὶ ψυχῆς ἡ ἧττα ἣν ἡττή/
θη τις, ὑπὸ ἀδικίας· ἢ ἀκολασίας· ἢ τοιούτου τινὸς· λέ/
γεται πάθος καὶ αὐτὴ ἡ ἀκολασία· καὶ ἡ ἀδικία· καὶ ἡ
δειλία· καὶ ὅσα τοιαῦτα προσβάλλει ἡμῖν· ὥσπερ λέ/
γεται βέλος· καὶ τὸ πεμπόμενον· καὶ τὸ τραῦμα τὸ ἀπὸ
τῆς βολῆς τοῦ βέλους· τούτων δὲ τῶν παθῶν τῶν προσ
βαλλόντων· ἤγουν τῆς ἀδικίας· τῆς ἀκολασίας· καὶ
τῶν τοιούτων, ἐπικρατεῖν ὁ λογισμὸς δύναται· οὐ κατα
λύων αὐτὰ· ἀλλ' ὑπείκων αὐτοῖς· τὰ δὲ ἔπρα, ἤγουν αἱ
πληγαὶ· καὶ αἱ ἧτται αἱ ὑπὸ τούτων, ἀφανίζεται ἰατρευό
μενα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

μενα. ὡς μὴ δὲ οὐλὴν καὶ ἴχνος τι αὐτῶν καταλείπεσθαι. ἐνταῦθα δὲ πάθη λέγει σώματος, τὴν πληγὴν καὶ κάκωσιν. Ὁ γὰρ μακάριος.) ὁ γὰρ μακάριος τάνταλος. καὶ οὐκ ὀνειδίζω τὰς τύχας, γεννηθεὶς ὡς λέγουσιν ἀπὸ τοῦ διὸς, φοβούμενος τὴν πέτραν τὴν ὑπερκειμένην τῆς κεφαλῆς. κρέμαται ἐν τῷ ἀέρι. καὶ δίδωσι ταύτην τὴν τιμωρίαν. ὡς μὲν λέγουσιν ὅτι ἄνθρωπος ὤν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς. ἔσχε γλῶσσαν ἀκράτητον. νόσον αἰσχίστην. καὶ χαλεπωτάτην. οὗτος ὁ τάνταλος ἐγέννησε πέλοπα. καὶ ἀπὸ τούτου ἔφυ ὁ ἀτρεύς. ᾧ ἀτρεῖ ἡ μοῖρα. ἡ κλωθὼ ξήνασα. καὶ κατασκευάσασα. ἤτοι παρασχοῦσα τὰ στέμματα. καὶ τὴν βασιλείαν, ἐπέκλωσε. καὶ εἱμαρμένον ἐποίησε, θέσθαι καὶ ποιῆσαι ἔριν. πολεμοῦντι τῷ θυέστῃ ὄντι συγγόνῳ καὶ ἀδελφῷ. Ὁ γὰρ μακάριος). μακάριον αὐτὸν καλῶ. καὶ οὐ δυστυχῆ. ἵνα μὴ ὀνειδίσω αὐτόν. Ἄλλως. Ὁ ποτὲ μακάριος. οὐ γὰρ ὀνειδίζουσα φησίν. ἀλλὰ βουλομένη παραστῆσαι. ὅτι πάντα τὰ δεινὰ ὑφίστανται οἱ ἄνθρωποι. ὡς ὅμηρος. τλητὸν γὰρ μοῖραι θνητὸν θέσαν ἀνθρώποισι. καλῶς δὲ τὸ ὡς λέγουσι προσέθηκεν. οὐ γὰρ πείθομαι τὸν δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι. Ἄλλως. τὸ ὡς λέγουσιν, οὐκ ἐνδοιάζουσα φησίν, εἰ παῖς ἦν τοῦ διὸς ὁ τάνταλος. ἀλλ᾽ ὀνειδίζουσα τῷ δαίμονι. ὅτι τοὺς ἰδίους ἐκγόνους τοσοῦτον ἐν ταῖς δυστυχίαις παρορᾷ. Ἄλλως. Ὁ γὰρ μακάριος.) ἐπαινεῖται τις ἐφ᾽ οἷς ποιεῖ καλοῖς. καὶ ψέγεται ἐφ᾽ οἷς ποιεῖ κακοῖς. μακαρίζεται δὲ ἐφ᾽ οἷς ἔχει καλοῖς. ἢ ἀπολαύει. ἀφ᾽ οὗ μακάριος ὁ μακαρισμοῦ ἄξιος. ἐφ᾽ οἷς ἔχει καλοῖς. ἢ ἀπολαύει. καὶ μακάριον τέλος. οὐ ὁ τυχών, μακαρίζεται.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μακάριον ἀγαθόν, ἐφ᾽ ᾧ ὁ ἀγασάμενος μακαρίζεται. ἐνταῦθα δὲ τὸ μακάριος, κατ᾽ εὐφημισμὸν λέγεται. οὐ γὰρ καλῶν ἀπέλαυσεν ὁ Τάνταλος, ἵνα διὰ ταῦτα μακαρίζηται· ἀλλὰ κακώσεων μᾶλλον καὶ κολάσεων. τινὲς μὲν φασὶν, ὧν ἐστι καὶ Εὐριπίδης, ἐν ἀέρι τὸν Τάνταλον κρέμασθαι. κἀνταῦθα τὴν δίκην ὑπέχειν ὧν ἐξήμαρτεν. ἐξειπὼν τοῖς βροτοῖς, τὰ τῶν θεῶν ἀπόρρητα. τοῦτο γάρ ἐστι τὸ ἀκόλαστον ἔχει γλῶτταν. καὶ τῆς ἀμβροσίας μεταδιδούς. ἕτεροι δὲ λέγουσιν ἐν ᾅδου τοῦτον κολάζεσθαι, ἱστάμενον μέσον ὕδατος ἄχρι πώγωνος· καὶ διψῶν· ἡνίκα δὲ ἐπιχειρήσῃ πιεῖν, ξηρὸν τὸ, τι ὕδωρ ἀφίσταται· καὶ ὁ ἐν τῇ κεφαλῇ πέτρας κατέπεσιν, ὡς δοκεῖν παταξειν. οὐ μόνον δὲ οὗτος ἐν ᾅδου κολάζεται, ἀλλὰ καὶ Σίσυφος. καὶ Τιτυὸς· καὶ Ἰξίων. καὶ Δαναοῦ παῖδες. Διὸς πεφυκώς.) Τμώλου· καὶ πλουτοῦς, υἱὸς ὁ Τάνταλος. Ταντάλου δὲ καὶ Εὐρυανάσσης, Πέλοψ. Βροτέας. Νιόβη. Πέλοπος δὲ, καὶ Ἱπποδαμείας. Ἀτρεὺς. Θυέστης. Δίας· Κυνόσουρος. Κορίνθιος. Ἵππαλμος. Ἵππασος. Κλέων Ἀργεῖος. Ἀλκάθους. Αἴλιος. Πιτθεὺς. Τροιζὴν. Νικίππη Λυσιδίκη. καὶ ἔκ τινος Ἀξιόχης, νόθος Χρύσιππος. τούτου φθονήσαντες οἱ Πελοπίδαι, ὡς προκρινομένῳ παρὰ τῷ πατρὶ, ἀναπείθουσιν ἅμα τῇ μητρὶ, τοὺς πρεσβυτάτους Ἀτρέα καὶ Θυέστην, ἀνελεῖν τὸν παῖδα· οἱ δὲ ἀποκτείναντες, εἰς φρέαρ ἐνέβαλον. ὁ δὲ Πέλοψ ὑπόπτους ἔχων τοὺς παῖδας, ἐκβάλλει τῆς πατρίδος ἐπαρασάμενος. τούτων ἄλλοι μὲν ἄλλῃ ᾤκησαν. Ἀτρεὺς δὲ καὶ Θυέστης ἐν τῇ Τριφυλίᾳ κατῴκησαν ἐν Μακίστῳ. καὶ Ἀτρεὺς μὲν, Κλεόλλαν τὴν Δίαντος ἀγαγόμενος, ἔσχε Πλεισθένη τὸ σῶμα ἀσθενῆ. ὃς Ἐριφύλην γήμας, ἔσχεν Ἀγαμέμνονα. καὶ Μενέλαον. καὶ Ἀναξιβίαν. νέος δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλούτων ὁ πληθένης, καταλείπει τῷ πατρὶ τοὺς παῖ-
δας. θυέστης δὲ λαβὼν Λαοδάμιαν. Ἀγλαΐαν. Κάλαιον.
τῶν δὲ ἡρακλειδῶν κατασχόντων πελοπόννησον, ἔχρη-
σεν ὁ θεὸς αὐτοὺς μὲν, ἀποστῆναι λακεδαίμονος. τοὺς
δὲ πελοπίδας βασιλεῦσαι. Ἀέρι ποτᾶται.) ἐπεὶ
διὰ γλωσσαλγίας ἥμαρτεν ὁ τάνταλος, σιωπῇ αὐτὸν
ἐκόλασεν ὁ θεός. οὔτε γὰρ ἐν οὐρανῷ αὐτὸν τιμωρεῖ-
ται, ἵνα μὴ συνδιαλέγηται τοῖς θεοῖς. ἢ λαλούντων
ἀκούῃ. οὔτε ἐπὶ γῆς. ὅπως μὴ ἐξείποι τοῖς ἀνθρώποις
ἅπερ ᾔδει ἐν τῷ οὐρανῷ. οὔτε καθ᾽ ᾅδου. ἵνα μὴ καὶ
ἄλλους ὁρῶν κολαζομένους ἁμαρτωλοὺς παραμυθοῖ-
το. ἀλλ᾽ ἐν ἀέρι μετεώρῳ. ὅπως μηδενὶ φθεγγόμε-
νος, μᾶλλον ἀνιῷτο. Ἀκόλαστον.) ἐπεὶ ἀκόλα-
στῳ τινὶ λόγῳ φασὶν αὐτὸν κολάζεσθαι. εἰ γὰρ μετέ-
δωκε τῆς ἀμβροσίας κατὰ τὸν πίνδαρον τοῖς βρο-
τοῖς, μᾶλλον ἂν φιλανθρωπίας παρὰ τῶν θεῶν
ἐθαυμάζετο. αἰσχίστην δὲ νόσον τὴν γλωσσαλγίαν φη-
σίν, ὅτι πορνεία μὲν καὶ γαστριμαργία. καὶ τὰ λοι-
πὰ πάθη, ἔχουσί τι καὶ τερπνόν. ἡ δὲ γλωσσαλγία
καὶ τούτου ἐστέρηται. καὶ ὅτι τὰ μὲν ἄλλα πάθη, τὸν
χρώμενον βλάπτει. αὕτη δὲ, κατὰ τοῦ θείου ὁπλί-
ζεται. Ὡς μὲν λέγουσιν.) ὅτι ἄνθρωπος ὢν, ἔχων
ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε
γλῶσσαν ἀκράτητον. λέγω νόσον αἰσχίστην. καὶ χα-
λεπωτάτην. κοινῆς τραπέζης ἀξιούμενος ὤφειλεν
εἰπεῖν.) ἐπεὶ δὲ ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν
τοῖς καταλαμβάνουσιν αὐτὴν δίδωσι, διὰ τοῦτο
εἶπεν ἀξίωμ᾽ ἔχειν ἴσον. Οὗτος φυτεύει.) ἐξ εὐ-
ρυθεμίστης τῆς ξάνθου, ἢ κλυτίας τῆς ἀμφιδάμαντος
ὡς ἱστορεῖ φερεκύδης, ὁ τάνταλος ἐγέννησε τὸν πέλοπα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ω στέμματα) τῆς ἀρχῆς τὸν στέφανον. αἰσχίνης γὰρ στέμματα τὰ ὅπλα φησίν. ἀπὸ τοῦ στέφειν τὰς ἠλακάτας. ἐξ ὧν γίνονται οἱ στέφανοι τῶν βασιλέων. ξήνασα δὲ ἀντὶ τοῦ προξενήσασα. καὶ παρασχομένη. ἢ ἀντὶ τοῦ ἐργουργήσασα. κατασκευάσασα. ὁ δὲ νοῦς. ἣ τῷ ἀτρεῖ περιποιησαμένη τὴν βασιλείαν θεά, πόλεμον καὶ ἔριν πρὸς τὸν ἀδελφὸν ἐπέκλωσε. γράφεται δὲ καὶ ὅπλοις. ἵνα ἡ θεία ὅπλοις τὸν πόλεμον, ἐπέκλωσε θυέστῃ καὶ ἀτρεῖ. οὐ παράλογον δὲ καὶ ἄλλον θεὸν ἐπικλώθειν ὡς καὶ τὰς μοίρας. ὅμηρος γὰρ φησί. τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἴκονδε νέεσθαι. τρεῖς δὲ εἰσὶ μοῖραι. κλωθώ. λάχεσις καὶ ἄτροπος. τούτων ἡ μὲν κλωθώ, τὰ ἑνὶ ἑκάστῳ μέλλοντα συμβήσεσθαι, κλώθει. καὶ κατασκευάζει. ἡ δὲ λάχεσις. λαγχάνει. καὶ κληροῖ. καὶ ἐπικυροῖ ταῦτα. καὶ οἷον ἐπισφραγίζει. ἡ δὲ ἄτροπος, ἄτρεπτα, καὶ ἀμετακίνητα ὡς οὐκ ἂν ἄλλως γενησόμενα τίθησιν. Τί τ' ἄρρητα.) ἀντὶ τοῦ εἰς μέτρον θεῖναι ἐμὲ παρθένον οὖσαν τὰ ἄρρητα. ἤτοι τὰ μὴ πρέποντα λέγεσθαι ὡς αἰσχρά. Ἀναμετρήσασθαι.) ἀνεμέτρει τὸ χωρίον παρὰ ἀριστοφάνει. ἀντὶ τοῦ διεμέτρει. ἀναμετρήσασθαι δὲ ἐνταῦθα. ἀντὶ τοῦ ἀναλαβεῖν καὶ διηγήσασθαι. ἀπὸ μεταφορᾶς τῶν τὰ μετρηθέντα ἐξ ἀρχῶν ἀναλαμβανόντων. καὶ μετρούντων. καθὸ λέγεται καὶ τὸ ἀνακοινωσώμεθα τὸν λόγον παρὰ πλάτωνι. ἀντὶ τοῦ ἐξ ἀρχῆς ἀναλαβόντες κοινωσώμεθα. τὸ ἑξῆς ὦ παρθένοι μὲν τρεῖς ἔφημεν ἐκ μιᾶς μητρὸς ἀνοσιωτάτης. ἡ χρυσόθεμις. καὶ ἡ ἰφιγένεια. καὶ ἐγὼ ἡ ἠλέκτρα. καὶ ἄρσην ὁ ὀρέστης. Ἀναμετρήσασθαι.) διὰ τοῦ ἀναμετρήσασθαι τὸ πλῆθος τῶν κακῶν ἐσήμανεν. ἢ οὕτως ὡς πολλά. ἢ ὡς ἄτοπα παραπέμπεται. ἢ ὡς παρθένος παραιτεῖται λέγειν. διὰ τὴν μοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

χείαν αἰγίσθου. ἢ τὸν ἄνομον αἰγίσθου γάμον. οὗτος γὰρ ἦν παῖς πελοπίας τῆς θυγατρὸς ἢ στερόπιδος. δι᾽ ἧς ἐποίησεν αὐτὴν θυέστης. Ἔδωσι δ᾽ οὖν νιν.) εὐώχησεν αὐτὸν τὸν θυέστην ὁ ἀτρεύς. τὰ τέκνα αὐτοῦ δηλονότι ἀποκτείνας. ἀπὸ τοῦ ἀτρέως δὲ, τὰς γὰρ ἐν μέσῳ δυστυχίας σιγῶ, ἔφυ ὁ κλεινὸς ἀγαμέμνων. κλεινὸς μὲν ὡς ὑπὲρ τῆς ἑλλάδος εἰς τροίαν στρατεύσας. ἤδη κλεινὸς, ὡς ἀθλίως ἀποθανών. καὶ τὴν τῆς γυναικὸς ὑποστὰς μοιχείαν. Ὁ μενέλεώς τε ἀπὸ μητρὸς κρητικῆς τῆς ἀερόπης. εἰς γυναῖκα δὲ ἔλαβεν ὁ μὲν μενέλαος, τὴν ἑλένην τὴν μισουμένην ὑπὸ τῶν θεῶν. ὁ δὲ ἀγαμέμνων ὁ ἄναξ, τὸ λέχος τῆς κλυταιμνήστρας, περιφραστικῶς ἀντὶ τοῦ τὴν κλυταιμνήστραν. τὸ ἐπίσημον καὶ διάδηλον διὰ τὸν φόνον δηλονότι εἰς τοὺς ἕλληνας. ὦ ἀγαμέμνονι παρθένοι μὲν τρεῖς ἐγεννήθημεν ἐκ μιᾶς ἀνοσιωτάτης μητρός. χρυσόθεμις. ἰφιγένεια. καὶ ἐγὼ ἡ ἠλέκτρα. ἄρσην τε ὀρέστης. ἥτις κλυταιμνήστρα περιβαλοῦσα. καὶ περικρύψασα τὸν ἄνδρα ἐν ἱματίῳ κυκλοτερεῖ μὴ ἔχοντι διέξοδον, ἔκτεινεν. ὧν δὲ χάριν ἔκτεινε δηλονότι, οὐ καλόν ἐστι παρθένῳ λέγειν. τουτέστιν ἐμοὶ τῇ παρθένῳ. ἀφίημι τοῦτο ἀσαφὲς καὶ ἄρρητον σκοπεῖσθαι ἐν τῷ δήμῳ. Φοίβου δ᾽ ἀδικίαν.) ἐν ἤθει ταῦτα. φησὶ μὲν γὰρ οὐ κατηγορήσειν τοῦ θεοῦ. ὅμως γε μὴν ὕστερον ὑποπαθήσασα καταβοᾷ ἀπόλλωνος. καὶ δέον ἐδόκει μὴ κατ᾽ αὐτοῦ λέγειν, διὰ τούτων ἐλέγχεται αὐτοῦ κατηγοροῦσα. τὸ δὲ ἀκόλουθον ἦν. ὁ δὲ ἀπόλλων, οὐκ ἄδικος μὲν, ὅμως πείθει ὀρέστην ἀποκτεῖναι τὴν μητέρα. πρὸς οὐχ ἅπαντας ἐστὶ τὴν εὔκλειαν φέρειν εἴρηκεν, ἐπειδὴ οἱ μὲν, ἐπήνουν αὐτόν. οἱ δὲ, οὔ. Οἷα δὴ γυνή.) ὥσπερ ἀδύνατος ἡ γυναικεία φύσις μεταλαβεῖν φόνου. οὐ γὰρ κεκοινώ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῆκε τοῦ φόνου ἡ ἠλέκτρα ὡς καὶ ὀρέστης φησί· σὺ μὲν γὰρ ἐπένευσας· τὰ δ' εἴργασαί μοι· ζητεῖται δὲ τί δήποτε ἀνωτέρω παρθένον ἑαυτὴν εἰρήκει, ὅπου φησίν, ὧν δ' ἐκ παρθένῳ λέγειν οὐ καλόν· ἐνταῦθα γυναῖκα ἑαυτὴν λέγει. λεκτέον δὲ ὡς οἷα δὴ γυνὴ πρὸς τὸ θηλυκὸν γένος σκοπουμένη, ὡς οὐδὲν μὲν ἔπραξεν· ἀλλὰ τοσοῦτον, ὅσον ἂν γυνή τις φράσοιτο. Οἷα δὴ γυνή.) ὡς γυνὴ συμβουλεύσασα· παραθαρρύνασα· ὑπομνήσασα τοῦ πατρός, οὐχὶ αὐτόχειρ γέγονε τῆς μητρός· ἀλλὰ λόγοις παρώρμησε κατ' αὐτῆς τὸν ἀδελφόν. τάχα δὲ διὰ τοῦ οἷα δὴ γυνή, παρονειδίζει τῇ μητρί· ἐκείνη γὰρ αὐτόχειρ γέγονε τοῦ ἀγαμέμνονος, οὐ κατὰ γυναῖκα. Πυλάδης θ' ὅς.) φώκου παῖδες, κρίσος καὶ πανοπεύς. Τούτων ὁ κρίσος ἔκτισε τὴν νῦν κίρραν, τό τε κρίσαν καλουμένην· καὶ παῖς αὐτῷ ἐξ ἀντιφατείας τῆς ναυβόλου, στρόφιος ἐγένετο· οὗ ἀστυδάμεια· καὶ πυλάδης ἐκ κυνδραγόρας τῆς ἀδελφῆς ἀγαμέμνονος. Ὀνομάζειν.) ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς τὰς ἐριννῦς· οὐκ ὀνομάζουσι δέ, ἀλλ' εὐφημιζόμενοι, θεὰς εὐμενίδας καλοῦσιν. ὀνόματα δὲ τῶν ἐριννύων· τισιφόνη· μέγαιρα· καὶ ἀληκτώ.

Ἄλλως. ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς εὐμενίδας. τουτέστιν εὐλαβοῦμαι λέγειν, ὅτι αἱ εὐμενίδες· ἤγουν αἱ ἐριννύες ποιοῦσιν αὐτὸν μαίνεσθαι· αἳ τοῦτον ἐξαμιλλῶνται καὶ ἐλαύνουσιν ἐν φόβῳ· ἔστι δὲ τὸ σχῆμα κατὰ παράληψιν· ὃ γὰρ ηὐλαβεῖτο λέγειν, εἴρηκεν. Ἄλλως· αἰδοῦμαι τὰς εὐμενίδας λέγειν θεάς· ἀντὶ τοῦ εὐλαβοῦμαι λέγειν αὐτὰς εἶναι τοῦ θείου γένους· ὡς κακῶν πρακτικάς. Εἶπε δὲ τὰ ἐξαμιλλῶνται, ἐπειδὴ οἱ ἀγωνιζόμενοι πρὸς ἀλλήλους ἐν γυμνασίοις ἄνω καὶ κάτω στρέφονται τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἀγωνίσμασιν. Τροχηλατεῖ.) κατεπείγει. μετὰ τοῦ τροχοῦ καὶ ἁρμάτων ἐλαύνει. Ἐξ ὅτου σφαγαῖς.) καὶ ὅμηρος. ἤτοι ὁ τὸν κτείνας, δαίνυ τάφον ἀργείοισιν. αὐτῆμαρ δέ οἱ ἦλθε. Καθήγνισαι.) καθωσίωται. κέκαυται. ἁγνείαν γὰρ ἐκάλεσε τὴν διὰ πυρὸς φθορὰν τοῦ σώματος. Καθήγνισαι.) κεκάθαρται. πάντα γὰρ καθαίρει τὸ πῦρ. καὶ ἁγνὰ δοκεῖ εἶναι τὰ καιόμενα. τὰ δὲ ἄταφα, μεμιασμένα. Ὧν οὔτε.) ἀφ' ὧν. ἢ ἐξ ὧν ἓξ ἡμερῶν οὐκ ἔφαγεν. ἐμφαίνει δὲ, ὡς προσηνέχθη μὲν αὐτοῦ τῷ σώματι ἡ τροφή. ἀλλὰ καταπιεῖν οὐκ ἐδυνήθη. Ἔδοξε δ' ἄργει.) φανερὸν ὅτι ἐν ἄργει ὑπόκειται ἡ σκηνὴ τοῦ δράματος. ὅμηρος δὲ ἐν μυκήναις φησὶ τὰ βασίλεια ἀγαμέμνονος. στησίχορος δὲ καὶ σιμωνίδης, ἐν λακεδαιμονίᾳ. τὸ δὲ ἑξῆς, ἔδοξε δ' ἄργει τῷδε μὴ θ' ἡμᾶς στέγαις δέχεσθαι. πρὸς δὲ τὸ πῦρ οὐδὲν ἀνταπέδωκεν. ἔξωθεν οὖν ἀκουστέον τὸ ἐναύειν. καὶ ἔστι σχῆμα ἀττικὸν μὴ πυρὶ ἐναύειν ἀντὶ τοῦ μή τε πυρὸς ἐναύειν. οὐ γὰρ τὸ δέχεσθαι πρὸς τὸ πῦρ ληπτέον. Ἢ φάσγανον.) κέκριται φησὶν ἡμᾶς τελευτῆσαι. πότερον δὲ ξίφει. ἢ λίθοις βληθέντας, σήμερον κρινοῦσι. Ναύπλιον.) ναύπλιος ἀργεῖος ἀνὴρ, ναυτικῆς ἔμπειρος λιμένα κατασκευάσας ἀφ' ἑαυτοῦ ἐκάλεσε ναύπλιον. ἦν δὲ υἱὸς ποσειδῶνος καὶ ἀμυμώνης. ἢ ὅτι ἐν λειμῶνι διέτριβεν. ἐκ τούτου ὁμώνυμος αὐτῷ ὁ λιμήν. Ἐκ πληρῶν πλάτη.) ἤτοι τὴν ὁδὸν διαπεπερακὼς, ταῖς κώπαις προσορμίζεται ταῖς ἀκταῖς. ὑπὸ δὲ τῶν πλατῶν τὰς ναῦς σημαίνει. Πλάτη δὲ τὸ πλατὺ τῆς κώπης. ὃ μεθίεται εἰς τὴν θάλασσαν. Μή τις εἰσίδων.) οὐκ ὀρθῶς νῦν ποιοῦσιν αὐτὴν τῶν ὑποκριτῶν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσεπορθουμένην· καὶ τὰ λάφυρα προσεπορθούμενα· ἀφέγγως γὰρ αὐτὴν νυκτὸς ἀπεσάλθαι φησί· τὰ δὲ κατὰ τὸ δρᾶμα ἡμέρᾳ ἐκπλεῖται· Συμφορᾶς τε δωμάτων·) συμφορὰ οὐ μόνον ἡ δυστυχία· ἀλλὰ καὶ ἡ συνέλευσις· ὡς ἔχει τὸ τοῦ σοφοκλέους· κἀπὶ συμφορᾷ γεγηθὼς, ἕρπει δάκρυον ὀμμάτων ἄπο· Φοίβου δ' ἀδικίαν·) τοῦ δὲ ἀπόλλωνος κατὰ τί πρέπει κατηγορεῖν ἀδικίαν· πείθει γὰρ ἀντὶ τοῦ ἔπεισε τὸν ὀρέστην κτεῖναι τὴν μητέρα· ἥτις ἐγέννησεν αὐτόν· πρᾶγμα δηλονότι προστάξας, οὐ φέρον πρὸς ἅπαντας εὔκλειαν· καὶ καλὴν φήμην· ὅμως δὲ ἀπέκτεινε πειθεὶς τῷ θεῷ· καὶ ἐγὼ μετέσχον τοῦ φόνου, καθὰ γυνή· τουτέστι συνεβούλευσα· ὁ πυλάδης δὲ, μετέσχε τοῦ φόνου δηλονότι· ὃς συνέπραξεν ἡμῖν τάδε· Εντεῦθεν·) ἤτοι ἐξ ἐκείνου συντακεὶς· καὶ συμμιγεὶς ὁ τλήμων ὀρέστης· νόσῳ ἀγρίᾳ· ἤτοι μανίᾳ, νοσεῖ· Ο δὲ·) ἀντὶ τοῦ ὃς δὴ πεσὼν ἐν κοίτῃ κεῖται· ὁ φόνος γὰρ τῆς μητρὸς ἐλαύνει· καὶ ταράσσει αὐτόν· μανίαισιν· ὑπὸ μανιῶν τῶν ἐριννύων δηλονότι· αἰδοῦμαι γὰρ ὀνομάζειν καὶ λέγειν θεὰς εὐμενίδας· τὰς ἐριννύας δηλονότι· αἳ ταράσσουσι τὸν δὲ διὰ φόβον· ἕκτον δὲ ἦμαρ τόδε ἐστὶ δηλονότι· ἐξότου σφαγαῖς· καὶ διὰ σφαγῆς θανοῦσα ἡ μήτηρ ἐκαθάρθη τὸ δέμας διὰ τοῦ πυρός· δι' ὧν ἡμερῶν, οὔτε τροφὴν ἐδέξατο διὰ τοῦ λαιμοῦ· οὐ λουτρὰ ἔδωκε τῷ σώματι· ἤτοι οὐκ ἐνίψατο· Κρυφθεὶς δὲ ἔσω τῶν ἱματίων, ὅταν μὲν κουφισθῇ τὸ σῶμα ἀπὸ τῆς νόσου· ἔμφρων γενόμενος δηλονότι, δακρύει· ποτὲ δὲ ἀπὸ τῆς κοίτης, πηδᾷ· καθὰ πῶλος ἀπὸ ζυγοῦ δρομαῖος· καὶ ταχύς· ἐκυρώθη γὰρ τοῖς ἀργείοις (τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου) μήτε ἐν οἴκοις· μήτε ἐν θυσίαις, δέχεσθαι ἡμᾶς τινὰ· μητρο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κτονῆσαι τινάς· μήτε προσαγορεύειν. Κυρία δὲ ἤτοι ὡρισμένη. καὶ κεκυρωμένη ἤδη ἡ ἡμέρα. ἐν ᾗ ἐξοίσει ἡ πόλις τῶν ἀργείων τὴν ἀπόφασιν. εἰ πρέπει θανεῖν ἡμᾶς ἐν πετρώματι λιθοβολησίμῳ. ἢ ξίφος ἀκονήσαντάς τινα βαλεῖν ἐπὶ τοῦ αὐχένος ἡμῶν δηλονότι. ἔχομεν δὲ δή τινα ἐλπίδα ὥστε μὴ θανεῖν. ἥκει γὰρ ἀπὸ τῆς τροίας ὁ μενέλαος εἰς τὴν γῆν τὴν ἑαυτοῦ. δηλονότι εἰς τὴν πατρίδα. τὸν λιμένα δὲ τὸν ναύπλιον. τὸν ἀπό τινος ναυπλίου οὕτω λεγόμενον, διανύσας κώπῃ. ἐνλιμένισε τῷ αἰγιαλῷ. ἐπὶ πολὺ χρόνον ἐκ τῆς τροίας πλανηθείς. τὴν δὲ πολλῶν στεναγμῶν αἰτίαν ἑλένην, προέπεμψεν εἰς τὸν οἶκον τὸν ἡμέτερον. ἐπιτηρήσας νύκτα. ἵνα μή τις ἰδὼν πορευομένην κατὰ τὴν ἡμέραν ὧν οἱ παῖδες ἀπέθανον ἐν τῇ τροίᾳ, λιθοβολήσῃ αὐτήν. ἔστι δὲ ἔσω κλαίουσα τὴν ἀδελφὴν καὶ τὴν δυστυχίαν τῶν δωμάτων. ἔχει δὲ δή τινα παραμυθίαν τῶν ἐλίψεων. ἣν γὰρ ὁ μενέλαος ἀπὸ τῆς σπάρτης ἀγαγὼν ἔλιπε κατὰ τοὺς οἴκους ὅτε ἔπλει εἰς τὴν τροίαν. τῇ ἐμῇ τε μητρὶ παρέδωκεν ἀνατρέφειν, τὴν παρθένον λέγω τὴν ἑρμιόνην, ἐπὶ ταύτῃ χαίρει. καὶ ἐπιλήθεται τῶν δυστυχιῶν. βλέπω δὲ πᾶσαν εἰσέλευσιν, πότε ὄψομαι τὸν μενέλαον ἥκοντα. ὅτι κατὰ τὰ ἄλλα ἐπ' ἀσθενοῦς ῥώμης ὀχούμεθα. καὶ φερόμεθα. ἐὰν μὴ σωθῶμεν κατά τι παρ' ἐκείνου. ἄπορον χρῆμα ὑπάρχει δηλονότι ὁ δόμος ὁ δυστυχῶν. Ω παῖ κλυταιμνήστρας.) τοῦ προσήκοντος ἤθους ἐξέπεσεν ὁ εὐριπίδης. νῦν γὰρ πρῶτον ἀλλήλας βλέπουσι. καὶ ἀληθῶς πάνυ. οὔτε ἀπέχονται ἀλλήλας. ἅμα δὲ δυσωπεῖ τὴν ἠλέκτραν. καὶ λυπεῖ ὑπομιμνήσκουσα τοῦ τῆς κλυταιμνήστρας ὀνόματος. καὶ προσάπτουσα. ἀκολούθως δὲ καὶ τόδε διατετμημένον. τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ἑξῆς μακρὸς δ' ἡ μῆκος χρόνου παρθένε ἠλέκτρα. ἀντὶ τοῦ ὦ πολυχρόνιε παρθένε. ἤτοι πολλῷ χρόνῳ παρθενευομένη. τοῦτο δὲ καὶ ὑβρίζουσα αὐτὴν φησίν, ὡς αἰτίαν ἔχουσα. καὶ διὰ τοῦτο μὴ γαμουμένη. παρεμφαίνει δὲ διὰ τούτου ὅτι συμμοιρίας νομίζει τέλος τὸν γάμον.

Φονεῦσ' ἔφυ.) δέον ἔφυτε εἰπεῖν. ἐπειδὴ καὶ ἀμφότεροι τὸν φόνον εἰργάσαντο. ἡ μὲν, βουλευσαμένη. ὁ δὲ, πράξας. ὁ δὲ εἰπὼν σύ γε κασίγνητός τε σὸς, πρὸς τὸν ὀρέστην ἀπέδωκε. διὰ μὲν τοῦ συμπαραλαβεῖν ἀμφοτέρους δεικνύων βουλευσαμένους τὸν φόνον. διὰ δὲ τοῦ ἔφυ, μόνον τὸν ὀρέστην εἰργασμένον. ἢ οὕτω δέον εἰπεῖν. πῶς ἔχετε ὦ τάλαινα σύ τε καὶ σύγγονός τε σὸς τλήμων ὀρέστης. ὁ δὲ, τὴν ὁρμὴν τῆς προτάσεως, ἤτοι τὸ ἔχετε ἐάσας, ἐπειδὴ ὀρέστης ἐφόνευσε τὴν μητέρα, πρὸς τοῦτον τὴν ἀπόδοσιν ἐποιήσατο. ἀγνοοῦντες δέ τινες τὸ ὅδε ἀντὶ τοῦ ὅς τις φασίν. ἔστι δὲ ὅδε διὰ μέσου δεικτικόν. Ὅπως δ' ἔπλευσα.) διὰ μέσου ταῦτα. ἤγουν ὁ τρόπος δὲ τοῦ ἐμοῦ ἀπόπλου ὑπὸ δυστυχίας ἦν θεομανής. Εἰς φοῖβον.) καὶ τοῦτο πανούργως. ἀναμάρτητον γὰρ τὸ θεῖον ἐμφαίνει ὁ ποιητής, ὡς καταψευδομένων αὐτῶν τοῦ ἀπόλλωνος. Ἣν ἔπει πρὸς ἴλιον.) ἣν οὐκ εἶδον ἀφ' οὗ εἰς τὴν ἴλιον ἔπλευσα. διὰ μέσου γὰρ τὸ ὅπως ἔπλευσα. εἶτα ὥσπερ αἰτίαν λέγουσα τοῦ πλοῦ, θεομανεῖ πότμῳ φησί. ἀντὶ τοῦ ὑπὸ εἱμαρμένης μανείσῃ. ἢ μοίρᾳ θεοῦ μανείσῃ. Ἄλλως. ἣν οὐκ εἶδον ἀφ' οὗ πρὸς ἴλιον ἔπλευσα. εἰ δὲ θέλεις γνῶναι ὅπως ἔπλευσα, γίνωσκε ὅτι θεομανεῖ πότμῳ. κρύπτει δὲ τὴν μοιχείαν. καὶ ὑπὸ βίας δαίμονός τινος ἥχθαι εἰς τροίαν φησίν. Ὦ παῖ κλυταιμνήστρας.) ὦ θύγατερ τῆς κλυταιμνήστρας. καὶ τοῦ ἀγαμέμνονος παρθένε ἰώ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μακρὸν δὴ μῆκος χρόνου. πῶς σύ τε ὦ τάλαινα ἔφυς· δηλονότι. κατὰ κοινοῦ ὁ σός τε κασίγνητος ὀρέστης. οὗτος ἔφυ καὶ ἐγένετο φονεὺς τῆς μητρός. τοῖς προσφθέγμασι γάρ σου, ἤγουν τῇ πρὸς σὲ ὁμιλίᾳ οὐ μιαίνομαι· ἀναθεῖσα τὸν φόνον εἰς τὸν ἀπόλλωνα. καίτοι θρηνῶ τὸν θάνατον τῆς κλυταιμνήστρας τῆς ἐμῆς ἀδελφῆς. ἣν ἀφ' οὗ ἔπλευσα πρὸς τὴν ἴλιον. ὅπως δὲ καὶ πῶς ἔπλευσα, ἀπὸ μανίας θείας, οὐκ εἶδον. στερηθεῖσα δὲ τῆς ἀδελφῆς, θρηνῶ τὰς τύχας καὶ τὰς δυστυχίας. Ἰστέον δὲ ὅτι ἡ αὐτὴ ἠλέκτρα παρ' ὁμήρῳ λαοδίκη εὕρηται. ἣ κατὰ τρόπον διωνυμίας ἠλέκτρα ἐκλήθη. διὰ τὸ κατ' ὄψιν ἠλεκτρῶδες, καὶ χρυσοειδές. ἢ κατὰ λόγον τινὰ σκώμματος, διὰ τὸ πολὺν χρόνον ἄλεκτρον μεῖναι, χόλῳ κλυταιμνήστρας. ὃ δὴ καὶ εὐριπίδης νῦν παρίστησιν. ἐν τῷ παρθένε δὴ μῆκος. Ἑλένη.) πρὸς πάσας τὰς ὕβρεις ἀντίκειται τὸ ἑλένη. ὅθεν καὶ χιάζεται ὁ στίχος. σεσημείωται γὰρ τὸ ὄνομα τῆς ἑλένης. αἰνίττεται δὲ ὅτι πονηρῶς κερτομεῖ πυνθανομένη περὶ ὧν παροῦσα ὁρᾷ. Ἄλλως. τὸ ἑλένη τί σοι λέγοιμ' ἂν βαρυνομένου ἦθος δηλοῖ κατὰ τοὺς παλαιούς. ἡ γὰρ τοῦ κυρίου ὀνόματος χρῆσις, ποτὲ μὲν βαρύτητός ἐστιν ὡς ἐνταῦθα. ποτὲ δὲ ἀφελείας, ὡς παρ' ὁμήρῳ. ἐν τῇ ζ ῥαψῳδίᾳ. ὡς ἀπὸ τῆς ἀνδρομάχης. ἕκτορ. ἀτὰρ σύ μοι ἐσσὶ πατὴρ. καὶ πότνια μήτηρ. Τί σοι λέγω.) τί χρεία διηγήσασθαί σοι ἅτινα ὁρᾷς. τί δὲ ὁρᾷς, ἐν συμφοραῖς τὸν ἀγαμέμνονος γόνον. δῆλον δὲ ὅτι οὐ τὸν ὀρέστην μόνον λέγει, ἀλλὰ καὶ ἑαυτὴν ἀγαμέμνονος γόνον. περὶ τῶν δύο γὰρ καὶ ἡ ἑλένη ἐπύθετο λέγουσα. πῶς ὦ τάλαινα σύ τε κασίγνητος

πε σός. εἰκότως οὖν καὶ αὐτὴ ἐπάγει τὴν ἑαυτῆς ἄυπνον δυσδαιμονίαν. καὶ τὴν ὀρέστου νόσον. τὴν ἀπώλειαν δὲ δι' ἑνὸς ἐδήλωσεν ὀνόματος. καὶ ὀρέστης γὰρ κρινόμενος ἐπὶ τὴν τοῦ πατρὸς κατέφυγε φιλότητα. Ω ἑλένη τί λέγοιμι ἄν σοι, ἅγε ἢ πῆ σὺ παροῦσα ὁρᾶς. τὸν γόνον ἤτοι τοὺς παῖδας τοῦ ἀγαμέμνονος ἐν συμφοραῖς. ἐγὼ μὲν ἄϋπνος πάρεδρος θάσσω, ἀντὶ τοῦ παρακάθημαι ἀθλίῳ νεκρῷ. νεκρὸς γὰρ οὗτος χάριν μικρᾶς ἀναπνοῆς. τουτέστιν ἐγγύς ἐστι νεκροῦ, διότι σμικρὰν ἔχει πνοὴν, τὰς τούτου δὲ δυστυχίας οὐκ ὀνειδίζω. σὺ δὲ εἶ μακαρία. μακάριός τε ὁ σὸς πόσις μενέλαος. ἥκετε εἰς ἡμᾶς ἀθλίως δυστυχήσαντας. Πόσον χρόνον.) ἐπὶ πόσον δὲ χρόνον πεπτωκὼς κεῖται, ὃ δὲ ἐν τοῖς δεμνίοις. Ἀφ' οὗ καιροῦ διεπράξατο τὸν τῆς μητρὸς φόνον. Ἐξ οὗπερ αἷμα.) οὐ πρὸς τὴν πεῦσιν ἀπεκρίνατο. ἡ μὲν γὰρ ἤρετο ἀπὸ ποίου χρόνου νοσεῖ. ἡ δὲ εἶπεν ἐξ οὗ τὴν μητέρα ἀνεῖλε. τοῦτο δὲ πάλιν ὁμοίως ἄδηλόν ἐστι τῇ ἑλένῃ. Αἷμα γενέθλιον.) γενέθλια πᾶσα ἡ ἐν γεννήσει τινὸς τελουμένη ἑορτή. ὥσπερ γαμήλια ἡ ἐν γάμῳ. καὶ ἐγκαίνια ἡ ἐν ἐγκαινισμῷ. κατὰ ταῦτα λέγεται. καὶ κρόνια ἡ ἑορτὴ τοῦ κρόνου. καὶ διάσια, ἡ τοῦ διός, καὶ τιτάνια ἡ τῶν τιτάνων. καὶ ἕτερα. ἐνταῦθα δὲ γενέθλιον αἷμα λέγει, ἀντὶ τοῦ μητρῷον. ἀπὸ τῆς γεννήσεως μετάγων τὸν λόγον. ἐπὶ τὴν αἰτίαν τῆς γεννήσεως. ἤτοι τὴν μητέρα. Ω μέλεος. ἄθλιος οὗτος ὅτι τὴν μητέρα ἀνεῖλε. κἀκείνη ὅτι ὑπὸ παιδὸς ἀνῃρέθη. μελέα τυγχάνει. τὸ δὲ ὡς ἀντὶ τοῦ πῶς. ἢ ὅπως. Πρὸς θεῶν.) ἕνεκα τῶν θεῶν καταπεισθείης ἄν ἐμοὶ κατά τι ὦ παρθένε; Ὡς ἄσχολός γε.) λίαν ἄσχολος εἰμί. σχολῆς ἐστερημένη. ἀσχολοῦμαι ἤτοι πολιωρῶμαι τῇ περι-

σεδρία τοῦ ἀδελφοῦ. Προεδρία ἡ προτίμησις. καὶ ἡ πρώτη καθέδρα. προσεδρία δὲ ἡ ἐπίμονος καὶ διηνεκὴς ἀσχολία. Ἄλλως. τοῦτό σοι φησὶ πείθω, ὃ μὴ ἀπασχολήσει με τῆς προσεδρίας τοῦ ἀδελφοῦ. τουτέστιν εἰ μὲν τὸ κελευόμενον παρὰ σοῦ χωρίζει με τοῦ ἀδελφοῦ, οὐ πείσομαι. εἰ δὲ οὐ χωρίζει, πείσομαι. ἢ ὅτι παντελῶς ἀπαρνεῖται τὴν ὑπούργησιν. τουτέστιν οὐ πείθομαί σοι. ὅτι ἄσχολός εἰμι τῇ προσεδρίᾳ τοῦ ἀδελφοῦ. ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι. ἔνιοι δὲ λείπειν φασὶ τὸ μή. ἵν' ᾖ εἰρωνεία. ἵν' ᾖ πείθομαί σοι ὅτι μὴ ἄσχολός εἰμι τῇ τοῦ ἀδελφοῦ προσεδρείᾳ. ἄσχολος γὰρ ἦν. πῶς σοι φησὶ πειθῶ ἀσχολουμένη τῇ νοσοκομίᾳ τοῦ ἀδελφοῦ. ἵν' ᾖ ὡς σχολὴν ἄγουσα. ἵν' ᾖ ἐρωτηματικόν. Βούλει.) βούλει ἀπελθεῖν πρὸς τὸν τάφον τῆς ἀδελφῆς μου; ἁπλούστερον αὐτῇ διαλέγεται, ὅτι μᾶλλον δεῖται αὐτῆς. ἐνταῦθα δὲ παραφυλάττεται. καὶ μητρὸς εἰπεῖν σῆς. ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτῇ, δεῖ γὰρ εἶναι κολακευτικὸν τὸ λεγόμενον. Τῆς ἐμῆς μητρὸς κελεύεις τίνος χάριν. νῦν μητέρα αὐτὴν ἐκάλεσε δεικνῦσα ὅτι οὐδὲ τὴν πρώτην λοιδορίαν προσήκατο. καὶ τάχα διὰ τοῦ ὀνόματος τῆς ἐχθρᾶς μητρὸς, παραιτεῖται τὴν αἴτησιν. ἀλλ' ἡ μὲν κολακεύουσα συγγενικῷ ὀνόματι ἐχρήσατο. ἡ δὲ παραιτουμένη τὴν κολακείαν, εἶπε μητρὸς τῆς ἐμῆς.

Κόμης ἀπαρχάς.) φέρουσα ἀπαρχὰς τῆς κόμης. καὶ χοὰς. καὶ θυσίας ἡμᾶς. Ἀπαρχὴ ἐλέγετο οὐ μόνον τὸ πρῶτον τῇ τάξει. ἀλλὰ καὶ τὸ πρῶτον τῇ τιμῇ. ὅθεν καὶ ἀπαρχὰς καρπῶν προσῆγον οἱ παλαιοί. καὶ ὠνόμαζον. τὰ κρείττονα ἐκλεγόμενοι. καταχρηστικῶς δὲ καὶ τὰς θυσίας ἐτέλουν τὰς τοῖς τεθνεῶσιν οἱ παλαιοὶ, καὶ ἀπαρχὰς ἐκάλουν. Σοὶ δ' οὐ θεμιτόν.) σοὶ δὲ οὐχί

θεμιτόν· ἀντὶ τοῦ οὐ δυνατὸν ἔρχεσθαι πρὸς τὸν φιλούμενον τάφον; οὐκ ἐν καιρῷ παῤῥησιάζεται ἡ ἠλέκτρα· καίτοι πρὸ ὀλίγου φάσκουσα ἐλπίδα ἔχειν εἰς τὸν μενέλαον· εἰ μὲν οὖν ἐν ἐρωτήσει ὁ λόγος, μετριώτερός ἐστιν· ἐὰν δὲ ἑτέρως, ἄντικρυς ἐναγῆ καὶ μὴ ἀξίαν οὖσαν προσπελάζειν τῷ τάφῳ τὴν ἑλένην ἀποδείκνυσι· διὰ τὰ πεπραγμένα αὐτοῖς τοῖς φίλοις. Δεῖξαι γάρ.) οὐ θεμιτὸν δηλονότι· αἰσχύνομαι γὰρ δεῖξαι τὸ σῶμα ἀντὶ τοῦ ἐμαυτὴν, τοῖς ἀργείοις. Ὀψέ γε.) ὀψὲ τοῦ χρόνου· ἀντὶ τοῦ μόλις τανῦν φρονεῖς εὖ· ποτὲ ἀφεῖσα τοὺς δόμους αἰσχρῶς. Ὀρθῶς ἔλεξας.) ἀληθῶς εἶπας· οὐ λέγεις δὲ προσφιλῶς ἐμοί. Αἰδὼς δέ.) τίς δὲ δὴ αἰδὼς ἔχει σε εἰς τοὺς μυκηναίους; ἀντὶ τοῦ τίνα αἰδῶ ἔχεις εἰς τοὺς μυκηναίους. Δέδοικα.) τοὺς πατέρας τῶν νεκρῶν τῶν πεσόντων ὑπὸ τῇ τροίᾳ. Δεινὸν γὰρ ἄργει.) δεινὸν γὰρ ἀντὶ τοῦ χαλεπῶς ἀναβοᾶ καὶ ἀνακηρύττη τῷ ἄργει· ἀντὶ τοῦ τοῖς ἀργείοις διὰ στόμα· ἤτοι διὰ τῶν στομάτων ἁπάντων· τὸ ἀναβοᾶ προσώπου ἐστὶ δευτέρου παθητικῆς διαθέσεως· ἀντὶ τοῦ καταβοᾶ· ὁ δὲ νοῦς· δεινῶς γὰρ διὰ τοῦ στόματος τῶν ἀργείων ἀναβοᾶ. Σὺ νῦν.) σὺ δὴ λῦσον τὸν φόβον, δὸς ἐμοὶ χάριν. Οὐκ ἄν.) δυναίμην βλέψαι εἰς τὸν τάφον τῆς μητρός. Αἰσχρόν γε μέντοι.) ὅμως ἀπρεπὲς καὶ ἄσημον τὰς δουλίδας φέρειν τάδε. Τί δ' οὐχὶ θυγατρός.) διατί οὐ πέμπεις τὸ δέμας τῆς ἑρμιόνης περιφραστικῶς· ἀντὶ τοῦ τὴν ἑρμιόνην. Εἰς ὄχλον ἕρπειν.) οὐ καλόν ἐστι δηλονότι τοῖς παρθένοις βαδίζειν εἰς τὸ πλῆθος· εἴποι τις· τί οὖν; ταῖς τελείαις τοῦτο καλόν; ἔστιν οὖν εἰπεῖν ὅτι ἐν σπάρτῃ εἰώθασι γυμνάζεσθαι αἱ γυναῖκες καὶ παρθένοι· ὥστε δέδοται μὲν παρθένοις εἰς ὄχλον ἕρπειν· οὐ μὴν καθόλου· ἀλλ'

ἐπὶ ὡρισμένοις πράγμασιν· οἷον κανηφορούσαις· ἢ γυ-
μναζομέναις· οὐ μὴν ἄλλο τι πραγματευομέναις. Ἄλλως·
ταῖς νεάνισιν· οὐ γὰρ ταῖς ἀγάμοις· ἄγαμος γὰρ καὶ ἡ ἠλέ-
κτρα· παρθένος τε ἐστὶν ἤτοι ἀμιγής· καὶ ἡ ἄρτι ἡβῶσα·
ἢ πάλιν κακονόως, οὐ παρθένον δέξαι βούλεται τὴν ἠ-
λέκτραν· ὅτι οὐκ ἐπείθη αὐτῇ· Καὶ μήν· ἵνα ἀνταποδοίη
τὰς ἀνατροφὰς τῇ τεθνηκυίᾳ. Ὀρθῶς ἔλεξας· πείθο-
μαί τε ὦ κόρη σοί· καὶ πέμψω τὴν θυγατέρα· σὺ γὰρ καὶ κα-
λῶς λέγεις· ὦ τέκνον ἑρμιόνη ἔξελθε ἔμπροσθεν τῶν δό-
μων· καὶ λάβε ἐν ταῖς χερσὶ τὰς δὲ τὰς χοάς· καὶ τὰς
ἐμὰς κόμας· ἀπελθοῦσα δὲ εἰς τὸν τάφον τῆς κλυταιμνή-
στρας, ἀφὲς τὰ μελίκρατα τοῦ γάλακτος· ἤτοι τὰ ἀπὸ
μέλιτος· καὶ γάλακτος κεκραμένα· τὴν ἄχνην τε τὴν οἰνω-
πόν· ἤτοι τὸν λεπτότατον τὸν δὲ οἶνον· καὶ στᾶσα ἐπὶ τοῦ ἄ-
κρου χώματος· ἤτοι ἐπὶ τοῦ ἄκρου τοῦ τάφου, λέξον τά-
δε· ἡ ἀδελφὴ ἡ ἑλένη δεξιοῦταί σε ταῖς δὲ ταῖς χοαῖς,
φόβῳ ὑπὸ τοῦ φόβου τοῦ προσελθεῖν εἰς τὸ σὸν μνῆμα·
φοβουμένη τὸν ὄχλον τῶν ἀργείων· παρακάλει δὲ αὐτὴν ἔ-
χειν γνώμην εὐμενῆ· καὶ πραΰνειν ἐμοί τε καὶ σοί· καὶ τῷ πό-
σει τῷ ἐμῷ· τοῖν τε ἀθλίοιν τοῖνδε· ἤγουν τῷ ὀρέστῃ· καὶ τῇ
ἠλέκτρᾳ· οὓς ἀπώλεσεν ὁ θεός· ἤτοι ὁ ἀπόλλων· ἃ ἢ καὶ-
ρὸς ἁρμόδιος δηλονότι ἐνεργεῖν εἰς τὴν ἐμὴν ἀδελφήν, δω-
ρήματα τῶν νεκρῶν, ἅπαντα ὑπάγου· ἄπιθι ὦ τέκνον
μου· σπεῦδε· καὶ δοῦσα χοὰς τῷ τάφῳ, λίαν τάχιστα
μέμνησο τῆς εἰς τοὐπίσω ὁδοῦ. Οἰνωπόν τ' ἄχνην· ἤγουν
τὸν λεπτότατον οἶνον λέγει· ἢ ἄχνην λέγει· οἱονεὶ κο-
ρυφήν· ὅταν γὰρ ἐπιχέηται ὁ οἶνος τῷ ἐκ μέλιτος· καὶ
γάλακτος κράματι, ἐπιπολαίως κεῖται. Ἄλλως·
ἐμφαντικῶς τὴν τοῦ οἴνου δαψιλῆ ῥύσιν, διὰ τῆς ἄχνης
ἐσήμανε· τοῦτο δὲ ἐπὶ τῶν κυμάτων εἴρηται· ἀποπτύει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δ' ἀλλ' ἐς ἄχνην. οἱ δὲ, κυρίως τὴν οἰνόχροα τρίχα φασί· λάχνη γὰρ ἡ θρίξ, ἄχνη δὲ τὸ λεπτὸν μέρος ὃ κατέχειν τις οὐ δύναται. οἱονεὶ ἄχνη τις οὖσα. Ταῖς δὲ δωρεῖται χοαῖς.) δωροῦμαι τὸ παρέχω. ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύνταξιν. ὡς τὸ δωροῦμαί σοι χρήματα. δωροῦμαι δὲ τὸ ἀξιοῦμαι καὶ φιλοφρονῶ. ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. ὡς τὸ δωροῦμαι τὸν φίλον χάρισι λογικαῖς. Τοῖντ' ἀθλίοιν τοῖνδε.) καὶ αὐτῶν μέμνηται, ἵνα μὴ δόξῃ παντελῶς λιθοκάρδιος εἶναι. ὅμως μετὰ ἀρᾶς. τὸ γὰρ οὓς ἀπώλεσε θεὸς, δοκεῖ μὲν συναχθομένη λέγειν. πανούργως δὲ ἐμφαίνει, ὅτι καὶ θεοῖς ἀπηχθόμενοι εἰσίν. οὐ γὰρ ἀπόλλυσιν εἶπεν. ἀλλὰ ἀπώλεσεν. ὡς ἐγνωσμένης ἤδη τῆς παρὰ θεῶν δυσμενείας. Ἃ δ' εἰς ἀδελφήν.) ἃ δὲ νενόμισται τοῖς νεκροῖς ποιεῖν, ταῦτα κἀμὲ ὑπισχνοῦ εἰς τὴν ἀδελφὴν ποιεῖν. Ἄλλως. ἅπαντ' ὑπισχνοῦ τὰ νεκρῶν δωρήματα ἃ εὐκαίρως εἰς ἀδελφὴν ἐκπονεῖν ἐμὴν ὑπισχνοῦ. Ἄλλως. ἃ δὲ δωρήματα τῶν κάτω. τουτέστι προσήκοντα τοῖς κάτω. καιρός ἐστι δηλονότι ἁρμόδιος ἐνεγκεῖν ἐμὲ εἰς τὴν ἐμὴν ἀδελφήν. ἅπαντα ὑπισχνοῦ. Ὦ φύσις ἐν ἀνθρώποισιν.) ἰδοῦσα ἡ ἠλέκτρα τὴν ἑλένην τεμοῦσαν μὲν ἄκρας τὰς τρίχας. σώζουσαν δὲ τὸ πρόσθεν κάλλος, ἀποτείνεται πρὸς τὴν φύσιν. καὶ λέγει ταύτην εἶναι σωτήριόν τι τοῖς κεκτημένοις καλῶς αὐτήν. καὶ βλαπτικὸν τοῖς μὴ οὕτως. καὶ ἡ ἑλένη φυσικῶς οὖσα κακὴ, εἰ καὶ ἔδοξε πως τὴν ἀδελφὴν θρηνεῖν, καὶ διὰ τοῦτο ἀποκεκοφέναι τὰς τρίχας, ἀλλὰ πανούργως τοῦτο πεποιηκέναι λέγει. ἐξ ὧν ἄκρας αὐτὰς ἔτεμε τοῦτο ποιησαμένη. εἰ γὰρ κατὰ ἀλήθειαν ἐθρήνει, πάντα τὸν πλόκαμον ἔδει τεμεῖν. καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ λέγουσι

τὴν φύσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τες φύσιν τὸ κάλλος, οὔ μοι δοκοῦσι λέγειν εὐλόγως. τὸ δὲ ἐστιν ἡ πάλαι γυνή. ἡ κατὰ μορφὴν νοητέον. ἡ αὐτή ἐστι καὶ νῦν. ἥ τις καὶ πρὸ τοῦ τὰς τρίχας ἀποκόψαι. καὶ οὐδ᾽ ὁτιοῦν ἠλάττωται τὸ κάλλος αὐτῆς. ἢ καὶ κατὰ προαίρεσιν. ὅτι αὐτή ἐστι καὶ νῦν, ἥτις καὶ πρώην. ἤτοι οὐ σεσωφρόνισται. Ω φύσις καὶ κάλλος. λίαν ἡ μέγα κακὸν ἐν τοῖς ἀνθρώποις. καὶ σωτηριῶδες τοῖς καλῶς κεκτημένοις καὶ ἔχουσιν. ἐθεάσασθε πῶς κατὰ τὰς ἄκρας ἀπέκοψε τὰς τρίχας. σώζουσα. καὶ φυλάττουσα τὸ κάλλος. ἐστὶ δὲ ἡ πάλαι γυνή. ἤτοι κακή. τουτέστιν οὐ μετεβλήθη. ἣν εἴθε μισήσειαν οἱ θεοί. ὅτι ἀπώλεσας ἐμέ. καὶ τόνδε. ἤγουν τὸν ὀρέστην. καὶ πᾶσαν τὴν ἑλλάδα. φεῦ. τάλαινα εἰμὶ ἐγώ. αὗται παραγίνονται αἱ προσφιλεῖς θρηνήτριαι τοῖς ἐμοῖς θρηνήμασιν. ἴσως μετακινήσουσι τοῦ ὕπνου τόνδε ἠρεμοῦντα. τὸ ἐμὸν δὲ ὄμμα ἐκτακῆναι ποιήσουσι διὰ δακρύων. ὅταν ὁρῶ τὸν ἀδελφὸν μαινόμενον. Εἴδετε παρ᾽ ἄκρας.) ἀντὶ τοῦ ἴδοι τις ἄν. ὡς τὸ φαίης ζάκοτόν τοι ἔμεναι. καὶ τὸ ἔνθ᾽ οὐκ ἂν βρίζοντα ἴδοις. ἔνιοι δέ φασι ταῖς δμωσὶ ταῦτα λέγειν. οἱ δὲ, πρὸς τὸ θέατρον. ὃ καὶ ἄμεινον. ἐφελκυστικὸς γάρ ἐστιν ἀεὶ μᾶλλον τῶν θεατῶν ὁ ποιητὴς οὐ φροντίζων τῶν ἀκριβολογούντων. Ως ἀπέθρισεν.) ὡς ἐν τῇ σμικρότητι τῆς ἀφαιρέσεως, μηδὲν ἀπολείπειν τοῦ ὑγιοῦς. μὴ γὰρ τῷ κάλλει λυμαίνεσθαι. Η πάλαι.) ἤτοι πονηρά. ἤγουν τὰ αὐτὰ φρονοῦσα ἃ καὶ πρότερον, τοῦτο γὰρ εἶναι εὔμορφος ἐπιμελεῖται. ἐλέγχει δὲ αὐτὴν ὅτι οὐδὲ τοῖς ἁμαρτήμασι σεσωφρόνισται. ἀλλ᾽ ἐν τοῖς ἤθεσι μεμένηκεν. ἤγουν ἡ κατὰ τὴν αὐτὴν μορφήν. ἢ κατὰ τὸν αὐτὸν τρόπον. Πᾶσαν θ᾽ ἑλλάδα.) τὸ κατὰ μέρος εἰποῦσα, ἐπήνεγκε τὸ καθόλου ὡς καὶ ὅμηρος.

ἥκειν γηθήσῃ Πρίαμος Πριάμοιό τε παῖδες ἄλλοι τε Τρώων. Αἵδ᾽ αὖ πάρεισι.) κατὰ τὸ σιωπώμενον ἔρχονται αἱ γυναῖκες ἰδεῖν τὸν Ὀρέστην πῶς ἔχει. καὶ ἰδοῦσα αὐτὰς φησίν. ὦ φίλταται γυναῖκες. διὰ ἡσύχου ποδὸς. καὶ πορείας ἔρχεσθε. καὶ μὴ κτυπεῖτε. μὴ δ᾽ ἔστω κτύπος. ἡ σὴ μὲν γὰρ φιλία πραεῖα. καὶ εὐμενής. ἀλλ᾽ ἐν τῷ ἐξεγεῖραι τοῦτον, γενήσεται συμφορά.

Σῖγα σῖγα.) τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα. εἰσὶ δὲ καὶ κατὰ σχέσιν. τῆς παρούσης οὖν στροφῆς τὰ κῶλα ιγ΄. καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. ἐφεξῆς γὰρ κεῖται ἡνωμένη καὶ οὐκ ἐκ διαστήματος. τὸ α΄ ἀσυνάρτητον ἐκ τροχαϊκοῦ ἰθυφαλλικοῦ. καὶ ἰαμβικῆς βάσεως. ἐχούσης τὸν α΄ πόδα ἀνάπαιστον. τὸ β΄ ἴαμβον τρίμετρον ἀκατάληκτον. τὸ γ΄ καὶ δ΄ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ΄ καὶ ἰάμβου. τὸ ε΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. ἐξ ἐπιτρίτου α΄ καὶ παίωνος γ΄ καὶ συλλαβῆς ἐν τῷ τῆς ἀντιστροφῆς κώλῳ ἀντίσπαστον ἔχει. καὶ ἰωνικὸν ἀπ᾽ ἐλάττονος. τὸ ς΄ διΐαμβον. τὸ ζ΄ ἰωνικὸν ἀπὸ μείζονος, τρίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ διϊάμβου, καὶ μολοττοῦ. ἢ κρητικοῦ. τὸ δέ γε τῆς ἀντιστροφῆς κῶλον πεντασύλλαβον. τὸ η΄ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. καὶ παίωνος δ΄ καὶ ἰωνικοῦ. καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ΄ ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. τὸ ι΄ ὅμοιον, δίμετρον ἀκατάληκτον ἐκ χορείων. τὸ ια΄ ὅμοιον δίμετρον ἀκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιβ΄ ὅμοιον. δίμετρον βραχυκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιγ΄ ἰωνικὸν τρίμετρον καταληκτικόν. ἐκ παίωνος δ΄ διϊάμβου. καὶ κρητικοῦ. ἢ δακτύλου. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος. Σῖγα σῖγα.) ἠρέμα. καὶ μὴ

τῆς ἡσυχίας. πρόσφορος δὲ τῷ πάθει. καὶ ἡ τοῦ ῥυθμοῦ ἀγωγὴ δοχμιάζουσα. λεπτὸν δὲ ἴχνος ἀρβύλης, ἀντὶ τοῦ κούφως καὶ ἐλαφρῶς τίθετε τὸν πόδα μετὰ τῆς ἀρβύλης. εἰ δὲ γράφεται λευκὸν ἴχνος, ἀπὸ μέρους τὸ ὅλον. ὡς τὸ ἀργυρόπεζα θέτις. ἴχνος δὲ λέγει τὸν πόδα. καὶ ἀρβύλη ἐστὶν εἶδος ὑποδήματος γυναικείου κοίλου, καὶ βαθέος. Λευκὸν.) εἰ μὲν λευκὸν, συνάπτε τῷ σῖγα σῖγα. καὶ λέγεται κατὰ ἀντίπτωσιν οὕτω. μετὰ σιγῆς μετὰ σιγῆς τίθετε τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους ἤγουν τοῦ λευκοῦ ποδός. εἰ δὲ λεπτὸν, στίζεται μετὰ τὸ σῖγα σῖγα. καὶ ἔχει τὸ πᾶν οὕτω. μετὰ σιγῆς ἔρχεσθε δηλονότι. εἶτα λεπτὸν τίθετε. ἀντὶ τοῦ ἥσυχον τὸ ἴχνος ἀντὶ τοῦ τὴν βάσιν τῆς ἀρβύλης. ἔστι δὲ ἀρβύλη εἶδος γυναικείου ὑποδήματος. Ἄλλως. μετὰ σιγῆς τίθετε τὸ λευκὸν ἴχνος τῆς ἀρβύλης. ἀντιστρόφως. ἀντὶ τοῦ τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους. ἤτοι τοῦ λευκοῦ ποδός. εἰ δὲ λευκὸν γράφεται, συνάπτε οὕτως. μετὰ σιγῆς ἔρχεσθε δηλονότι. τίθετε τὸ ἴχνος τῆς ἀρβύλης ἐλαφρόν. μὴ κτυπεῖτε. μὴ δ' ἔσω κτύπος. Τίθετε.) ποιητικῶς ἀντὶ τοῦ τιθῶμεν. εἰσελήλυθε δὲ ἦχος κατὰ ὑπόθεσιν, ἔνδον. Ἀποπρόβατε.) τὸ ὁλόκληρον τούτου τινὲς φασὶν ἀπόπροθι. καὶ τὸ παρὰ τῷ ὁμήρῳ οὕτως ἐκδέχονται. τυτθὸν ἀποπρογενομένης. τὸ δὲ ἰδοὺ πείθομαι. εἰκὸς ὀξύτερον εἰρηκέναι τοῦ χοροῦ. διὸ καὶ ἠλέκτρα πεθορυβημένη, φησίν. ἆ ἆ. φυσικῶς δὲ τοῦτο πρῶτον εἶπεν. ἐπειδὴ αὕτη ὑπὸ τῆς φύσεως πρῶτον φωνὴ εὕρηται. ἀμέλει γοῦν ἐπειδάν τι θεάσηταί τις παράδοξον, οὐδὲν ἕτερον ἀναβοᾷ. ἢ τὸ ἆ ἆ. τῆς φύσεως ἀγούσης πρὸς τοῦτο. εἶτα φησὶ πρὸς τὸν χορόν. τοιαύτην πέμπε φωνήν. οἷος ἐστὶν ἦχος σύριγγος καλάμου

λεπτῶν ἐν τοῖς ἕλεσιν ἀποτελούμενος. οὐ γὰρ τὸ ὄργα-
νον σύριγγα φησί. τοῦτο γὰρ πολύφωνον.
Σύριγγος ὅπως πνοά.) ἀκριβῶς φησὶ φώνει μοι, ὥσ-
περ πνοὴ συρίγγειος δόνακος. οὐ γάρ φησι σύριγγος τοῦ αὐ-
λοῦ. οὕτως γὰρ καὶ ἐνθυμίαν ἔγειρε. διαιρέσεως ἐμ-
φαντικόν, τὸ μοι. ὡς τὸ πάτροκλέ μοι δειλῷ. Ἀπο-
πρὸ βᾶτε.) μακρὰν τῆς κοίτης πορευθέντες ἐκεῖσε. ἀπό-
προ· ἤτοι ἄγαν μακράν. Ἐμοί.) χάριν ἐμοῦ.
Α α.) φώνει μοι ὦ φίλη. καθὰ πνοὴ ἀπὸ λεπτοῦ δόνα-
κος. Δόνακος.) δόναξ κάλαμος λεπτὸς ἐν τοῖς ἕλε-
σι φυόμενος. τινὲς δέ φασι τὸ λεγόμενον ἰδιωτικῶς ἐρα-
γάζιον, οὐ καλῶς λέγοντες. οὐ γὰρ ἀπὸ τούτου σύριγξ
γίνεται. Ἰδ᾽ ἀτρεμαῖον.) μικρόν. σύ φησι κελεύεις
μοι φωνεῖν, ὡς ψιθυρίζει τῇ τοῦ ἀνέμου κινήσει κάλα-
μος. ἐγὼ δὲ καὶ ἐλάττονι αὐτοῦ φωνῇ μοι βοῶ. ὡς ὑπὸ
ὀρόφου γινομένην. ὁ δὲ ὄροφος κάλαμός ἐστιν ἀσθενής τε
καὶ παπυρώδης. οὗ μέμνηται καὶ ὅμηρος. λαχνήεντ᾽ ὄ-
ροφον λειμωνόθεν ἀμήσαντες. ἐκ τούτων δὲ γίνονται
καὶ αἱ γλωσσίδες τῶν αὐλῶν. ὡς ἀσθενὴς δέ, ἀσθενῆ ποιεῖ-
ται τὴν ἀπήχησιν, τῷ μὴ ἀντείσασθαι τῇ βοῇ τοῦ πνεύμα-
τος. Κάταγε.) κάταγε τῇ ἐπαναλήψει μεμίμηται
τὴν ἠρεμαίαν προϊεμένην φωνήν. ἅτε γὰρ οὐκ ἐξακουο-
μένης, δεύτερον ταῖς αὐταῖς λέξεσι κέχρηται. Τὸ
κάταγε.) ἐναντίον ἐστὶ τῇ ἀνατάσει τῆς βοῆς. σημαί-
νει δὲ τὸ κάταγε τὸ πρόστελλε. ἀφ᾽ οὗ καὶ καταγωγεῖς οἱ
λιμένες. χρόνια δὲ ἀπὸ πολλοῦ χρόνου. τοῦτο δὲ ἀνα-
φορὰν ἔχει, πρὸς τὸ πρόσιθι ἀτρέμας. ὁ δὲ νοῦς. χρό-
νιος. ὅ ἐστι διὰ χρόνου ἐκκειμένην. Ὡς ὑπ᾽ ὀρόφων φέρω
βοάν.) τινὲς φασὶν βοῶ ὑπόροφον, τὴν μὴ δυναμένην
ἐκτὸς τοῦ οἴκου ἀκούεσθαι. ἄλλοι δὲ τὴν ὑπὸ ὀρόφου κα-

λάμου γινομένην· ὄροφον γὰρ λέγουσιν, λεπτόν τινα κάλαμον παπυρώδη· ᾧ χρῶνται εἰς ὀροφὰς οἱ ἄνθρωποι. πιστούμενοι τοῦτο ἐκ τοῦ ἄνωθεν τῆς ἠλέκτρας λόγου. ἐνπνύσης γὰρ ἐκείνης πρὸς τὸν χορὸν, ὦ φίλη φώνει ὥσπερ πνοὴ καὶ ἀπήχησις σύριγγος λεπτοῦ δόνακος, ἀποκρινόμενος ὁ χορὸς φησί. δέχσαι ὅτι φέρω βοὰν ἥσυχον. ὑπόροφον. τουτέστι γινομένην ὑπὸ ὀρόφου. καὶ ὅμηρος λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες. ἐκ τούτου τοῦ ὀρόφου ποιοῦσιν οἱ παῖδες αὐλοὺς λεπτὸν ἠχοῦντας. καὶ μὴ δυνάμενον ἐξακούεσθαι δι' ἀσθένειαν.

Υπόροφον.) ὄροφος λεπτὸς κάλαμος εἰς ὀροφὰς ἐπιτήδειος. ὑπόροφον οὖν τὴν μὴ διικνουμένην ἔξω τοῦ ὀρόφου, ὅ ἐστι βραχεῖαν. Ιδ' ἀτρεμαίαν.) ἰδοὺ φέρω βοὴν ἀτρεμαίαν. καὶ ἀθόρυβον. καὶ λίαν ὑπόροφον. καὶ λεπτὴν ἤγουν ἥσυχον. Ναὶ οὕτως.) ναὶ οὕτω φώνει δηλονότι κάταγε κάταγε. ἤγουν ταπείνου τὴν σὴν φωνὴν. πρόσιλθε ἡσύχως. ἡσύχως ἐλθέ. ἀπόκριναι δὲ δι' ἣν αἰτίαν ἦλθες τί καὶ χρείαν. χρόνια γὰρ ἀντὶ τοῦ χρονίως. ἤτοι βραδέως πεσὼν ὅδε ὁ ὀρέστης συνάζεται. καὶ ἀναπαύεται. Πῶς ἔχει.) πῶς διάκειται ὁ ὀρέστης. μετάδος ἡμῖν λόγου ὦ φίλη. Τίνα τύχην.) καὶ δυστυχίαν αὐτοῦ εἰπω. τίνα δὲ συμφορὰν. ἔτι μὲν ἀναπνεῖ. βραχὺ δὲ καὶ ὀλίγον ἀνασθενεῖ. Ποίαν τύχαν). ἴαμβος χρὴ εἶναι οὗτος ὁ στίχος. ὡς καὶ ὁ τῆς στροφῆς. διὸ οὕτως ἐγράφη παρ' ἡμῶν. ποίαν τύχαν, ποίαν δὲ συμφοράν. καὶ ἔστι τὸ ποι τὸ δεύτερον, κοινὴ συλλαβή. διὸ καὶ τὸ παρ' ἡμῶν ἐπινοηθὲν ἐπὶ ταῖς κοιναῖς συλλαβαῖς, ἐπετέθη σημεῖον. ὡς καὶ ἐν τοῖς ἄλλοις τοῖς τοιούτοις. τί φῆς. ὦ τάλας. ὁ ὀρέστης δηλονότι. Ω τάλας.) οἰκειούμενος τὰς συμφορὰς ὁ χορὸς. καὶ συναχθόμε/



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νος· γεγωνότερον ἀνέκραγε τὸ ὦ τάλας· διό φησιν, ὀλεῖς εἰ βλέφαρα κινήσεις· δεῖ δὲ νοεῖν στεναγμόν τινα γεγενῆσθαι μετὰ τὸ ὦ τάλας, ὑπὸ τοῦ χοροῦ· ἵνα εὔλογον ᾖ τὸ παρὰ τῆς ἠλέκτρας εἰρημένον· σὺ γάρ νιν ὦ τάλαινα θωΰξασ' ἔβαλες ἐξ ὕπνου. Τί φής·) πρὸς τὴν ἠλέκτραν· ὦ τάλας· ἢ πρὸς τὸν ὀρέστην. Ολεῖς·) ἀπολεῖς ἐμὲ εἰ κινήσεις τὰ βλέφαρα ἐκείνου· φθονοῦντος ἡδονὴν ὕπνου γλυκυτάτην. Ω ἄθλιος·) ἕνεκα τῶν πράξεων τῶν θεοστυγεστάτων· ὦ τάλας· φεῦ ἕνεκα τῶν μόχθων. Α ἄ·) ἄδικος ὢν ὁ λοξίας, ἄδικα τότε εἶπεν· ὅτε ἐπὶ τῷ τρίποδι τῆς θέμιδος ἔκρινε τὸν φόνον τὸν μισητὸν· καὶ μὴ ἄξιον ὄντα γενέσθαι. Αλλως. Α ἄ ἄδικος·) τοῦτ' ἐστὶ τὸ ἀλλαχοῦ εἰρημένον· πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα· ἐπειδὴ γὰρ ἔδοξεν ἀτυχῶς τῷ ὀρέστῃ πεπτωκέναι τῆς μητρὸς ὁ φόνος, ἄδικος ὁ λοξίας νενόμισται· ἢ τὸ ἄδικα ἐδίκασεν, ἐμφαίνει ὅτι δικαίως ἐμαντεύσατο τὸν φόνον τῆς μητρός· ἀδικεῖ δὲ τῷ δράσαντι μὴ ἐπικουρῶν· τὸ δὲ ἑξῆς, οὕτως· ὁ ἄδικος λοξίας· ἄδικα τότε ἐδίκησεν, ὅτε ἐπὶ τρίποδος θέμιδος τὸν φόνον ἔλακεν ἐμῆς μητρός· καὶ ἀριστοφάνης ἔλακεν ἐκ τῶν στεμμάτων τραγικῇ λέξει χρησάμενος· ὅτε τὸν ἀπάφονον τῆς ἐμῆς μητρὸς ἐπὶ τρίποδι θέμιδος ὁ λοξίας ἀπέλακεν ἀντὶ τοῦ ἀπεφθέγξατο. τὸ ἀπόφονον ἀπόλλωνι οὐκ ὀρέστῃ ἐγκαλοῦντα φησίν· ἔνιοι δὲ ἀπόφονον ἐδέξαντο τὸν ἄτοπον φόνον· τὴν δὲ ἀπὸ πρὸς τὸ ἔλακεν· ἀπέλακεν ἀντὶ τοῦ ἀπεφθέγξατο. Α ἄδικος·) οἱ λαμβάνοντες εἰς τὸ ἄδικος ἔξωθεν τὸ ὑπάρχει, καὶ στίζοντες ἐνταῦθα, ἀμαθεῖς· τὸ δ' οὕτως ἔχει· δέον γὰρ εἰπεῖν ἀδίκως ἔλακεν τότε ὁ λοξίας ἄδικα· ἄδικος εἶπε πρὸς τὸ λοξίας· ἀπατῶνται οὖν, ἐκ τοῦ ἄδικα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ εἰδότες ὅτι τὸ, ἀδίκως καὶ τὸ ἄδικα ταυτοδυναμοῦσιν. ὥστε καὶ εἰ ἐν τούτων ἁπλῶς, ἄρτιος ἦν ὁ λόγος. ἀδίκως ὢν ὁ λοξίας, ἄδικα ἄρα τότε εἶπεν. ὅτι ἐπὶ τρίποδι τῆς θέμιδος ἐδίκασεν ἤγουν ἔκρινε τὸν ἀπόφονον φόνον τῆς ἐμῆς μητρός. ἤγουν τὸν μισητὸν, καὶ ἄξιον γενέσθαι. Τὸ δὲ ἔλακεν. οὐ παρακείμενός ἐστιν ὥς οἴονταί τινες. ἀλλ' ἀόριστος β'. διὸ καὶ βραχὺ ἔχει τὸ α. λέλακα γάρ ἐστιν ὁ παρακείμενος. ὡς καὶ ἡσίοδος τὸ λέληκας. Ἐπὶ τρίποδι θέμιδος.) οὕτω νοητέον. ἢ ἐν τῷ τρίποδι τῆς θέμιδος τουτέστι τῆς δικαιοσύνης. ἐν ᾧ καθημένη ἡ πυθία. καὶ ὑπὸ τοῦ ἀπόλλωνος κατεχομένη, τὰ δίκαια πᾶσιν ἐθέσπιζεν. ἢ ὥς φασί τινες, ὅτι ὁ τρίπους πρότερον ἦν τῆς γῆς. εἶτα τῆς θέμιδος. ἡ δὲ θέμις θεὰ παρ' ἕλλησιν, ἔφορος δικαιοσύνης. εἶτα τοῦ ἀπόλλωνος ἐγένετο παρὰ θέμιδος λαβόντος.

Λοξίας.) λοξίας ὁ ἀπόλλων καλεῖται, ὅτι λοξὰ καὶ διπλῶς νοούμενα ἐμαντεύετο. καὶ γὰρ τῷ κροίσῳ, ὅτε στρατεύσειν κατὰ κύρου ἔμελλεν, ἐρωτήσαντι εἰ τοῦ ἐχθροῦ περιέσται, εἶπε. κροῖσος ἅλυν διαβὰς, μεγάλην ἀρχὴν καταλύσει. τοῦτο δὲ ἦν παντάπασιν ἄγνωστον, εἴτε τὴν οἰκείαν, εἴτε τὴν κύρου. ὅθεν ἀπατηθεὶς ὁ κροῖσος, καὶ μεγάλην ἀρχὴν τὴν τοῦ ἀντιδίκου ὑπολαβὼν, ἐλθὼν καταλέλυκε τὴν οἰκείαν. ὡς ὑπὸ τοῦ ἐχθροῦ ἑαλωκέναι. καὶ εἰς πῦρ ἐμβληθῆναι. ὃν εἰ μὴ ζεὺς οἰκτείρας ἀφῆκεν ὕδωρ ἐπὶ τὴν φλόγα, τάχ' ἂν ἀπολώλει ἔργον πυρὸς γενόμενος. ἦν δὲ ὁ κροῖσος, λυδῶν βασιλεύς.

Ὁρᾶς, ἐν πέπλοισι κινεῖ δέμας.) σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν, τῷ μετὰ τὴν πρὸς τὰς στροφάς. ὁμοιομερὲς δὲ τῷ μετὰ τὴν ἑξῆς κειμένην στροφὴν συστήματι. οὗ ἡ ἀρχὴ, θρόει τίς κακῶν. ἔστι δὲ κώλων

ὀκτώ. τὸ α΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. ἐξ ἀντισπάστου ἐπιτρίτου β΄ καὶ ἰάμβου. τὸ β΄ ἰαμβικὸν ἑφθημιμερές. τὸ γ΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου ἐπιτρίτου β΄ καὶ ἰάμβου. τὸ γ΄ ἰαμβικὸν ἑφθημιμερές. τὸ δ΄ ἰαμβικὸν ὅμοιον τῷ β΄. τὸ ε΄, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ς΄ ἐκ χορείων, ὅμοιον τῷ α΄. τὸ ζ΄ παιωνικὸν δίμετρον ἀκατάληκτον. ἐκ παίωνος δ΄ καὶ κρητικοῦ. τὸ η΄ τροχαϊκὸν ἰθυφαλλικόν. εἰ δὲ βούλει ἀντισπαστικὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. Ὁρᾷς;) κινεῖ τὸ δέμας ἐν τοῖς πέπλοις. Σὺ γάρ νιν.) σὺ γὰρ ἀγρίως φωνήσασα ἐξέβαλες τοῦ ὕπνου αὐτόν. τὸ γὰρ ὦ τάλαινα γεγωνότερον εἶπεν ὁ χορός. τινὲς δέ φασιν ὅτι φωνῇ θρηνώδει ἐχρήσατο ὁ χορὸς γράφειν μὴ δυναμένη. ἰυγμῶ, ἰυγμοῦ τραχυτέρα. ὅπερ εἰώθασι ποιεῖν αἱ γυναῖκες. ἐπὶ τοῖς ὑπερβάλλουσι κακοῖς. ἃ γὰρ μὴ δύναται γράφεσθαι, ταῦτα δι᾽ ἑτέρων προσώπων δηλοῦται. οἷον τι καὶ παρὰ τῷ κωμικῷ οἰκέτου στενάξαντος, ἕτερος φησίν. ἀκούεις ὡς στένει. Εὕδειν μὲν οὖν νιν ἔδοξα.) ἀντὶ τοῦ δοκῶ. καθησυχάζουσα δὲ τὴν ἠλέκτραν, φησὶν ὅτι καθεύδειν αὐτὸν νομίζω. διὸ ἐπιφέρει τὸ ὑπνώσει ὁριστικόν. λέγει νῦν. ὡς ἀμφίβολον εἰπούσαν, οὐκ ἔπεστι, μὴ περάσου φησὶν ὁ χορός. ὑπνώσει γάρ. τὰ γὰρ δύο σ΄ ἐνεστῶτος ῥῆμα ποιοῦσι τὸ ὑπνώσσω. Εὖ λέγεις.) ἀληθῶς καὶ καλῶς λέγεις. ταῦτα δὲ φησὶ σκοπήσατε ἀπὸ τοῦ κοιμωμένου. Οὐκ ἀφ᾽ ἡμῶν.) οὐκ ἀφ᾽ ἡμῶν ἀποστήσῃ δὴ λογότι. οὐκ ἀπὸ τῶν οἴκων πάλιν ἀναστρέψεις τὸν σὸν πόδα, μεθεμένα καὶ ἄφεσα τοῦ κτύπου. Πότνια πότνια νύξ.) ἡ δευτέρα αὕτη στροφή, κώλων ἐστὶ ιγ΄. τὸ α΄ τροχαϊκὸν πενθημιμερὲς ἐκ δύο χορείων. εἰ δὲ βούλει

ἰαμβικόν· τὸ β̄ καὶ γ̄, παιωνικὰ ἡμιόλια· ἐκ παιόνων δ̄, καὶ ἰάμβων· τὸ δ̄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ χορείων· εἰδὲ βούλει, ὅμοιον τῷ ᾱ· καὶ τῆς ἐκεῖ μακρᾶς, διαλελυμένης ἐν τούτῳ· τὸ ε̄ ὅμοιον τῷ β̄· τὸ ς̄ παιωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παιώνων πρώτων δύο· τοῦ ᾱ πεντάβραχέος· καὶ δύο συλλαβῶν ἀδιαφόρων· τὸ ζ̄ καὶ τὸ η̄ ὅμοια· τὸ θ̄ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος β̄ καὶ πρώτου· τὸ ῑ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον ἐκ β̄ ἀναπαίστων καὶ ἰάμβου· εἰδὲ βούλει ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος γ̄ καὶ διϊάμβου· τὸ ιᾱ δακτυλικὸν ἑφθημιμερές· τὸ ιβ̄ τροχαϊκόν· ἢ ἰαμβικὸν τριῶν χορείων· καὶ συλλαβῆς· τὸ ιγ̄ ἰωνικόν, ἀπὸ μείζονος· τρίμετρον ἀκατάληκτον· καὶ παίωνος ᾱ ἀντὶ ἰωνικοῦ δ̄ τροχαίου· καὶ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον· ἢ ἰωνικοῦ· ἐπὶ τῷ τέλει παράγραφος· καὶ διπλῆς ἔσω καὶ ἔξω νενευκυῖα· ἡ μέν, ἐν ἀρχῇ τοῦ κώλου· ἡ δέ, κατὰ τὸ τέλος δηλοῦσα ἔχειν ἀνταπόδοσιν· Πότνια πότνια·) ὦ νὺξ σεβασμία· ἡ τοὺς ὕπνους παρεχομένη τοῖς πολυπόνοις ἀνθρώποις· (δίδωσι δὲ τοὺς ὕπνους ἡ νὺξ ἐξαιρέτως διὰ τὸ ὑγρὰν εἶναι τῇ ἀποστάσει τοῦ ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα) ἐλθὲ ἀπὸ τοῦ ἐρέβους· μόλε ταχεῖα ἐπὶ τὸν δόμον τὸν ἀγαμεμνόνειον· ὑπὸ γὰρ ὀδυνῶν· καὶ συμφορᾶς, φθειρόμεθα· ὁ κατὰ φύσιν ὕπνος ἐξ ὑγρότητος γίνεται· ὑγρὰ δὲ ἡ νύξ, ἀφισαμένου τοῦ ἡλίου· τοῦ ξηραίνοντος· καὶ θερμαίνοντος τὸν ἀέρα· ὁ τοίνυν ὀρέστης ἐξηραμένος ὑπὸ νόσου τε καὶ ἀσιτίας ὑγρανθεὶς τῷ νυκτερινῷ διαστήματι, μᾶλλον κοιμηθήσεται· ἄλλως τε καὶ τῶν αἰσθήσεων ἠρεμουσῶν ἐν σκότῳ, ἕπεται ὕπνος· ἡσυχία αἰσθήσεων· καὶ κινήσεων· ἔδει δὲ ἐκχάους

εἰπεῖν ὡς Ἡσίοδος· ἐκ χάεος ἔρεβός τε μέλαινά τε νὺξ ἐγένετο. Ἄλλως.) τοῦτο τὸ μέλος ἐπὶ ταῖς λεγομέναις νήταις ᾄδεται. καὶ ἔστιν ὀξύτατον ἀπίθανον οὖν τὴν Ἠλέκτραν ὀξείᾳ φωνῇ κεχρῆσθαι. καὶ ταῦτα ἐπιπλήττουσαν τῷ χορῷ. ἀλλὰ κέχρηται μὲν τῷ ὀξεῖ ἀναγκαίως. λεπτότερον δὲ ὡς ἔνι μάλιστα. Ἐρεβόθεν.) ἐρεβόθεν ἐλθεῖν τὴν νύκτα καλεῖ. τουτέστιν ἀπὸ χάους. κατερχομένου γὰρ τοῦ ἡλίου εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον, σκότος ἐπάνω τῆς γῆς γίνεται. ὥσπερ ἐκ τῶν κάτωθεν ἀνιέναι δοκοῦν. οὐχ ὡς ὂν ἐκ τοῖς κάτω καὶ ἀνερχόμενον, ἀλλὰ τῇ ἀπουσίᾳ τοῦ φωτὸς, τοῦτο ὑφίσταται. οὐκ ἔχον αὐτὸ καθ᾽ ἑαυτὸ οἰκείαν ὑπόστασιν. ἐλθεῖν δὲ λέγει τὴν νύκτα, οὐχ ἵνα γένηται νύξ. πῶς γὰρ οἷόν τε ἡμέρας οὔσης. ἀλλ᾽ ἐπειδὴ νυκτὶ ὑπνώττουσιν ἄνθρωποι, διὰ τοῦτο φησίν. ἄλλως τε καὶ οἱ κοιμώμενοι, ὥσπερ νύκτα ἔχουσι διὰ τὸ μὴ ὁρᾶν. Ὑπνοδότειρα.) ἡ τοὺς ὕπνους δωρουμένη τοῖς πολυπόνοις βροτοῖς. δίδωσι δὲ τοὺς ὕπνους ἡ νὺξ ἐξαιρέτως, διὰ τὸ ὑγρὰ εἶναι τῇ ἀποστάσει τοῦ ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα. Οὐχί.) οὐ μενοῦν χρὴ γράφειν ἐνταῦθα. ἢ οὐδαμῶς. ἁρμόζει γὰρ ἀμφότερα τῷ μέτρῳ. τὸ δὲ οὐχί, ἐλλιπές ἐστιν. Φυλασσομένα.) ἤγουν ἀφεῖσα μεγάλην βοὴν πλησίον τῆς αὐτοῦ κοίτης. καὶ πόρρω γενομένη, ὀνήσεις αὐτὸν ὡς ὑπνώσοντα. Κτύπον ἠγάγετε.) ἀντὶ τοῦ ἐποιήσατε. Σῖγα. σῖγα.) μετὰ σιγῆς διαλέγουμαι δηλονότι. φυλασσομένη. καὶ ἐκφεύγουσα τὴν εἰς ὕψος τοῦ στόματος κέλαδον. παρέξεις ὦ φίλη ἡδονὴν ὕπνου ἥσυχον, εἰ τοῦτο ποιήσεις. Ἄλλως. οὐ σιωπήσεις φησίν, ἀπὸ τοῦ στόματος φυλαττομένη τὸ ἀνακελαδεῖν. καὶ τὴν ἀπὸ τῆς κοίτης ὕπνου χάριν ἥσυχον αὐτῷ παρέξεις; ἢ τὸν κέλαδον ἄποθεν τοῦ λέχους

ποιουμένη; οἷον οὐ σιγήσεις, καὶ μετὰ ἡσυχίας αὐτὸν ἐάσεις κοιμηθῆναι; Θρόει τίς κακῶν.) λέγε ποῖον τέλος αὐτὸν ἐκδέχεται. ἆρα δύναται ῥαΐσαι· ἢ οὔ. εἰπὲ ποῖον ἔσται τὸ τέλος· ποῖον πέρας αὐτὸν μένει. Θρόει τίς κακῶν.) τὸ παρὸν σύστημα, ὅμοιόν ἐστι τῷ τῆς προειρημένης στροφῆς συστήματι· οὗ ἡ ἀρχὴ ὁρᾷς ἐν πέπλοις· καὶ τοῦτο γὰρ τὸ κῶλον, ὅμοιόν ἐστι τῷ η̄· ὧν τῷ τέλει παράγραφος. Θοῦ γὰρ πόθον ἔχει βορᾶς.) ἴσχει πόθον χρὴ γράφειν· οὐ πόθον ἔχει· οὕτω γὰρ ἔχει πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον οἰκείως. καὶ τὸ ἄρα δὲ ἐνταῦθα, εἰ καὶ συμπερασματικόν ἐστιν, ἀλλ' οὖν ἀντὶ μακροῦ λαμβάνεται παρὰ τοῖς ποιηταῖς· ὡς καὶ τὸ ἀπορηματικὸν ἐνίοτε ἀντὶ βραχέος· διὰ τοῦτο μὲν περισπᾶται ἀντιστρόφως· ἐκεῖνο δὲ ὀξύνεται.

Ἐξέθυσεν.) ἀπώλεσεν ἡμᾶς ὁ Ἀπόλλων πατροφόνου μητρὸς αἷμα δούς· οἷον ἐνδοὺς ἡμῖν κελεύσας τὸν τῆς μητρὸς φόνον ἐργάσασθαι· τὸ δὲ ἑξῆς μέλεον ἀποδοὺς αἷμα· φόνον πατροφόνου μητρός. Ἄλλως· ἡ ἐξ πρὸς τὸ πατροφόνου· τουτέστι δοὺς ἡμῖν τὸ αἷμα· καὶ τὸν φόνον, τῆς πατροφόνου μητρός· οἷον ἐγχειρίσας ἡμῖν, καὶ κελεύσας ἀπὸ τοῦ φόνου καὶ τοῦ αἵματος τῆς μητρός, τιμωρῆσαι τῷ πατρί. δύναται δὲ καὶ ἀποδούς. ὠφείλετο μὲν γὰρ αὐτὴ ἀναιρεθῆναι· οὐ μέντοι παρὰ τοῦ παιδός.

Δίκαια.) δίκαιον μὲν αὐτὴν ἀναιρεθῆναι ἀνελοῦσαν τὸν ἄνδρα· οὐ μέντοι πρέπον ἦν ὑπὸ τοῦ παιδὸς εὐθύνας δοῦναι τοῦ φόνου. Δίκα ἐνταῦθα γράφε· μὴ δίκαια· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. Ἐκάνεν.) ἔθανεν· ἡ ἀντιστροφὴ αὕτη τῆς β̄ στροφῆς· ἧς ἡ ἀρχὴ πότνια πότνια νύξ· καὶ αὕτη κώλων ἐστὶν ὁμοίων ἐκείνῃ· καὶ ἰσομέτρων ιγ̄· ἐν μέντοι τῷ ϛ̄ κώλῳ πεν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τασυλλάβους ἔχει τοὺς δύο παίονας· ὧν τῷ τέλει δύο
διπλαῖ· ἡ μὲν, ἐν ἀρχῇ τοῦ τελευταίου κώλου· ἡ δὲ, κα-
τὰ τὸ τέλος· ἀμφότεραι μὲν ἔξω νενευκυῖαι· δηλοῦσαι
ὅτι τέλος ἔχει τὰ ἀποδιδόμενα· ἤτοι τὰ ἀνταποδιδό-
μενα ἐν τῷ ιβ΄ κώλῳ. Ἔκανες.) ἐφόνευσας. ὅθεν τὸ
κανοῦν λέγεται· εἰς ὃ φέρεται ἡ ἱερουργικὴ μάχαιρα.
ἔθανες· φονεύσασα ἀνῃρέθης. τουτέστιν ὁ κατὰ σοῦ πρα-
χθεὶς φόνος, ἄμυνα ἐγένετο· καὶ οὐκ ἀδικία· σὺ γὰρ πρώ-
τη ἐφόνευσας τὸν πατέρα, καὶ ἀνῃρέθης. Ἀπὸ δ' ὤλε-
σας.) ὁ δὲ ἀντὶ τοῦ γάρ· ἔθανες, ἀπώλεσας γὰρ τὸν πα-
τέρα ζῶντα· καὶ θανοῦσα, τὰ τέκνα· διὰ τοῦ αἵματος.
Τέκνα τε πάνδ'.) δεικτικῶς φησὶν ἑαυτὴν καὶ ὀρέστην.
ἴσον γέκυευ δὲ, ἀντὶ τοῦ διὰ τὸν σὸν φόνον ἡμεῖς ἀπο-
λώλαμεν. Ἄτεκνος.) τὸ ἄτεκνος περιττόν· ἡ γὰρ ἄ-
γαμος· καὶ ἄτεκνος. ἀναστρεπτέον οὖν τὴν σύνταξιν· ἄ-
τεκνος ἐπειδὴ ἄγαμος· δυνατὸν γὰρ τὴν γήμασαν εἶ-
ναι ἄτεκνον. Ἄτε ἀντὶ τοῦ καθὸ ὀφείλει νοεῖσθαι· ἵν'
ᾖ βραχὺ τὸ α. οὕτω γὰρ ἔχει πρὸς τὸ τῆς στροφῆς κῶλον
ὀρθῶς. τὸ γὰρ ἀντὶ τοῦ ἥτις οὐκ ἔχει καλῶς. Ἔθανες.
εἰποῦσα ἡ ἠλέκτρα πρὸς τὴν μητέρα τὸ ἐφόνευσας τὸν
οἰκεῖον ἄνδρα· ἐφονεύθης ὑπὸ τῶν τέκνων πάλιν φησὶν,
ὅμοιον μὲν τῇ προτέρᾳ ἐννοίᾳ· ἔχει δὲ καὶ πλέον· τὸ γὰρ
ἀπώλεσας πατέρα, καὶ πρόσθεν εἰρήκει· τὸ δὲ καὶ τὰ
τέκνα πάνδ' ἀπώλεσας νῦν φησί· πῶς δὲ ἀπώλεσας καὶ
τὰ τέκνα, ἀπὸ τοῦ αἵματος· καὶ τοῦ φόνου σου· ὁ γὰρ σὸς
παῖς ὀρέστης ἀποκτείνας σε, δίκην ἔδωκε μητροκτο-
νίας μανείς· ἧς καὶ αὐτὴ μετέχειν φησὶν, ἐν στοναχαῖς·
καὶ γόοις διάγουσα· ἀνθ' ὧν ὁρᾷ τὸν ἀδελφὸν μεμηνό-
τα· καὶ μηκέτ' ὄντα καθ' ἑαυτόν. Ἄτε βίοτον ἀμέλιος.)
ἄτε ἠμελέα εἰς τὸν ἀεὶ χρόνον ἕλκω τὸν βίοτον· ἢ γοῶ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ζωήν· τουτέστιν ἀκούσιον ζωὴν ἔχω· διὰ γὰρ τοῦ ἕλκω, τὸ ἀκούσιον παρίστα· ὥσπερ φαμὲν ἕλκουσιν οἱ βόες τὴν ἅμαξαν· καὶ τὸ ἄροτρον· οὐ γὰρ ἑκουσίᾳ γνώμῃ ταῦτα σύρουσιν, ἀλλ᾽ ὑπ᾽ ἀνάγκης· τοῦτο δέ φησιν ἡ ἠλέκτρα· τὸν θάνατον αἱρετώτερον ἡγουμένη τῆς ζωῆς· Ὥρα παροῦσα·) αἱ ἑξῆς αὗται ἀμοιβαῖαι περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων· ρκη· ὧν τελευταῖος, κάματος βροτοῖσιν ἀπορίας γίνεται· μετὰ μέν τοι τὸν ξζ στίχον· καὶ τὸν ξθ, κῶλα δύο μονόμετρα βραχυκατάληκτα· ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνίς· Ὥρα παροῦσα·) ὦ παρθένε ἠλέκτρα, παραγενομένη πλησίον, σκόπει ἵνα μὴ ἀποθανὼν ὅδε ὁ ἀδελφὸς λανθάνῃ σε· οὐ γὰρ ἀρέσκει ἐμοὶ τῷ λίαν παρειμένῳ· ἤτοι κατὰ τὸ λίαν παρειμένον, καὶ ἐκλελυμένον· τῷ ἀκινήτῳ· τῷ πάνυ ἐκλελυμένῳ τῶν σῶν μανιῶν· νῦν οὐ τραγῳδεῖ· ἀλλ᾽ ἐν τῇ μανίᾳ· Ὕπνου θέλγητρον·) τὸ βαθύτατον τοῦ ὕπνου· τὸ μάλιστα θέλγειν δυνάμενον τοὺς ἀσθενοῦντας· ὁ γὰρ ἐλαφρὸς· φαντασίαις ἀναμέμικται· φυσικῶς δὲ τὸν ὕπνον οἶδεν ἐπίκουρον τῶν κακῶν· Ἐπίκουρον·) τοῖς γὰρ νοσοῦσιν οὐδὲν ἄλλο, πλὴν ὕπνος ἐστὶ τῆς νόσου φάρμακον· ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις· βοηθὲ τῆς νόσου· Ὦ πότνια λήθη·) οἱ δυστυχοῦντες εὔχονται τῶν κακῶν οἷς συνῆσιν ἀπηλλάχθαι· καὶ εἰς λήθην ἐλθεῖν· διὰ τοῦτο ὀρέστης ἐν τῷ καθεστηκότι γενόμενος· καὶ τῆς μανίας ἀπαλλαγεὶς ἐπ᾽ ὀλίγον, τὴν τῶν κακῶν λήθην πότνιαν καλεῖ· καὶ εὐκταίαν τοῖς δυστυχοῦσιν· Πότνιαν, εἶπε τὴν λήθην τῶν κακῶν, ἐπειδὴ πάντας τιμῶμεν τοὺς παραμυθουμένους· Ἄλλως· ἔοικε τὴν λητὼ καλεῖν οὗτος· ὑπνοῦντες γὰρ νυκτὸς, πάντων ἐπιλανθανόμεθα· τὸ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πότνια λέγει, ὅτι οἱ σεβόμενοι, προσπίπτουσι τοῖς θεοῖς. ποτνιᾶσθαι γάρ ἐστι, τὸ προσπίπτειν καὶ παρακαλεῖν μετὰ δακρύων. Τὸ δὲ ὡς εἶ σοφή. ἀντὶ τοῦ λίαν σοφῶς ἐπενσήθης ὑπὸ τῆς φύσεως. τὸ γὰρ τῶν κακῶν, οἰκείως προσέθηκεν. ἐπεὶ καλὴ τῶν κακῶν ἐστιν ἡ λήθη. Ω φίλον ὕπνου θέλγητρον. ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις. βοηθὸν κατὰ τῆς νόσου. λίαν προσῆλθες ἐμοὶ ἡδὺ καὶ εὐφραντὸν. ἐν προσήκοντι καιρῷ. ὦ λήθη τῶν κακῶν σεβασμία. λίαν ὑπάρχεις σοφὴ. καὶ τοῖς δυστυχοῦσι θεὸς, ἀξία εὐχῆς. ἀπὸ ποίου τόπου. πόθεν ἦλθον ὧδε. πῶς δὲ καὶ κατὰ τίνα τρόπον ἀφικόμην. ἐπιλανθάνομαι γὰρ στερηθεὶς τῶν πρὶν φρενῶν. τῶν ἐν τῇ μανίᾳ δηλονότι. Ἀπολειφθεὶς φρενῶν.) ἀπολειφθεὶς ἐν τῇ μανίᾳ. οὐχὶ νῦν ἀπολειφθεὶς τῶν φρενῶν, ἀμνημονῶ. ἀλλ᾽ ἐν τῇ νόσῳ. τὸ γὰρ ὄργανον δι᾽ ὧν ἀναφερόμεθα τὰ πραττόμενα, συνενόσει τῷ σώματι. ἀμνημονῶ τί πέπρακταί μοι ἐν τῇ νόσῳ, τῶν προτέρων φρενῶν ἀπολειφθεὶς καὶ μανείς. Ω φίλταθ᾽ ὥς μ᾽ ηὔφρανας.) ὦ φίλτατε λίαν εὔφρανας ἐμὲ κοιμηθεὶς, βούλει ἵνα θίγω καὶ ἅψωμαί σου. καὶ ἵνα ἀναβαστάσω σου τὸ σῶμα; Βούλει θίγω σου. διότι μὲν ἤρξατο θίγειν, θίγω ἐνεστῶτα εἶπε. καὶ οὐ θίξω. διότι δὲ ἔμελλε κουφίζειν, κουφίσω ὡς μέλλοντος εἶπε. διὰ τοῦτο καὶ τὸ βούλει ποσῶς μὲν, πρὸς τὸ θίγω νοεῖται. τὸ δὲ ὅλον, πρὸς τὸ ἀνακουφίσω. ἢ καὶ τὸ θίγω ὑποτακτικὸν νόει. Πέλανον.) κυρίως πέλανος τὸ λεπτὸν πέμμα. ᾧ χρῶνται πρὸς τὰς θυσίας. ἔνιοι δέ φασι. καὶ πᾶν ἐξ ὑγροῦ πεπηγμένον. παρὰ τὸ παλύνω. πέλανον ἐνταῦθα τὸν πεπηγότα ῥύπον ὑπὸ τοῦ ἀφροῦ. ἔνιοι παρὰ τὴν παιπάλην, ἐκ γὰρ ταύτης, ὡς ἐπὶ τὸ πλεῖστον γίνεται. ἢ παρὰ τὸ παλύνω, ὅ ἐστι λευκά

ται. Ὅμηρος· ἐπάλυνεν ἀρούρας. οἱ δὲ, ἀπὸ τοῦ πελάζειν· καὶ ἱκετεύειν τοὺς θεοὺς δι᾽ αὐτῶν. Λαβοῦ λαβοῦ δῆτα.) ἤτοι ἅψαι· ἀποσπόγγισον ἐκ τοῦ ἀθλίου σώματος· καὶ ἐκ τῶν ἐμῶν ὀμμάτων, τὸν πεπηγότα ῥύπον. Ἄφελε προσώπου.) τουτέστιν ἀποδιάστησον τὴν ἔμπροσθεν οὖσαν τῶν ὀφθαλμῶν μου κόνιν· ἀσθενῆ γὰρ λεύσσω τὰς κόρας. διὰ τὸ ἐπικεῖσθαι μοι τὰς τρίχας. γράφεται καὶ λεπτὰ γὰρ λεύσσω νόσῳ. ἵν᾽ ᾖ, ἡ νόσος με ποιεῖ λεπτὸν λεύσσειν. Ἰδοὺ τὸ δούλευμ᾽ ἡδύ.) ἰδοὺ ποιῶ δηλονότι ὃ λέγεις, τὸ ὑπούργημα τὸ εὐφραντόν· καὶ οὐκ ἀπαρνοῦμαι τὸ θεραπεύειν τὰ μέλη τὰ ἀδελφικά· ἐν χειρὶ ἀδελφικῇ. Οὐκ ἀναίνομαι.) συναινῶ τὸ συμφωνῶ· καὶ ἐπινεύω· ᾧ ἐναντίον τὸ ἀναίνομαι· παραινῶ τὸ συμβουλεύω· καὶ ἐπαινῶ τὸ εὖ λέγω. Ὑπόβαλε. ὑπόθες τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρά· καὶ τὴν κόμην τὴν αὐχμώδη· καὶ κατάξηρον ἔξελε τοῦ προσώπου· ἀμυδρὰ γὰρ βλέπω τοῖς ὀφθαλμοῖς. Πινῶδες ἄθλιον.) ἀντὶ τοῦ αὐχμηρὸν· καὶ ῥυπῶδες. πῖνος γὰρ ὁ ῥύπος· πίνῳ δέ οἱ αὐαλέος χρὼς ἐσκλήκει. κατὰ ἀναστροφὴν δὲ εἶπεν· οὐ γάρ ἐστι τῶν βοστρύχων τὸ κάρα· ἀλλ᾽ οἱ βόστρυχοι τῆς κεφαλῆς· ἢ ὅτι οὐδὲν ἄλλο ἐπιλείπεται τῇ κεφαλῇ, ἢ μόνον οἱ βόστρυχοι. ἵν᾽ ᾖ ὦ τῶν βοστρύχων ἄθλιον κάρα· παρακαθίσασα δὲ ἔξωθεν· καὶ εἰς πλευρὸν δεξαμένη τὸν ὀρέστην, ταῦτά φησιν. Ὦ βοστρύχων) ὦ κάρα ἄθλιον πινῶδες τῶν βοστρύχων· ἀντιστρόφως· ἀντὶ τοῦ ὦ βόστρυχοι κάρας ἀθλίας πινώδους καὶ ῥυπαρᾶς· λίαν ἠγριωμένοι ἐστὲ πρὸς τὸ βόστρυχοι. διὰ τῆς μακρᾶς ἀλουσίας. Αὐχμώδη.) ἐπομβρία, ὅταν ἐπάλληλοι ὄμβροι ὦσιν. ᾧ ἐναντίον ἡ ἀνομβρία· αὐχμὸς δὲ, ἡ ἀπὸ τῆς ἀνομβρίας ξηρότης· ἀφ᾽ οὗ αὐχμη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρος· καὶ αὐχμώδης ἁπλῶς· ξηρότητος μετέχων· Κλῖνόν μ' ἐς εὐνήν) θὲς ἐμὲ πάλιν εἰς τὴν εὐνήν· ὅταν ἀφήσῃ ἐμὲ ἡ νόσος τῆς μανίας, ἄναλκις καὶ ἀσθενὴς εἰμὶ κατὰ τὸ δέμας. Ὅταν μ' ἀνῇ ἡ νόσος) ἢ ἡ διὰ τῆς μανίας νόσος· ἢ ἐπιθετικῶς μανίας νόσος. Ὅταν μ' ἀνῇ) περὶ γὰρ τῶν καιρῶν τῆς μανίας εὐτονοῦσιν οἱ μαινόμενοι, ἐκτεινομένων τῶν νεύρων· καὶ πνεύματος πληρουμένων· χαλωμένης δὲ τῆς μανίας, καὶ τοῦ πνεύματος ἐπιλείποντος, παρίενται· ἐν ᾗ, ἐν ἀνέσει διαγινόμενος ὀρέστης, λέλυται. Ἄναρθρος) ἀδύναμος· μὴ δυνάμενος κεχρῆσθαι τοῖς ἄρθροις. Κἀσθενῶ μέλη) ἤγουν οὐ δύναμαι χρῆσθαι ταῖς χερσὶ καὶ τοῖς ποσὶ πρὸς ὑπουργίαν· καταβαλούσης τῆς νόσου. Ἰδοὺ φίλον τι) ἰδοὺ κλίνωσι· προσφιλές ἐστι τῷ νοσοῦντι ἡ κοίτη· λυπηρὸν ὂν τὸ κεῖσθαι· ὅμως δὲ ἀναγκαῖον. Αὖθις) πάλιν στῆσον με εἰς ὀρθόν· καὶ στρέφε τὸ δέμας. Ἀνακύκλει) ἀνακίνει· ἀνόρθου· ἐξέγειρε· συμβαίνει γὰρ τὸν κείμενον κυκλοτερῆ τὴν ἀνάπαυσιν ἔχειν· οἱ γὰρ νοσοῦντες, οὐκ ἀρέσκονται τοῖς παροῦσιν· ἀεὶ δὲ πρὸς τὸ μέλλον ὁρῶσι· δυσάρεστον πρᾶγμα οἱ νοσοῦντες ὑπὸ τῆς ἀπορίας. Ἦ κἀπὶ γαίας) ἄρα θέλεις θεῖναι τοὺς πόδας ἐπάνω τῆς γῆς, θεὶς ἴχνος χρόνιον· ἤτοι βραδεῖαν βάσιν; ἡ μεταβολὴ πάντων, εὐφραντὸν πρᾶγμα ὑπάρχει δηλονότι. Μεταβολὴ πάντων) συνυπακουστέον τὸ, κακῶν· κεκωμῴδηται δὲ ὁ στίχος· τὸ γὰρ ἐξ ὑγείας εἰς νόσον μεταβαλεῖν, οὐκ ἔστιν ἡδύ· φύσει μὲν γάρ τις ὡς ἐκ μὲν κόπου γλυκύτατον ἡ ἀνάπαυσις· ἐκ δὲ πλουσίου πτωχὸν γενέσθαι, μεταβολὴ μὲν, ἡδὺ δ' οὔ· ὥστε οὐχὶ πάντων ἡ μεταβολὴ γλυκύ. Ἄλλως. τὸ μεταβάλλεσθαι εἴτε ἀπὸ

χείρονος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χείρονος πρὸς τὸ βέλτιον, εἴτε ἀπὸ τοῦ βελτίονος πρὸς
τὸ χεῖρον, ἡδύ τι ἐστὶν αὐτῷ τῷ μεταβαλλομένῳ. οὕτω
δὲ γὰρ ἂν μετεβάλλετο, εἰ μὴ ἥδετο τῇ μεταβολῇ. ὥστε
οἱ λέγοντες τὸν εὐριπίδην οὐκ ὀρθῶς εἰρηκέναι τοῦτο,
οὐκ ὀρθῶς οἴονται. Τὸ δ' ὑγιεῖας.) τὸ ἀναστῆναι. ὁπό-
ταν γὰρ εὐθυμῇ ψυχὴ τῇ τῆς ἐλπίδος ὑπολήψει, συν-
διασώζεται τὸ σῶμα. καὶ σιμωνίδης. τὸ δοκεῖν, καὶ τὰ-
λαθὲς βιᾶται. Μάλιστα.) ἤτοι ναί. ἔχει γὰρ τό-
δε. τὸ ἀνορθωθῆναι δηλονότι ὑπόληψιν. ἤτοι ἐλπίδα.
ὑγιεῖας. καλὸν ἐστὶ τὸ δοκεῖν, κἂν μακρὰν ᾖ τῆς ἀληθείας.

Ἄκουε δὴ νῦν ὦ ἀδελφὲ ἐν ὅσῳ ἀφικτήριοι αἱ ἐρι-
νύες φρονεῖν καλῶς. Λέξεις τι νέον.) καὶ εἰ μὲν εὖ καὶ
καλῶς, εὐχαριστεῖν ἕξεις. εἰ δὲ εἰς βλάβην τινὰ ἀφο-
ρῶν δηλονότι, ἀρκούντως ἔχω ἕνεκα τοῦ δυστυχεῖν.
Ὁ μενέλαος πάρα γέγονεν.) ὁ ἀδελφὸς τοῦ σοῦ πατρὸς
ἐν ναυπλίῳ ἐστὶ λιμένι δηλονότι καθωρμίσθησαν τὰ σέλ-
ματα. ἤγουν αἱ καθέδραι περιφραστικῶς. ἀντὶ τοῦ αἱ
νῆες. Ὥρμισαι. ἢ ἀντὶ τοῦ ἐλλιμένισαι. ἢ ἀντὶ τοῦ ἐνε-
λιμένισαν. ὅπερ εἰ εἴποις, ἀπαττικὴν νοήσεις τὰ σέλ-
ματα. Σοῦ κασίγνητος πατρὸς.) διὰ τούτου ψυχαγω-
γεῖ τὸν ἀδελφόν. ὑπομιμνήσκουσα τοῦ πατρικοῦ ἀδελ-
φοῦ. καὶ ἐλπίδας ἀγαθὰς ὑποτίθεται διὰ τοῦ θείου.
προσπαθέστερον δὲ ποιεῖ τὸ δρᾶμα. καὶ τὸ πόρρωθεν δια-
βάλλεσθαι τὸν μενέλαον, καθὸ ἐλπισθεὶς βοηθῆσαι, οὐκ
ἐβοήθησεν. Πῶς εἶπας.) ἥκει φῶς, ἤτοι σωτηρία. τῶν
ταῖς ἐμαῖς καὶ σαῖς δυστυχίαις ἀνὴρ συγγενής. καὶ χά-
ριτας ἔχων, ἃς ὁ πατὴρ ἐχαρίσατο αὐτῷ; Ἥκει.)
δέχου τὴν πίστωσιν τῶν ἐμῶν λόγων. ἐπαγόμενος ἑλέ-
νην ἐκ τῶν τρωϊκῶν τειχέων. Ἥκει τὸ πιστόν.) ἀντὶ
τοῦ πίστευε τοῖς ἐμοῖς λόγοις. πίστιν δέχου ταύτην βε-

βαίαν καὶ ἀσφαλῆ μαρτυρίαν. πῶς καὶ τὴν ἑλένην αὐτῷ συνεπιδημῆσαι. ὅπου γὰρ ἑλένη, πάντως που καὶ μενέλαος. Ἑλένην ἀγόμενος.) ἄγεταί τις γυναῖκα, ἀντὶ τοῦ λαμβάνει. ἐπάγεται δὲ δοῦλον, ἢ ἕτερόν τι, ἀντὶ τοῦ μεθ' ἑαυτοῦ ἄγει καὶ ἐπάγεται τὸ δὲ ἐν παθητικῇ σημασίᾳ, ἀντὶ τοῦ μεθ' ἑτέρου. ἢ μεθ' ἑτέρα ἄγεται.

Εἰ μόνος ἐσώθη.) μᾶλλον ἂν ἦν ζηλωτὸς, καὶ μακαριστός. εἰ δὲ ἐπάγεται τὴν σύνευνον, ἥκει ἔχων μέγα κακόν. Ἐπίσημον.) ὁ τυνδάρεως ἔτεκε γένος θυγατέρων. διάδηλον. καὶ ἐξάκουστον εἰς τὸν ψόγον. Ἐπίσημον.) στησίχορος φησὶν ὡς θύων τοῖς θεοῖς τυνδάρεως, ἀφροδίτης ἐπελάθετο. ἡ δὲ θεὸς ὀργισθεῖσα, διγάμους τε καὶ τριγάμους. καὶ λιψάνδρους αὐτοῦ τὰς θυγατέρας ἐποίησεν. ἔχει δὲ ἡ χρῆσις οὕτως.
„ Οὕνεκα τυνδάρεως ῥέ-
„ ζων ἅπασι θεοῖς, μιᾶς λάθετο ἠπιοδώρου κύπριδος.
„ Κείνα δὲ τυνδάρεω κούραις χολωσαμένη, διγάμους
„ τε καὶ τριγάμους τίθησι. καὶ λιπεσάνορας. καὶ ἡσίοδος.
„ τῇσι δὲ φιλομειδὴς ἀφροδίτη ἠγάσθη προσιδοῦσα.
„ κακὴν δέ σφιν ἔβαλε φήμην. καὶ ὅμηρος. ὡς δὲ κλυται-
„ μνήστρα λιποῦσ' ἀγαμέμνονα δῖον, αἰγίσθῳ παρέλε-
„ κτο. καὶ εἵλετο χέρον' ἀκοίτην. ὡς δ' ἑλένη ᾔσχυνε λέχος
„ ξανθοῦ μενελάου.

Σὺ νῦν διάφερε.) τουτέστιν ἐπείπερ ἐκείνας ὡς φαύλας κακίζεις, σκόπει μὴ καὶ αὐτὴ περιπέσῃς τοῖς ἴσοις. ἀλλ' ἀποχὴν τῶν κακῶν ἔχε. καὶ μὴ μόνον τὰ ἄριστα λέγε. ἀλλὰ καὶ κατὰ νοῦν ἔχουσα πρᾶττε. Οἴμοι κασίγνητε.) ὤμοι ὦ ἀδελφὲ, ταράττεται τὸ σὸν ὄμμα. ταχέως μετεβλήθης εἰς λύσσαν καὶ μανίαν. ἄρτι σώας ἔχων τὰς φρένας. Ὄμμα σὸν ταράσσεται.) φυσικῶς. καθόλου γὰρ τῶν τῆς ψυχῆς παθῶν, ἐλέγχουσιν οἱ ὀφθαλμοί. αἰφνίδιοι γὰρ τῆς λύσσ

σφοδρῶν νοσημάτων αἱ μεταβολαὶ γίνονται. Ὦ μῆτερ.) ὦ μῆτερ ἱκετεύω σε μὴ ἐπίφερέ μοι τὰς ὑφαίμους ὁρώσας ἀγρίας κόρας. ἤτοι τὰς ἐριννύας. αὗται γὰρ αὗται κινοῦνται καὶ ὁρμῶσι πλησίον ἐμοῦ. αἱματωποὺς δὲ τὰς ἐριννῦς λέγει, ὡς τοὺς μαινομένους ὕφαιμον ποιούσας βλέπειν καὶ ταραχώδεις. τὰ συμβαίνοντα γὰρ τοῖς πάσχουσι τοῖς προεστῶσι θεοῖς τοῦ πάθους ἀνατιθέασιν οἱ ποιηταί. οἷον ὅτι καὶ ὅμηρος φησί. χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ. ἐκ τῶν ἀποβαινόντων παθῶν εἰδωλοποιήσας αὐτάς. οὕτω καὶ τὸν πλοῦτον τυφλὸν λέγουσιν, ὅτι ἀκρίτως ποιεῖ πλουσίους. καὶ τὸν καιρὸν ὀπισθοφάλακρον. ὅτι τοῦ οἰχομένου λαβέσθαι ἀδύνατον. δρακοντώδεις δὲ λέγει, ὡς ἐχούσας δράκοντος. ἤτοι ὄφεως ὀδόντας. Αὗται γάρ.) ἐκ τοῦ ἀφανοῦς εἶπε τὰς ἐριννύας διώκειν αὐτόν. ἵνα τὴν δόξαν τοῦ μεμηνότος ἡμῖν παραστήσῃ. ὡς εἴγε παρήγαγεν αὐτὰς εἰς μέσον, ἐσωφρόνει ἂν ὁ ὀρέστης. ταῦτα δὲ οἱ νεώτεροι. ὅμηρος γὰρ οὐδὲν τοιοῦτον εἶπε περὶ ὀρέστου. Μέν' ὦ ταλαίπωρε.) μένε ἀτρέμας. καὶ ἡσύχως ἔχε ἐν τοῖς δεμνίοις. οὐδὲν γὰρ ὁρᾷς ἀφ' ὧν δοκεῖς σαφῶς εἰδέναι. Ὦ φοῖβ' ἀποκτείνουσι.) ὦ ἄπολλον φονεύσουσί με αἱ ἄγριαι καὶ ἀναιδεῖς γοργώπιδες. αἱ καταπληκτικαί, τοῖς ὀφθαλμοῖς. αἱ ἱέρειαι καὶ φονεύτριαι τῶν νεκρῶν. αἱ φοβεραὶ θεαί. Ἐνέρων ἱέρειαι.) παρόσον ἐξυπηρετοῦνται αὐτοῖς. ἀποστέλλουσι γὰρ αὐτοῖς τὰς ψυχάς. Τὸ ἱέρειαι.) ἱερίαι χρὴ γράφειν ἰωνικῶς. ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. τὰ γὰρ διὰ τοῦ εια προπαροξύτονα ἰωνικῶς οἱ ποιηταί, προπαροξύτονα ποιοῦντες, διὰ τοῦ ια γράφουσι. τὸ

αὐθάδεια, αὐθάδια λέγοντες· καὶ τὸ δυσσέβεια, δυσσέβια· καὶ τὰ τοιαῦτα· ὃ καὶ ἐξετάζων εὑρήσεις. Μέθες μ᾽ οὖσα·) ἔασον ἄφες· μία οὖσα τῶν ἐμῶν ἐριννύων· καὶ μανιῶν· μέσον με κατέχεις ἵνα βάλῃς εἰς τὸν τάρταρον. Μία οὖσα τῶν κατ᾽ ἐμοῦ ἐριννύων; ἀπόστηθι· ἐριννύων δὲ τῶν μανιῶν· ἵν᾽ ἡ αὐτή με τῆς μανίας ἀναχωρήσασα μου· ὀχμάζεις δὲ, ἀντὶ τοῦ συνέχεις· καὶ ἐπαίρεις· ἴδιον δὲ τῶν μαινομένων, τὸ τοὺς κηδομένους ἀποσείεσθαι· καὶ δοκεῖν βλάπτεσθαι μᾶλλον παρ᾽ αὐτῶν. Ὀχμάζω· γίνεται ἀπὸ τοῦ ἔχω· ἔξω· ἔχμα· οὐ μόνον ἡ ἐξοχὴ· ἀλλὰ καὶ ἡ συνοχή· ἀπὸ δὲ τοῦ ἔχμα· γίνεται ἐχμάζειν, τὸ κωλύειν· καὶ ἐπέχειν· καὶ ἐχμάσαι, τὸ κατασχεῖν· καὶ ἑλεῖν· ὃ παρὰ τῷ εὐριπίδῃ ἐντεῦθα διὰ τοῦ ο κεῖται· μέσον μ᾽ ὀχμάζεις. Δὸς τόξα δός μοι τὰ τόξα τὰ ἐκ κεράτων τευχόμενα· τὰ δῶρα τοῦ ἀπόλλωνος· δι᾽ ὧν εἶπεν ὁ ἀπόλλων τιμωρήσασθαι ἐμὲ τὰς ἐριννύας, εἰ εἰς φόβον ἄγοιεν ἐμὲ ἐν λυσσήμασι καὶ μανίαις ἐκ παραλλήλου· στησίχορος δὲ ἑπόμενος. Τόξα φησὶν αὐτὸν εἰληφέναι παρὰ ἀπόλλωνος· ἔδει οὖν τὸν ὑποκριτὴν τόξα λαβόντα τοξεύειν. (Δῶρα λοξίου λέγει·) ἢ ὑπὸ τῆς μανίας δοκῶν χαρισθῆναι αὐτῷ ταῦτα παρὰ ἀπόλλωνος, ἢ διότι τοξικός ἐστιν ὁ θεός· καὶ τὰ παρ᾽ αὐτοῦ τόξα, ὡς περὶ τόξα ἐκείνου. Μανιάσι· ἅπαντες τὸ μανιάσι πρὸς τὸ λυσσήμασι συνάπτοντες, οὕτω φασί· μανιάσι λυσσήμασιν· ἀγνοοῦντες ὅτι τὸ μανιάσι θηλυκόν ἐστιν· τὸ δὲ λυσσήμασιν, οὐδέτερον· σὺ δὲ τούτους ἐάσας, κεχωρισμένως λέγε ἀσυνδέτως οὕτως· εἰ με ἐκφοβοῖεν μανιάσι μανίαις· ἐν λυσσήμασι· καὶ ἐν μανίαις· ἵν᾽ ὦσιν ἀμφότερα τὸ αὐτό. Ἄλλως· μανιάσι λυσσήμασι· ταῖς

μανιώδεσι λύσσαις. σχῆμα δέ ἐστιν περίφρασις ταῖς μανιάσι λυσσήμασιν. ὡς τὸ φοίνικι λίνῳ. ἀρσενικὸν μετὰ τοῦ οὐδετέρου. ἀπὸ δὲ τοῦ ἡ μανιὰς τὸ μανιάσι. μανιώδεσι λυσσήμασιν. ἢ μανίαις. καὶ λυσσήμασιν.

Βεβλήσεταί τις.) τοξευθήσεται τὶς ἀπὸ τῶν θεῶν. διὰ χειρὸς ἀνθρωπίνης. Εἰ μὴ ξαμείψει.) ναὶ τοξευθήσεται. εἰ μὴ ἀποστήσεταί τις τῶν ἐριννύων, τοῦ ἐμοῦ προσώπου. μακρὰν τῶν ἐμῶν ὀμμάτων. οὐκ ἀκούετε ὦ ἐριννύες δηλονότι. οὐχ ὁρᾶτε πτερωτὰς γλυφίδας. λέγω δὲ τὰ βέλη. ἐξορμωμένας ἐκ τῶν μακρὰν βαλλόντων τόξων; Α α.) ἐπίρρημα ἐφεκτικόν. τί δῆτα μέλλετε καὶ βραδύνετε. σιγμὴν ἔχει τὸ μέλλετε. τὸ δὲ ἑξῆς. εἰς τὰ ἄκρα τοῦ αἰθέρος πέτεσθε. καὶ μέμφεσθε τὰ λόγια τοῦ ἀπόλλωνος. ἀκρίζω δὲ, τὸ ἄκρον κόπτω.

Θέσφατα.) κελεύσματα. καὶ γὰρ ἄνωθεν εἶπεν ὅταν ἀπῄτει τὴν ἠλέκτραν τὰ τόξα, ὡς ἀπόλλων αὐτῷ ἐπέταξε μάχεσθαι ἐριννύσι τοῖς τόξοις. Ἔα τί χρῆμ' ἀλύω.) ἀπὸ ἐκπλήξεως τὸ ἔα. διατί χρῆμα ἐν ἀμηχανίᾳ εἰμί. πνεῦμα ἀναπέμπων ἐκ τῶν πνευμόνων. τὸ ἀλύειν δὲ ποτὲ μὲν οἱ ποιηταὶ ἀντὶ τοῦ δάκνεσθαι. καὶ ἀπορεῖσθαι λαμβάνουσιν ὡς ἐνταῦθα. καὶ παρὰ τῷ ποιητῇ. ἡ δ' ἀλύουσ' ἀπεβήσετο. ποτὲ δὲ ἀντὶ τοῦ γαυριᾶν καὶ χαίρειν. ὡς τὸ ἢ ἀλύεις ὅτι ἶρον ἐνίκησας τὸν ἀλήτην. Ἄλλως. τί τὸ πρᾶγμα. καὶ τίς ἡ νόσος αὕτη. καθ' ἣν ἀπορῶ μὲν καὶ ἀδημονῶ. παρὰ τὴν ἄλην. ἡ δ' ἀλύουσ' ἀπεβήσετο. Ποῖ ποῖ.) τὸ ποῖ τοπικόν. ποῦ ποῦ ἐπηδήσαμεν καὶ ἐκινήθημεν ἀπὸ τῆς κοίτης. ἐκκυμάτων γὰρ ἤτοι ἐκ τῆς τοῦ κλύδωνος μανίας καὶ ταραχῆς, βλέπω πάλιν γαλήνα. καὶ ἥσυχα. Γαλήν' ὁρῶ.) κεκωμῴδηται ὁ στίχος διὰ ἡγέλοχον τὸν ὑποκριτήν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐ γὰρ φθάσαντος διελεῖν τὴν συναλοιφὴν ὑπολείψαντος τοῦ πνεύματος, τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῶον· ἀλλ' οὐχὶ τὰ γαλήνα· πολλοὶ μὲν οὖν αὐτὸ διέπαιξαν τῶν κωμικῶν, ἀριστοφάνης καὶ στράτης ἐν ἀνθρωπορραίστῃ· καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν·
,, εὐριπίδου δὲ δρᾶμα δεξιώτατον διέκναισ' ὀρέστην· ἠ-
,, γέλοχον τὸν κινάρου μισθωσάμενος τὰ πρῶτα τῶν
,, ἐπῶν λέγειν· καὶ ἐν ἄλλοις παίζων φησί· ποῖ ποῖ γα-
,, λῆν ὁρῶ· ποῖ ποῖ πρὸς θεῶν, γαλῆν γαληνά· καὶ σαινυ-
,, ρίων ἐνδανάῃ· τί ἂν γενόμενος εἰς ὀπὴν ἐνδύσομαι·
,, φέρ' εἰ γενοίμην γαλῆ· ἀλλ' ἡγέλοχός με μηνύσειεν ὁ τρα-
,, γικὸς· ἀνακράγοιτ' ἂν οὗτος εἰς ἐχθροὺς μέγα· ἐκ κυ-
μάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ· Σύγγονε τί κλαίεις·) ὦ ἀδελφὴ διατί κλαίεις, θεῖσα τὴν κεφαλὴν ἔσω τῶν πέπλων· αἰδοῦμαί σε μεταδιδούς σοι τῶν ἐμῶν πόνων· ὄχλησιν παρέχων σοὶ τῇ παρθένῳ διὰ τῶν ἐμῶν νόσων· μὴ χάριν τῶν ἐμῶν κακῶν ἐν σεαυτῇ φθείρου· σὺ μὲν γὰρ συνῄνεσας· καὶ συνεβούλευσας ὑπὲρ τάδε· εἴργασται δ' ὑπ' ἐμοῦ ὁ τῆς μητρὸς φόνος· Σὺ μὲν·) ἐγὼ μὲν εἰργασάμην· σὺ δὲ ἐπένευσας· θέλει δὲ εἰπεῖν ὅτι οὐ μετέχεις τοῦ φόνου· ἐπεὶ οὐ αὐτὸς ἔπραξας· διὸ οὐδὲ ὀφείλεις ἄχθεσθαι· Λοξίᾳ δὲ)· τῷ ἀπόλλωνι αὐτὸς μέμφομαι· ὅστις διεγείρας· καὶ παρακινήσας ἐμὲ εἰς ἔργον ἀνοσιώτατον, διὰ μὲν τῶν λόγων εὔφρανε· διὰ δὲ τῶν ἔργων οὐδαμῶς· Λοξίᾳ δὲ·) τῷ λοξίᾳ μέμφομαι· ὅτι πείσας με κτανεῖν τὴν μητέρα οὐ βοηθεῖ· τοῦτο γὰρ σημαίνει τὸ ἐπάρας· ἀναπτερώσας· καὶ πείσας εἰς ἔργον ἀνοσιώτατον· εἶπε γὰρ ὡς δεῖ ἐκδικητὴν τοῦ πατρῴου φόνου γενέσθαι με· Οἶμαι δὲ·) οἶμαι δὲ τὸν ἐμὸν πατέρα εἰ ἐξιστόρουν καὶ ἠρώτων κατὰ πρόσωπον· εἰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρέπει κτεῖναι τὴν μητέρα, πολλὰς λιτὰς διὰ τῆς ἐκτά-
σεως τῶν χειρῶν ποιῆσαι αὐτὸν τοῦδε τοῦ γενείου δηλο-
νότι ἁψάμενον· μήποτε ὦσαι ξίφος εἰς σφαγὴν τῆς τε-
κούσης· ἐπειδὴ οὔτε ἐκεῖνος ἔμελλεν ἀναβιῶναι καὶ πά-
λιν ζῆσαι· ἐγὼ δὲ ὁ τλήμων ἔμελλον κατὰ κοινοῦ, τοιά-
δε κακὰ ἐκπληρῶσαι καὶ ὑπομεῖναι· Καὶ νῦν·) ποθει-
φραστικῶς ὦ ἀδελφὴ ἀνακάλυπτε σαυτὴν δηλονότι· ἤ-
γουν ἀνακαλύπτου· ἀπόλειπε καὶ ἀπόστηθι ἐκ τῶν δα-
κρύων ἤτοι μὴ δάκρυε· καὶ εἰ λίαν διακείμεθα ἀθλίως·
ὅταν δὲ ἴδῃς τὰ μά· ἤτοι ἐμὲ λυποθυμήσαντα· τουτέ-
στι μανέντα, σὺ τὸ δεινὸν ἐμοῦ, καὶ τὸ διαφθαρὲν τῶν φρε-
νῶν, ἤτοι τὴν διαφθορὰν ἐπέχε· καὶ κώλυε· παραμυ-
θοῦ τε· ὅταν δὲ στένῃς σύ, πρέπει παρόντας ἡμᾶς νουθε-
τεῖν σε τὰ προσφιλῆ· αἱ ἐπικουρίαι δὲ αὗται καλαί εἰσι
τοῖς φίλοις· Ανακάλυπτε·) τὴν ὄψιν δηλονότι τὸ
σκέπας· τοῦτο γὰρ ἐπὶ τὸ μὴ λυπεῖν τὸν ἀδελφὸν τοῖς
δακρύοις ἐποίει· ἑαυτὴν καλύπτουσα· ἔκλαιε γὰρ κρᾶ-
τα θεῖσ' ἔσω πέπλων· Ανακάλυπτε·) ἀπὸ τούτου καὶ
ἀνακαλυπτήρια τὰ διδόμενα δῶρα τοῖς νεονύμφοις·
ὅταν πρῶτον ἀνακαλύπτωνται τοῖς ἀνδράσι· καὶ τοῖς
συγγενέσιν ὁρώμεναι· Ισχαινε)· λέπτυνε· παρὰ τὸ
ἰσχνῶ ἰσχναίνω παράγωγον· ὅθεν καὶ ἰσχάς· Ισχαινε)·
ἀντὶ τοῦ ἐπέχε· πράϋνε κούφιζε· Αλλ' ὦ τάλαινα·)
πορευθεῖσα ἔσω τῶν δωμάτων, ἐκταθεῖσα, δὸς ὕπνῳ
τὸ ἄϋπνον βλέφαρον· ἀντιστρόφως· ἀντὶ τοῦ ἐκταθεῖσα
δὸς ὕπνον τῷ ἀΰπνῳ βλεφάρῳ· καὶ τροφὴν λάβε· λου-
τρά τε βάλλε ἐπὶ τῷ σώματι· τουτέστι νίψαι· εἰ γὰρ ἀφή-
σεις ἐμέ, ἢ ἐν τῇ προσεδρείᾳ καὶ τῇ προσμονῇ κτήσῃ
τινὰ νόσον, ἐφθάρμεθα· σὲ γὰρ μόνην ἔχω βοηθὸν·
τῶν ἄλλων ὡς ὁρᾷς ὢν μεμονωμένος· καὶ ἐστερημένος·

Οὐκ ἔστι.) οὐχ ὑπάρχει τοῦτο παρ' ἐμοί. ἤγουν οὐκ ἀποδέχομαι σὲ μόνον ἐᾶσαι ἐνταῦθα κεῖσθαι. αὐτὴ δὲ τροφαῖς καὶ ὕπνῳ προσέχειν. Ἔχει γὰρ ταυτόν.) ἤγουν ὁμοίως ἔχουσιν ἐμοὶ ἀμφότερα. ὁ γὰρ σὸς θάνατος, καὶ ἐμός ἐστι. καὶ ἡ σὴ ζωὴ. ἐμὴ ζωή. ἥκιστα γάρ μοι τὸ ζῆν ἥδιστον, σοῦ θανόντος. Μᾶλλον δὲ καὶ νέκρωσις νομισθήσεται. διὰ τὸ ἔρημον ἀπολειφθῆναι μεθ' ἠσθενείας. Δρᾶν χρὴ τάδε. κατὰ συνεκδοχήν. καὶ πρὸς τὸ δοκεῖ καὶ πρὸς τὸ χρή. Ἄλλως. Τὸ ζῶμεν καὶ ἀποθανεῖν μετ' αὐτὸν ἐστιν. ἐὰν σὺ τελευτήσῃς. ἢ τὸ ἔχει ἀντὶ τοῦ σχήσει. ὁ δὲ λόγος ἐὰν σὺ ἀποθάνῃς, ταυτόν μοι πάθος γενήσεται. ὅ ἐστι κἀγὼ τεθνήξομαί σοι. Παράφρασις. Οὐκ ἔστι.) οὐκ ἔστι δυνατὸν δηλονότι τοῦτο. σὺν σοὶ θελήσω καὶ θανεῖν καὶ ζῆν. διάκειται γὰρ ὁμοίως καὶ ζῶμεν καὶ ἀποθανεῖν δηλονότι. ἐὰν γὰρ ἀποθάνῃς σύ, γυνὴ οὖσα δηλονότι τί δράσω. πῶς μόνη βιώσω, ἀνάδελφος. ἀπάτωρ. ἄφιλος. εἰ δὲ ἀρέσκει σοι, πρέπει δρᾶν τάδε. ἅπας δηλονότι. ἀλλὰ κλῖνον τὸ δέμας εἰς τὴν κοίτην. καὶ μὴ τὸ ταρβοῦν καὶ ἐκφοβοῦν. ἤτοι τὸ φοβεῖσθαι ποιοῦσι ἐκ τῶν δεμνίων καὶ τῆς κοίτης ἄγαν ἀποδέχου. ἤτοι πίστευε ἀληθῶς εἶναι. μένε δὲ ἀπὸ τοῦ στρωτοῦ λέχους. ἤτοι ἀπὸ τοῦ σοῦ στρώματος. κἂν μὴ νοσῇς γὰρ ἀλλ' ὑπολαμβάνῃς νοσεῖν, κάματος καὶ κακοπάθεια. ἀπορία τε. ἤτοι ἀπελπισμὸς τῆς ὑγείας σοι δηλονότι. ὡς καὶ τοῖς ἄλλοις βροτοῖς. ἐστι δὲ κακόσχημον εἰς ὑπερβολήν. ἄλλως γὰρ ἤρξατο. καὶ ἄλλως ἀπέδωκεν. Ἄλλως. ἀποδέχου. τουτέστι μὴ ἔχε τὴν ὑπόληψιν κατὰ νοῦν ἀεὶ τῆς μανίας. τοῦτο γάρ ἐστι τὸ ἄγαν ἀποδέχου. ταρβοῦν δὲ ἐκ δεμνίων λέγει, οὐχ ὅτι τὰ δέμνια ἐποίει αὐτὸν μαίνεσθαι. ἀλλ' ὅτι κείμενος ἐκεῖ, φόβον ἐξ ἐριννύων ἐδέχετο, κατε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χόμενος τῇ μανίᾳ. Κἂν μὴ νοσῇς.) Καλλίστρατος τὴν ἐκ τοῦ τοῦ σ̄ γραφὴν διδάσκει. κἂν μὴ νοσῇ γὰρ ἀλλὰ δοξάζῃ νοσεῖν. ἵν᾽ ἦ ἀπὸ τοῦ ὁρίσου εἰς τὸ κοινὸν καταβεβηκὼς ὁ λόγος. Ἄλλως. Τοῦτο καθολικῶς ἔδει ἐξενεγκεῖν οὕτω. κἂν μὴ νοσῇ τις ἀλλὰ δοξάζῃ νοσεῖν, καὶ ματος αὐτῷ καὶ ἀπορία γίνεται. νῦν δὲ τὸ μὲν ἥμισυ τοῦ γνωμικοῦ πρὸς τὴν ὁρίσην ἐπέφερε. τὸ δὲ ἥμισυ καθόλου εἶπεν. ἔστι δὲ τοῦτο κακόσχημον εἰ καὶ ληρῶν ὁ Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ̄ διδάσκει γραφήν. καὶ μὴν καὶ ἑτέρως καινότης ἐστὶν ἐνταῦθα. ἡ γὰρ πρότασις ἑνικῶς ἐκφέρεται. ἡ δὲ ἀπόδοσις πληθυντικῶς. δηλοῦντος τοῦ ποιητοῦ, ὅτι εἰς πάντας τοὺς ἀνθρώπους γίνεται τοῦτο.

Αἲ αἶ.) τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν ὡς εἴρηται. ἔστι δὲ τὸ ᾆσμα μιᾶς στροφῆς. εἰσὶ δὲ τὰ κῶλα τῆς στροφῆς, ιϛ̄. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ ᾱ ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον ἤτοι κώλου τμῆμα. τὸ β̄ παιωνικὸν δίμετρον ἀκατάληκτον. ἐκ παιώνων δὲ β̄. τὸ γ̄ ὅμοιον ἡμιόλιον. ἐκ παίωνος δ̄ καὶ ἰάμβου. τὸ δ̄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου παίωνος ᾱ καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ ε̄ καὶ τὸ ϛ̄ μὲν πάντα ὅμοια. τὸ ζ̄ χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου ἐπιτρίτου ᾱ καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον, πεντασύλλαβον ἔχει τὸν ἐπίτριτον. τὸ ὄγδοον ἀσυνάρτητον ἐκ παιωνικῶν ἡμιολίων δύο συγκείμενον. ἕκαστον δὲ ἐκ παίωνος ἐστὶ τετάρτου καὶ ἰάμβου. τὸ θ̄ καὶ ῑ κατὰ πάντα ὅμοια. τὸ ια̅ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου ᾱ. παίωνος ᾱ καὶ συλλαβῆς. εἰ δὲ βούλει, ἀκατάληκτον. τὸ ιβ̄, χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ

μολοσσοῦ. τὸ δὲ ιγ΄ τῆς ἀντιστροφῆς κῶλον, ἐπίτριτον ἔ-
χει γ΄ ἀντὶ χοριάμβου. τὸ ιδ΄, ἀντισπαστικὸν δίμετρον
ὑπερκατάληκτον, τῶν β΄ πρώτων ποδῶν χορείων. τὸ
ιε΄ παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων τε-
τάρτων δύο. τοῦ δευτέρου ἐνταῦθα μὲν πεντασυλλά-
βου. ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ ἑξασυλλάβου. καὶ
κρητικοῦ, διὰ τὴν ἀδιάφορον. τὸ ις΄ ἰωνικὸν ἀπ᾽ ἐλάσσονος
τριμέτρου καταληκτικόν. ἐκ παίωνος δ΄, ἀντὶ ἰωνι-
κοῦ διϊάμβου. καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς
παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Αἷ ᾶ.) ὦ
θεαὶ δρομικαὶ. καὶ ταχεῖαι. καὶ σεβάσμιαι. αἵτινες ἐλάχε-
τε ἐν δάκρυσι. καὶ ἐν γόοις χορὸν κακοβάκχευτον. ἤτοι
λυπηρόν. εἰς ὃν οὐκ ἔστι δηλονότι βακχεύσασθαι. καὶ χαι-
ρῆναι. μέλαιναι εὐμενίδες κατ᾽ εὐφημισμόν. δυσμενίδες
γάρ εἰσι κατὰ τὸν ὀρθὸν λόγον καὶ ἀληθῆ. αἵτινες κινεῖσθε
ἀνὰ τὸν ὑπὸ πολὺ τεταμένον ἀέρα. λαμβάνουσαι δί-
κην. παρακαλῶ ἐάσατε τὸν υἱὸν τοῦ ἀγαμέμνονος, ὥσ-
τε λήθην λαβεῖν τῆς σφοδρᾶς μανίας τῆς ὁρμητικῆς.
φεῦ ἕνεκα τῆς κακοπαθείας. καὶ τῶν δυστυχιῶν. οἵων κα-
κῶν ὦ τάλας ἐπιθυμήσας ἔρρεις. καὶ φθείρῃ. τὴν ἀπό-
φασιν τοῦ τρίποδος. ἤτοι τὴν καινὴν μαντείαν, ἣν ὁ φοῖ-
βος εἶπε κατὰ τὴν γῆν. ὅπου λέγονται εἶναι δηλονότι οἱ
μεσόμφαλοι μυχοὶ τῆς γῆς. ἤτοι αἱ καταδύσεις καὶ
οἰκήσεις. Πτεροφόροι.) πανταχοῦ περιτρέχουσαι.
καὶ τιμωρούμεναι τοὺς ἀνθρώπους. ἢ περιτρέχειν ποιοῦ-
σαι τοὺς μεμηνότας. Ποτνιάδες δὲ,) μανιοποιοί. πό-
τνιαι γὰρ χωρίον ἐστὶ βοιωτίας. ἔνθα φαγοῦσαι βοτά-
νον αἱ γλαύκου ἵπποι, καὶ μανεῖσαι, διεσπάσαντο τὸν ἴ-
διον δεσπότην γλαῦκον ἐν τῷ ἐπιταφίῳ πελίου. πότνιαι
γοῦν πόλις βοιωτίας. ὅθεν ὁ γλαῦκος ἐμμανὴς γέγονε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἥλατο εἰς τὴν θάλασσαν. Ἀβάκχευτον.) ἤτοι κακοβάκχευτον· οὐ πρέποντα διονύσῳ. ἀλλ' ἐν θρήνοις, καὶ γόοις ἐξεταζόμενον. ἢ παρόσον ἄοινα· καὶ νηφάλια ταῖς θεαῖς ταύταις τὰ ἱερὰ τελεῖται. ἢ τὸν μεγάλως ἐκβακχεύοντα. Μελανοχρῶτες.) μέλαιναι· χθόνιαι γάρ εἰσιν. ἢ αἱ μελαίνουσαι τοὺς νοσοῦντας. ὡς καὶ πρὸς τὸν μενέλαον ὁ ὀρέστης φησίν. ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας. Ταναὸν αἰθέρα.) ἀνὰ τὸν αἰθέρα ἀμπάλλεσθε πτερωταὶ οὖσαι. ὅμηρος. ἠεροφοῖτις ἐριννύς. ταναὸν δὲ αἰθέρα τὸν λεπτομερῆ. τὰ γὰρ τεινόμενα τῶν σωμάτων λεπτύνεται. τὸ δὲ ἀμπάλλεσθε ὡς ἀνακινούσαις αὐτὸν τὸν ἀέρα ἐμφαντικῶς. τουτέστιν ἀναπάλλεσθε τοῖς πτεροῖς. κατὰ τὸν ὁμηρικὸν ποσειδῶνα· τὸν σείοντα τοῖς ποσὶ τὴν γῆν. καὶ τῇ πορείᾳ τὸ ὄρος. τὸ δὲ τιννύμεναι δίκαν, ἀντὶ τοῦ τιμωρίαν λαμβάνουσαι ὑπὲρ αἵματος καὶ φόνου. Εὐμενίδες.) ἐριννύες θεαὶ τρεῖς παρ' ἕλλησιν. ἔφοροι καὶ τιμωροῦμεναι τοὺς φονεῖς. καλοῦνται δὲ ἀληκτὼ. μέγαιρα. καὶ τισιφόνη. πῶς δὲ ἐνταῦθα λέγει. Τιννύμεναι φόνον.) οὐ γὰρ ἀνταποδιδοῦσι φόνον αὗται· ἀλλὰ μᾶλλον ἐκδικοῦσι τοὺς φόνους. λέγομεν οὖν ὅτι ἐξῶν ποιεῖσθαι, ἢ ποιοῦσι τοὺς φονεῖς μαίνεσθαι, παραπλήσιον ποιοῦσιν, ὥσπερ ἂν εἰ ἐφόνευον. ἢ τὸ τιννύμεναι φόνον, ἀντὶ τοῦ τιμωρούμεναι νοητέον τοὺς φονεῖς. τίω γὰρ οὐ μόνον τὸ ἀνταποδίδωμι. ἀλλὰ καὶ τὸ τιμῶ. καὶ τὸ τιμωρῶ. ἵν' ᾖ τὸ μὲν αἵματος τιννύμεναι δίκαν. ἀντὶ τοῦ ἀποδιδοῦσαι. τὸ δὲ τιννύμεναι φόνον, ἀντὶ τοῦ ἐκδικοῦσαι τὸν φόνον, καὶ τιμωρούμεναι τοὺς φονεῖς. ἢ εἰ τὸ φόνων μεγαλογραφεῖται. λάβοις ἂν ἀπὸ κοινοῦ τὸ δίκαν. καὶ τὸ τιν-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νύμεναι ὡς καὶ τὸ πρῶτον ἐρεῖς. Τινύμεναι διὰ τὸ μέτρον ἐν ῡ ὀφείλεις γράφειν.) οὕτω γὰρ ἔχει πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς οἰκείως. Οἵων ὦ τάλας.) ὡς πρόσωπον ἀπέτεινε τὸν λόγον. οἵων πραγμάτων σὺ ὁ τάλας ἐπεθύμησας. λέγει δὲ τοῦ φόνου τοῦ κατὰ τῆς μητρός, οἵχη καὶ διέφθαρται. ἀπὸ τοῦ τρίποδος δεξάμενος τὴν μαντείαν ἣν ὁ φοῖβος ἔλακεν. Μεσόμφαλα.) ὀμφαλὸς λέγεται ἡ πυθὼ παρὰ τὸ τὰς ὀμφὰς τὰς ἀπὸ θεοῦ χρηστηριαζομένας λέγειν. ἢ παρὰ τὸ εἶναι ἐν μέσῳ τῆς οἰκουμένης. λέγεται γὰρ τὸν δία μαθεῖν βουλόμενον τὸ τέλος τῆς γῆς, δύο ἀετοὺς ἰσοταχεῖς ἀφεῖναι. τὸν μὲν, ἀπὸ δύσεως. τὸν δὲ, ἀπὸ ἀνατολῆς. καὶ ἐκείνους συναντῆσαι. ὅθεν ὀμφαλὸς ἐκλήθη. ἀνάκεινταί τε χρυσοῦς ἀετοὺς φασὶ τῶν μυθευομένων ἀετῶν ὑπομνήματα. Ἰὼ ζεῦ.) φεῦ ὦ ζεῦ. τίς ὁ ἀγὼν οὗτος ὁ φοινικὸς ἔρχεται παρακινῶν σε τὸν ἄθλιον. ὅτινι ἤγουν σοὶ δάκρυα δάκρυσι συμβάλλει. καὶ συνάπτει τίς τῶν ἐχθρῶν. κινῶν εἰς τοὺς δόμους τὸν φόνον τῆς σῆς μητρός. κατολοφύρομαι. λίαν θρηνῶ σε δηλονότι. Τίς ἔλεος.) εἰς τὸ τίς ἔλεος στιγμὴν δεδωκότες, λείπειν τῷ λόγῳ φήσομεν τὸ γενήσεται. καὶ τὸ ἄλλο τίς ἀντὶ τοῦ οὐδείς. ἵν᾽ ᾖ οὕτως. τίς ἔλεος γενήσεται τῷ ὀρέστῃ. ἀντὶ τοῦ οὐδεὶς ἐλεήσει σε ὀρέστα. Ἄλλως. Τίς ἄρα φησὶ τοῦτον ἐλεήσει. τίς δὲ ὁ κίνδυνος οὗτος. καὶ ἡ μανιώδης νόσος ἐπέρχεται ἐπὶ σὲ τὸν μέλεον. ταχύνων σε καὶ ἐξεγείρων. τουτέστιν ἀρὰ δαιμόνων τίς ἐπιπέμπει τούτῳ τὰς ἐριννύας. ἢ καὶ ἄλλως. τίς ἐλεήσει αὐτόν. ἔξωθεν ἀκούσομεν τὸ οὐδείς. διατί; οὗτος γὰρ αὐτῷ ὁ κίνδυνος ὁ ἐκ τῶν ἐριννύων ἔρχεται φόνιος. μεθ᾽ ὁρμῆς φερόμενος ἐπὶ σὲ τὸν μέλεον. τίς ἔλεός ἐστι τούτῳ τῷ ὀρέστῃ. ὦ δάκρυα δάκρυσι συμ-

βάλλεταί τις ἀλάστωρ. πορθύων εἰς δόμους. ἀντὶ τοῦ ἐλαύ-
νων αὐτὸν τῇ μανίᾳ. καὶ ἀναβακχεύων κατὰ τὸν οἶ-
κον. ὅς τις ἀλάστωρ ἐγείρει τὸ αἷμα τῆς μητρός. Ἄλλως.
Τίς ἔλεος ἐστὶ τούτῳ τῷ ὀρέστῃ. ὦ δάκρυα ἐπιβάλλει τίς
τῶν ἀλαστόρων δαιμόνων. τὸ αἷμα τῆς μητρὸς πορθύε-
σθαι καὶ διατρέχειν αὐτὸν κατὰ τὸν οἶκον ποιοῦν, τινὲς δὲ
ἤκουσαν τὸ ἀλαστόρων δόμον. ἀντὶ τοῦ εἰς ἅδου. κατὰ
τὸν οἶκον τῶν ἀλαστόρων. καὶ τίς δὲ ἡ νόσος πορθύεσθαι
αὐτὸν ποιοῦσα εἰς ἅδου. ἡ δὲ παρακοπή. οἵων μόχθων
ἐπιθυμήσας ὦ τάλας διέφθαρσαι. δεξάμενος ἀπὸ τοῦ
τρίποδος τὴν μαντείαν. ἣν ὁ ἀπόλλων εἶπε κατὰ τοὺς
δελφούς, ἔνθα γῆς ὀμφαλὸς λέγεται. τίς ἐλεήσει αὐτὸν
ὦ ζεῦ. τοιοῦτος γὰρ αὐτῷ ἀγὼν ὁ ἐκ τῶν ἐριννύων ἐπέρχε-
ται διὰ τὸν τῆς μητρὸς φόνον. μεθ' ὁρμῆς φερόμενος. με-
τέβαλλε δὲ ἀπὸ τοῦ περὶ αὐτοῦ λόγου, εἰς τὸ πρὸς αὐ-
τόν. Ὅ σ' ἀναβακχεύει.) τίς ὅδε ὁ κίνδυνος ἔρχεται
φόνιος παροξύνων σε τὸν μέλεον. ὃς δάκρυα δάκρυσι
συνάπτει. τίς λέγω τῶν ἐχθρῶν πορθύων εἰς τὸν δόμον
τὸ αἷμα. ἤγουν τὸν φόνον τῆς σῆς μητρὸς ὅ σε ἀναβακ-
χεύει. Ἄλλως Ὅ σ' ἀναβακχεύει.) ὅπερ τῆς μητρὸς
ἀναβακχεύει σε καὶ μαίνεσθαι ποιεῖ. ἢ ὅς τις ἀλαστόρων
ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου. μὴ ἐῶν αὐτὸ ἠρεμεῖν
ἀτιμώρητον. Ὦ δάκρυα δάκρυσι συνάγει. καὶ συμμί-
γει ἐπάλληλα δάκρυα. ὅμηρος συμβάλλει τοι ὄμβριμον
ὕδωρ. ἤγουν συνάπτει. ἵν' ἡ μεταφορὰ ἀπὸ τῶν συμβαλ-
λόντων τοῖς χοινίοις ἕτερα. καὶ ἐπιμηκέστερα ποιούντων.
οἷον οὗτος τοῖς δάκρυσι συνάπτει δάκρυα. ἀριστοφάνης.
ὥσπερ χοινία συμβάλλοντες εἰς τὰς ὁλκάδας. Ὦ δά-
κρυα. ὃ γράφει ἀντὶ τοῦ ὅς τις. καὶ δόμον. μὴ δόμους. λέ-
γων οὕτως ὅς καὶ ὅστις ἀγών, δηλονότι ὁ φόνιος συμβάλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λει. καὶ συνάπτει τοῖς δάκρυσι δάκρυα. ἐπεὶ δὲ οὐκ ἐποίει ταῦτα ὁ ἀγὼν, ἀλλά τις τῶν θεῶν, ἐπήγαγε τίς λέγω τῶν ἀλαστόρων. καὶ τῶν ἐχθρῶν. πορθῶν καὶ ἐπιφέρων εἰς τὸν δόμον τὸ αἷμα τῆς σῆς μητρὸς. ὅπερ σε ποιεῖ μαίνεσθαι. οἱ δὲ γράφοντες τὸ ω μέγα διὰ τὸ συμβάλλει, ἀγνοοῦσι τὰ μέτρα. Ἄλλως. Ὅσ' ἀναβακχεύει.) διχῶς στίζουσι. ἀποδίδοται πρὸς μὲν τὴν πρώτην στιγμήν. τίς οὗτος φόνιος ἔρχεται ἀγών. ὦ ἀγῶνι δάκρυα δάκρυσι συμβάλλει τίς τῶν ἀλαστόρων. ποιῶν πορθεῖσθαι τὸ αἷμα τῆς μητρὸς, κατὰ τοὺς οἴκους. καὶ μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον. ἢ ὅ,σε τὸ αἷμα ἀναβακχεύει. καὶ μαίνεσθαι ποιεῖ. πρὸς δὲ τὴν δευτέραν στιγμήν. ὅτι τοσοῦτον. ἔρχεται φόνιος ἀγών. δάκρυα δάκρυσι συμμίγει τίς τῶν ἀλαστόρων. ὅς σε ἀναβακχεύει πορθῶν καὶ ποιεῖ ἑλκῶν ματέρος αἷμα σῆς. ὅλως ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου κατὰ τοὺς οἴκους σου. καὶ οὐκ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον. Ὁ μέγας ὄλβος.) οὐ μόνιμος καὶ διηνεκὴς ἐν τοῖς βροτοῖς. ἀνατινάξας δὲ δαίμων τις αὐτὸν δηλονότι καθὰ λαῖφος καὶ ἄρμενον νηὸς ταχείας, κατέκλυσεν. ἤτοι βυθισθῆναι ἐποίησεν ὡς ἐν κύμασι πόντου ὀλεθρίοις. καὶ χαλεποῖς. τὸ δὲ δεινῶν πόνων διὰ μέσου. ἀντὶ τοῦ φθ. ἕνεκα τῶν δεινῶν πόνων. Ἄλλως. οὐ μόνιμος ὁ μέγας ὄλβος. κατέκλυσε γὰρ αὐτὸν δαίμων τις. ὥσπερ λαῖφος ἀκάτου θοῆς τινάξας. κατέκλυσε τοῖς ὀλεθρίοις καὶ λάβροις κύμασι τοῦ πόντου. τὸ δὲ δεινῶν πόνων. ἐν μέσῳ ἀναπεφώνηται. ἢ οὕτως. ὡς δὲ πόντου λάβροις ὀλεθρίοις ἐν κύμασι δαίμων τις ἀκάτου θοῆς κατέκλυσεν, οὕτω καὶ τὸν μέγαν ὄλβον κατέκλυσε τινάξας ὑπὸ δεινῶν πόνων. Ἄλλως. Ἀνατινάξας δέ τις δαίμων τὸν ὄλβον, κατέκλυσεν αὐτὸν καὶ κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τιπόνησεν ὡς ἀκάτου θοᾶς λαῖφος πόντου λάβροις καὶ ὀλεθρίοις κύμασιν· ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸς ἐν θαλάσσῃ, τοσοῦτον καὶ κατὰ τὸν βίον, τῶν ἀνθρώπων ἡ τύχη· ἢ οὕτως· κλύζεσθαι παρασκευάσει τις θεὸς τὸν ὄλβον ἄστατον ὄντα ὑπὸ τῶν δεινῶν πόνων· τουτέστιν ἔργων· ὅμηρος αὐτὰρ ἐπεὶ παύσαντο πόνου· ὡς γὰρ κλύζεται ναῦς ἐν θαλάσσῃ, οὕτω καὶ ἡ τῶν ἀνθρώπων τύχη ὑπὸ ἀστάτων ἔργων· τὸ γὰρ τῆς τύχης ῥεῦμα μεταπίπτει ταχύ· Ἄλλως· Ἀνατινάξας δέ τις δαίμων· ἤ τις δαιμόνων αὐτὸν δηλονότι τὸν ὄλβον· ὥσπερ λαῖφος ἀκάτου θοῆς κατέκλυσεν ὥσπερ ἐν κύμασι πόντου λάβροις ὀλεθρίοις· τὸ δὲ δεινῶν πόνων, διὰ μέσου· φοῦ ἕνεκα τῶν δεινῶν πόνων· Τὸ λάβροις·) ὀλεθρίοις ἐν κύμασι πρὸς τὸ δεινῶν πόνων συνάπτει· καὶ μὴ λάμβανε ὑπὸ ἔξωθεν· μὴ δὲ ὡς. πόντου μετὰ τόνου τὸ ὡς ἐκφέρει· ὥς τινες φασίν· οὕτω δὲ· ὁ μέγας ὄλβος· καὶ ἡ μεγάλη εὐδαιμονία, οὐ μόνιμος καὶ διηνεκής ἐστιν ἐν τοῖς βροτοῖς· ἀνατιράξας δέ τις αὐτὸν δαίμων λαῖφος ἀκάτου καὶ νηὸς θοᾶς καὶ ταχείας· κατέκλυσε καὶ ἠφάνισεν ἐν κύμασι λάβροις, καὶ σφοδροῖς ὀλεθρίοις δεινῶν πόνων· καὶ δυστυχιῶν· ὥσπερ πόντου κύμασι δηλονότι· ἰστέον δὲ ὅτι ἐπειδὴ λαῖφος εἶπε, διὰ τοῦτο καὶ κατέκλυσεν εἶπε· καὶ κύμασι· δεικνὺς ὅτι ἡ τοῦ ὄλβου ἀνατροπὴ· ἀνατροπῇ λαίφους ἔοικε· καὶ αἱ τῶν δεινῶν πόνων ἀπελεύσεις, κύμασι θαλάττης ὀλεθρίοις· τὸ δὲ θεογόνων γάμων λέγει· ἐπειδὴ καὶ ὁ τάνταλος υἱὸς ἦν διός· Τίνα γὰρ ἔτι·) ἀλγῶ φησὶν ἐπὶ τοῖς ἰδίοις κακοῖς· καὶ συναποφέρομαι τὴν ψυχήν, τίς γὰρ ἕτερος οἶκος σέβεσθαι παρ᾽ ἡμῶν ἄξιος; ἢ οὗτος· ὃς ἐκ θεῶν ἔχει τὴν καταβολήν· ἀρχηγὸς γὰρ τῆς γονῆς ὄζους· ὃς ἐφύτευσε τάνταλον· πλουτοῖ συνελθών·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ μὴν βασιλεύς.) τοῦτο οὐκ ἔστιν ἐπῳδὸς ὥς τινες ἴσως οἴονται· διὰ τὸ κεῖσθαι μετὰ τὴν στροφὴν καὶ τὴν ἀντιστροφήν· ἀλλὰ καλεῖται σύστημα ἐπιφθεγματικόν· ὡς προσφθεγγόμενον τὸν μενέλαον προσιόντα. αἱ μὲν γὰρ ἐπῳδοὶ οὐκ εἰσὶ μονοειδοῦς μέτρου· ἀλλὰ διάφοροι· τοῦτο δὲ μονοειδοῦς· κώλων γάρ ἐστιν ἀναπαιστικῶν η̅· ὧν τὸ γ̅ καὶ τὸ ϛ̅ μονόμετρα· ἤτοι ἀναπαιστικὴ βάσις· τὰ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ η̅ καταληκτικόν· ἤτοι ἑφθημιμερές· ὃ καλεῖται παροιμιακόν· ἐπὶ τῷ τέλει παράγραφος. Καὶ μὴν βασιλεύς) ἐν τοῖς τέλεσιν εἰώθασιν οἱ ἀπὸ τοῦ χοροῦ μεταλλάττειν· τὸ δὲ ἑξῆς· καὶ μὴν ὁ βασιλεὺς ὅδε δὴ στείχει μενέλαος ἄναξ τῶν ταντταλιδῶν ἐξ αἵματος ὤν· πολλῇ δ᾽ ἀβροσύνῃ δῆλος ὁρᾶσθαι τῶν ταντταλιδῶν ἐξ αἵματος ὤν· ὅ ἐστι διὰ τοῦ σχήματος ἐμφαίνει τὴν εὐγένειαν. Ω χιλιόναυν.) ἀπὸ τούτων αὐτὸν ἐγκωμιάζει· ἀφ᾽ ὧν ἐμεγαλύνετο· τῷ δὲ ἀπηρτισμένῳ ἐχρήσατο ἀριθμῷ· τοσαῦται γὰρ ἦσαν αἱ νῆες τῶν ἑλλήνων, χίλιαι πρὸς ταῖς ρνε̅. Χιλιόναυν.) δι᾽ ὧν δοκεῖ αὐτὸν ἐπαινεῖν, διὰ τούτων λυπεῖ· ἀναμιμνήσκουσα τῶν ἀπολλυμένων ἐν τροίᾳ. τὸ δὲ θεόθεν πράξας ἅπερ εὔχου προσέθηκεν, ἐπειδὴ τὸν πόλεμον κατορθώσας ἔλαβε τὴν ἑλένην· σὺ μὲν φησὶν εὐτυχῶς ἀπηλλάχθης· ὁ δὲ ὀρέστης δυστυχεῖ· οὐ μετέχεις φησὶ τῆς δυστυχίας τῶν ταντταλιδῶν. Ω δῶμα τὰ μέν.) αἱ ἑξῆς αὗται περίοδοι τριμέτρων ἀκαταλήκτων εἰσὶν ὧν τελευταῖος κρείσσων γ᾽ ἀλλ᾽ ὡς ναυτίλοισιν εἰσορᾶν· ἐπὶ ταῖς ὑποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει, κορωνίς. Ω δῶμα. ἀπὸ πρώτης παρόδου σημειοῦται τὸ κακόηθες τῆς γνώμης μενελάου· καὶ γὰρ οὐδὲ ἐς σπάρτην ἀνήχθη· ἀλλὰ πρότερος εἰς ἄργος ὡς

ἐξελάσων

ἐξιλάσων ὀρέστην· ὡς καὶ ἐν τοῖς ἑξῆς δῆλός ἐστι· καίτοι τῶν πάλαι πολεμίων φειδόμενος. ἐν γὰρ τῇ ζ̄ ῥαψωδίᾳ κωμῳδεῖται παρὰ τῷ ποιητῇ· συγχωρῶν ζῆν τὸν ἄδραστον· δόσιν χρημάτων ἐπαγγελλόμενον. Νηρέως προφήτης.) οὗτος ἀνθηδόνιος ἁλιεύς· ἑωρακὼς δὲ ἰχθῦν παρὰ τὴν ψάμμον· βοτάνης γευσάμενον· καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτὸς γέγονεν ἀθάνατος· ἀλλ' οὐκ ἀγήραος. ἐφ' ᾧ καταποντίσειν ἑαυτόν· μαντεύεται δὲ ὡς παρ' ὁμήρῳ πρωτεὺς, καὶ παρὰ πινδάρῳ τρίτων τοῖς ἀργοναύταις. Μαλέας δὲ ἀκρωτήριόν ἐστι περὶ λακεδαιμονίαν· λεγόμενον παρὰ τισὶν ἰδιωτικῶς ὄνου καταμάγουλον. Εμφανῶς κατασταθείς.) τουτέστιν οὐκ ἐντὸς θαλάσσης ὢν καὶ ἀφανῶς μοι τοῦτο εἰπών· ἀλλ' ἐμφανῶς· καὶ ἐνώπιον στάς· καὶ διηγησάμενος. Περιπετῶν.) περισσὴ ἡ περί· καὶ ἔστιν ὁ νοῦς τοῖς πανυστάτοις λουτροῖς τῆς ἀλόχου πεσών. ὅ ἐστιν ἀπολωλώς. ἢ περιπεσὼν ἀντὶ τοῦ συντυχὼν τοῖς λουτροῖς τῆς ἀλόχου· λουσαμένῳ γὰρ ἀγαμέμνονι, τὸν χιτῶνα προσήνεγκεν ὡς ἐν ἑκάβῃ φησί· κτενῶ ὡς ἐν ἄργει φόνια. Δοκῶν ὀρέστην.) ὕπουλα πάντα τὰ ῥήματα μενελάου· ἀφ' ὧν ὁ ποιητὴς τὸ ἄστατον τῆς λακεδαιμονίων γνώμης κωμῳδεῖ. ὡς καὶ ἐν ἀνδρομάχῃ. ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτοί. σπάρτης ἔνοικοι δόλια βουλευτήρια. πρὸ γὰρ διοκλέους, ἐφ' οὗ τὸν ὀρέστην ἐδίδαξε· λακεδαιμονίων πρεσβευσαμένων περὶ εἰρήνης, ἀπιστήσαντες ἀθηναῖοι, οὐ προσήκαντο· ἐπὶ ἄρχοντος θεοπόμπου· ὃς ἦν πρὸ διοκλέους, ὡς ἱστορεῖ φιλόχορος. Περιβαλεῖν.) περιβάλλω τινὰ, ἀντὶ τοῦ περιπτύσσομαι· καὶ περιβάλλει ὁ θεὸς τὸν οὐρανὸν ἐν νεφέλαις· ἀντὶ τοῦ ἐνδύει· καὶ παρὰ φιλοστράτῳ· περι/

βάλλων τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους· ἀντὶ
τοῦ κύκλῳ τιθεὶς. Ὡς εὐτυχοῦντας.) εἰώθασιν οἱ ἄν/
θρωποι τὰς τῶν ἐχθρῶν ἀτυχίας εὐτελεῖς λογίζεσθαι·
βουλόμενοι μέχρι θανάτου τὴν ἀτυχίαν αὐτῶν προκό
πτειν· καὶ ὁ μενέλαος τοίνυν ἐφεδρεύων τῇ τοῦ ὀρέστου
ἀρχῇ, μόνον τὸ ζῆν αὐτὸν εὐτυχίαν ὁρίζεται· ἀλλὰ τὰ
κατὰ τὸν ἀγαμέμνονα ἠπιστάμην· καὶ τὸν ἐκείνου θάνα
τον ἐδάκρυσα· ἐλπίζων δὲ προσπτύξασθαι τὸν ὀρέστην·
καὶ τὴν μητέρα ὡς σωζομένους, παρ' ἐλπίδας ἤκουσα
τὸν κλυταιμνήστρας θάνατον· τὸ γὰρ εὐτυχοῦντας ἀν/
τὶ τοῦ σώους· καὶ ὑγιεῖς. Ἀνόσιον φόνον λέγει τὸν
τῆς κλυταιμνήστρας· ὅτι ὑπὸ τοῦ ταύτης υἱοῦ ὀρέστου ἐ/
πράχθη· δέον δὲ εἰπεῖν εὐσεβῆ φόνον, κακοήθως, ἀνό/
σιον καὶ ἀσεβῆ φόνον καλεῖ τὴν τιμωρίαν κλυταιμνή/
στρας· ἔδει γὰρ αὐτὴν οὐχ ἅπαξ, ἀλλὰ καὶ μυριάκις ἀ
πολωλέναι αὐτόχειρα ἤτοι φονέα τοῦ οἰκείου ἀνδρὸς
γενομένην· ἀλλ' οὖν ὑπ' ἄλλου του· καὶ οὐχ ὑπὸ ὀρέστου
τοῦτο γεγενῆσθαι. Παράφρασις.
Ὦ σῶμα· τῇ μὲν, ταύτῃ τῇ μερίδι δηλονότι, ἡδέως βλέ
πω σε· ἐλθὼν ἀπὸ τῆς τροίας· τῇ δὲ, ἤγουν ταύτῃ τῇ ἑ
τέρᾳ μερίδι δηλονότι, ἰδὼν, κατασένω· κύκλῳ γὰρ πε
ριληφθεῖσαν ὑπὸ ἀθλίων κακῶν, οὔπω ποτὲ εἶδον ἄλ/
λην οἰκίαν μᾶλλον σοῦ δηλονότι· τὰς τύχας γὰρ ἤγουν
τὰ συμβεβηκότα τῷ ἀγαμέμνονι ἔμαθον ὅτι ποίῳ θανά
τῳ ὤλετο παρὰ τῆς γυναικὸς, προσίσχων καὶ πλησιά
ζων τῷ μαλέᾳ τὴν πρῷραν· ἐκ γὰρ τῶν κυμάτων τῆς θα
λάσσης, ὁ μάντις τοῖς ναυτίλοις· ἀντὶ τοῦ τῶν ναυτί/
λων, ὁ προφήτης τοῦ νηρέως, ὁ γλαῦκος ὁ ἀψευδὴς θε/
ὸς, ἐξήγγειλεν ἐμοὶ ὅς μοι παραστὰς ἐμφανῶς εἶπε/
τάδε· ὦ μενέλαε κεῖται θανὼν ὁ σὸς ἀδελφὸς· ἐμπε

τῶν λουτροῖς πανυςάτοις τῆς ἀλόχου· ἤγουν ἃ ἡ ἄλο-
χος ἔλουσεν αὐτόν· ἐπλήρωσε δὲ δακρύων πολλῶν ἐ-
μὲ· καὶ τοὺς ἐμοὺς ναύτας· ἐπεὶ δὲ ἔψαυσα τῆς ναυπλί-
ας χθονὸς, ἤδη δάμαρτος τῆς ἐμῆς δηλονότι ἐξορμιζο-
μένης ἐνθάδε νομίζων τὸν ὀρέςην τὸν παῖδα τοῦ ἀγα-
μέμνονος· καὶ τὴν μητέρα περιβαλεῖν χερσὶ φίλαις ὡς
εὐτυχοῦσιν, ἤκουσα τινὸς ἁλιέως τὸν ἀνόσιον φόνον
τῆς τυνδάρεω θυγατρὸς· καὶ νῦν εἴπατε ὦ νεάνιδες· ὅ-
που ἐςὶν ὁ τοῦ ἀγαμέμνονος παῖς ὀρέςης· ὃς ὑπέμεινε
τὰ δεινὰ κακά· βρέφος γὰρ τότε ἦν ἐν ταῖν χεροῖν τῆς
κλυταιμνήςρας, ὅτε κατέλιμπανον τὴν οἰκίαν ἀπι-
ὼν εἰς τροίαν, ὥςτε οὐκέτι ἂν γνωρίσωμι αὐτὸν ἰδών·

Ο δ' ἠμ' ὀρέςης·) ὦ μενέλαε ὅδε ἤγουν ἐγώ εἰμι ὁ ὀρέ-
ςης ὃν ἱςορεῖς· ἤτοι περὶ οὗ ἐρωτᾷς· ἐγὼ ἑκὼν δηλώσω
σοι τὰ ἐμὰ κακά· πρωτόλεια δὲ, ἤτοι πρώτως· καὶ κα-
τὰ πρῶτον λόγον, θιγγάνω καὶ ἅπτομαι τῶν σῶν γονά-
των ἱκέτης· ἀντὶ τοῦ ἱκετικῶς· ἀπὸ ςόματος ἀφύλ-
λου καὶ ξηροῦ ἐξάπτων· καὶ ἀνατιθεὶς λιτάς· σῶσον με·
παραγέγονας δὲ αὐτὸς εἰς καιρόν· ἤτοι εἰς αὐτὴν τὴν ἀκ-
μὴν τῶν κακῶν· Αφύλλου ςόματος·) εἰώθασιν οἱ πα-
λαιοὶ ὅτε ἱκέτευον τοὺς ὑπερέχοντας, φέρειν ἐν χερσὶ
ςέφανον, ἐκ φύλλων ἢ δάφνης· ἢ ἐλαίας· ὁ δὲ νοῦς τοι-
οῦτος· πρὶν διηγήσομαι τὰ ἐμὰ κακὰ, ἅπτομαι τῶν σῶν
γονάτων· ἐξάπτων καὶ φέρων παρακλήσεις ἐξ ἀφύλλου·
ςόματος νοητέον· τουτέςι μόνον διὰ λόγων δέομαι καὶ οὐ
προτείνω κλάδον ὡς ἔθος· ἢ τὸ ἀφύλλου ςόματος, ἀντὶ
τοῦ κατὰ ξηροῦ νοητέον ὑπὸ τῆς νόσου· περιαιρεθέντων γὰρ
τῶν φύλλων ἐκ τῶν δένδρων ξηρὰ τυγχάνει τὰ δένδρα· διὰ
τί δὲ ἐκ δάφνης ἢ ἐξ ἐλαίας προέτεινον φύλλα, καὶ οὐκ ἐξ
ἄλλου φυτοῦ, φαμὲν ὡς ἐπεὶ ταῦτα τὰ φυτὰ ἀειθαλῆ

τυγχάνει· καὶ ἱερὰ· ἡ μὲν γὰρ δάφνη τῷ ἀπόλλωνι ὡς μαντικῷ ἀνατίθεται· ἡ δὲ ἐλαία, τῇ ἀθηνᾷ· ὡς καταδειξάσῃ πρώτῃ αὐτὴν ἐν ἀθήναις· διὰ τοῦτο ἐξιλεοῦντο τούτοις μόνοις· καὶ οὐκ ἄλλοις τισὶ φυτοῖς. Πρωτόλεια δὲ κυρίως, αἱ πρῶται τῆς λείας ἀπαρχαί, ἃς ἀνέφερον τοῖς θεοῖς, ὡς αἰτίοις τῆς νίκης· δέον δὲ εἰπεῖν ἱκετικῶς, ἱκέτης εἶπε πρὸς τὸ θιγγάνω, τὸ οὐχ ἡ προσόμες, οὐ πρὸς τὸν λόγον τοῦ μέσου τὸ ἠγρίωσαι ἐστίν, ἀλλὰ πρὸς τὸ τίνα δέδορκα νερτέρων. Πρωτόλεια.) κυρίως ἡ τῆς λείας ἀπαρχή· νῦν δὲ πρωτόλεια φησί, τῆς ἱκεσίας τὴν ἀπαρχήν· καταχρηστικῶς δὲ πρωτόλεια φησὶ πάντα τὰ πρῶτα. Ἀφύλλου στόματος.) ὅτι τὴν φυλλάδα ἱκετεύοντες προὔτεινον· ὡς παρ' ὁμή-
,, ρῳ ὁ χρύσης στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου ἀπόλλωνος· ἢ κέκληται φυλλὰς· ἐπεὶ ἐκ φύλλου ἤτοι ἐλαίας, ἢ δάφνης· ἢ ὥς τινες τὸ ἐκ τούτων ἄνθος, τῶν γονάτων ἐξάπτουσι τῶν ἱκετευομένων· ἐπεὶ οὖν ἔθος ἐστὶ τοῖς ἱκετεύουσι φυλλάδα προτείνειν, τοῦτο δὲ νῦν οὐ πάρεστι· διὰ τοῦτο φησὶ τὴν ἐκ στόματος· καὶ λόγων μόνων ἱκεσίαν ποιεῖσθαι· τὸ δὲ ἐξάπτων ἔφη, παρόσον οὓς ἱκέτευον, τούτοις παρετίθεισαν τὰς ἱκετηρίας. Ἀχᾶως ἀξάσι· νῦν οὖν ἡμεῖς ἱκέται θαλλούς τε θεῶν γέρας τίθεμεν πρὸ ποδῶν τῶν σῶν· λῆξαι τῆς ἀστρόπου ζωὸς θυσίας. τινὲς δὲ ἀφύλλου στόματος ἤκουσαν τοῦ κατεξηραμμένου διὰ τὴν νόσον· ἀντὶ τοῦ ἄνευ ἱκετηρίας· ἀπὸ μεταφορᾶς τῶν δένδρων· ἅτινα μὴ ἔχοντα φύλλα, ὡς ἐπιτοπολὺ, ξηρὰ εὑρίσκεται. Ὦ θεοὶ τί λεύσσω.) τί βλέπω· τίνα τῶν νεκρῶν βλέπω. Εὖ γ' εἶπας.) καλῶς ἔφης ὅτι νεκρός εἰμι δηλονότι· οὐ γὰρ ζῶ ὑπὸ τῶν κακῶν ὁρῶ δὲ φῶς. Ὡς ἠγρίωσαι.) λίαν ἠγριωμένος εἶ ὦ

τίλλασ' κατὰ τὸν πλόκαμον τὸν αὐχμηρόν. καὶ κατὰ ξηρόν. Οὐχ ἡ πρόσοψις. οὐχ ἡ θεωρία μαστίζει ἐμέ. ἀλλὰ τὰ ἔργα. Δεινὸν δὲ καὶ ἄγριον βλέπεις ταῖς ξηραῖς. καὶ ἀγρίαις κόραις τῶν ὀμμάτων. τὸ σῶμα φροῦδόν ἐστι δηλονότι. ἀντὶ τοῦ ἠφάνισαι. τὸ δὲ ὄνομα ἤτοι τὸ καλεῖσθαι με μητροκτόνον οὐ λέλοιπέ με, ἀντὶ τοῦ οὐκ ἀφῆκεν ἐμέ. Τὸ σῶμα φροῦδον.) ἐπεὶ ὁ μενέλαος εἶπε πρὸς τὸν ὀρέστην ὅτι δεινὸν λεύσσεις ὀμμάτων ξηραῖς κόραις, ἀποκρινόμενος ὁ ὀρέστης φησί. τί λέγεις ἅπαν μου τὸ σῶμα ἀπολώλει, καὶ σὺ περὶ τῶν ὀμμάτων μόνον λόγον ποιεῖς; Ω παράλογόν μοι.) ὦ ἀμορφία σὴ. ἡ φανεῖσα ἐμοὶ παραλόγως. καὶ παρ' ἐλπίδα. ὅδ' εἰμὶ ὁ φονεὺς τῆς ταλαιπώρου μητρός.

Ταλαιπώρου.) ἢ ὅτι μετανοεῖ ἀνελὼν αὐτήν, ταλαίπωρον ἔφη. προσαγόμενος αὐτὴν εἰς ἔλεον, διὰ τὸ καθομολογεῖν τὴν ἀνοσίαν ἑαυτοῦ πρᾶξιν. οὐ γὰρ πρὸ πράξεως. καὶ μετὰ τὴν πρᾶξιν οἱ αὐτοὶ τυγχάνομεν, ἢ ὑπομιμνήσκων αὐτὸν ὅτι ἔκδικος τοῦ πατρὸς ὑπάρχει. ταλαίπωρος παρὰ τὴν πώρην ὃ δηλοῖ τὸ πένθος. ἀντίμαχος. πώρη τοι ἀλόχοισι. καὶ οἷς τεκέεσσιν ἕκαστος. ἀντὶ τοῦ πένθος λέγει. Ηκουσα.) ἀκήκοα. φείδου δὲ λέγειν, ἀντὶ τοῦ λέγε τὰ κακὰ ὀλιγάκις. Φείδου δ' ὀλιγάκις.) λείπει τὸ ὥστε. ἤκουσα. ὥστε φείδου λέγειν τὰ κακά. οἷον παρ' αὐτοῦ τὰ κακὰ πολλάκις λέγειν. ὀλιγάκις δὲ, ἀντὶ τοῦ οὐδ' ὅλως. ὡς τὸ ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο τυδεύς. διὸ λέγειν ἀναγκάζεται ὁ ὀρέστης πλουσίως, καὶ πολυπλῶς ἔχω τὰ κακά. Φείδου.) ἤγουν ἡ φειδὼ μὴ ἄλλη τίς ἐστω σοι. ἢ τὸ λέγειν τὰ κακὰ ὀλιγάκις. Φειδόμεθα.) ἡ τύχη ἐστὶν εἰς ἐμὲ πλούσιος, ἕνεκεν τῶν κακῶν. Τί χρῆμα.) τί ἐστι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ χρῆμα ὃ πάσχεις· τίς νόσος ἀπόλλυσί σε. Ἡ σύνε-σις.) ἀντὶ τοῦ ἡ συνείδησις· ὅτι σύνοιδα ἐμαυτῷ δηλονότι πεποιηκὼς δεινά· ἐγκαλοῦσι τινές· πῶς γάρ φησιν αἰτιᾶται τὴν σύνεσιν· τὸ παραίτιον τῶν ἐριννύων ἐχουσῶν· ἀγνοοῦσι δὲ ὅτι ὑπὸ δισσῶν φησὶν ἀπόλλυσθαι· πρὸ μὲν τὸν καιρὸν τῆς ὑγείας, ὑπὸ τῆς συνειδήσεως· ἐν δὲ τῇ λύσσῃ, ὑπὸ τῶν ἐριννύων· ὃ καὶ ἐπάγει· μανίαι τε μητρὸς αἵματος· τῆς μητρὸς ἣν ὑφίσαμαι τιμωρίαν· ταύτην δὲ δοὺς ὑπὸ τοῦ τῆς μητρὸς φόνου. Ἡ σύνεσις.) τοῦτο ἔμφασιν ἔχει, ὅτι μόνον σύνεσις ἤκουσε μενέλαος· καὶ οὐ τὸ ὅτι σύνοιδα· τοῦτο γὰρ σαφέστατόν ἐστι· τὸ δὲ σύνεσις μόνον ἔχει τὴν ἀσάφειαν. Πῶς φής.) πῶς λέγεις· σοφὸν· ἤτοι συνετόν· καὶ φρόνιμον τὸ σαφές· καὶ δύσγνωστον· οὐ τὸ μὴ σαφές· καὶ τὸ ἄγνωστον. Σοφόν τοι.) διὰ τὸ μὴ πρὸς ἔπος ποιήσασθαι τὴν ἀπόκρισιν, τούτου ἕνεκα λέγει αὐτὸν ἀσαφῶς εἰρηκέναι· ἐπεὶ αὐτὸς μὲν τὴν ἰδέαν ἐπύθετο τῆς νόσου· ὁ δὲ, τὸ συνειδὸς ἔφη· τοῦτο δὲ οὐ πάντως νόσος· τούτου χάριν φησὶν ἀσαφῶς εἰρηκέναι· τίς οὖν ἡ ἀπὸ τῆς συνειδήσεως νόσος. ἡ λύπη. ὡς ἑξῆς λέγει· ὅτι σύνοιδα δεινὰ εἰργασμένος. μετὰ γὰρ τὴν μανίαν, ἡ ἔννοια τῶν κακῶν αὐτὸν ἐδάμαζεν· Σύνοιδα δεινὰ εἰργασμένος· καὶ σύνοιδα ἐμαυτῷ δεινὰ εἰργασμένα. Λύπη μάλιστά ἐστιν ἡ διαφθείρουσά με. Δεινὴ γὰρ· ἰσχυρὰ γὰρ καὶ χαλεπὴ ἡ θεός ἤτοι ἡ λύπη· ἀλλ' ὅμως ἰάσιμος· ἤτοι δυναμένη θεραπευθῆναι. Μανίαι τε.) καὶ αἱ μανίαι διαφθείρουσιν ἐμὲ δηλονότι· καὶ αἱ τιμωρίαι· καὶ ἐκδικήσεις τῆς μητρός. Ἤρξω.) ἤρξω δὲ πότε τῆς λύσσης· ἤτοι τῆς μανίας· τίς ἡμέρα ἦν τότε. Ἤρξω δὲ λύσσης.) καὶ τοῦτο πονηρῶς· θέλων γὰρ ἐξελέγξαι τὸν ἀνεψιὸν ὡς θεομισῆ, φησὶν ἤρξω δὲ λύσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

της ποτε. θέλει δὲ μαθεῖν εἰ χρόνιόν ἐστι τὸ νόσημα, καὶ δυσίατον. ὁ δὲ, φησὶν ἐν ᾗ ἡμέρᾳ τὸ τῆς μητρὸς μνῆμα ἐξώγκουν. Εξώγκουν.) κατεχώννυον. ἐκάλυπτον. εἰκότως εἶπε τὸ ἐξώγκουν. οἱ γὰρ τῶν παλαιῶν τάφοι, συναγωγὴ χωμάτων ἦσαν εἰς ὕψος διήκουσα, βουνῷ ἐοικυῖα. ὅθεν καὶ μέχρι τοῦ νῦν τύμβον ταύτην κατονομάζουσιν. Εν ᾗ τάλαιναν) ἐν ᾗ ἡμέρᾳ δηλονότι ἐξώγκουν τὴν τάλαιναν μητέρα τάφῳ. ἀντιστρόφως. ἀντὶ τοῦ ἐν ᾗ ἐξώγκουν τὸν τάφον τῆς ταλαίνης μητρός. Πότερα κατ' οἴκους.) ἆρα κατὰ τοὺς οἴκους ἤρξω τῆς λύσσης δηλονότι. ἢ παρακαθήμενος τῇ πυρᾷ. ἀπὸ κοινοῦ τὸ ἤρξω. τουτέστιν ἐν ποίᾳ ἡμέρᾳ ἤρξω, καὶ ἐν ποίῳ τόπῳ. κακοήθως δὲ καὶ τοῦτο. ὁ δὲ, φιλαλήθως λέγει. κατὰ τὴν νύκτα πέπονθα τηρῶν τὴν ἀναίρεσιν. καὶ τὴν ἀνάληψιν τῶν ὀστέων. τουτέστιν ἵνα μή τις ἀφέληται ταῦτα. Παρῶν τις ἄλλο.) ὃς ἀνώρθου τὸ σὸν σῶμα σφαλλόμενον δηλονότι ὑπὸ τῆς μανίας; ναὶ πυλάδης. ὁ συνδρῶν ἐμοὶ δηλονότι τὸ αἷμα. καὶ τὸν φόνον τῆς μητρός. ἐκπαραλλήλου. ὑπὸ ποίων δὲ φασμάτων νοσεῖς τάδε. ἐνόμισα ἰδεῖν τρεῖς κόρας ὁμοίας νυκτί. Οἶδα ἃς ἔλεξας.) οὐ βούλομαι δὲ ὀνομάσαι. καὶ εἰπεῖν. ἀποτρέπει λέγειν ἀπαίδευτα. ἤγουν τοῦ μέμφεσθαι αὐτὰς ἀφίστασο. σεμναὶ γὰρ καὶ σεβάσμιαι εἰσί. Απαίδευτα.) ἀπαίδευτός ἐστιν ὁ ἐνταῦθα γράφων ἀπαίδευτα. καὶ τῶν μέτρων παντάπασιν ἀμαθής. σὺ δ' εἰ βούλει μὴ ἀπαίδευτος εἶναι, ἀπαίδευτον ἑνικῶς γράφε. οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. τὸ ἑξῆς οὕτως. ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς, ὁ φοῖβος. κελεύσας τὸν τῆς μητρὸς διαπράξασθαι φόνον. ὁ δὲ μενέλαος. διακόψας τὸν λόγον φησί. μὴ εἴπῃς τὸν τοῦ πατρὸς δηλονότι. ὑπελάμβανε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ τοῦτο βούλεσθαι προτείνειν. Ἄλλως. ὁ μὲν οὖν ὀρέστης διὰ τὸν ἀπόλλωνα εἶπεν ὡς κελεύσαντα τὸν φόνον, τὸ ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς. τουτέστιν εἰς ἀπόλλωνα ἀναφέρομεν τὴν αἰτίαν τῶν παρόντων. ὁ δὲ μενέλαος οἰόμενος αὐτὸν λέγειν τὸν τοῦ πατρὸς θάνατον, ἐκκλείων αὐτὸν τῆς ἀπολογίας φησί. μὴ τὸν θάνατον τοῦ πατρὸς λέγε, ὡς δι' ἐκεῖνον τὴν μητέρα ἀποκτείνας εἰς τὰ παρόντα ἐμπέπτωκας. Ἄλλως. Ἀπαίδευτα.) ἀντὶ τοῦ ἀπαιδεύτως. φυλάττου ὀνομάζειν αὐτάς, πῶς δὲ ἀπαιδεύτως, καλῶν αὐτὰς ἐριννύας. Ἄλλως. Ἀπαίδευτα κατὰ ἀντίφρασιν. ἀντὶ τοῦ ἀπαιδεύτως. ἢ οὕτως. ἀπαιδεύτως δὲ ποιεῖς. ὀνομάζειν ταύτας ἐριννύας παραιτούμενος. Αὗταί σ' ἐκβακχεύουσιν. ἤτοι ἐκμαίνουσι καὶ ταράττουσι σὲ τῷ συγγενεῖ φόνῳ. ἤτοι διὰ τὸν φόνον τῆς μητρός. κακοήθως δὲ τῷ ὀνόματι χρήσασθαι τῆς μανίας. κακόηθες δὲ καὶ τὸ ὑπομιμνήσκειν αὐτὸν τοῦ φόνου τῆς μητρός. ἤρκει γὰρ εἰπεῖν αὗταί σ' ἐκβακχεύουσιν. ὁμοίως δὲ καὶ τὸ εἰπεῖν οὐδεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους, γυμνὸν γίνεται τὸ κακόηθες μενελάου. κατέκρινε γὰρ αὐτοῦ χωρὶς κρίσεως. Οἴμοι.) οἴμοι ἕνεκα τῶν διωγμῶν. ὑφ' ὧν ἐλαύνομαι ὁ τάλας. Οὐδεινόν.) ἤτοι θαυμαστὸν πάσχειν χαλεπά, τοὺς πεποιηκότας δεινά. Ἀλλ' ἔστιν ἡμῖν ἀναφορά. καὶ μετάθεσις τῆς ξυμφορᾶς καὶ τοῦ συμβεβηκότος. Ἀλλ' ἔστιν ἡμῖν.) ἐπεὶ εἶπεν ὁ μενέλαος οὐδεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους. καὶ κατέκρινεν αὐτὸν χωρὶς κρίσεως, ὁ ὀρέστης φησίν. ἀλλ' ἔστιν ἡμῖν τοῦ συμβάντος πράγματος ἀναφορά. οἷον δυνάμεθα τῆς συμβάσης τύχης τὴν αἰτίαν ἀναγαγεῖν εἰς τινα. ὥστε μὴ εἶναι ἡμᾶς αἰτίους δεινῶν πράξεων. εἶτα ὁ μενέλαος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μὴ θάνατον.) εἴπῃς τοῦ πατρός. τοῦτο γὰρ οὐ σοφόν. εἰ γὰρ καὶ διὰ τὸν πατέρα ἀνεῖλες τὴν μητέρα, δεινὰ πέπραχας. σὺ γὰρ οὐκ ὤφειλες θάνατον ἐπαγαγεῖν τῇ μητρί. ἀλλ' ἡ δημοσία κρίσις. εἶτα ὁ ὀρέστης λέγων ὅτι ὁ ἀπόλλων ἔκρινε. καὶ διὰ τοῦτο οὐδὲν ἃ διεπραξάμην. εἴ γε θεὸς ὁ κρίνας. καὶ κελεύσας. εἶτα μενέλαος ἀμαθὴς ὤν, τοῦτο τὸ δεινὸν ἔκρινεν; εἶτα ὀρέστης εἶπε ἀμαθής. εἴτε σοφοί εἰσιν οἱ θεοί, οὐκ οἶδα. τοῦτο δὲ οἶδα ὅτι δουλεύομεν. καὶ πειθόμεθα αὐτοῖς ὁποῖοι ἂν εἰσίν. εἶτα ὁ μενέλαος. εἰ αὐτός σοι ἐκέλευσε, πῶς οὐκ ἐλεεῖ νοσοῦντα καὶ μαινόμενον. εἶτα ὀρέστης. ἴσως ἐλεήσει. ἀεὶ γὰρ βραδύνει τὸ θεῖον. Μὴ θάνατον.) ὅρα ἵνα μὴ εἴπῃς τὸν θάνατον τοῦ πατρὸς δηλονότι. τοῦτο γὰρ οὐ φρόνιμον. ὁ μὲν τὸν ἀπόλλωνα ᾐτιάσατο αἴτιον τῆς μανίας. ὁ δὲ, ᾤετο τὸν τοῦ πατρὸς λέγειν θάνατον. ἐκκλείων οὖν αὐτὸν ἀπολογίας φησί. μὴ λέγε τὸν θάνατον τοῦ πατρός. μὴ δὲ αὐτὸς ἁμαρτήσας. εἰς τὸν πατέρα ἀναφέρε τὴν ἁμαρτίαν. εὐηθὲς γὰρ τὸ αὐτόν τινα ἁμαρτάνοντα, ἄλλοις παρατιθέναι τὴν ἁμαρτίαν. Φοῖβος κελεύσας.) ὁ ἀπόλλων κελεύσας ἐκπράξαι ἀντὶ τοῦ διαπράξασθαι τὸν φόνον τῆς μητρός. Ἀμαθέστερος ὢν εἰ τοῦτο ἐκέλευσε φησὶν, ἀμαθής ἐστιν. ἵνα ἐκ τοῦ ἐναντίου δηλώσῃ, ὅτι οὐκ ἐκέλευσεν ὁ θεός. οὐ γάρ ἐστιν ὁ θεὸς ἀμαθής. Ἄλλως. Μετὰ συλλογισμοῦ τοῦτο ἔδειξεν. ὅτι οὐκ ἀμαθὴς ὁ θεός δῆλον ὅτι οὐ δὲ προσέταξε τοῦτο ποιεῖν. Ἄλλως. Θέλει ἐνταῦθα δεῖξαι ὁ μενέλαος τῷ ὀρέστῃ ὅτι οὐχ ὁ ἀπόλλων προσέταξεν αὐτῷ τὸν τῆς μητρὸς φόνον. ἀλλ' οἴκοθεν πλασάμενος τοῦτον. ἐπεὶ δὲ δυστυχεῖ, προβάλλεται τὸν ἀπόλλωνα. ἐδήλωσε δὲ τοῦτο διὰ τοῦ εἰπεῖν ἀμαθέστερος ὤν. πρὸς ὃ ὀρέστης ἀπαντᾷ λέγων, ὑποτασ-

σόμεθα τοῖς θεοῖς ὅ,τι ποτ' ἄρα ἐστίν· εἴτε ἀμαθεῖς, εἴτε μή. Δουλεύομεν.) δουλεύομεν θεοῖς ἀνθρώπων ἐχόντων τὴν μορφήν· ἢ ὁποίας οὖσι δυνάμεως ἢ κρίσεως, δουλεύομεν αὐτοῖς. τοῦτο δὲ πρὸς τὸ ἀμαθέστερος γ' ὤν. Κατ' οὐκ ἀμύνει.) καὶ εἶτα οὐ βοηθεῖ ὁ ἀπόλλων τοῖς σοῖς κακοῖς. πανούργως πᾶσα ἡ ἐρώτησις. ὁ μὲν γὰρ φησὶν ὁ ἀπόλλων μοι ἐκέλευσεν ἀνελεῖν τὴν μητέρα. ὁ δὲ ἀντιπάγει. καὶ πῶς ὁ κελεύσας ἀνελεῖν τὴν μητέρα, οὐκ ἐλεεῖ σε μαινόμενον. τοῦ δὲ, εἰπόντος ὅτι μελλητικόν ἐστι τὸ θεῖον, πάλιν ὁ μενέλαος φησί. πῶς οὖν αἱ ἐριννύες ταχέως μετῆλθον. οὐκ εἰσὶ καὶ αὗται θεαί; ἐλέγχει δὲ αὐτὸν ὡς καταψευδόμενον. Μέλλει. βοηθῆσαι. ἢ μέλλει ἀντὶ τοῦ βραδύνει. τὸ θεῖον γάρ ἐστι φύσει τοιοῦτον. ἤγουν βραδύ. τουτέστι μακρόθυμον. Μέλλει. καὶ πρὸς βοήθειαν καὶ κόλασιν. πρὸς μὲν τὴν βοήθειαν ἵνα δοκίμιον λήψηται τῆς προαιρέσεως τῶν τῆς βοηθείας αὐτοῦ ἀπολαύσειν μελλόντων. πρὸς δὲ κόλασιν, ἵνα τῷ χρόνῳ ἐπανάξῃ αὐτοὺς πρὸς ἃ δεῖ. Πόσον.) ἀντὶ πόσον δὲ χρόνον οἴχονται. καὶ ἐφθαρμέναι εἰσὶν αἱ πνοαὶ ἤτοι αἱ ζωτικαὶ δυνάμεις. καὶ ἐνέργειαι τῆς μητρός. Πόσον χρόνον.) ἐχρῆν εἰπεῖν πόσῳ χρόνῳ. τὸ μητρὸς κακοήθως. καὶ δυσωπητικῶς. καὶ διὰ τοῦ εἰπεῖν δὲ ὡς ταχύ με μετῆλθον, σε ἐλέγχει αὐτὴν ὡς ἀθέως πεπραχότα τὸν φόνον. ὅπου γε αἱ μὲν ἐριννύες, εὐθέως τῇ μητρὶ συνεμάχησαν. ὁ δὲ ἀπόλλων ἀναβάλλεται τὴν συμμαχίαν. ἡ ἀνθυποφορά ἐστι τοῦ εἰρημένου ὑπὸ ὀρέστου. τὸ θεῖον ἐστὶ τοιοῦτον φύσει. Ἕκτον τόδ' ἦμαρ.) ἤτοι ἓξ ἡμέραι εἰσίν, ἐξ οὗ ἐφθάρησαν δηλονότι. ἔτι ἡ πυρὰ τοῦ τάφου θερμή. ἤτοι ὁ τόπος ἐν ᾧ ἐκάη τὸ σῶμα. Ὡς ταχύ.) λίαν ταχέως ἐτιμωρήσαντό σε αἱ θεαὶ διὰ τὸν φόνον τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μητρός. Μετῆλθον.) τὸ μετῆλθον. εἰ μὲν ἀντὶ τοῦ ἐτιμωρήσαντο εἴποις, εὐθέως τὸ αἷμα νοήσεις. οὕτω λίαν ταχὺ ἐτιμωρήσαντό σε αἱ θεαὶ. καὶ τὸ αἷμα, καὶ ὁ φόνος τῆς μητρὸς. εἰ δὲ ἀντὶ τοῦ ἀπήτησαν, αἰτιατικῶ. οὕτω λίαν ἀπήτησαν σε αἱ θεαὶ τὸ αἷμα. καὶ τὸν φόνον τῆς μητρὸς. Οὐ σοφὸς ἔφυς.) ἀντὶ τοῦ σοφιστὴς ἤτοι ἀπατεών. ἀληθὴς δὲ καὶ φανερὸς κακὸς ἔφυς κατὰ κοινοῦ εἰς τοὺς φίλους. Ἄλλως. Οὐ σοφὸς εἶ διαῤῥήδην μοι ὀνειδίζων τῆς μητρὸς τὸ αἷμα. ἀληθὴς δὲ.) ἀληθῆ γὰρ λέγει διὰ τὸν φόνον τῆς μητρὸς, ἀμύνασθαι αὐτὸν τὰς ἐριννύας. Ἄλλως. Ὀνειδίζοντος μενελάου, ὀρέστης φησὶ πρὸς αὐτόν. ἐπεὶ διαῤῥήδην ἡμᾶς ὀνειδίζεις, οὐ σοφὸς εἶ. ἀληθὴς δὲ κακός. ἀληθὴς μὲν, ὡς οὐδὲν ὢν κατ' ἐμοῦ λέγεις ψευδῶς λέγων. κακὸς δὲ, ὡς ἐναργῶς ὀνειδίζων. ἐχρῆν γάρ σε χρωματίζοντα τοὺς λόγους ἐκφέρειν πρὸς παραμυθίαν. ἀλλ' οὐ πρὸς λύπην. Πατρὸς.) τοῦ πατρὸς δὲ ἡ τιμωρία καὶ ἡ ἐκδίκησις, κατὰ τί ὠφελῆσε. ἐν ἐρωτήσει ὁ λόγος. ὠφελεῖ τί σε ἡ εἰς τὸν πατέρα γινομένη ἐκδίκησις, ἢ οὕτως. οὐ προέστησοι ὁ πατὴρ, ὥστε ἀποσβέσαι τὰς ἐριννύας; Ἄλλως. Τῆς ἀναιρέσεως τοῦ πατρὸς τιμωρίαν σοῦ λαμβάνοντος, τὸ φονεῦσαι τὴν μητέρα, τίς δύναται συνάρχεσθαί σοι. πρὸς τὸ μηδὲν παθεῖν ὡς φονέα. Οὔπω.) οὔπω ὠφέλησε δηλονότι. τὸ μέλλον δὲ λέγω ἴσον ἀπραξία. καὶ ἀποτυχία. Τὰ πρὸς πόλιν δὲ πῶς διάκεισαι δράσας τάδε.) ἤγουν πῶς διάκεινται οἱ πολῖται πρὸς σὲ τὸν τῆς μητρὸς ἐργασάμενον φόνον. Τὰ πρὸς πόλιν. πονήρως πάλιν ἐρωτᾷ. ἵνα εἰ μὲν εὐμενεῖς ἔχει τοὺς πολίτας, ἀφέξεται τῆς ἐπιχειρήσεως. εἰ δὲ ἐχθρὰν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ροντας, ἐπιθέμενος κρατήσῃ. Οὕτω.) μισούμεθα ὥστε τὸ μὴ προσαγορεύειν ἡμᾶς τινά. Οὐδ' ἥγνισαι.) οὐδὲ ἐκαθάρθης κατὰ τοὺς νόμους τὸ σὸν αἷμα. ἀντὶ τοῦ τὸ αἷμα καὶ τὸν φόνον τῶν σῶν χειρῶν; νόμος γὰρ ἦν ἀποκαθαίρεσθαι τὸν ἐμφύλιον δράσαντα φόνον. ὁ δὲ νοῦς. οὐκ ἐκαθάρθης ἀπὸ τοῦ ὑπὸ σοῦ πεπραγμένου φόνου. ἢ σὸν αἷμα, ἀντὶ τοῦ συγγενικόν. Ἐκκλήομαι.) οὐδαμῶς ἥγνισμαι. ἐκκλήομαι γὰρ τῶν δωμάτων. ἤτοι ἔξω κλήομαι. οὐκ ἐῶμαι εἰσελθεῖν ὅπη μολῶ. καὶ ἔλθω. ἤγουν τὸ ἁγνισθῆναι δηλονότι. Ἐκκλήομαι.) ἐκβάλλεται ὁ ἔνδον ὤν. ἐκκλήεται δὲ ὁ μὴ εἰσελθεῖν συγχωρούμενος. Τίνων πολιτῶν.) τίνων πολῖται ἁμιλλῶνται. ἤτοι ἐκβαλεῖν σε τῆς γῆς σπουδάζουσιν.

Οἴαξ.) ὁ οἴαξ. ἀναφέρων καὶ ἀνατιθεὶς τῷ πατρὶ τῷ ἐμῷ δηλονότι. τὸ μῖσος τῆς τροίας. τὸ ἤγουν τροίᾳ μῖσος τοῦ πατρὸς ἀναφέρων εἰς ἐμέ. Οἴαξ.) ναυπλίου καὶ κλυμένης τῆς ἀτρέως ἐγένοντο οἴαξ. καὶ παλαμήδης. ὁ δὲ παλαμήδης ἀπελθὼν εἰς τροίαν, τὰ μέγιστα ὤνησε τὸν ἑλληνικὸν στρατόν. λιμωττόντων γὰρ ἐν αὐλίδι. καὶ περὶ τὴν διανομὴν τοῦ σίτου δυσχεραινόντων τε καὶ στασιαζόντων, πρῶτον μὲν τὰ φοινίκια διδάξας ἤγεν αὐτοῖς. ἴσην τε καὶ ἀνεπίληπτον τὴν διανομὴν ἐν τούτοις ἐπραγματεύσατο. ἔπειτα καὶ περὶ κύβους ἔτρεψεν αὐτῶν ὀλιγωρίαν. καὶ μέτρα ἐξεῦρε. καὶ ψῆφον. ὥστε τὸ μέγα σχεῖν ὄνομα παρὰ τοῖς ἕλλησι. τούτῳ δὲ φθονήσαντες οἱ περὶ τὸν ἀγαμέμνονα. καὶ ὀδυσσέα. καὶ διομήδη, τοιόνδε τι σκαιωροῦσι κατ' αὐτοῦ. λαβόντες γὰρ φρύγα αἰχμάλωτον, χρυσίον κομίζοντα σαρπηδόνι, ἠνάγκασαν γράψαι φρυγίοις γράμμασι περὶ προδοσίας. ὡς παρὰ πριάμου πρὸς παλαμήδην. καὶ τοῦτον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν φονεύουσι. θεράποντα δὲ παλαμήδους πείθουσι χρήμασιν. ἅμα τοῖς τρωϊκοῖς χρήμασι. καὶ τὸ γραφὲν πινάκιον ὑπὸ τὴν κλίνην θέσθαι παλαμήδους. αὐτοὶ δὲ παρελθόντες, προδοσίαν κατήγγελον τοῦ ἥρωος. καὶ φωραθῆναι τὴν σκηνὴν ἐκέλευον. εὑρεθέντος δὲ τοῦ πινακίου. καὶ τῶν χρημάτων ὑπὸ τὴν κλίνην, λίθοις φονεύεται ὁ παλαμήδης. ναύπλιος δὲ ἀκούσας, ἦλθεν εἰς ἴλιον. δικάσαι τὸν φόνον τοῦ παιδός. τῶν δὲ ἑλλήνων καταλιγωρούντων αὐτοῦ, πρὸς τὸ κεχαρισμένον τοῖς βασιλεῦσιν, ἀποπλεύσας εἰς τὴν πατρίδα, καὶ πυθόμενος ἀποπλεῖν τοὺς ἕλληνας, ἧκεν εἰς εὔβοιαν. καὶ χειμῶνα φυλάξας, φρυκτωρίας ἧψε περὶ τὰς ἀκτὰς τῆς εὐβοίας. οἱ δὲ, εὐεπίβατον νομίσαντες τὸν τόπον, προσορμίζονται. καὶ ἐν ταῖς πέτραις ἀπόλλυνται πάμπολλοι. παλαμήδους θάνατον, οἱ μὲν, πρὸς γεραιστῷ. οἱ δὲ, ἐν τενέδῳ. οἱ δὲ, ἐν κολωνοῖς τῆς τρῳάδος ὑποτίθενται. φασὶ δὲ αὐτὸν εὑρεῖν φρυκτωρίας. καὶ μέτρα. καὶ σταθμούς. καὶ πεσσούς. καὶ γράμματα. καὶ φυλακάς. καὶ δίσκους. καὶ ἀστρολογίας. Ἄλλως. Οἴαξ ἀδελφὸς ἦν παλαμήδους. ὃς καὶ εἰς τὴν τροίαν μετὰ τῶν ἑλλήνων ἐστράτευσε. καὶ θαυμασθεὶς ὡς οὐδεὶς τῶν πώποτε γενομένων ἐν σοφίᾳ, φθονηθεὶς ὑπὸ ὀδυσσέως. καὶ διομήδους. καὶ ἀγαμέμνονος, ἀνῃρέθη λίθοις. ἀνθ' ὧν ὁ ἀδελφὸς αὐτοῦ οἴαξ ἀμυνόμενος ἀγαμέμνονα, τοῦτο γάρ ἐστι τὸ τῆς τροίας μῖσος ἀναφέρων πατρὶ, συναγωνίζεται τὸν κατὰ τοῦ ὀρέστου θάνατον. διὸ καὶ ὀρέστης ἐρωτηθεὶς ὑπὸ μενελάου τίς ἐστιν ὁ διώκων αὐτὸν, Οἴαξ φησίν. οὗτος ὁ παλαμήδης λέγεται εὑρηκέναι ιϛ´ γράμματα μήπωτότε ὄντα. ἀλλὰ φοινίκων γράμμασιν ἐχρῶντο οἱ ἄνθρωποι, ἄλλοι δὲ ἄλλοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὗρε δὲ καὶ πεττοὺς πρὸς παραμυθίαν τῶν ἑλλήνων. Συνῆ-
κα.) ἔγνων. ὁ φόνος σε κολάζει τοῦ παλαμήδους. Τι-
μωρεῖ.) κολάζει. δι᾽ ἐκεῖνον χάριν, μάχεται οἴαξ. τιμω-
ρῶ δὲ οὐ μόνον τὸ βοηθῶ. ἀλλὰ καὶ τὸ κολάζω. ὥς περ καὶ
τὸ τιμωροῦμαι κατὰ ἀμφοτέρας εὕροις τὰς χρήσεις.
Οὔκουν μέτεστί μοι.) οὐ μετουσία ἐστί μοι τοῦ φόνου. διὰ
τριῶν δέ τινων ἀπόλλυμαι καὶ ἔφθαρμαι. Διὰ τριῶν.)
πρῶτον τῶν πολιτῶν. δεύτερον, τοῦ οἴακος. διὸ ἐπάγει
τίς δ᾽ ἄλλος. ἵνα πληρώσῃ τοὺς τρεῖς. τινὲς φασὶ τριῶν.
τῶν ἐριννύων. πρέπει γὰρ ἔδοξεν ἰδεῖν τρεῖς νυκτὶ προσφε-
ρεῖς κόρας. τινὲς δὲ φασὶ, τῆς συνέσεως. τῆς λύπης. καὶ
τῆς μανίας. ἐν δὲ τοῖς καλλιστράτου γέγραπται. ἐπιζη-
τήσειεν αὐτις πῶς διὰ τριῶν εἴρηκεν. εἰ μὴ διὰ τὸ τὸν ἀγα-
μέμνονα. καὶ ὀδυσσέα. καὶ διομήδη φασὶ μετασχεῖν τοῦ
φόνου παλαμήδους. Τίς δ᾽ ἄλλος.) τίς ἢ ἄλλος ἀπόλ-
λυσι δηλονότι. ἆρα τὶς ἀπὸ τῶν φίλων τοῦ αἰγίσθου; οὗτοι
ὑβρίζουσιν ἐμὲ ὧν ἀκούει νῦν ἡ πόλις. οἱ ἀπὸ τοῦ αἰγί-
σθου δηλονότι. Ἀγαμέμνονος δὲ.) τὴν ἀγαμέμνονος δὲ
βασιλείαν ἀφίησι σοι ἡ πόλις κατέχειν; φιλοπραγμό-
νως δὲ ὁ μενέλαος παραγυμνοῖ τὸ ἦθος. φροντίζων περὶ
τῆς βασιλείας. Πῶς οἱ τινες.) κατὰ τίνα τρόπον ἐά-
σουσιν ἔχειν τὰ σκῆπτρα. οἱ τινὲς οὐκ ἐῶσιν ἡμᾶς ζῆν.
Τί δρῶντες.) εἰπέ μοι σαφῶς ὃ ἔχεις εἰπεῖν. τί δρῶν-
τες οὐκ ἐῶσι σε ζῆν. οὐ γάρ ἐστιν αὐτῶδε νῦν τὸ ὅτι. ἀλλ᾽
ἀντὶ τοῦ τί ἀττικῶς. ἀττικὸς ὁ λόγος. εἰπέ μοι σαφὲς
ὅτι δρῶντες οὐκ ἐῶσι σε ζῆν. τὸ ὅτι γὰρ ἀντὶ τοῦ τί ἀττι-
κόν. ἐὰν γράφηται ἢ τί, ὁ στίχος οὕτως. τί δρῶντες. ἢ τί
καὶ σαφὲς εἰπεῖν ἔχεις. Ἄλλως. Τί δρῶντες οὐκ ἐῶσιν
ὑμᾶς ζῆν. ὅτι καὶ σαφὲς εἰπεῖν ἐμοὶ ἔχεις, εἰπὲ δηλονότι.
Ψῆφος.) ἤτοι κρίσις. καὶ ἀπόφασις ἐξενεχθήσεται καθ᾽ ἡ-

μῶν κατὰ ταύτην τὴν ἡμέραν· φεύγειν τὴν δὲ τὴν πόλιν, ἤτοι ἐξορισθῆναι· ἢ θανεῖν· ἢ μὴ θανεῖν· ἀλλ' ἑτέρως κολασθῆναι δηλονότι. Θανεῖν.) ὑπὸ τῶν πολιτῶν ἐν πετρώμασι λευσίμῳ· καὶ λιθοβολιστικῷ. Εἶπε.) οὐ φεύγεις, ὑπερβαλὼν· καὶ ἐκφυγὼν τοὺς ὅρους τῆς γῆς· οὐ δύναμαι φυγὴν δηλονότι. Κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις· ἀντὶ τοῦ ἀνδράσιν ὡπλισμένοις. Ειλισσόμεθα.) τουτέστι φυλασσόμεθα ὑπὸ ἀνδρῶν ὡπλισμένων ἵνα εἰ βουληθείημεν φυγεῖν, μὴ σχῶμεν ἄδειαν. Ἰδίᾳ πρὸς ἐχθρῶν. Κατ' ἰδίαν καὶ χωρὶς παρὰ τῶν ἐχθρῶν· ἤγουν τῶν ἀπὸ τοῦ αἰγίσθου, ἢ παρὰ τῆς ἀργείας δυνάμεως. Παρὰ πάντων τῶν πολιτῶν· ἵνα θάνω· βραχὺς· καὶ σύντομος λόγος. Ὦ ἄθλιος.) ἦλθες πρὸς τὸ ἔσχατον τῆς συμφορᾶς· ἡ ἐμὴ ἐλπὶς εἰς σὲ εἶχε τὴν καταφυγὴν, ἕνεκα τῶν κακῶν, ἀλλ' ἐλθὼν εὐτυχὴς, μετάδος τοῖς σοῖς φίλοις· τουτέστιν ἡμῖν τοῖς δυστυχοῦσι, τῆς σῆς εὐπραξίας· καὶ μὴ ἀπολαβὼν εἶ μόνος τὸ ἀγαθόν· ἀλλ' ἐν τῷ μέρει ἀντιλαβοῦ· καὶ ἀντιλάμβανε τῶν πόνων· ἐκτίνων καὶ ἀποδιδοὺς τὰς πατρῴας χάριτας· ἤτοι ἃς ὁ πατὴρ ἐποίησεν εἰς σέ· εἰς οὓς δεῖ καὶ πρέπει· τουτέστιν εἰς ἡμᾶς· ὄνομα γὰρ μόνον δηλονότι· ἔργον δὲ οὐκ ἔχουσιν οἱ φίλοι· οἱ μὴ ὄντες φίλοι ἐν ταῖς συμφοραῖς. Καὶ μὴν ὁ ἀπὸ τῆς σπάρτης τυνδάρεως μετὰ σπουδῆς ἔρχεται δεῦρο μελανείμων· ἐν ποδὶ γεροντικῷ· τὴν κόμην ἀφῃρημένος· ἐν κουρᾷ πενθίμῳ ἕνεκα τῆς θυγατρός. Ὁ σπαρτιάτης· βάλου τοῦ περιήρους, παῖδες οὗτοι· τυνδάρεως· ἴκαρος· ἀφνειὸς· καὶ ἐκνικοσέχτης ἱπποκόων· οὗτοι μετὰ θάνατον βάλου, ἐστασίασαν περὶ τῆς ἀρχῆς· ἴκαρος δὲ συνθέμενος μετὰ ἱπποκόοντος, ἐξελαύνει τὸν τυνδάρεων τῆς σπάρτης· ὁ δὲ, οἰκεῖ ἐν τοῖς ἐσχάτοις τῆς αἰτωλίας· καὶ γαμεῖ λήδαν

τὴν θεστίου τοῦ αἰτωλοῦ. ἐξῆς ἔχει κάστορα. καὶ πολυδεύ
κην. καὶ τιμάνδραν. καὶ κλυταιμνήστραν. καὶ ἑλένην. ὕστερον
δὲ ἡρακλῆς ἐπὶ τῷ φόνῳ τοῦ υἱωνοῦ, φονεύσας ἱπποκόων
τα ἅμα τοῖς παισί. καὶ καταγαγὼν τὸν τυνδάρεων
ἀπὸ φρίξης. καὶ πέλλης, ἐγχειρίζει αὐτῷ, τὴν ἀρχὴν τῆς
σπάρτης. ἐγάμει γὰρ ἡρακλῆς δηιάνειραν τὴν λήδας ἀδελ
φήν. Ἀπωλόμην μενέλαε.) ὁ τυνδάρεως ὅδε ἔρχεται
πρὸς ἡμᾶς. οὗ ἐλθεῖν εἰς ὄψιν αἰδοῦμαι. διὰ τὰ ἡμαρ
τημένα ἐμοί. καὶ γὰρ ἀνέθρεψεν ἐμὲ μικρὸν ὄντα. πολ
λὰ δὲ φιλήματα ἐξεπλήρωσε. τουτέστιν ἔδωκε. προσφέ
ρων καὶ βαστάζων ἐμέ. ἅμα τε τῇ λήδᾳ. τιμῶντες ἐμὲ
οὐδὲν ἔλαττον τοῖς διοσκόροις τῷ κάστορι. καὶ τῷ πολυ
δεύκει. οἷς τῷ τυνδάρεῳ. καὶ τῇ λήδᾳ ὦ τάλαινα ψυχὴ
ἐμή. οὐ καλὰς ἀντιδόσεις ἀπέδωκα. τίνα σκότον λά
βω ἐν τῷ προσώπῳ. ποῖον νέφος θῶμαι ἔμπροσθεν.
φεύγων τὰς κόρας τῶν ὀμμάτων τοῦ γέροντος. Φι
λήματ᾽ ἐξέπλησε.) ἀντὶ τοῦ πολλῶν φιλημάτων ἐξε
πλήρωσεν. ὡς τὸ διὰ τ᾽ ἔντεα καὶ μέλαν αἷμα. Ἄλλως.
ἀντὶ τοῦ τὴν ἐπιθυμίαν τῶν φιλημάτων εἰς ἐμὲ ἐτέλε
σεν. τὸν ἀγαμέμνονος παῖδα. ὡς περὶ ἑτέρου δέ φησιν
ἀντὶ τοῦ εἰπεῖν περιφέρων ἐμέ, εἶπε τὸν ἀγαμέμνονος
ἀντὶ τοῦ ἐμὲ παῖδα ὄντα. τιμῶν δὲ οὐχ ἧττον ἢ τοὺς
διοσκούρους. ἀντὶ τοῦ οὐκ ἔλαττον τῶν διοσκούρων.
Τιμῶντές μ᾽ οὐδέν.) ἅμα τῇ λήδᾳ τιμῶντές με οὐδὲν ἔ
λαττον, ἢ τοὺς διοσκούρους τὸν κάστορα. καὶ τὸν πολυδεύκην.
Ζεὺς κύκνος γενόμενος, καὶ συγγενόμενος λήδᾳ τῇ τυν
δάρεῳ γυναικί, ἐποίησεν αὐτὴν δύο ᾠὰ τεκεῖν. τὸ μέν,
μονολέκυθον. τὸ δέ, διλέκυθον. καὶ ἐκ μὲν τοῦ ἕνα ἔχον
τος λέκυθον, γενέσθαι φασὶ τὴν ἑλένην. ἐκ δὲ τοῦ δύο ἔ
χοντος, κάστορα καὶ πολυδεύκην. οἳ παρ᾽ ἡμέραν ζῶν.

τὸ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ δὲ αἴτιον τῆς τοιαύτης ζωῆς, ἦν τοῦτο· ὅσον μὲν γὰρ ἐν τῷ δηλεκύθῳ ᾠῷ ἦν ἀπὸ τῆς τυνδάρεω σπορᾶς, κάστωρ ἐγένετο· καὶ διὰ τοῦτο ἦν θνητὸς, ἅτε θνητοῦ υἱὸς ἦν τοῦ τυνδάρεω· ὅσον δὲ ἀπὸ τῆς τοῦ διὸς σπορᾶς, πολυδεύκης ἐγένετο· καὶ διὰ τοῦτο ἦν ἀθάνατος· μέλλοντος οὖν κάστορος τελευτᾶν, ἐδεήθη πολυδεύκης διὸς, ἵνα κάστορα κοινωνὸν τῆς αὐτοῦ λάβῃ ἀθανασίας· καὶ αὐτὸς συμμετάσχῃ τῆς ἐκείνου θνητότητος· διὰ ταῦτα οὖν παρ' ἡμέραν ἔζων ἀμφότεροι· οὓς καὶ ἀλληγοροῦσιν εἰς ἡμέραν καὶ νύκτα. Τίνα σκότον λάβω.) ποίαν ἀΐδος κοινήν· καὶ ποῖον νέφος προβάλωμαι, ἵνα μὴ ὁρῶμαι ὑπὸ τοῦ γέροντος. Ποῦ ποῦ ἴδω τὸν μενέλαον.) τὸν αἴτια τῆς ἐμῆς θυγατρὸς· ἐπὶ γὰρ τῷ τάφῳ τῆς κλυταιμνήστρας, τὰς ἐπὶ τοῖς νεκροῖς τελουμένας θυσίας ποιῶν, ἤκουσα ὅτι ἦλθεν εἰς τὴν ναυπλίαν γῆν δηλονότι, διὰ πολλῶν ἐτῶν σεσωσμένος. Ἄγετέ με.) θέλω γὰρ στὰς πρὸς τὴν δεξιὰν αὐτοῦ χεῖρα δηλονότι ἀσπάσασθαι· ἰδὼν φίλον βραδέως· καὶ μετὰ πολὺν χρόνον ἐλθόντα. Πρὸς γὰρ δεξιάν.) οὐκ ἐπιζητεῖ τὴν ἑλένην· δυσαρεστῶν τοῖς πεπραγμένοις αὐτῇ· εὐοικονομήτως δὲ ἐποίησε τὸν τυνδάρεων ἀπὸ τῆς σπάρτης διὰ τὰς χοὰς τῆς θυγατρὸς ἐληλυθέναι· ἵνα εὐκαίρως τῷ μενελάῳ καὶ τῷ ὀρέστῃ διαλεχθῇ. Ὦ πρέσβυ.) χαῖρε ὁμότιμον τοῦ διός· ἤτοι ὁ ἔχων ἅμα τῷ διῒ τὴν κοίτην· χαῖρε. Χαῖρε.) καὶ σὺ μενέλαε· ἐπιγαμβρευμα ἐμόν.

Ἔα τὸ μέλλον.) λίαν ἐστὶ κακὸν, τὸ μὴ εἰδέναι τὸ μέλλον περὶ ἑαυτοῦ τοῦτο λέγει ὁ τυνδάρεως· μὴ εἰδὼς γὰρ ὅτι μετὰ τοῦ μενελάου εὑρήσει τὸν ὀρέστην, ἦλθεν.

Ἔα τὸ μέλλον.) ἔοικε φησὶ τῷ ὄντι κακὸν εἶναι, τὸ μὴ εἰδέναι τὸ μέλλον· εἰ γὰρ εἴδειν παρόντα ὀρέστην ἥκιστα ἂν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐληλύθειν. Ὁ μητροφόντης.) ὁ τῆς μητρὸς φονεὺς δράκων ὅδε ὁ ὑπ' ἐμοῦ μεμισημένος, στίλβει καὶ ἀποπέμπει ἔμπροσθεν τῶν δωμάτων ἀστραπὰς νοσώδεις καὶ μανιώδεις. Στίλβω.) τὸ λαμπηδόνα πέμπω. στίλβω δὲ τὸ ξίφος μεταβατικῶς, ἀττική. Δράκων.) εἶδος ἀντὶ γένους ἔλαβεν. γένος μὲν γὰρ ὁ ὄφις. εἶδος δὲ ὁ δράκων. καὶ ἔχις. καὶ τὰ λοιπὰ τῶν ὄφεων. νῦν δὲ δράκων, ἀντὶ ἔχις. οὗτοι γὰρ οὐκ ἐξ ᾠῶν γεννῶνται. ἀλλὰ ζωοτοκοῦνται. καὶ τικτόμενοι διαῤῥηγνύουσι τὰς τῶν μητέρων γαστέρας ὥς φησι νίκανδρος. γαστέρων ἀναβρώσαντες ἀμήτορες ἐξεγένοντο. διὸ ἔχιν αὐτὸν ὡς μητροκτόνον φησίν. Ἄλλως. ἄγριος ὡς ὁ δράκων. ὅτι ὠμῶς ἔπραξεν. λείπει δὲ τὸ ὡς. ἵν' ᾖ ὡς δράκων. Μενέλαε προσφθέγγῃ αὐτὸν τὴν ἀνοσίαν κεφαλήν, ἔθος γὰρ ἦν μὴ διαλέγεσθαι τοῖς ἐναγέσι. γράφεται δὲ καὶ ἀκάθαρτον κάρα. εἶπε δὲ τοῦτο ὅτι οὐκ ἦν καθαρός. Τί γάρ.) οὐ προσφθέγγομαι δηλονότι. φίλου μοι πατρὸς ὑπάρχει υἱός. δέον εἰπεῖν ὅτι τοῦ ἀδελφοῦ μου υἱός ἐστι, φησὶ τοῦ πατρός μοι ἔκγονός ἐστιν· ἔκγονος γὰρ τοῦ ἀτρέως ὀρέστης. Φίλου μοι.) ὅ ἐστι συγγενοῦς μοι υἱός. πάλιν δὲ τὸ κακόηθες τοῦ ἀνδρὸς δείκνυται. ὅτι τὸν ἀδελφὸν φίλον εἶπε. Κείνου γάρ.) ἐξ ἐκείνου οὗτος ὑπάρχει τοιοῦτος γεγονώς. Πέφυκε.) ναὶ ὑπάρχει. εἰ δὲ δυστυχεῖ, ἄξιον τιμᾶν αὐτόν.

Βεβαρβάρωσαι.) ἐβαρβαρώθης πολυετὴς ὑπάρχων ἐν τοῖς βαρβάροις. Ἄλλως. ἔθη καὶ νόμους βαρβαρικοὺς μεμάθηκας. πολὺν χρόνον ὢν ἐν βαρβάροις. καὶ τῆς τάξεως ἐπελάθου τῶν ἑλλήνων. πρὸς ὃ ἀπαντᾷ. ἑλληνικόν τι τὸν ὅμοθεν τιμᾶν ἀεί. ἤτοι ἑλληνικὸν ὑπάρχει τὸ ἀπὸ τοῦ ὁμοίου γένους τιμᾶν

διόλου· πρὸς ὃ πάλιν ὁ τυνδάρεως· ἑλληνικόν τι δηλονότι καὶ τὸ μὴ θέλειν εἶναι ἰσχυρότερον τῶν νόμων· ὅπερ δηλονότι ποιεῖς σύ· τιμῶν τοῦτον ὃν οἱ νόμοι ἀπόβλητον ἔχουσιν· Πᾶν τοὐξ ἀνάγκης.) εἰπόντος τοῦ μενελάου πρὸς τὸν τοῦ τυνδάρεω λόγον τὸ βεβαρβάρωσαι χρόνιος ὢν ἐν βαρβάροις, ὡς ἄρα ἑλληνικὸν ὂν, τὸ τιμᾶν τοὺς συγγενεῖς, φησὶν ὁ τυνδάρεως ναὶ, ὃ λέγεις ἑλληνικόν ἐστι· ἀλλ' ἔστι καὶ τοῦτο ἑλληνικὸν, τὸ μὴ εἶναί τινα ὑπέρτερον τῶν νόμων· σὺ οὖν ὦ μενέλαε παρανομεῖς φονέα προσφθεγγόμενος· ἀπαγορεύουσι γὰρ οἱ νόμοι τὴν μετ' αὐτῶν συνοίκησίν τε καὶ συνουσίαν· πρὸς ὃ ἀπαντᾷ ὁ μενέλαος, ὅτι πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δοῦλον ἐν τοῖς σοφοῖς ἐστι· τουτέστιν ὅτι πάντες καὶ παλαιοὶ καὶ νέοι ποιηταί· φιλόσοφοι· συγγραφεῖς· ῥήτορες· τραγικῶς ἄνω καὶ κάτω τοῖς λόγοις διακηρύττονται, ὡς ἄρα πάντες ἀνάγκης εἰσὶ δοῦλοι· καὶ πάντων αὕτη κρατεῖ· καὶ οὐκ ἀνθρώπων μόνων, ἀλλὰ καὶ μέχρι θεῶν ἐξάγει τὸ κράτος· ἀνάγκᾳ γὰρ οὐδὲ οἱ θεοί φασι μάχονται· ἐγὼ οὖν εἰ καὶ παρανομεῖν σοι δοκῶ μητροκτόνῳ συνὼν καὶ φθεγγόμενος, ἀλλ' ἐκ τῆς φύσεως ἀναγκαζόμενος τοῦτο ποιῶ· ὥστε τὴν τοιαύτην ἀνάγκην, ᾧ προβάλλου νόμῳ παρεξετάσας, μείζω ταύτην εὑρήσεις δυναμένην τοῦ νόμου·

Οἱ δὲ λέγοντες τὸ δοῦλον ἀντὶ τοῦ δουλοποιὸν, ἀμαθεῖς τὰ μάλιστα· ἢ πρὸς τὸ ἐξ ἀνάγκης ὑποστικτέον· οὕτω πᾶν τὸ ἐξ ἀνάγκης ὑπάρχον ἐν τοῖς σοφοῖς, ἐστὶ δοῦλον· τουτέστι πάντα τὰ ἐξ ἀνάγκης δουλείαν οἱ σοφοὶ κρίνουσιν· Ἄλλως· ἡ συγγενικὴ φιλία καὶ στοργὴ ἢ ἕτερόν τι τοιοῦτον, ἐπεὶ ἐξ ἀνάγκης φυσικῆς ἐστι, δοῦ/

λη ἐστὶ· καὶ διὰ τοῦτο οὐκ ἀμβλυώσεται, οὐδὲ ἄλλως γίνεσθαι δύναται, ὅτι ἐλευθέρως· καὶ χωρὶς ἀνάγκης γίνεται. Ἄλλως. Πᾶν τοὐξ ἀνάγκης. ἡ τῆς φύσεως ἀνάγκη, ὅ ἐστιν ἡ συγγένεια, πάντα δουλοῖ. κατά τε τὴν κρίσιν τῶν νόμων· καὶ τῶν σοφῶν. δοῦλον οὖν ἀντὶ τοῦ δουλοποιόν. οὐχ οἷόν τε γὰρ παραιτήσασθαι τὴν συγγένειαν. Ἄλλως. πᾶν τὸ ἐξ ἀνάγκης, δοῦλόν ἐστι καὶ ὑπήκοον. ἤγουν πάντα τὰ κατὰ ἀνάγκην ποιοῦμεν καὶ κατὰ τὴν σοφῶν κρίσιν, πάντα τὰ ὑπ' ἀνάγκης, δουλοῖ. καὶ ὑπηκόους ποιεῖ τοὺς ἀνθρώπους. καθὸ ἀπὸ τοῦ ὀρέστου εἶπεν. εἰ δὲ δυστυχεῖ τιμητέος. ἔστι γὰρ ὁ λόγος ὅτι τιμᾷ τὸν ὀρέστην ἀναγκαῖον διὰ τὴν συγγένειαν. τοῦτο δὲ ἐν ὑποκρίσει λέγει. οὐ σπουδῇ. ὁ δὲ ἀριστοφάνης φησί. πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δουλοῖ. οἷον ταπεινοῖ κατὰ τὴν τῶν σοφῶν κρίσιν. δύναται καὶ οὕτως. πᾶν τὸ ἀναγκαῖον δοῦλόν ἐστιν. ἤτοι πᾶν ὃ κατὰ ἀνάγκην ποιοῦμεν. Ὀργὴ γὰρ.) ἅμα πρὸς τὸ εἶναι σε γέροντα, καὶ ὀργίλος εἶ. διὰ τοῦτο φησὶ παραιτῇ τὰ αὐτὰ τοῖς σοφοῖς φρονεῖν. ἐπεὶ συνελθοῦσα σου τῷ γήρᾳ ὀργὴ, ἀπαίδευτόν σε ποιεῖ. καὶ σοφοκλῆς. ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπίς, ἐν χερὶ θήγει. ἐν τάχει δ' ἀμβλύνεται. Ἄλλως. ἡ ὀργὴ· καὶ τὸ γῆρας ἅμα γεγονότα οὐ σοφόν σε ποιεῖ. αὐτὸ γὰρ καθ' αὑτὸ τὸ γῆρας, μελαγχολικώτερόν ἐστι τῆς νεότητος. εἰ δὲ συμβῇ τοὺς γέροντας ὀργισθῆναι, διπλάσιον γίνεται τὸ κακόν. τὸ γῆρας σου οὖν φησίν, ἅμα τῇ ὀργῇ γεγονός, οὐ σκοπεῖ τὸ δέον. Πρὸς τὴν δ' ἀγών.) ἡ περὶ τὸν ὀρέστην μητροκτονία, οὐ δεῖται ἀγῶνος σοφίας. πρόδηλος γὰρ ἡ κρίσις. ὥστε μάτην ἡμᾶς οὐ σοφοὺς ἀπεκάλεσας. οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοφισμάτων γὰρ προσδεῖται ἡ κρίσις. τουτέστιν οὐ καλὸν ἡμᾶς περὶ σοφίας ἀγωνίζεσθαι. περὶ γὰρ μητροκτονίας ἐστὶν ὁ λόγος. Ἄλλως. ἐπειδὴ εἶπεν ὁ μενέλαος, καὶ τὸ γῆρας οὐ σοφὸν, φησὶν ὁ τυνδάρεως ὅτι τίς χρεία ἐστὶ σοφίας, ὅπου γε προφανὲς τοῦ ὀρέστου τὸ πλημμέλημα. Οὐδ' ἦλθεν ἐπὶ τὸν κοινόν.) ὡς ἐπὶ ὁδοῦ. οὐκ ἐβάδισε κατὰ τὸν ἑλληνικὸν νόμον. ὁ γὰρ νόμος οὐκ ἐπιτρέπει αὐτόχειρα τινὰ γίνεσθαι. Κοινὸν νόμον.) οὐκ ἦλθεν ἐπὶ τὸν κοινὸν νόμον τῶν ἑλλήνων. ἤγουν ἐφ' ᾧ πάντες οἱ ἕλληνες ὁμογνωμονοῦσι. Ἐπεὶ γὰρ ἀφ' οὗ ἐξέπνευσε τὴν ζωὴν ὁ ἀγαμέμνων. κάκιστον ἔργον παθὼν δηλονότι. οὐ γὰρ ἐπαινέσω ποτὲ, ἔπρεπεν αὐτὸν τὸν ὀρέστην ἐπιθεῖναι δικαίαν τιμωρίαν τοῦ αἵματος. πρέπουσαν δὲ καὶ ὁσίαν δίκην φησὶ τὸ φυγαδεῦσαι μόνον. διώκοντα δὲ ἀντὶ τοῦ κατηγοροῦντα. καὶ οὕτως ἂν φησὶ τοῦ κακοῦ τὸ σῶφρον ἐπελέξατο διώκων. καὶ τὴν πρέπουσαν τιμωρίαν ἀπήτησεν ἂν ἐκβαλὼν τὴν μητέρα. καὶ νόμῳ πειθαρχῶν ἐφαίνετο. Ἄλλως. εἰ φυγῇ μόνον ἦν ζημιώσας τὴν μητέρα, οὕτως ἂν ἔδοξε σωφρόνως κεχρῆσθαι τῇ τιμωρίᾳ. τῇ κατὰ τῆς συμφορᾶς τοῦ πατρός. ἢ τῆς μητρός. Τὸ σῶφρον τ' ἂν ἔλαβε.) καὶ σωφρόνως καὶ ἐγκρατῶς ἔμελλε τὰ τῆς συμφορᾶς τιμωρεῖσθαι. ἢ σώφρον εἶπε τὸ μέτριον. συμφορὰν δὲ τὴν τιμωρίαν, ἣν ἐλάμβανε ζημιώσας αὐτήν. μετριωτέρα γὰρ αὕτη ἡ τιμωρία τοῦ θανάτου. Καὶ τοῦ νόμου τ' ἄν.) ὡς νόμοις πειθαρχῶν εἰς τὴν αὐτὴν ἁμαρτίαν. καὶ γὰρ παρανόμως ἐφόνευσε. πλέον δὲ τοῦτο κακόν. οὐ γὰρ ἴσον ἐστὶ τὸ γυναῖκα φονεῦσαι ἄνδρα. καὶ υἱὸν μητέρα. ὁ μὲν γὰρ φύσει ἐστὶν υἱός. ὁ δὲ ἀνὴρ συγγενής. Νῦν δ' εἰς τὸν αὐτόν.)



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῦν δὲ εἰς τὴν αὐτὴν τύχην ἦλθε τῇ τύχῃ τῆς μητρὸς.
κακὴν γὰρ νομίζων δικαίως αὐτὴν, αὐτὸς χείρων ἐγένε-
το φονεύσας τὴν μητέρα. ἐρωτήσω δὲ τοσοῦτον σὲ ὦ
μενέλαε. καθ' ὑπόθεσιν ἐστὶν ὁ λόγος. καὶ ὡς ἐν παραδείγ-
ματι ταῦτά φησι τὸν τυχόντα τιθεὶς εἰς παράδειγμα.
Εἰ τόνδε.) τοῦτον. ὡρισμένον ἔλαβεν ἀντὶ ἀορίστου
τοῦ τινά. εἰ τοῦτον φονεύσειεν ὁμόκοιτος γυνή. καὶ ὁ
τούτου παῖς πάλιν ἀνταποκτενεῖ τὴν μητέρα. κἄπει-
τα ὁ ἐξ ἐκείνου γεννηθεὶς, διὰ φόνον τὸν φόνον λύσει καὶ
ἐλευθερώσει, ποῦ τῶν κακῶν προχωρήσει τὸ τέλος.
Μητέρα ἀνταποκτενεῖ.) τοῦτο διὰ τὸ λεγόμενον περὶ
τῶν ἐχιδνῶν. ὅτι μετὰ τὴν συνουσίαν φονεύει τὸν ἄρ-
ρενα ἡ ἔχιδνα. οἱ δὲ γεννώμενοι, ὥσπερ τιμωρούμενοι
τὸν τοῦ πατρὸς φόνον διατρήσαντες τὴν κοιλίαν τῆς
μητρὸς, καὶ φονεύσαντες αὐτὴν γεννῶνται, ὥς φησι νί-
κανδρος. ὅμοιόν ἐστι καὶ τὸ κατὰ ὀρέστην καὶ κλυταιμνή-
στραν. Καλῶς ἔθεντο.) καλῶς ἐνομοθέτησαν ταῦ-
τα οἱ ἐκπάλαι νομοθέται. οὐ συνεχώρουν ἐλθεῖν εἰς ὄ-
ψιν καὶ θέαν. οὐδ' εἰς ἀπάντησιν τὸν ἀποκτείναντά τι-
να. φυγαῖσι δ' ὁσιοῦν.) ἀντὶ τοῦ ἐκάθαιρον. ὁσίους καὶ
καθαροὺς ἐποίουν. τὸ γὰρ μὴ ἀνταποκτείνειν ὅσιον ἐνό-
μιζον. οἱ γράφοντες ἀνταποκτείνειν. ἀγνοοῦσι τὰ μέ-
τρα. διὸ ἀποκτείνειν γράφων, οὕτω λέγε. ὁσιοῦν ἐστὶ καὶ
ἐκάθαιρον ἐκεῖνον ἐν φυγαῖς. οὐκ ἐν τῷ ἀποκτείνειν δέ.
τὸ μὴ, ἀντὶ τοῦ οὐ. Ἀεὶ γὰρ εἷς.) διόλου γὰρ ὑπεύ-
θυνος ἀπέκειτο ἐνέχεσθαι ἤγουν ἔνοχος ἔσεσθαι τοῦ φο-
νευθῆναι. Τὸ λοίσθιον.) τὸ ἔσχατον. τὸ ἀφ' ἑτέρου εἰς
ἕτερον μεταβαῖνον. ὅμηρος. λοῖσθος ἀνὴρ ὥριστο. εἰς δὲ
φησιν ὁ πρὸς τῷ τέλει ἔμελλεν εἶναι μεμιασμένος ὑπεύ-
θυνος ὁ μηκέτι ἔχων μεθ' ἑαυτὸν ἄλλον. οἱ ἂν εἰς ἕνα φονέα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατὰ διαδοχήν. καὶ οὐδείς ἐστι μίσους ἄτοπος ἐν ᾧ φονεύεσθαι μέλλει. εἰ μὴ εἷς. ἐκεῖνος μέν τοι ὁ μὴ φονευθησόμενος. μεμιασμένος δὲ ὁ πρὸς τῷ τέλει. Ἐγὼ δέ.) μισῶ τὰς ἀνοσίους καὶ ἀδίκους γυναῖκας. μισῶ δὲ πρώτην τὴν ἐμὴν θυγατέρα, ἣ τὸν ἑαυτῆς ἐφόνευσεν ἄνδρα. καὶ τὴν ἑλένην τὴν σὴν γυναῖκα, οὐδέποτ᾽ ἐπαινέσω. οὐδὲ προσλαλήσαιμι. οὐδὲ σὲ ἐπαινῶ ἐλθόντα εἰς τροίαν κακῆς γυναικὸς χάριν. βοηθήσω δ᾽ ὅσον δύναμαι τῷ νόμῳ. τὴν θηριωδίαν καὶ μιαιφονίαν ταύτην καταπαύων. ἣ γῆν τε καὶ πόλεις διόλου διαφθείρει.

Οὐδέ σε ζηλῶ.) ζηλῶ τὸ μακαρίζω. ἐνταῦθα δέ, ἀντὶ τοῦ ἐπαινῶ. ἐπεὶ γὰρ πλησιάζουσιν ἀλλήλοις τρόπον τινά, τὸ ἐπαινεῖν καὶ τὸ μακαρίζειν, οὐκ ὀκνεῖ λαμβάνειν τὸ ἕτερον ἀντὶ τοῦ ἑτέρου. Ἀμυνῶ δ᾽ ὅσον.) ἐπειδὴ γὰρ νόμος ἦν μὴ δι᾽ ἑτέρου φόνου τοὺς φονεῖς κολάζειν, ἀλλὰ φυγῇ, οὗτος δὲ παραβὰς τὸν νόμον, ἀπέκτεινε τὴν μητέρα τὸν ἴδιον ἄνδρα φονεύσασαν, ἀμυνῶ καὶ βοηθήσω αὐτὸς τῷ παραβαθέντι ὑπ᾽ αὐτοῦ νόμῳ. ἐξ ὧν γὰρ θέλω τοῦτον τιμωρηθῆναι, παύσω τοὺς ἄλλους τῶν ἴσων. οὐ χρὴ δὲ γράφειν ἀμύνω ἀπὸ ἐνεστῶτος. μακρὰ γάρ ἐστιν ἀπὸ τοῦ ἐνεστῶτος τὰ διὰ τοῦ υνω ῥήματα. ἀλλ᾽ ἀμυνῶ ἀπὸ μέλλοντος. οὕτω γὰρ ἁρμόζεται τῷ μέτρῳ. ὁ γὰρ μέλλων τῆς ε συζυγίας τῶν βαρυτόνων, τὰ ἀμετάβολα φησὶ τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης. καὶ περισπωμένου τοῦ τόνου. Ἐπεὶ τίν᾽ εἶχες ὦ τάλαινα.) ἀποστροφὴ τὸ σχῆμα πρὸς τὸν ὀρέστην. ἰδίως ἀπέστρεψε τὸν λόγον. καὶ διαλέγεται πρὸς αὐτόν, ὁ περὶ τούτου ἐγκαλῶν, τὸν μενέλαον. Ἐπεὶ εἰ δὲ μή τινα ψυχὴν εἶχεν ὦ τάλας τότε, ὁπότε ἡ μήτηρ ἐξέβαλε τὸν μαστὸν παρὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλοῦσά σε. ἐγὼ μὲν οὐ βιασάμενος τὰ ἐκεῖ γινόμενα κακά, διὰ δακρύων δαμάζω τὸν γεροντικὸν ὀφθαλμὸν ὁ ἄθλιος. Ἐν οἷσι λόγοισι.) ἀντὶ τοῦ ἐν ἔχω προσθεῖναι κεφάλαιον τοῖς ἐμοῖς λόγοις. ὁμορροθεῖ δέ, ἀντὶ τοῦ ἀκολουθεῖ καὶ συμφωνεῖ. θέλει δὲ εἰπεῖν, ὅτι τοῖς ἐμοῖς λόγοις, ἐκεῖνο ἔχω προσθεῖναι τὸ κεφάλαιον, τὸ ὑπὸ θεῶν μισεῖσθαι πλανώμενον καὶ μαινόμενον. Ἀλαίνων.) πλανώμενος. Τί μαρτύρων,) τουτέστιν οὐ δεῖ με ζητεῖν μάρτυρας τοῦ μισεῖσθαί σε παρὰ τῶν θεῶν, ὡς ἀνόσια δεδρακότα. βλέπω γάρ σε μαινόμενον. ὅπερ παρὰ τῶν θεῶν ἐπιόν σοι, δείκνυσι πᾶσιν, ὡς εἰ μὴ κακὸν εἰργάσω, οὐκ ἂν εἰς τοιαύτην δυστυχίαν ἐνέπεσες. Ὡς οὖν ἂν εἰδῇς.) ἵνα δὲ μάθῃς ὦ μενέλαε, μὴ θέλε πράττειν ἐναντία τοῖς θεοῖς, χρῄζων ὠφελεῖν τὸν ὀρέστην. ἀλλ' ἄφες αὐτὸν διὰ πετρῶν ὑπὸ τῶν πολιτῶν φονευθῆναι. ἢ εἰ μὴ ποιήσεις τοῦτο ὅπερ σοι λέγω δηλονότι, μὴ διέρχου διὰ τῆς τῶν λακεδαιμονίων γῆς. Σπαρτιάτιδος.) σπάρτη ἡ προηγουμένη πόλις τῆς λακεδαιμονίας. ὁ ἀπὸ ταύτης σπαρτιάτης. καὶ ἐπὶ θηλυκοῦ ἡ σπαρτιάτις. καὶ κλίνεται τῆς σπαρτιάτιδος. σπάρτον δὲ τὸ σχοινίον. ὡς παρ' ὁμήρῳ σπάρτα λέλυνται. καὶ ἡ σπάρτος ἐπὶ θηλυκοῦ. ἀφ' οὗ τὸ κόσμει σπάρταν ἣν ἔλαχες. καὶ τὴν λέξιν ποιεῖται σπάρτον ἄγε. Θυγάτηρ δ' ἐμή.) ἡ δὲ ἐμὴ θυγάτηρ ἀποθανοῦσα, ἔπαθε δικαίως. ἀλλ' οὐ παρὰ τούτου πρέπον ἦν τὴν κλυταιμνήστραν ἀποθανεῖν. ἐγὼ δὲ κατὰ τὰ ἄλλα μακαριστὸς ὑπάρχω ἀνὴρ χωρὶς εἰς τὰς θυγατέρας. κατὰ τοῦτο δὲ οὐκ εὐτυχῶ. Ἔπραξεν ἔνδικα.) ἔπαθε μὲν δίκαια. καθὸ ἀπέκτεινε καὶ δικαίαν τιμωρίαν δέδωκε. καθὸ δὲ ὑπὸ τούτου ἀπέθανεν, ἠδίκηται. Ζηλωτὸς ὅς τις.) μακαρι-

ςὸς ὁποῖος δυστυχῆσαν εἰς τέκνα· καὶ μὴ μεγάλας καὶ φανεράς· καὶ ὁμολογουμένας βλάβας ἔλαβε. Ὦ γέρον.) ἐγὼ φοβοῦμαι λέγειν πρὸς σὲ ὅπου μέλλω σε, καὶ τὴν σὴν φρένα καὶ διάνοιαν λυπήσειν· ἐγὼ μὲν φονεύσας τὴν μητέρα, ἀνόσιος ὑπάρχω· τιμωρῶν δὲ τῷ πατρὶ, ὅσιός εἰμι καθ' ἕτερον ὄνομα τοῦ ἀνοσίου· ἐπεὶ ἐναντίον τοῦ ἀνοσίου τὸ ὅσιον· ἀνόσιος μὲν εἰμὶ τὴν μητέρα κτανὼν, τετύχηκα δὲ τοῦ ὁσίου ὀνόματος καθ' ἕτερον μέρος, τὸν πατέρα ἐκδικήσας. Ἄλλως. Ἐγὼ μὲν κτανὼν τὴν μητέρα, ἀνόσιός εἰμι· τιμωρῶν δὲ τῷ πατρὶ, πάλιν ὅσιός εἰμι· ἕτερον ὄνομα τοῦ ἀνοσίου. Ἀπελθέτω δὴ τοῖς λόγοισι.) ἀντὶ τοῦ σὺ ἀναχώρει, καὶ τὰς ἀληθείας ἐρῶ· καὶ δεόντως ἀπολογήσομαι· ἀπίτω μακρὰν τοῖς ἐμοῖς λόγοις τὸ σὸν γῆρας ὅ με κωλύει τοῦ λέγειν, καὶ τότε κατὰ τάξιν ἐλεύσομαι· νῦν δὲ φοβοῦμαι τὸ σὸν γῆρας· τί με ποιῆσαι ἔπρεπε· δύο γὰρ τινὰ πράγμασιν ἀντίθες δυσίν· ὁ μὲν πατὴρ ἔσπειρέ με· ἡ σὴ δὲ παῖς ἐγέννησεν ὡς ἄρουρα τὸ σπέρμα παρ' ἄλλου λαβοῦσα· τέκνον δὲ χωρὶς πατρὸς, οὔποτ' ἂν εἴη. Ἄνευ δὲ πατρὸς.) λέγεται παρ' αὐτοῦ εἰπόντος τοῦτο, εἰρηκέναι· ἄνευ δὲ μητρὸς ὦ κάθαρμ' Εὐριπίδη. Ἄνευ δὲ πατρός.) τιθεὶς τὸν πατέρα· καὶ τὴν μητέρα· καὶ ἀντιθεὶς αὐτοῖς τῷ μὲν, τὴν σποράν· τῇ δὲ τὸν τόκον, δείκνυσι τὸν πατέρα μείζονα μητρός· διὰ τὸ πρωταίτιον εἶναι τῆς εἰς φῶς αὐτῷ προαγωγῆς· δέον δὲ τῆς ὑποσχέσης τροφὰς εἰπεῖν, γονὰς εἶπεν. Ἡ σὴ δὲ θυγάτηρ.) αἰσχύνομαι γὰρ μητέρα λέγειν ἐμήν, ἰδίοις γάμοις, ἤγουν λαθραίοις· καὶ οὐ νενομισμένοις, ἦλθεν εἰς ἀνδρὸς κοίτην. Ἐμαυτὸν ἣν λέγω.) ἐὰν ἐκείνην φησὶ λέγω κακῶς· ἐμαυτὸν ἐρῶ κακῶς· λέξω δ' ὅμως· Εἰς ἀνδρὸς ἦει λέκτρα.) τὸ ἀνδρὸς διπλῶς νοητέον·

ἢ τοῦ αἰγίσθου· ἢ τοῦ ἀγαμέμνονος· καὶ ὑπὸ μὲν τοῦ αἰγίσθου, οὕτως· ἡ σὴ θυγάτηρ ὦ τυνδάρεως εἰς ἀνδρὸς ἥκει λέκτρα ἐν λαθραίοις γάμοις· τουτέστι συνοῦσα λαθραίως τῷ αἰγίσθῳ μοιχευομένη. ὑπὸ δὲ τοῦ ἀγαμέμνονος, οὕτως· ἡ σὴ θυγάτηρ ἐν ἰδίοις ὑμεναίοις, καὶ οὐχὶ σώφροσι· τουτέστι λαθραίως μοιχευομένη αἰγίσθῳ· εἰς λέκτρα τοῦ ἀγαμέμνονος ἥκει, ὅτε ἐπανῆκεν ἐκ τροίας. Ἐπεὶ δ᾽ ἔθυσα.) ἀπρεπῶς τὸ ἔθυσα· τάχα δὲ δείξει ὅτι εὐσεβῶς διέπραξε φονεύσας αὐτήν· καὶ ἔφη τὸ ἔθυσα· τὸν αἴγισθον μὲν ἔκτεινα· ἐπὶ τούτῳ δὲ καὶ τὴν μητέρα ἔθυσα. Ἐφ᾽ οἷς δ᾽ ἀπειλῇς.) τὸ σχῆμα κατὰ ἀντίστασιν. Παρ᾽ οὐδὲν αὐταῖς ἦν.) ἐν ἰδίᾳ προφάσει· καὶ πάρεργον ἦν αὐταῖς φονεύειν τοὺς ἰδίους ἄνδρας· ἐπειδὴ ἔμελλεν αὐταῖς φησὶν εἰς ἔγκλημα μόνον ποιήσασθαι τῆς τιμωρίας· ἀκωλύτως οὖν ἐχώρουν κατὰ τῶν ἀνδρῶν. Ἐπίκλημα.) ἀφορμὴν αἰτίαν· προβαλλομέναις καὶ προφασιζομέναις ὅ τι τύχοι· καὶ ὅτι δήποτε. καὶ αὕτη γὰρ προυφασίζετο τὰ κατὰ τὴν ἰφιγένειαν· ὅτι διὰ τοῦτο ἀνεῖλεν αὐτόν· ὅτι ἐν αὐλίδι ἐσφαγίασεν ἰφιγένειαν. Κομπεῖς.) μεγαλορρημονεῖς. Ἀκήρατον.) ἄφθαρτον. Ἐπεὶ δ᾽ ἁμαρτοῦσα.) ἐπεὶ δὲ ᾔσθετο μοιχευθεῖσα, οὐχ ἑαυτὴν ἐτιμωρήσατο· δέον τοῦτο ποιεῖν· ἀλλ᾽ ἵνα μὴ δίκας ἀπαιτηθῇ τῆς μοιχείας, πρότερα ἐφόνευσε. Ἐζημίωσε· ἁρμοδίως καὶ οἰκείως ἡ λέξις ἐνταῦθα κεῖται· εἰ γὰρ ἡ ζημία ζωῆς ἐστὶ μείωσις· καὶ ἐλάττωσις, εἰκότως ζημιοῦν τινὰ λέγεται ὁ θανάτῳ τὴν ζωὴν αὐτοῦ ἀφελόμενος. Πρὸς θεῶν.) ἄκουσον δηλονότι· ἐν οὐ καλῷ μὲν καιρῷ ἐμνήσθην τῶν θεῶν ἕνεκα φόνου κρινόμενος· εἰ μετὰ σιωπῆς ἐπήνουν τὰ τῆς μητρὸς, τί ἄν με ἔδρασεν ὁ ἀποθανὼν πατὴρ ἐμός· οὐκ ἄν με

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μισῶν ἀντετάραττε διὰ τῶν ἐριννύων; Η τῇ μητρὶ πα-ρυπάρχουσι σύμμαχοι αἱ ἐριννύες· τῷ πατρὶ δὲ τῷ πλέον ἠδικημένῳ οὐ παρυπάρχουσι. Σύ τοι φυτεύσας.) ὁμηρικὸν, τοῦτο· σοὶ πάντες μαχόμεθα· σὺ γὰρ τέκες ἄφρονα κούρην· ὦ γέρον· σὺ κινήσας θυγατέρα κακίστην κλυταιμνήστραν, ἔφθειρας ἐμέ· διὰ γὰρ τὴν ἐκείνης θρασύτητα πατρὸς ἐγὼ στερηθεὶς, μητρὸς ἐγενόμην φονεύς. βλέπεις τοῦ ὀδυσσέως γυναῖκα πηνελόπην· οὐ κατέκτανε τηλέμαχος ὁ υἱὸς αὐτῆς· οὐ γὰρ ἐπεγάμβρευεν ἀνδρὶ ἄνδρα· μένει δ' ἐν οἴκοις, ἀμίαντον καὶ σῶφρον τὸ εὐναστήριον· ὁρᾷς τὸν ἀπόλλωνα ὃς τὰς μεσομφάλους καθέδρας οἰκῶν, τοῖς ἀνθρώποις σαφῆ μαντείαν δίδωσι· ᾧ τινι ἀπόλλωνι πειθόμεθα κατὰ πάνθ' ὅσα ἂν λέγῃ ἐκεῖνος, τούτῳ πειθόμενος ἐγὼ, τὴν μητέρ' ἐφόνευσα· ἐκεῖνον τὸν ἀπόλλωνα νομίσατε ἄδικον, καὶ φονεύσατε· ὁ ἀπόλλων ἔσφαλεν οὐκ ἐγώ· τί δεῖ με πρᾶξαι· ἢ οὐκ ἔντιμος καὶ ἄξιος ὁ ἀπόλλων λῦσαι μοι τὸ μίασμα εἰς ἐκεῖνον ἀναφέροντι· ποῦ τις λοιπὸν τράποιτ' ἄν, εἰ μὴ ὁ κελεύσας θεὸς ῥύσηταί με ὥστε μὴ ἀποθανεῖν· ἀλλ' ὅτι μὲν οὐ καλῶς εἴργασαι ταῦτα, μὴ λέγε· λέγε δ' ὡς οὐκ εὐτυχῶς ἡμῖν τοῖς δεδρακόσι·

Ὅσοις δὲ τῶν ἀνθρώπων οἱ γάμοι συμπίπτουσιν ἀντὶ τοῦ ἀπαντῶσι καλῶς, ὁ βίος ὑπάρχει μακαριστός· οἷς τισι δὲ μὴ διάκεινται καλῶς, καὶ κατὰ τὰ ἔνδον· καὶ τὰ ἐκτὸς ἀτυχεῖς ὑπάρχουσιν. Οἷς δὲ μὴ πίπτουσιν εὖ.) μὴ πίπτουσιν εὖ· ἀντὶ τοῦ ἀπαντῶσιν· εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων· καὶ σοφοκλῆς ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ διὸς κύβοι. Τούτῳ πιθόμενος.) διὰ τοῦ ι ἐνταῦθα τὸ πιθόμενος· ὅτι δὲ οὕτω γράφεται παρὰ τοῖς ποιηταῖς, δῆλον καὶ ἀπὸ τούτων.

,,Ἡ λίθος ἔστ' ἀμέθυσος, ἐγὼ δ' ὁ πότης διόνυσος.
,,Ἢ πιθέτω νήφειν, ἢ μαθέτω μεθύειν.

Μακάριος αἰών.) τούτοις δηλονότι μακάριος ὁ αἰών. ἤτοι ὁ βίος. ἀντὶ τοῦ οὗτοι ἀπολαύουσι βίου, δι' οὗ μακαρίζονται. ὡς γὰρ μακάριον τέλος λέγεται, οὗ ὁ τυχὼν μακαρίζεται, οὕτω καὶ μακάριος βίος, οὗ ὁ ἀπολαύων μακαρίζεται. τὸ γὰρ ἀπολαῦον ἀγαθοῦ τινὸς, εἰκότως ἂν μακαρίζοιτο διὰ τὴν ἀπόλαυσιν. μακαρίζεται γάρ τις ἐφ' οἷς ἂν ἔχοι καλοῖς. ἤγουν ἐφ' οἷς ἀπολαύει. τὸ δὲ παρέχον τὴν ἀπόλαυσιν. ἤγουν ἐκεῖνο οὗ ἀπολαύει τίς, οὐκ ἔχει λόγον μακαρίζεσθαι. ὥς τε ὅ, τι ποιοῦν τό τι λέγεται μακάριον, οὐ δι' ἑαυτὸ οὕτω λέγεται. ἀλλὰ διὰ τὸ ἀπολαῦον αὐτοῦ. Αἰεὶ γυναῖκες.) ἀεὶ τὸ γυναικῶν γένος συμφοραῖς καὶ δυστυχίαις ὑποκείμενον, ἐμπόδιον γίνεται τῶν ἀνδρῶν, εἰς δυστυχίαν. τουτέστι τοὺς ἰδίους ἄνδρας ταῖς σφετέραις αὐτῶν κακίαις, εὐτυχίας ἀφιστῶσαι, πρὸς δυστυχίαν ἐπάγουσιν. ὁ καὶ κλυταιμνήστρα πεποίηκεν. Ἄλλως. ἀεὶ φησὶν αἱ γυναῖκες ταῖς ἰδίαις δυστυχίαις ἐμποδίζουσι ταῖς εὐτυχίαις τῶν ἀνδρῶν. Ἄλλως.) ἀεὶ αἱ γυναῖκες ἐμποδίζουσι ταῖς ἀγαθαῖς εὐτυχίαις. καὶ πρὸς τὸ δυσυχεῖν ἄγουσι τοὺς ἄνδρας. Ἄλλως.) συμφορὰς νῦν τὰς εὐτυχίας καλεῖ. πεφύκασι φησὶ αἱ γυναῖκες ἐμποδίζειν τοῖς ἀνδράσι. καὶ ἐν ταῖς πρὸς τούτους εὐτυχίαις, καὶ κοινωνίαις ἄγειν αὐτοὺς πρὸς τὸ δυσυχέστερον. καὶ οὕτως. πεφύκασιν ἐμποδίζειν αἱ γυναῖκες ταῖς παρ' ἑαυτῶν συμφοραῖς τοῖς ἀνδράσιν ἐν τοῖς καλοῖς. καὶ πρὸς τὸ δυσυχέστερον αὐτοὺς ἄγειν. Καλὸν πάρεργον.) ποιήσομαι αὐτὸ τὸ φονεῦσαι δηλονότι, καὶ οὐ πάρεργον τῶν πόνων. ἤγουν ἔργον, ἔξω τοῦ σκοποῦ τῶν πό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νων οὕνεκ' ἦλθον. λέγω κοσμήσων τὸν τάφον τῆς θυγατρός. Καλὸν πάρεργον.) ἀντὶ τοῦ σπουδαίου τῶν ἐμῶν πόνων καλὸν ἡγήσομαι πάρεργον. πόνων δὲ λέγει τῶν κατὰ τὸν τάφον θυσιῶν. ὡς ἐν παρέργῳ δὲ, τὸν κατὰ ὀρέστου λόγον ποιεῖται. καὶ τὸ πάρεργον ὡς ἔργον φησὶ θήσομαι. Ἄλλως. Ἐγὼ μὲν φησὶν ἦλθον τὰ πρὸς τὴν θυσίαν ἐκπονῆσαι τῇ θυγατρί. νῦν δὲ ὑπὸ σοῦ παροξυνθεὶς, διὰ σπουδῆς καὶ τοῦτο θήσομαι τὸ ἔργον. τὸ σὲ φονευθῆναι. καὶ παραγενόμενος εἰς τὴν ἐκκλησίαν ἤδη παροξυνῶ πάντας κατὰ σοῦ καὶ μὴ βουλομένους. πάρεργον δὲ εἶπεν. ἐπεὶ οὐ τοῦτο ἦν αὐτῷ τὸ προκείμενον. Σή τ' ἀδελφή.) κατὰ σοῦ καὶ τῆς σῆς ἀδελφῆς, ὥστε δοῦναι ὑμᾶς δίκην διὰ λίθων. μᾶλλον γὰρ σοῦ ἐκείνη ἤγουν ἡ ἀδελφή σου ἐστὶν ἀξία θανεῖν. Ἀεὶ πέμπουσα μύθους εἰς τὸ οὖς. ἤγουν διὰ θύρας λόγους πέμπουσα ὅτι δυσμενέστερον. ἤγουν ἐχθρωδέστερον βλέποντας δηλονότι. Καὶ τοῦ θεοῦ τὴν μοιχείαν λέγει.) ἀπὸ κοινοῦ τὸ ἀπαγγέλλουσα. ἵν' ἦν καὶ τὸ αἰγίσθου λέχος ἀπαγγέλλουσα. Ὀμισήσειαν.) ἐπεὶ περὶ τεθνεώτων εἶπε, διὰ τοῦτο εἶπεν οἱ νέρτεροι θεοὶ μισήσειαν. Καὶ γὰρ ἐνθάδ' ἦν.) καὶ γὰρ ἐνταῦθα τοῦ ἔργου πικρὸν ἦν τὸ πραττόμενον ὑπὸ ταύτης. τουτέστι κατ' αὐτὸ γὰρ τοῦτο μάλιστα πικρότατον ἦν αὐτῇ συνεχῶς τὸ λέχος. καὶ τὴν μοιχείαν ὀνομάζουσα. καὶ τούτων παροξύνουσα τὸν ἀδελφόν. ἢ οὕτως. καὶ γὰρ κατ' αὐτὸ τοῦτο πικρὸν ἦν τὸ πρᾶγμα, ὅτι μοιχεία ἦν. ἢ τὸ ἐνθάδε, ἀντὶ τοῦ κατὰ τὸν ἐν τῷ ζῆν βίον. οἷον αὐτή σε ἐξώργισεν ὀνομάζουσα τὸ ἐκείνης λέχος. καὶ τὴν μοιχείαν αἰγίσθου. ἵν' εἴη καὶ τοὺς χθονίους μισῆσαι θεούς. καὶ τὰς τῶν κατοιχομένων ψυχάς. καὶ γὰρ τοῖς ζῶσι πικρὸν ἡ μοιχεία.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἕως ὑφῆψε.) ἐπεὶ μεταφορᾷ χρώμενος εἶπεν ἀνῆψε δῶμα. οἷον ἀπώλεσεν. ἐπήνεγκεν ἀνηφαίστῳ πυρί. δηλονότι ἄνευ πυρὸς διέφθειρε τὸν οἶκον. Ἀνηφαίστῳ.) τῷ ὕλην μὴ ἔχοντι. πυρὶ εἰπών, ἐπάγει τῷ ἀνηφαίστῳ. ἵνα δηλονότι δηλώσῃ ὅτι οὐ τοῦτο λέγει τὸ πῦρ, τὸ τὰ ξύλα καὶ τὴν ὕλην ἀναλίσκον. ἀλλ' ἕτερον μέν τι. ὁμοίως δὲ τούτῳ ἀναλυτικὸν, καὶ φθαρτικόν. Ἄλλως. Ἐπεὶ τὸ ὑφῆψεν εἶπεν ἀντὶ τοῦ ἀπώλεσεν εἰκότως. καὶ τὸ δίχα πυρὸς προσέθηκεν. Ἐναριθμῇ δὲ ἀντὶ τοῦ φροντίζῃ. καὶ ἐν φροντίδι ἔχεις. οἷον εἰ ἐφορᾷς τὸ παρ' ἐμοῦ μῖσος, καὶ τὴν ἐμὴν συγγένειαν. καὶ φιλίαν, ὅρα μὴ θελήσῃς ἀμύνειν καὶ βοηθεῖν τῷδε. εἰς φόνον ἐναντίον ἤτοι μισητὸν τοῖς θεοῖς. ἐκ δὲ καταφονευθῆναι ὑπὸ τῶν πολιτῶν, διὰ τῶν πετρῶν. εἰ δὲ μή, μὴ ἐπίβαινε τῆς σπαρτιάτιδος γῆς. Ἢ μὴ ἐπίβαινε.) λακεδαίμονος πρῶτος ἦρξε λέλεξ. ἀφ' οὗ καὶ λέλεγες ὠνομάζοντο. ἔσχε δὲ παῖδας ἐκ περιδίας, μύλην. πολύκλωνα. βωμολόχον. θεράπνην. τούτων ὁ μύλης ἐκ τηλεδίκης, ἴσχει εὐρώταν, καὶ κηπεδίαν. εὐρώτας δὲ ἄρξας μετὰ τὸν κατακλυσμὸν λιμναζόμενον ἐργασάμενος, καὶ ποταμὸν ποιήσας, εὐρώταν ὠνόμασεν. οὗτος ἐκ κλήτης ἴσχει θυγατέρα σπάρτην. ἣν ἀγαγόμενος λακεδαίμων ὁ ταύτης ἄρξας, τοὺς μὲν λέλεγας, λακεδαιμονίους. τὸ ὄρος ταΰγετον. καὶ τὴν πόλιν ἣν ἔκτισε, σπάρτην ὠνόμασε. Μὴ τῷ δ' ἀμύνειν.) μὴ λάβῃς εἰς τὸ ἀμύνειν ἔξωθεν θέλε. ὥς τινες. ἀλλ' ἔστι πρὸς τὸ σοὶ δ' ἐγὼ τάδε λέγω. Στεῖχ' ὡς ἀθορύβως.) πορεύου ὅπως ὁ μέλλων. ὁ προσελθὼν μοι λόγος. τοῦ σοῦ γήρως ὑπήκοντος, ἀθορύβως πρὸς τὸν μενέλαον γένηται. Στεῖχε.) ἄπερχου. ἵνα ὁ ἐπελθὼν ἡμῖν λόγος ἀφίκηται πρὸς τὸν δὲ τὸν μενέλαον

δηλονότι, ἀνενοχλήτως· ἀποφυγὼν τὸ σὸν γῆρας· ἤτοι
τὴν σὴν ὀργὴν καὶ ἀγανάκτησιν. Μενέλαε ποῖ σόν.)
ποῖ κυκλοῖς· ἤγουν στρέφεις τὸν πόδα ὑπὸ συννοίας ὢν
δηλονότι. ἤγουν ἐν φροντίδι καὶ σκέψει τῇ μετὰ στάσ/
τοῦ, διπλᾶς ὁδοὺς ἐρχόμενος διπλῆς φροντίδος. τουτέ
στι διπλοῦν λογισμὸν φροντίδος ἔχων. Μενέλαε ποῖ.
ὡς τῷ ποδὶ τὸ ἔδαφος περιγράφοντος αὐτοῦ. καὶ διστα/
κτικῶς ἔχοντος· καὶ ἀναλογιζομένου ἃ δέοι ταῦτα
ποιεῖν. ὅπερ ποιοῦσιν οἱ ἀμηχανοῦντες ἐν πράγμασι.
Ἀμηχανῶ.) ποῦ τῆς τύχης τράπωμαι. τουτέστιν ἀπο
ρῶ τίνι μᾶλλον βοηθήσω. σοὶ ἢ τυνδάρεῳ. ὁ μὲν γὰρ οὐκ
ἐᾷ με σοὶ προσθέσθαι δεινὰ ἐπαπειλούμενος. σὺ δὲ ἀ/
δελφιδοῦς ὢν ἐμοὶ ἀναγκαίως δίκαιος εἶ ἧς τῆς παρ' ἐ/
μοῦ τυχεῖν βοηθείας. Ἄλλως Ἀμηχανῶ εἰς ὁποίαν
τύχην τράπωμαι. τύχην ἐνταῦθα προσδοκωμέ/
νην λέγει. τουτέστιν ἀμηχανῶ ποτέραν μερίδα τῶν
προσδοκωμένων συμβήσεσθαι προτιμήσω.

Ἄλλως. Ποῦ τῆς τύχης τράπωμαι. πότερον σοὶ
συνέλθω, ἢ τυνδάρεῳ. τοῦτο γὰρ δηλῶσαι ἐβούλε
το. Μὴ νῦν πέραινε.) μὴ τὸ δοκοῦν σοι εἰς πέρας
ἄγε, πρὶν ἀκούσῃς τοὺς ἐμοὺς λόγους. ἐπεὶ γὰρ ἐν/
δοιασμῷ ἦν ἀμηχανῶν διὰ τὴν τύχην ὅποι τρά/
πηται, παραινεῖ αὐτῷ μήπω τῇ δοκήσει πέρας ἐπιθεῖ/
ναι. πρὶν ἀκοῦσαι τοὺς αὐτοῦ λόγους. καὶ οὕτω βουλεύ/
σεσθαι. Ἔστι δ' οὗ σιγή.) οἷον ἔστι καιρὸς ὅπου
ἡ σιγὴ κρείσσων τοῦ λόγου· καὶ ἔστιν ὅπου ὁ λόγος τῆς
σιγῆς κρείσσων. τὰ μικρὰ ἐναντιοῦνται τῇ μενελάου
βραχυλογίᾳ. τὴν μακρολογίαν προκρίνων. οἱ γὰρ
λάκωνες βραχυλόγοι. καὶ ὅμηρος. παῦρα μὲν ἀλ/
λὰ μάλα λιγέως. ὁ δὲ νοῦς, ἡ μακρὰ διήγησις. καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ διὰ πλειόνων ποιεῖσθαι τὴν ἀφήγησιν, σαφέστερον παρίστησι τὸ πρᾶγμα τῶν συντόμων λόγων. ἀνάσχου οὖν τῆς ἐμῆς μακρολογίας. ἐπεὶ σαφεστέρα ἐστί. τὸ δὲ ἐπίπροσθεν, ἀντὶ τοῦ προτιμότερά ἐστι τὰ μακρὰ διηγήματα, τῶν συντόμων λόγων. ἔνιοι δὲ ἀθετοῦσι τοῦτον καὶ τὸν ἑξῆς στίχον. οὐκ ἔχουσι γὰρ τὸν εὐριπίδειον χαρακτῆρα. καὶ πεποίηται ὁ νοῦς διὰ τὸν μενέλαον. οἱ γὰρ λάκωνες βραχύλογοι. Τὰ μακρά.) τὰ μὲν γὰρ, κατὰ λεπτὸν διασαφοῦσι τὴν ὑπόθεσιν. τὰ δ' ὥς οἱ ὄντε αὐτὸν εἰς ὀλίγον συνάγουσιν. καὶ διὰ τοῦτο ἀσάφειαν ἔχουσιν. Ἄλλως. τὰ ἐπὶ πολὺ ἐκτεταμένα τῶν λόγων, προτιμότερά ἐστι τῶν σμικρῶν. ἀντὶ τοῦ τῶν βραχέων. ἤγουν τῶν ἐπ' ὀλίγον ἐκτεταμένων.

Ἀδελφοῦ ἀπόδος.) τούτου ῥηθέντος αἴρουσιν οἱ ὑποκριταὶ τὴν χεῖρα ὡς τοῦ μενελάου ἀγωνιῶντος, μή ποτε λέγει ὅτι παρακαταθήκην ἀργυρίου παρὰ τοῦ πατρὸς πεπίστευται. εὐήθης δέ ἐστιν ὁ τοιαύτης ὑποψίας ἀντιλαμβανόμενος μενελάου. εἰ γὰρ μήτε τὸν λέγοντα ᾔδει, μήτε οὗ ἐστι χρεία. ἴσως ἂν εἶχέ τι πιθανὸν τὸ γινόμενον. ἐπεὶ δὲ ἐπίσταται, περιττὸν καὶ ἄπορον τὸ γιγνόμενον. Οὐ χρήματ' εἶπον.) οὐ λέγω φησὶ χρήματα. χρυσὸν. καὶ ἄργυρον. ἀλλὰ τῷ ὄντι χρήματα εἶπον τὴν ἐμαυτοῦ ψυχήν. ἥτις ἐστί μοι χρῆμα τιμιώτατον. ἣν ἐὰν σώσῃς, καλὴν ἀμοιβήν μοι δίδως. Ἅπερ μοι.) δέον εἰπεῖν ἥπερ πρὸς τὴν ψυχήν, ἅπερ εἶπε πρὸς τὰ χρήματα. ἀττικόν. ἀντὶ τοῦ ὅπερ φίλτατόν ἐστι τῶν ἐμῶν.

Ἀδικῶ; λαβεῖν. εἰ καὶ ἄδικον ἐποίησα φονεύσας τὴν μητέρα, ἀλλὰ σὺ ἐν τοιούτῳ μοι κακῷ ὄντι παρασχεῖν μοι ὀφείλεις. καὶ ὅση δύναμις ὑπὲρ ἐμοῦ ἀγωνίσασθαι. ἐν τούτῳ γὰρ μάλιστα δειχθήσῃ γνήσιος φίλος.

τῶν ὁμολογουμένοις κακοῖς μοι συνερχόμενος. εἰ γὰρ τὰ δίκαιά μου παντελῶς ἔῤῥωτο, τῆς παρ᾽ ἑτέρων ἐπικουρίας οὐκ ἐδεόμην. σύνηθες δὲ ἀναγνωστέον. ἀδικῶ; καὶ δεῖ στίζειν. εἶτα ἀπὸ ἄλλης ἀρχῆς. λαβεῖν χρή με ἀντὶ τοῦ δὲ τοῦ κακοῦ. οἷον ἀντὶ τῆς περιεχούσης με δυστυχίας. ἄδικόν τι αὐτῶν. καὶ γὰρ ἀγαμέμνων ἄναξ ἀδίκως. καὶ τὰ ἑξῆς. Τὸ δὲ ἀντὶ τοῦ δὲ τοῦ κακοῦ, ἀντὶ τῆς περὶ τοῦ πατρὸς βοηθείας. καὶ οὐδὲ εἶπε καθ᾽ ὑπόθεσιν ἀδικῶ. κατὰ συλλογισμὸν φησίν. ἀλλὰ λέγει ὅτι ἀδικῶ εἰς ἄδικον ἐπικουρίαν σε περιβαλών. οὐκοῦν καὶ σὺ ἀδίκησον περὶ ἐμοῦ. ὡς καὶ ὁ πατήρ μου διὰ σὲ ἠδίκησε τοὺς βαρβάρους. δεῖ γάρ με ἀντὶ τῆς ἀδικίας ἐκείνης, ἄδικόν τι λαβεῖν παρὰ σοῦ. ὅ ἐστιν εἰ κρίνεις κακὸν εἶναι τὴν ἐμὴν ἐπικουρίαν, δικαίως ἂν καὶ τὴν ἐπικουρίαν τοῦ ἐμοῦ πατρὸς, κακὸν ὀνομάσειας. ἀλλ᾽ οὐκ ἠδίκησεν ὁ πατὴρ ἐν καιρῷ σοι βοηθήσας. οὐκοῦν οὐδὲ σὺ ἀδικήσεις. Αντὶ τοῦδε τοῦ κακοῦ.) ἤγουν ἕνεκα ταύτης τῆς δυστυχίας βοηθήσομαι κινδυνεύοντι, ἄδικον δὲ εἶπεν, ἐπειδὴ οἱ τοῖς ἀδικοῦσι βοηθοῦντες, ἄδικόν τι ποιοῦσιν. Αδικίας τιμώμενος.) Καθὸ ἠδικήθης παρὰ ἀλεξάνδρου. Απέδοτο δ᾽ ὡς χρή.) ἀντὶ τοῦ ἔκδοτον τὸ σῶμα τοῖς πολεμίοις παρέσχεν, ὡς πρέπει τοῖς γνησίοις φίλοις. καὶ κατετρώθη ὅσον ἐφ᾽ ἑαυτὸν διὰ τὴν σὴν γυναῖκα. οἷα χρὴ τοῖς φίλοις τοὺς φίλους ἐκπονεῖν. τοῦτο γὰρ ἀπὸ κοινοῦ ληπτέον.

Αλλως. ἀπέδωκε τὸ σῶμα ἕνεκα σοῦ. ἐκπονῶν παρὰ τὸν πόλεμον ἀληθῶς. ὡς χρὴ τοὺς φίλους ἐκπονεῖν δηλονότι ἕνεκα τῶν φίλων. Απότισον οὖν μοι.) ὁ πᾶς λόγος. ἀπόδος μοι τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν ἰλίῳ παρὰ τοῦ πατρός. καὶ μόνην ἡμέραν ὑπὲρ ἐμοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πόνησον· μὴ δὲ τὴν θυγατέρα φονεύσῃς· ἐπειδὴ δεῖ σε ὥσπερ πλεονεκτεῖς μου τῆς εὐδαιμονίας, πλεονεκτεῖν καὶ ἐν τῇ ἀμοιβῇ τῆς εὐεργεσίας. Ἀδ' αὐλίς.) τὴν σφαγὴν τῆς ἐμῆς ἀδελφῆς, ἣν ἔλαβεν ἡ αὐλίς, ἐῶ σε ἔχειν ταύτην. Σφάγια.) τὰ σφαζόμενα. καὶ ἡ σφαγὴ ὡς ἐνταῦθα. Ἀδ' αὐλίς. ἐν αὐλίδι πόλει βοιωτίας θηρεύων ἀγαμέμνων ἔβαλλε τόξοις ἔλαφον καιρίαν πληγήν. καυχησάμενος δὲ ἐπὶ τῇ ἐπιτυχίᾳ. καὶ εἰπὼν ὡς οὐδ' ἂν αὐτὴ ἡ ἄρτεμις οὕτως ἔβαλεν, ἐπειράθη τῆς θεοῦ ὀργιζομένης. καὶ κατεχούσης τοὺς ἀνέμους ὡς μὴ δύνασθαι αὐτοὺς εἰς ἴλιον στέλλεσθαι. πέμψας οὖν ἀγαμέμνων εἰς δελφούς. καὶ μαθὼν παρὰ τοῦ χρησμοῦ ὡς εἰ βούλοιτο ἐξιλεώσασθαι ἄρτεμιν, θυσάτω τὴν αὐτοῦ θυγατέρα ἰφιγένειαν. τὴν καὶ ἰφιάνασσαν καλουμένην, πλασάμενος πρὸς τὴν γυναῖκα κλυταιμνήστραν ὡς ἀχιλλεῖ ταύτην συνάψειεν. ἐπεὶ δὲ θύειν αὐτὴν ἤρχετο, ἁρπάσασα αὐτὴν ἡ θεός. καὶ ἀντ' αὐτῆς ἔλαφον εἰς θυσίαν δοῦσα, ἀπάγει τὴν κόρην ἐν τοῖς ὑπερβορέοις πρὸς τὸν ἐκεῖσε αὐτῆς νεών. διότι θῦσαι αὐτὴν ἠβουλήθησαν. ὁπότε δὲ θεάσαιτό τινα τῶν ἐκεῖσε ἰόντα ἀπέκτεινεν. ὕστερον δὲ ὑπὸ ὀρέστου κεκλοφότος ἐπανῆκεν εἰς ἄργος. Ἄλλως. αὐλὶς πόλις βοιωτίας. ἐνταῦθα ἐπεσχέθησαν οἱ στρατευσάμενοι εἰς ἴλιον ἕλληνες. οὐ πνέοντος οὐρίου ἀνέμου διὰ τὰς καυχήσεις ἀγαμέμνονος τοξεύσαντος τὴν ἔλαφον. καὶ εἰπόντος μηδ' ἂν τὴν ἄρτεμιν οὕτω βαλεῖν. νῦν δὲ περὶ ἰφιγενείας λέγει ἣν ἔχρησεν ὁ θεὸς ἀπλοίας ἐπεχούσης τοὺς ἕλληνας ἀρτέμιδι θῦσαι. Ἄλλως. οὐκ αἰτῶ σε φησὶ τὴν σὴν θυγατέρα τὴν ἑρμιόνην ἀντ' ἐμοῦ δοῦναι. πρὸς σφαγὴν, ὥσπερ ὁ ἐμὸς πατὴρ τὴν ἰφιγένειαν, ἵνα σὺ τὴν γα-

μετὴν ἀπολάβῃς. ἀλλὰ σὺ μὲν ἔχε τοῦτο πλέον. καὶ κέρδαινε παρὰ τοῦ δαίμονος. ἐπεὶ σοὶ μὲν εὐτυχίας. ἐμοὶ δὲ δυστυχίας καιρός. ἐγὼ δέ σοι χάριν ἕξω σώσαντί με μόνον. κἂν μὴ τὸν αὐτὸν τρόπον σώζῃς ἡμᾶς ἀντ' ἐμοῦ δοὺς τὴν ἑρμιόνην. ἢ σωαπλέον τοῦτο πρὸς τὸ ἀπότισόν μοι. καὶ ἔστιν ὁ λόγος οὗτος. ἀπόδος τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν ἰλίῳ παρὰ τοῦ πατρός. καὶ μίαν ἡμέραν μόνον ὑπὲρ ἐμοῦ πόνησον. προσήκει γάρ σε ἐμοῦ δυστυχοῦντος πανυῶ. μηχανᾶσθαί τι πρὸς τὸ ἐμὲ σῶσαι ἐμὲ δὲ χάριν σοι ὁμολογεῖν. ἵνα τὸ μεταξὺ, κατὰ πένθεσιν γένηται. τοῦ πεῖσαι πλέον ἢ ἐγὼ δύνασαι. ὁ γὰρ εὖ πράσσων τοῦ μὴ πράττοντος πλέον δύναται λογίσασθαι τὰ πρὸς σωτηρίαν. Ἐρεῖς ἀδύνατον;) λύσις τοῦ ἀντιπίπτοντος. ἀλλ' εἴποις φησὶν ὅτι ἀδύνατον βοηθῆσαι. εἴ τι ἔξωθεν προσληπτέον. καθὸ μέγα ἐστὶ καὶ ἀσύγγνωστον τὸ ἁμάρτημα. ὅπερ ἀπεσιώπησεν ὀρέστης. ἀλλὰ κατὰ τοῦτό φησι, καθὸ ἀδύνατον εἶναι δοκεῖ βοήθησον. ὁ γὰρ γνήσιος φίλος ἐν τοῖς μεγίστοις κακοῖς δείκνυται. Ἄλλως. ἀλλὰ λέγεις φησὶν, ὅτι ἀδύνατόν ἐστι τὸ βοηθῆσαί μοι. ἐγὼ δέ σοι ἀντείποιμι ἄν, ὡς μάλιστά μοι διὰ τοῦτο συμβάλλεσθαι ὀφείλεις. εἰδὼς ὅτι ἐν τοῖς ἀδυνάτοις δεῖ τῶν φίλων. Αὐτὸ τοῦτο.) λείπει ἡ κατὰ ἵνα ᾖ κατ' αὐτὸ τοῦτο. ὅ ἐστι τὸ ἀδύνατον. Τί χρὴ φίλων.) κατὰ τί ἐστι χρεία τῶν φίλων. ἀντὶ τοῦ οὐδὲν ἐστὶ χρεία τῶν φίλων. φιλεῖν δ' ἁμαρτ.) ἀγαπᾶν τὴν γυναῖκα ὑπὸ πάντων τῶν ἑλλήνων νομίζῃ. καὶ οὐ λέγω τοῦτο ἀπατῶν σε τῇ κολακείᾳ. ἤγουν κολακεύων σε. οὐ κολακείᾳ. ἀλλ' ἀληθείᾳ λέγω. λείπει δὲ τὸ πρὸς ταύτης σε ὁρκῶ. τὸ δὲ ὦ μέλεος, ἠρέμα πρὸς ἑαυτὸν λέγει. ὦ ἄθλιος εἰς οἷον κακὸν. δηλονότι ἥκω.

Ταύτης ἱκνοῦμαι.) ἀντὶ τοῦ πρὸς ταύτης ὁρκῶ βοη/
θῆσαι μοι ἢ δέομαί σου πρὸς ταύτης. ὅπως ἄν μοι βοη
θήσειας εἰς τιμὴν αὐτῆς. τὸ δὲ ἑξῆς, ἠρέμα καθ᾽ ἑαυτὸν
λέγει. οἰκτείρων αὐτὸν ὅτι μέχρι τοσούτου προήλασεν
αὐτῷ τὰ τῆς δυστυχίας, ὡς διὰ τοῦ μεμνῆσθαι τῆς ἑλέ/
νης προσδοκᾷν βοηθείας τυχεῖν. ἀνάξιον γὰρ ἑαυτοῦ ἡ/
γεῖται, τὸ καὶ μόνον μεμνῆσθαι τοιαύτης γυναικός. μήτι
γε καὶ δοκεῖν σώζεσθαι δι᾽ αὐτῆς. δυστυχὴς οὖν φησὶν ἐ/
γὼ εἰς τοιοῦτο τῶν κακῶν ἐλθών. διὰ γὰρ γυναικὸς τῆς
πᾶσιν ἕλλησι κακῆς, σωθήσεσθαι προσδοκῶ. Τί δεῖ.)
ταλαιπωρεῖν με δεῖ. ἀλλὰ τί φησι μωραίνω τὸ περὶ
ταύτης σωθήσεσθαι παραιτούμενος. ἀνάγκη γάρ ἐστι
καὶ πρὸς τοῦτο καταβαίνειν οἰκτρότητος. καὶ πάντα
ὑπομένειν, κἂν αἰσχύνην μοι φέρῃ. οὐ γὰρ ἐγὼ μόνος. ἀλ/
λὰ καὶ πᾶς ὁ οἶκος ὁ ἐμὸς κινδυνεύει. Ἔστι δὲ καὶ ἑτέ/
ρα ἐκδοχὴ τοῦτο συναπτομένου τοῦ ταύτης ἱκνοῦμαι,
πρὸς τὸ ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε. εἶτα ὡς
τοῦ μενελάου ἀπεστραμμένου τὴν ἱκεσίαν, αὐτὸς δυ/
σφορῶν λέγει. δυστυχὴς ἐγὼ εἰς ἄπορον ἥκω κακῶν.
καὶ οὐκ ἔχω οὐδὲ μίαν καταφυγήν, ὁ πάλιν διαλα/
βὼν, θαρσύνει ἑαυτόν. καὶ φησί τί δεδοίκαμεν τὸν θά
νατον καρτερεῖν δεῖ καὶ φέρειν ἀναγκαίως τὰ παρὰ
τοῦ δαίμονος. τί δεῖ φησι παραιτοῦμαι τὴν αἰσχύνην.
πάσῃ μηχανῇ ποριστέον τὴν σωτηρίαν. οὐχ ὑπὲρ μι/
κρῶν γάρ μοι ὁ κίνδυνος. ἀλλ᾽ ὑπὲρ παντὸς τοῦ οἴκου
ἐστίν. Ἄλλως. τί δεῖ ταλαιπωρεῖν. καὶ κάμνειν ἐμὲ
περὶ τὴν δέησιν. οὐ γὰρ ὑπὲρ ἐμοῦ μόνου, καὶ τῆς ἐμῆς ἀ/
δελφῆς ποιοῦμαι τὴν δέησιν. ἀλλὰ ὑπὲρ παντὸς τοῦ
οἴκου καὶ τοῦ γένους ἡμῶν. ἀποθανόντος γὰρ ἐμοῦ, ἡ ἐκ
προγόνων πᾶσα εὐδαιμονία οἰχήσεται. ὥστε τῆς ἡμε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ασ' καὶ εἰς σὲ εἰπῶς τεινούσης, ἐπεὶ τοῦ αὐτοῦ γένους τυγχάνεις, οὐχ ἧττον ἐμοῦ δεῖ σε σπουδάζειν, ὅπως σωθείην. ἡ αὐτὴ ἡ κατασκευὴ πρὸς τὸ ἱκνοῦμαι ἐστί. τὰ δ' ἄλλα διὰ μέσου. Τὸν κατὰ χθονός.) δόκει ἀκούειν τάδε τὸν κατὰ χθονὸς θανόντα. ἤγουν νόμιζε ὅτι πάρεστιν ἐκεῖνος. καὶ ἀκούει τάδε. λέγω τὴν ψυχὴν ἐκείνου ποτωμένην ἐπάνω σου. συνυπακούεται δὲ ἐνταῦθα ὑπαρκτικοῦ ῥήματος μετοχή. ἡ καὶ ἐκφωνουμένη, κακοσύνθετον ποιεῖ τὸν λόγον καὶ ἄχρηστον. ὅτι δὲ λόγον ἔχει αὐτῇ συνυπακούεσθαι, δῆλον οὕτως. κατὰ χθονός ἐστιν ὁ δεῖνα λέγεται. καὶ τὸν κατὰ χθονὸς ὄντα ἐξ ἀνάγκης μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ, οὕτως. ἐπειδὴ καὶ κατὰ χθονός ἐστιν ὁ δεῖνα λέγεται. καὶ θανών, δύναται καὶ καταλλήλως ἔχειν τοῦτο. καὶ μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ λέγεσθαι μετασχηματιζόμενον. ἐπεὶ δὲ συμβαίνει ἐνταῦθα καὶ ἑτέραν εἶναι μετοχὴν κατὰ τὴν αὐτὴν πτῶσιν, καὶ διὰ τοῦτο κακόφραστον εἶναι τὸν λόγον, καὶ κακοσύνθετον, οὐδέποτε ἐκφωνεῖται ἡ τοῦ ὑπαρκτικοῦ ῥήματος μετοχή. ἀλλ' ἀεὶ συνυπακούεται κατὰ τὴν συνήθειαν τῶν ὑπαρκτικῶν. Ταῦτ' ἐς τε δάκρυα.) ἀντὶ τοῦ μετὰ δακρύων. καὶ γόων αἰτῶ τὴν σωτηρίαν. Ἄλλως. κατὰ ἀπόθεσιν ταῦτα ἐπάγεται. ἤγουν ταῦτα εἴρηκα, εἰς τε τὰ δάκρυα ἡμῶν καὶ τοὺς γόους. καὶ τὰς συμφοράς. ἤγουν μετὰ δακρύων, καὶ γόων εἶπον. ἢ οὕτως. εἶπον ταῦτα. εἰς δάκρυα. καὶ γόους. καὶ συμφοράς. ἤγουν ἵνα μὴ τύχω τούτων. τεύξομαι δέ, εἰ πετρωθῆναι με ἐάσεις. Κἀπῄτηκα.) ὡς χρέος ᾔτησα. Θηρῶν.) θηρώμενος. ζητῶν. Κἀγώ σ' ἱκνοῦμαι.) καὶ ἐγώ σε παρακαλῶ καίπερ ὑπάρχουσα γυνή. Βοηθεῖν. τοῖς δεομένοις. δυνατὸς γὰρ ὑπάρ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεῖς, ὠφελεῖν. τὸ δὲ ὠφελῶ, καὶ δοτικῇ. καὶ αἰτιατικῇ συντάττεται. ὡς καὶ αἰσχύλος. ὡς τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ. Καὶ χρὴ γὰρ οὕτω.) τοῦτο μερικῶς, ἢ καθόλου νοητέον. ὅτι πρέπει ἢ ἐμὲ, ἢ πάντα ἄνδρα συνεκκομίζειν καὶ συνεκφέρειν, ἣν ἰσχὺν δίδωσιν ὁ θεὸς, τὰ τῶν ὁμαιμόνων κακά. θνήσκοντα εἰ δεήσειεν ὑπὲρ ἐκείνων. καὶ κτείνοντα τοὺς ἐναντίους. εἰ μὲν γὰρ ἐξ ἀλλήλων οἱ συγγενεῖς βοηθεῖεν, τίς ἂν ἄλλως ἔξωθεν ἐλπίσοι βοήθειαν. τὸ δὲ θνήσκοντα, καὶ κτείνοντα τοὺς ἐναντίους, σαφήνειά ἐστι τοῦ οὕτω, θνήσκοντα. καὶ ὡς τεθνηξόμενον. καὶ ὡς κτανοῦντα τοὺς ἐναντίους. ἤγουν εἰ καὶ θάνατος πρόκειται. καὶ ἡ νίκη τῶν ἐναντίων. Συνεκκομίζειν). συμπονεῖν δεῖ τοῖς συγγενέσι. κἂν κίνδυνος παρῇ. καὶ μάλιστα εἰ τὸ θεῖον παρέχει δύναμιν. τὸ δὲ ἑξῆς, ἀντιστρεπτέον. ἐστι γὰρ κτείνοντα τοὺς ἐναντίους, καὶ θνήσκοντα. Τὸ δ' αὖ δύνασθαι.) τοὐναντίον αἴας φησί. καὶ πρὸς δαίμονά περ εἶπεν ἐρυσαίμεθα νεκρόν. Ἥκω γὰρ ἀνδρῶν.) οὐκ ἐπαγόμεθα συμμάχους. ἀλλ' ἔρημος τῆς παρὰ τούτων δυνάμεως ὤν, ὡς τῶν συμμάχων αὐτοῦ κατὰ τὴν πλάνην ἀλωμένων. πλὴν ὀλίγων ἢ οὕτως. ἦλθον ἔρημος συμμάχων. καὶ προσέτι πλάνην ὑφέστηκα πολλήν. Ἥκω γὰρ.) ἦλθον ἔχων τὸ δόρυ κενὸν συμμάχων ἀνδρῶν. ἤγουν κενὸς ὑπάρχων πολεμικῶν ἀνδρῶν. καὶ προσταλαιπωρήσας τῇ πλάνῃ. τὸ δὲ ἐνταῦθα ἐλπίδος προσήκομεν, ἀντὶ τοῦ προσῳκειούμεθα. καὶ ἐγγύς ἐσμεν ἐλπίδος. σκόπει οὖν πῶς οὔτε διὰ κολακείας πεῖσαι ὑπέσχετο, ἀλλὰ καὶ τοῦτο ἐν ἀμφιβολίᾳ ἀφῆκε. Σμικρᾶς σὺν ἀλκῇ.) σμικρᾷ δυνάμει ὠφελεῖν εἶπεν. ὁ δὲ λέγει σμικροῖς πόνοις. τὴν οὐδένειαν θεὶς, ἀντὶ τῆς δυνάμεως. Μάχῃ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέν.) ἐν μάχῃ μὲν, οὐκ ἂν περιγενοίμεθα τοῦ πελασγικοῦ ἄργους. ἤγουν οὐχ ὑπερισχύσομεν. Εἰ δὲ μαλθακοῖς.) οὕτω τοῦτο λέγει. ἐνταῦθα δὲ ἤγουν εἰς τοῦτο τῆς ἐλπίδος προσήκομεν. καὶ προσερχόμεθα, εἰ δυνάμεθα ὑπερβαλέσθαι ἐν λόγοις μαλθακοῖς. Σμικροῖσι μέν.) τῇ δι' ὀλίγων μάχῃ, τοὺς πολλοὺς καταγωνίσασθαι ἀδύνατον. ὅθεν εἰς πόλεμον μὲν ἐλθεῖν παραιτητέον αὐτοῖς. εἰ δὲ λόγοις ὑπελθεῖν δεῖ καὶ γοητεύσασθαι αὐτοὺς σοφίᾳ λόγων, ἐνταῦθα δυνησόμεθα. ἀνόητον δὲ καὶ ἀμαθὲς, καὶ τὸ μόνον προσδοκῆσαι τοὺς ὀλίγους τῶν πολλῶν περιγενέσθαι. Ὅταν γὰρ ἡβᾷ δῆμος.) ὅταν γὰρ δῆμος εἰς ὀργὴν πεσὼν ἀκμάζῃ, ὅμοιον κατασβέσαι αὐτὸν ὥσπερ ζητεῖν κατασβέσαι πῦρ λάβρον καὶ σφοδρόν. Εἰ δ' ἡσύχως.) εἰ δέ τις ἡσύχως καθ' αὑτὸν ἐνδιδοὺς ὑποτάσσοιτο τῷ δήμῳ θυμουμένῳ, εὐλαβούμενος καὶ φοβούμενος τὸν καιρὸν, ἀπὸ μεταφορᾶς τῶν πνευμάτων, ἴσως ἂν καταπαύσειε τῆς ὀργῆς δηλονότι. Ὅταν δ' ἀνῇ.) ὅταν δ' ἀναπνεύσῃ, ἐπιτύχοις ἂν εὐκόλως τοῦ λαοῦ, καθόσον βούλει. Ἔνεστι δ' οἶκτος.) ὁ δὲ ἀντὶ τοῦ γάρ. ἔνι ἔστι γὰρ τῷ δήμῳ καὶ ἐλεεῖν καὶ θυμοῦσθαι. καὶ ἅπας δὲ φίλος τοιοῦτος. ἐὰν τοίνυν θυμουμένῳ, τῷ δήμῳ εἴκῃς, πεπαύσεται τῆς ὀργῆς. καὶ λοιπὸν ἐπιτήδειός ἐστιν εἰς τὸ συνδραμεῖν ταῖς ἱκεσίαις. ὡς γὰρ ἐμπέφυκεν αὐτῷ τὸ μεγάλως ὀργίζεσθαι, οὕτω, καὶ τὸ ἐλεεῖν. τουτέστιν οὐ γὰρ πρὸς τὸ ὀργίζεσθαι μόνον ἔχει, ἀλλὰ καὶ πρὸς τὸ ἐλεεῖν. καὶ τῷ δυναμένῳ τοῦτο αὐτὸ καραδοκεῖν, καὶ ἐπιτηρεῖν, πότε μὲν μεγάλως θυμοῦται. πότε δὲ ἀνήκει τῆς ὀργῆς. κτῆμά ἐστι τοῦτο τιμιώτατον. τὸ εἰδέναι δηλο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νότι ἑκάστου καιρόν. ἢ οὖν αὐτὸς ὁ δῆμος κτῆμα ἐστὶ τιμιώτατον, τὸ εἰδέναι προσενεχθῆναι καθ' ὃν τρόπον αὐτῷ. ἢ ὁ καιρὸς μέγα κτῆμα τῷ καραδοκοῦντι τὸν δῆμον. καὶ γινώσκοντι πότε μὲν θυμοῦται. πότε δὲ ἐλεεῖ. Καραδοκοῦντι.) καιροφυλακτοῦντι. προσδεχομένῳ τὸν καιρόν. Τῷ λίαν χρῆσθαι καλῶς.) ἀντὶ τοῦ μετρίως χρῆσθαι. τῷ καλῶς λίαν χρῆσθαι. ἵν' ᾖ τὸ καλῶς ἠπίως. ἤγουν σφόδρα ἐνδέξασθαι τῶν πρὸς σὲ πράξεων. Καὶ ναῦς γὰρ.) καὶ ναῦς γὰρ βιαίως τοῦ ποδὸς ἐκταθέντος, ὑπέκυψεν. ὥστε ὕδωρ ἐκδέξασθαι. πάλιν δὲ ἀνορθώθη, ἐὰν χαλᾷ καὶ ἐνδιδῷ τὸν πόδα. τὰς ἄγαν γὰρ προθυμίας. ἀντὶ τοῦ τὰς ὑπερβολικὰς ὁρμὰς, καὶ ὑπὲρ τὸ δέον, μισεῖ ὁ θεός. Πρὸς βίαν ποδί.) εἰς κατασκευὴν τοῦ πρὸς ἐκείνους λόγου ταῦτα ἐπάγει. ποδὶ δὲ ἤγουν διὰ τοῦ ποδός. λέγεται δὲ οὕτω τὸ σχοινίον τὸ κάτωθεν τοῦ ἱστίου. Ἔβαψεν.) ἤγουν ἔφαλος γέγονεν. ἐλθὸν γὰρ πνεῦμα σφοδρὸν. καὶ πρὸς τὴν τοῦ ποδὸς τάσιν ἐμπεπτωκὸς, ἀνατρέπει. Σώζειν.) ῥύεσθαι. Σοφίᾳ. ἐπιτηδειότητι. καὶ οὐ δυναστείᾳ τῶν ἐπιχειρητηρίων. Οὐ γὰρ ῥᾴδιον.) ἀντὶ τοῦ οὐ ῥᾴδιον περιγενέσθαι τῶν σῶν κακῶν. καὶ ἀπαλεῖψαι παρούσας σοι συμφοράς. τὸ δὲ ἄργους γράφεται καὶ ἄργου. ἵν' ᾖ ἄργου γαῖαν. ἀριστοφάνης δὲ μετὰ τοῦ σ. οὐ πρὸς ἡμῶν φησιν, οὐ γὰρ τῆς ἡμετέρας ἀξίας ὑποδραμεῖν, καὶ διακολακεῦσαι τὸν τῶν ἀργείων ὄχλον. ἀνάγκη δ' ἡμᾶς δουλεῦσαι τῇ κρατούσῃ τύχῃ. τοῦτο γὰρ σοφῶν. καὶ φρονίμων ἀνδρῶν ἐστι. τὸ δὲ ἑξῆς. νῦν δ' ἀναγκαίως ἔχει, τοῖς σοφοῖς, δούλους εἶναι τῆς τύχης. Λόγχῃ μιᾷ. οὐχ ὅτι μίαν λόγχην εἶχεν, εἴρηκε τὸ λόγχῃ μιᾷ, ἀλλὰ δεικνύει ἐντεῦθεν, τὸ τῆς αὐτοῦ δυνάμ-

μεθ' ὀλίγον. εἰκότως δὲ ἐπέφερε τὸ τρόπαια πρὸς τὸ λόγχη. ἐκ γὰρ δοράτων, τὰ τρόπαια γίνεται. Οὐ γάρ ποτ' ἄργους.) ἤγουν οὐ δέποτε τοῖς ἀργείοις ταπεινῶς ὑποπεπτώκαμεν. ἀλλὰ μεγαλοπρεπῶς καὶ γενναίως αὐτοῖς ἐχρώμεθα. προσάπτοντες μετ' ἐξουσίας, ὅσα ἂν ἐβουλόμεθα. Οὐ γὰρ ῥάδιον.) εἰ γὰρ ἦν τοῦτο ῥάδιον. οὔποτε διὰ τοῦ ἄργους τὴν γῆν. ἤγουν διὰ τὸ ἄργος προσεφέρομεν ἑαυτοὺς εἰς τὸ μαλθακόν. νῦν δὲ ἀναγκαίως ἔχει τοῖς σοφοῖς, δούλους εἶναι τῆς τύχης. Νῦν δ' ἀναγκαίως ἔχει.) εἰ γὰρ ὁ δῆμος νῦν εὐτυχής. ἡμεῖς δὲ ἀτυχεῖς ὡς εἰρήκαμεν, οὐ δεῖ πρὸς αὐτὸν ἰσχύος ἀλλὰ σοφίας. καὶ μεταχειρίσεως. σοφοῦ γὰρ ἀνδρὸς πρὸς τὰς τῆς τύχης μεταβολὰς τοῖς πράγμασι χρῆσθαι. Ω πλὴν γυναικός.) λείπει ἡ εἰς. τὸ δὲ ἑξῆς ὦ εἰς τἄλλα οὐδέν. πλὴν εἰς τοῦτο σπουδάζων, εἰς τὸ ἕνεκεν τῆς σῆς γυναικὸς στρατεύεσθαι. Ἄλλως. Τοῦτο οὕτω φασί τινες. ὦ μενέλαε κάκιστε βοηθεῖν τοῖς φίλοις, χωρὶς τοῦ στρατεύειν εἵνεκα γυναικός. εἰς τοῦτο γὰρ κάλλιστος. τὰ δ' ἄλλα τυγχάνεις οὐδέν. οὓς αὐτὸς ἐάσας ὡς ἀμαθεῖς, οὕτω λέγε. ὦ μενέλαε οὐδὲν τὰ ἄλλα χωρὶς τοῦ στρατεύειν εἵνεκα τῆς γυναικός. ὦ κάκιστε τιμωρεῖν καὶ βοηθεῖν τοῖς φίλοις. ἢ τὸ πλὴν ἀντὶ τοῦ εἰ μή. Ἄφιλος ἦσθ' ἄρ.) μάτην ἄρα φησὶν ὦ πάτερ ἐταλαιπώρεις ἐν τῷ πολέμῳ. οὐδενὸς σώφρονα φρονοῦντος, ὑπὲρ ὧν ἠτύχεις. τὸ γὰρ πράττων κακῶς, ἀντὶ τοῦ ἀδίκως. τουτέστιν οὐ φίλοις ἄρα οὐδ' εὐγνώμοσιν ἐχαρίζου ἀνδράσιν. οἱονεὶ κατ' αὐτὸ τοῦτο ἡμᾶς ἠδίκεις. ἡμᾶς μὲν ἐρήμους καταλιπών. ἀναισθήτοις δὲ καὶ ἀγνώμοσι χαριζόμενος. ἢ οὕτως. οὐχ ὑπὲρ φίλων ἄρα ἐπολέμεις τοῖς βαρβάροις. ἀλλ' ἡμάρτανες κακοῖς χαριζόμενος. ἢ δυστυχῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταγὼ ὦ πάτερ οὐδένα κέκτησαι φίλον. Ἄφιλος.) ἐπειδὴ νῦν δυστυχῶν οὐκ ἔχεις τὸν βοηθήσοντα. ἡ γὰρ ἐμὴ δυστυχία εἰς σὲ ἀναφέρεται. ἄφιλος ἦσθα ποτέ, ὅτε μετὰ τῶν ζώντων διῆγες. εἰ γὰρ εἶχες ποτὲ φίλους, νῦν ἂν ἐβοήθουν τοῖς ἐκ σοῦ γεγονόσι. τὸ δὲ πράσσων κακῶς, ἢ ἀπὸ τοῦ παρόντος καιροῦ ὡς ἔφαμεν νόει. ἢ διότι ὑπὲρ μενελάου ποτὲ ἐκινδύνευεν ἐν πολέμῳ ἄφιλος. ἤγουν ἐστερημένος φίλων τῶν μελλόντων δηλονότι προσήσεσθαι. Πιστὸς ἐν κακοῖς.) πιστὸς ἀνὴρ, κρείσσων εἰς τὸ ὁρᾶν αὐτὸν τινὰ ἐν ταῖς δυστυχίαις, τῆς γαλήνης τῶν ναυτίλων. τοῖς ναυτίλοις, πρὸς τὸ γαλήνης ἐστὶν οὐ πρὸς τὸ κρείσσων. ὡς πολλάκις φαμὲν, φίλος φίλου. καὶ φίλος φίλῳ, οὕτω καὶ γαλήνη ναυτίλων, καὶ γαλήνη ναυτίλοις. Ἄλλως. Ὁ βέβαιος φίλος, κρείσσων ἐστὶ τῆς ὁρωμένης ἐκ ζάλης τοῖς ναυτικοῖς γαλήνης. Θᾶσσον.) ἀφικόμην διὰ τοῦ ἄστεος θᾶττον προβαίνων, ἤγουν ἐπιτείνων τὴν εἰς τοὔμπροσθεν πορείαν; ἢ ἐχρῆν με προβαίνειν. ἁρμοδίως ἐνταῦθα τῷ τροχαϊκῷ ἐχρήσατο μέτρῳ, πρὸς σπουδὴν τοῦ ὑποκειμένου. εἰσὶ γὰρ οἱ ἐντεῦθεν στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ οη̄. ὧν τελευταῖος μυρίων κρείσσων ὁ μαίμων. κεκτῆσθαι φίλον. ἐπὶ τῷ τέλει κορωνίς. Θᾶσσον.) τὴν αἰτίαν τοῦ θᾶσσον ἱκόμην, ἐπιφέρων, αὐτίκα λέγει. σύλλογον πόλεως ἀκούσας τόνδ' ἰδὼν αὐτίκα σαφῶς. λέγει ὅτι ἐρχόμενος διὰ τῆς πόλεως, ἤκουσα παρά τινων, ὡς ἐκκλησίαν ἀργεῖοι ἐποίησαν ἐπὶ σὲ καὶ ἠλέκτραν, ἵνα κτείνωσιν. εἶδον δὲ καὶ αὐτὸς ἐν τῇ ἐκκλησίᾳ τινὰς στείχοντας, ὅθεν σπεύσας ἀφικόμην. ἵνα μάθω τοῦ χάριν ταῦτα ἐστί. καὶ ὅσω δύναμαι εἰσενέγκω σοί. Ἄλλως. Θᾶσσον ἢ ὡς ἐχρῆν με παραγενόμην.

διὰ τῆς πόλεως, τὸν περὶ σέ. καὶ τὴν σὴν ἀδελφὴν σύλλογον τῆς πόλεως, καὶ ἀκούσας, καὶ τοῖς ὀφθαλμοῖς ἰδών. ὡς τῆς φήμης διαδραμούσης ἄχρι φωκίδος. οὐ μόνον οὖν φησὶν ἤκουσα σύλλογον περὶ σὲ γεγενῆσθαι, ἀλλὰ καὶ παριὼν, εἶδον. Τί τάδε ἐστί.) πῶς διάκεισαι. τί ποιεῖς ὦ φίλτατέ μοι φίλων καὶ ἡλίκων. καὶ τῆς συγγενείας. κατὰ πάντα γὰρ τάδε ὑπάρχεις μοι. Ἀπολώλαμεν.) ὡς ἐν βραχεῖ σοι λόγῳ τὰς ἐμὰς δυστυχίας δηλώσω. Συγκατασκάπτοις ἄν.) συγκαταχωννύεις. συναναιρεῖς. συνδιαφθείρεις καὶ ἡμᾶς. τὸ κατασκάπτειν κυρίως ἐπὶ πόλεως. ἐνταῦθα δὲ καταχρηστικῶς εἴρηται. Ὁ μενέλαος κάκιστος ἐφάνη εἰς ἐμὲ, καὶ τὴν ἐμὴν ἀδελφήν. Ὥσπερ οὐκ ἐλθών.) οὕτως ἐμοὶ προσηνέχθη, ὡς μὴ παραγενόμενος. Χρόνιος.) ἀντὶ τοῦ μετὰ χρόνον πολύν, ὅμως κἂν βραδὺ παρεγένετο, ἀλλὰ τάχιστα τοῖς φίλοις ἐφωράθη κακός. Καὶ τὴν γυναῖκα τὴν κακοτροπωτάτην, διὰ νεὼς ἦλθεν ἄγων; Οὐκ ἐκεῖνος.) διαβάλλει ὡς γυναικοκρατούμενον αὐτόν. καὶ ὡς οὐκ ἂν ἐληλύθει, εἰ μὴ παρεγεγόνει ἡ ἑλένη. κωμῳδεῖται δὲ ὁ στίχος διὰ τὴν ταυτότητα. Ποῦ ᾽στιν ἥ.) τῷ ὑποτακτικῷ συντάττει τὸν λόγον. ὀφείλων γὰρ εἰπεῖν ποῦ ἐστὶν ἡ γυνὴ, ἣ πλείστους ὤλεσεν ἀχαιῶν, ὁ δὲ φησί, ποῦ ἐστὶν, ἥτις γυνὴ πλείστους ἀχαιῶν ὤλεσεν. Εὐλαβεῖτο.) ἐδειλία. ὅπερ λέγουσιν οἱ κακοὶ φίλοι μὴ θέλοντες τοῖς φίλοις βοηθεῖν. λέγοντες εὐλαβούμεθα. ἤτοι δειλιῶμεν. καὶ φοβούμεθα. γνησίου γὰρ φίλου, τὸ ὑπὲρ δύναμιν τολμᾶν. ὅπερ εὐλαβεῖσθαι αὐτὸς ἔλεγεν. Σκῆψιν εἰς ποίαν.) εἰς ποίαν πρόφασιν προχωρῶν. τοῦτο μαθὼν, πάντ᾽ ἔχω.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αἰθάνῃ.) νοεῖς. τὴν τούτου συγγένειαν προέκρινε μᾶλ-
λον, ἢ τὴν τοῦ ἐμοῦ πατρός. καὶ οὐχ ὑπέμεινεν ἀντιλαμ-
βάνεσθαι τῶν σῶν πόνων, παραγινόμενος; Οὐδαμῶς.
οὐ γὰρ πολεμιστὴς ὑπάρχει. γενναῖος δ' ἐν γυναιξί.
Ἐν κακοῖς.) ἐν κινδύνοις ὡς ἔοικεν ὑπάρχεις μεγί-
στοις. καὶ ἀναγκαῖόν ἐστί σοι ἀποθανεῖν.. Ψήφων.)
χρεία ἐστὶ θέσθαι τοὺς πολίτας ψῆφον περὶ ἡμῶν ἐπὶ
τῷ φόνῳ. τουτέστι διὰ τὸν φόνον ὃν εἰργασάμεθα. Ἡ κρι-
νεῖ.) τί πρᾶγμα ἡ ψῆφος κρινεῖ. εἰπὲ ὅτι δέδοικα.
Ἢ θανεῖν.) κρινεῖ ἢ θανεῖν ἡμᾶς, ἢ ζῆν. ὁ λόγος δ' οὐ μα-
κρός ἐστι περὶ μακρῶν πραγμάτων. Φεῦγε νῦν.) τὸ
νῦν ἀργόν. ἢ ἀντὶ τοῦ γοῦν. φεῦγε λοιπὸν σὺν τῇ ἀδελ-
φῇ σου τοὺς οἴκους καταλιπών. Οὐχ ὁρᾷς;) οὐ βλέ-
πεις. πανταχόθεν φυλασσόμεθα φρουροῖς. εἶδον τὰς
ῥύμας τῆς πόλεως δι' ὅπλων φυλαττομένας. ἀντὶ τοῦ
ὑπ' ἀνδρῶν ὡπλισμένων ὠχυρωμένας. Ὥσπερεὶ.
καθὰ πόλις κυκλοῦται παρὰ τῶν ἐχθρῶν, κατὰ τὸ σῶ-
μα κυκλούμεθα. Κἀμέ.) ἐρώτησον νῦν καὶ ἐμὲ τί πάν-
θάνω. καὶ γὰρ καὶ ἐγὼ αὐτὸς φθείρομαι. Παρὰ τίνος.)
τοῦτο τὸ οἴχεσθαί σε δηλονότι, προσυπάρχει τοῖς ἐμοῖς
κακὸν κακοῖς. Στρόφιος ὁ ἐμὸς πατὴρ ἐξώρισέ με τῶν
οἴκων θυμωθείς. Στρόφιος ἀναξιβίαν τὴν ἀγαμέμνονος
ἀδελφὴν, ἔγημεν. ἐξ ἧς ἔφυσε τὸν πυλάδην. ὅθεν ὀρέστης
καὶ πυλάδης ἀνεψιοί. Στρόφιος ἤλασέ μ'.) ὁ στρόφιος
ὁ ἐμὸς πατὴρ ὀργισθεὶς, ἤλασέ με ἀπὸ τῶν οἴκων. φυ-
γάδα ποιήσας. δηλονότι ἐξόριστον. λέγεται δὲ ἀντιστρό-
φως. ἀντὶ τοῦ ἀπελάσας τῶν οἴκων, ἐξόριστον ἐποίη-
σεν. Ἴδιον.) ἤγουν πρὸς αὐτὸν ἰδίως ἀποβλέπον
ἔγκλημα. ἤγουν ἁμάρτημα ἐπιφέρων σοι. τουτέστι κα-
τηγορῶν σου ἢ κρίσιν τοῖς πολίταις. Ἄλλως. Πότ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρου ἰδίᾳ κατὰ τὴν οἰκίαν ὄντι σοι ἐγκαλῶν. ἢ σὺ δημοσίῳ τινὶ πράγματι ἴδιον ἐπιφέρων σοι ἔγκλημα. ὅτι σὺ ἔπραξας σοι λέγων τὸν τῆς μητρός σου ἄδικον φόνον. ὦ τάλας ἐγώ. δοκοῦσιν αἱ ἐμαὶ δυστυχίαι καὶ σὲ λυπῆσαι. Οὐ χρώμεθα τοῖς μενελάου ἤθεσι. ἄξιον φέρειν ταῦτα. Οὐ φοβῇ ἵνα μή σε οἱ ἀργεῖοι ὥσπερ καὶ ἐμὲ ἀποκτεῖναι θελήσωσιν. Οὐ προσήκομεν.) οὐχ ἁρμόζομεν κολάζεσθαι ὑπὸ τούτων. ὑπὸ τῆς γῆς δὲ τῶν φωκέων. χαλεπὸν τὸ πλῆθος ὅταν πανούργους ἄρχοντας ἔχει. Ναί δηλονότι. ἀλλ' ὅταν προστάτας λάβῃ χρηστούς, ἀεὶ χρηστὰ βουλεύεται. Ἄλλως. οὐχ ὑποτασσόμεθα τούτοις εἰς τὸ τιμωρῆσαι ἡμᾶς. οὐχ ὑποκείμεθα. ἀλλὰ τοῖς φωκεῦσιν. ὁ δὲ νοῦς δώσουσί σε φονεῦσαι ὑπερβαίνοντες τὸν νόμον. δεινὸν γὰρ οἱ πολλοὶ ὡς καὶ τὰ ἑξῆς. Ἄλλως. Ἰδίως εἶπεν. τὰ γὰρ ἐπιτίμια τοῖς ἀδικοῦσιν, ἡ ἀδικουμένη πόλις εἴωθεν ἐπιτιθέναι. Ἄλλως. Θαρσύνων αὐτὸν φησίν, ὅτι οὐ προσήκομεν εἰς τὸ κολάζεσθαι τοῖς ἀργείοις. Δεινὸν οἱ πολλοί.) εἰς κλεοφῶντα ταῦτα αἰνίττεται πρὸ ἐτῶν δύο ἐμποδίσαντα τὰς σπονδάς. Ἄλλως. Ἴσως αἰνίττεται πρὸς τὰς καθ' αὐτὸν δημαγωγίας. μή ποτε δὲ εἰς κλεοφῶντα. πρὸ ἐτῶν γὰρ δύο τῆς διδασκαλίας τοῦ ὀρέστου, αὐτός ἐστιν ὁ κωλύσας σπονδὰς γενέσθαι ἀθηναίοις πρὸς λακεδαιμονίους. ὡς φιλόχορος ἱστορεῖ. ὁ δὲ νοῦς δώσουσί σε φησὶ φονεῦσαι ὑπερβαίνοντες τὸν νόμον. δεινὸν γὰρ οἱ πολλοί. καὶ τὰ ἑξῆς. Ἀλλ' ὅταν χρηστούς.) ἀλλ' ὅταν φησὶ χρηστοὺς καὶ κολακευτικοὺς λάβωσι τοὺς δεομένους, χρηστοὶ γίνονται. Εἶεν.) ταῦτα μὲν οὕτως. κοινῶς δ' ὀφείλομεν σκοπεῖν. καὶ λέγειν τὰ δόξαντα. Ὡς ἔδρασας ἔνδικα.) τοῦτο φησὶ ἐρεῖς ὅτι ἔνδικα ἔπραξας, τὴν μητέρα ἀποκτείνας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πατρὶ τιμωρῶν. ἔνδικα γὰρ ἔπραξα φησὶ, τὸν ἐμαυτοῦ
πατέρα διεκδικῶν. Μὴ λάβωσι.) ὅρα ἵνα μή σε ἡ-
δέως λάβωσι. ἐπιθυμοῦσι γὰρ τοῦ σοῦ φόνου. ὥς τε ἐὰν
ἴδοιεν ἀφιγμένον ἐκεῖσε, καὶ λέγειν ἐπιχειροῦντα, ὡς
δικαίως τὸν φόνον εἰργάσω, ταχέως κατὰ σοῦ ψῆφον
θανάτου ἐξενέγκοιεν. τοῦτο δὲ λέγει ὁ πυλάδης πρὸς
τὸν τοῦ ὀρέστου λόγον. τῷ πατρὶ τιμωρῶν ἐμαυτοῦ. εἰ
γὰρ καὶ πρώην αὐτὸς ὑπετίθει αὐτῷ μὴ ἄλλο λέγειν τοῖς
πολίταις ἢ ὡς ἔδρασεν ἔνδικα, ἀλλὰ νῦν ὥσπερ ὑ-
ποστέλλεται. εἰδὼς τοὺς πολίτας πρὸς τὸν τυνδάρεων
μᾶλλον νεύοντας. ἀλλ' ὑποσταλεὶς σὺ σιωπῇ ἀποβαίνω.
Χαλεπὸν τοῦτο. Πῶς οὖν ἂν ποιήσαιμι. Ἔχεις τινὰ ὑπο-
μένης ἐλπίδα σωτηρίας; Οὐκ ἔχω. Μολόντι.) ἐλ-
θόντι δὲ φησὶν εἰς τὴν ἐκκλησίαν, ἔνεστιν ἐλπὶς εὑρεῖν ἀ-
παλλαγὴν τῶν δεινῶν. μαθὼν οὖν τοῦτο, συναινεῖ καὶ
αὐτὸς παραγενέσθαι τὸν ὀρέστην εἰς τὴν ἐκκλησίαν. διε-
γνωκὼς ἅπαξ οὐκ οὖσαν αὐτῷ σωτηρίας ἀφορμὴν ἄλ-
λοθεν. Εἰ τύχοι.) ἀντὶ τοῦ εἰ συμβαίη. οἷον ἀμφίβο-
λον ἐστὶ τοῦτο. Οὐκοῦν τοῦτο.) τὸ ἀπελθεῖν λοιπὸν
κρεῖττον ἢ μένειν. καὶ δῆτ' ἀπέλθω; Θανὼν γοῦν ὧδε.)
κἂν ἀποθάνῃς φησὶν ἐν τῇ ἐκκλησίᾳ ἀφόβως τεθνήξῃ.
ὡς καὶ πρὸς τὸν θάνατον ἀφόβως ὁρμήσας. καὶ μετὰ τοῦ
δικαίου παῤῥησιασάμενος. Καὶ τὸ πρᾶγμα ἔνδικόν
μοι.) ἀλλὰ καὶ τὸ πρᾶγμα μου φησὶ δικαίως ἔῤῥωταί
μοι. καὶ κατησφάλισται. πατροκτόνον γὰρ ἀνεῖλον. ὅθεν
καὶ ἐλεηθήσεσθαι προσδοκῶ. ἢ τοῦτο ἀκόλουθόν ἐστιν εἰς
τὸ ἀλλὰ δῆτ' ἔλθω. ἔλθω φησί. καὶ τὸ πρᾶγμα ἔνδικόν
μοι. ἔπραξα γὰρ τὸν φόνον τὸν μητρῷον, διὰ τὸν θάνατον ἀ-
φάλων τὸν πατρῷον. ἔξω δὲ προσυπακουστέον, προσε-
δόκων καὶ ἐλέους τεύξεσθαι διὰ τὸν θάνατον. Τὸ δοκεῖν

εὐχῇ μόνον.) εὐχῇ φησὶ πάντας οὕτω δοξάζειν, ὅτι δίκαιόν ἐστι τὸ πρᾶγμα. ἐπεὶ πολλοῖς ἐδόκει ἄδικον εἶναι. καὶ Σιμωνίδης. τὸ δοκεῖν καὶ τὴν ἀλήθειαν βιάζεται. ὁ δὲ Ὀρέστης καλῶς λέγεις. φεύγω τὸ δειλὸν διὰ τὸ ἐκεῖ παραγενέσθαι. τουτέστι φεύγω τὸ εἶναι δειλός. οὐ παρέχω δειλίας ὑπόνοιαν, ὡς μὴ ἔνδικα πράξας. καὶ διὰ τοῦτο τὸ κριτήριον ἀποφεύγων. Φεύγω τὸ δειλόν.) ἀντὶ τοῦ τὴν ὑπεροψίαν τῆς δειλίας. τοῦτον τὸν τρόπον. τὸ τῇ δὲ ἀντὶ τοῦ οὕτως. εἰ ἐκεῖ ἀπελθών. ἢ τὸ τῇ δὲ, ἀντὶ τοῦ ἐνταῦθα. ἤγουν φεύγω τὸ ἐνταῦθα δειλόν. ἤγουν τὸ μένειν ἐνταῦθα. τοῦτο γὰρ δειλόν. τὸ ἑξῆς. καὶ τίς ἄν κἀμὲ οἰκτίσατο θάνατον ἀσχάλων πατρῷον. ἤγουν τοῦ ἐμοῦ πατρός. Μέγα γὰρ ηὑγένειά σου.) ἤγουν διὰ τὸ εὐγενὲς ἐλεηθήσῃ. οἷον πάνυ σοι συμβάλλεται πρὸς τὸν ἔλεον ἡ εὐγένεια. ὁ δὲ θάνατον ἀσχάλων πατρῷον, ἔπραξα φησὶ τὸν θάνατον τῆς μητρός. ἀσχάλων διὰ τὸν θάνατον τοῦ πατρός. τὸ δὲ ἑξῆς. καὶ τίς ἄν με οἰκτίσειε διὰ τὸν τοῦ πατρὸς ἀσχάλων θάνατον. Πάντα.) πάντα ταῦτα προφανῆ εἰσι. Ἰτέον.) ἄξιον ἀπελθεῖν. ὅτι δειλόν ἐστι, τὸ ἀδόξως ἀποθανεῖν. Αἰνῶ τάδε.) συναινῶ ταῦτα. Ἦ λέγωμεν.) ἆρα βούλει ἵνα εἴπωμεν τῇ ἀδελφῇ μου ταῦτα. Μὴ πρὸς θεῶν.) μὴ λέξωμεν πρὸς θεῶν. Δάκρυα γοῦν.) τὸ γοῦν ἐνταῦθα ἔμφασιν τοῦ γὰρ ἔχει. ὅπερ καὶ ἐν ποιήσει καὶ λογογραφίᾳ εὑρήσεις. Οὐκοῦν οὗτος.) οὐκοῦν φησὶ παραιτητέον εἰπεῖν τῇ ἀδελφῇ. ἐπεὶ δακρύσει. καὶ τοῦτο αὐτὸ κακὸς οἰωνὸς ἔσται. τὸ δάκρυον δηλονότι. Ἄλλως. Δέον οὕτως εἰπεῖν. οὐκοῦν τοῦτο ὃ φῂς ὡς εἰ γνώσεται ἡμᾶς ἀπερχομένους κλαύσεται, μέγας οἰωνός ἐστιν. ἤγουν μέγα καὶ χαλεπὸν τεκμήριον ἐστὶ πρὸς τὸν προκείμενον ἡμῖν ἀγῶνα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ γὰρ ἠνίκα τί μέλλουσι πράττειν οἱ ἄνθρωποι· ἐὰν ἐν προοιμίοις λύπαις ἐντύχωσι, τεκμαίρονται ἐντεῦθεν, ὡς οὐ καλῶς οὐδ' ἀκινδύνως τουτὶ διανύσουσι. δέον οὕτως εἰπεῖν. ὁ δὲ εἴρηκεν οὐκοῦν οὗτος οἰωνὸς μέγας. πρὸς τὸν οἰωνὸν τὸ οὗτος ποιήσας. ὥσπερ ἐστὶ καὶ τὸ ξύλινον μόρον φέροντες. ἣν παγίδα καλοῦσι. καὶ ἕτερα μυρία ἐστὶ τοιαῦτα παρὰ τοῖς ποιηταῖς καὶ τοῖς λογογράφοις. Τῷ χρόνῳ.) τῇ ὑπερθέσει τῶν θρηνημάτων αὐτῆς κερδανεῖς. ὅ ἐστι, καὶ τὸ μὴ ἀπὸ τοῦ νῦν θρηνεῖσθαι κερδανεῖς. Ἄλλως. κερδανεῖς φησὶ τὸ μὴ δακρῦσαι αὐτὴν, καὶ γενέσθαι κακὸν οἰωνὸν ἐν τῷ μεταξὺ τῆς κρίσεως χρόνῳ. τουτέστιν ἕως ἂν ἡ κρίσις ἐξενεχθῇ. Ἄλλως. τοῦτο λέγει. ὡς εἰ μὴ νῦν μαθοῦσα δακρύσει, ἀλλ' ὕστερον, κέρδος ἕξεις τὸν χρόνον. ἐπειδὴ τὸ μὲν πρὸ τοῦ ἀγῶνος δακρῦσαι, τεκμήριον ὡς ἔφαμεν χαλεπόν. ἢν δ' ὕστερον τοῦτο ποιήσει. οὐδὲν ἡμῖν τούτου μελήσει. Πρόσαντες. ἐμπόδιον. ἐναντίον. Τί τόδε.) τί ἐστι τόδε ὃ πάλιν λέγεις νέον.

Μὴ θεαί.) δέδοικα μήπως με αὖθις αἱ θεαὶ τῇ μανίᾳ κατάσχωσι. Ἀλλ' ἐγὼ ἐπιμελήσομαί σου. Βαρὺ ἅπτεσθαι ἀσθενοῦντος ἀνδρός. ἀλλ' ἐμοὶ οὐχ ὑπάρχει δυσχερὲς τὸ ψαύειν σου. Φοβοῦ μανίας μεταλαβεῖν τῆς ἐμῆς. Τὸ δ' οὖν ἴτω.) τὸ μανῆναί με ἐλθέτω.

Οὐ φοβῇ σύ;) οὐδαμῶς φοβήσομαι. φόβος γὰρ τοῖς φίλοις ὑπάρχει μέγα κακόν. Ἕρπε νῦν.) βάδιζε νῦν πηδάλιον τῆς πορίας μου. Φίλ' ἔχων.) βαδίζω. κυβερνήσεις, ἐπιμελείας, καὶ κηδεύσεις ὑπὲρ σοῦ ποιούμενος. Καί με πρὸς τὸν τάφον ἄγε τοῦ πατρός.

Ὡς τί δὴ τοῦτο.) τί τοῦτο εἴρηκας. ἢ ἵνα τί ἐκεῖσε θέλεις ἀπελθεῖν. Ἵν' αὐτὸν παρακαλέσω σῶσαί με.

Τὸ δρᾶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ δρᾶν οὕτω, δίκαιον ἐστί. Τὸν μητρὸς δὲ μὴ δὲ θεάσαιμι τάφον. Ἐπειδὴ ἐχθρὰ ὑπῆρχεν. ἀλλ᾽ ἐπείγου ἵνα μή σε πρότερον ἡ καταδίκη προλάβῃ. περιβαλὼν τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρὰ τὰ ὑπὸ τῆς νόσου ἀσθενῆ. καὶ δυσκίνητα. ὅτι ἐγὼ διὰ μέσης τῆς πόλεως, οὐδαμῶς τοῦ πλήθους ἐπιστρεφόμενος, βαστάσω σε μηδὲν ἐντραπείς. Ἄλλως. οὐ φροντίσας τοῦ ὄχλου, ὀχήσω. καὶ βαστάσω σε διὰ μέσης τῆς πόλεως. ποῦ γὰρ ὑπάρχων δείξω σοι πιστὸν φίλον ἐμαυτὸν, εἰ μὴ βοηθήσω σοι ταννῦν ἐν δειναῖς συμφοραῖς ὄντι καὶ χαλεπαῖς; Τοῦτ᾽ ἐκεῖνο.) ἦν ἄρα φησὶ καλῶς τοῦτο δεδογμένον. καὶ ᾀδόμενον, τὸ μὴ μόνον τοὺς συγγενεῖς φίλους νομίζειν, ἀλλὰ καὶ εἴ τις βέβαιος τὴν διάθεσιν. Ὅτι ὅστις τρόπῳ καὶ διαθέσει συγκάμνει φίλῳ ξένος ὢν, πολλῶν συγγενῶν ἀμείνων ἐστὶν ὁ τοιοῦτος. Μυρίων κρείσσων.) μυρίων ἀδελφῶν κρείσσων ὁ φίλος ἐστὶν ἀνθρώπων. εἰς τὸ κεκτῆσθαι αὐτόν. ὅμοιον τῷ ἢ δὺς ὁ ποταμὸς πιεῖν. Ὁ μέγας ὄλβος.) τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ ὡς εἴρηται. ἐστὶ δὲ τὰ παρόντα τρία ἐπῳδικὴ. καὶ εἰσὶ τῆς στροφῆς τὰ κῶλα ιβ̄. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ ᾱ χοριαμβικὸν δίμετρον. ἀκατάληκτον ἐκ διτρόχου πεντασυλλάβου. καὶ χοριάμβου β̄. εἰ δὲ βούλει ἰωνικὸν. ἢ παιωνικὸν δίμετρον ὑπερκατάληκτον. ἐκ παιόνων δ̄. ἰωνικοῦ ἀπὸ μείζονος. καὶ ἐπιτρίτου δευτέρου. τὸ β̄ καὶ τὸ γ̄ ὅμοια κατὰ πάντα. τὸ δὲ δ̄ ἰωνικὸν, τρίμετρον ἀκατάληκτον ἐκ παίωνος δ´ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ ἐπιτρίτου β´. τὸ ε´ ἐπιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον καλούμενον εὐπολίδειον. ἑκατέρωθεν ἔχον ἰαμβικὰς συζυγίας. μέσον δὲ τὸν χορίαμβον. καὶ ἐστὶ τῶν πολυχη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ματίσων. τὸ ς̄ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. ἐκ παίωνος δ΄ ἰωνικοῦ καὶ τροχαίου. ἔχει δὲ ἐνταῦθα τὸν ἰωνικὸν πεντασύλλαβον. τὸ ζ΄ ἀναπαιστικὸν πενθημιμερές. ἐνταῦθα δὲ καὶ δάκτυλον ἔχει τὸν ᾱ πόδα. τὸ η̄ ὅμοιον ἐφθημιμερές. εἰ δὲ ἐν τοῖς κώλοις ἀναρμόστως οἱ πόδες κεῖνται, οὐ θαῦμα. τοῦ αὐτοῦ γὰρ μέτρου εἰσὶν ἀμφότεροι. ὅ, τε δάκτυλος καὶ ὁ ἀνάπαιστος. τὸ θ΄ προσοδιακὸν δίμετρον καταληκτικόν. ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ χοριάμβου. διὰ τὴν ἀδιάφορον. ἐνταῦθα δὲ πεντασύλλαβον ἔχει τὸν ἰωνικόν. τὸ ῑ ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου γ΄. ἀντὶ ἰωνικοῦ καὶ σπονδείου. τὸ ια̅ ἰαμβικὸν ἐφθημιμερές. τοῦ β̄ ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. ἐκ παίωνος β̄. καὶ ἐπιτρίτου β΄. τὸ ιβ̄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ τῆς ἀντιστροφῆς, παράγραφος. Ο μέγας ὄλβος.) τὸ ἑξῆς. ὁ μέγας ὄλβος καὶ ἡ ἀρετὴ τῶν ἀτρειδῶν ἡ μεγαλοφρονήσασα καὶ ἐν ἑλλάδι. καὶ ἐν τροίᾳ, εἰς τὸ ἐναντίον τῆς εὐδαιμονίας ἀνῆλθεν. ὅ ἐστιν εἰς δυστυχίαν ἀρχαίαν, τὴν τοῖς ἀτρείδαις συμπεσοῦσαν ἐπὶ τῷ χρυσομάλλῳ ἀρνῷ. διώκεται καὶ μεγαλοφρονοῦσι τοῖς ἀτρείδαις.

Ἄλλως. διὰ τὴν παλαιάν, καὶ πάλαι κεκινημένην συμφοράν, λέγει δὲ τὴν μοιχείαν τῆς γυναικὸς ἀτρέως, καὶ τὴν βορὰν τῶν τέκνων τοῦ θυέστου. ὡς καὶ ἐν τοῖς ἑξῆς ἐπάγει. ἢ οὕτως. προϋπαρξάσης ἑτέρας κατὰ τὸν ἀνέκαθεν χρόνον συμφορᾶς τῶν τέκνων αὐτοῦ. εἶτα δυστυχίας τῆς κατὰ τὸ ἴλιον. καὶ πάλιν δυστυχίας τῆς νῦν τραγῳδουμένης. ἥτις αὐτοῖς προυξένησε συμφορὰς ἀτόπους, τῶν μὲν, οἰκτροτάτων παίδων βοράν. τῶν δὲ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σφαγὴν ἀνόσιαν τέκνων ἀδελφοῦ· ἑξῆς δὲ χρόα τεμνῶν πυριγενεῖ παλάμᾳ· τῷ τῶν τοκέων· ἤγουν ἔλαβε παρὰ τὸ τεκεῖν ἴσως. Ἄλλως. ὁ μέγας ὄλβος. καὶ ἡ περίπυστος κατὰ πᾶσαν τὴν ἑλλάδα. καὶ ἐν ἰλίῳ τῶν ἀτρειδῶν εὐδαιμονία καὶ ἀρετὴ, εἰς τοὐπίσω πάλιν ἀνέδραμεν. ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταβληθεῖσα. καὶ ὥσπερ εἰπεῖν ἀπόρρησιν ἔχουσα. Ἐκ τῆς παλαιᾶς ἐκείνης τῆς κατ᾽ οἶκον συμφορᾶς. ἐκείνη γὰρ ἡ ἔρις αὐτοῖς ἡ περὶ τοῦ χρυσομάλλου ἀρνοῦ, ἠργάσατο ἐλεεινὰ βρώματα. καὶ σφαγὰς ἀνοσίους συγγενῶν τέκνων τοῦ θυέστου. ἐξ ἐκείνου γὰρ συγγενεῖς. καὶ ἀλληλοπάλληλοι σφαγαὶ, οὐ διαλείπουσι τὸν τῶν ἀτρειδῶν οἶκον. καὶ τὸ νομιζόμενον καλὸν, οὐ καλόν ἐστι. λέγει δὲ τὸ ἀπηνεῖ χειρὶ διατεμεῖν τὸν χρόα τῶν γονέων. καὶ ἡμαγμένον ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς. τὸ γὰρ ἀδικεῖν πατέρα, ἀσεβῶν ἐστι καὶ ἀνοήτων τέκνων. καὶ πονηρῶν ἀνθρώπων. τὸ δέ γε τῆς συμφορᾶς τῆς κατὰ τοῦτον, ἐλεεινότερον. μέλλουσα γὰρ τελευτᾶν ἡ τυνδαρείῳ Κλυταιμνήστρα, φόβῳ τοῦ θανάτου ἀνεβόησεν ἡ δυστυχής. ὀρέστα, τολμᾶς μὲν τὸν κατὰ τῆς μητρὸς φόνον, ὅρα δὲ καὶ σκόπει μὴ τῆς εἰς τὸν πατέρα τιμωρίας ἀνταλλάξῃ δύσκλειαν ἀθάνατον. οὔτε γὰρ νόσος. οὔτε τις ἑτέρα συμφορὰ γένοιτ᾽ ἂν ἐν ἀνθρώποις μείζων μητροκτονίας. Χρυσέας ἔρις ἀρνός.) πέλοπος ἀτρεὺς καὶ θυέστης ἦσαν υἱοί. ἀτρεὺς γοῦν τὸν ἀμφιμήτριον ἀδελφὸν χρύσιππον ἀγαπώμενον ἀμέτρως ὑπὸ τοῦ πατρὸς αὐτοῦ φθονήσας, εἰς φρέαρ ἀποπνίγει. ὁ μαθὼν πέλοψ ἐξώρισεν αὐτόν. ὕστερον δὲ μετὰ θάνατον πέλοπος ἐπανῆλθε. καὶ ἑκάτερος αὐτῶν τῆς βασιλείας ἀντεποιεῖτο. ἀτρεὺς μὲν, ὡς πρῶτος ὢν κατὰ νόμους. θυέστης δὲ τοῖς νόμοις ἐναντιούμενος συνέθετο οὖν εἴ τις αὐτῶν δείξει τι τέρας, κύριος εἶ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁρίζεσθαι τῆς ἀρχῆς· ἐν τοῖς ποιμνίοις δὲ τοῦ ἀτρέως, εὑρε-
θῆναι χρυσοῦν ἀρνίον· καὶ μετὰ ταῦτα ἀτρέως δεῖξαι τὸ τέρας
τοῖς δικασταῖς, καὶ λαβεῖν τὴν ἀρχήν, ἀερόπη ἡ γυνὴ τούτου
μοιχευομένη θυέστῃ τῷ ἀδελφῷ, κλέψασα τοῦτο παρέ-
δωκεν αὐτῷ· θυέστης δὲ λαβὼν τοῦτο καὶ δείξας τοῖς δικα-
σταῖς τῆς ἀρχῆς ἐκράτησε. μὴ ἀνασχόμενος δὲ ὁ ἀτρεὺς·
ἀλλὰ δυσχεραίνων, ὅτι ἀδίκως ἐστέρηται τῆς ἀρχῆς, ἅμα
τε ἀερόπην τιμωρεῖται κατ' ἀμφοῖν· καὶ ὅτι ἐμοιχεύετο ἐκ θυέ-
στου· καὶ ὅτι ἔκλεψε τὸ ἀρνίον καὶ ἔδωκεν αὐτῷ, ῥίψας αὐ-
τὴν εἰς τὴν θάλασσαν, ὥς φησι σοφοκλῆς· καὶ τοὺς τρεῖς
υἱοὺς τοῦ θυέστου· ἀγλαόν· ὀρχομενόν· καὶ καλέον ἀποκτεί-
νας παρέθηκεν εἰς τράπεζαν τῷ πατρί· καὶ αὐτὸν ὕστε-
ρον ἀπέκτεινεν. δι' ὃ ὁ ἥλιος μὴ στέξας τὸ παράνομον,
μίαν ἡμέραν ἐκ δυσμῶν πρὸς ἕω διαφρέει· σὺν αὐτῷ
δὲ καὶ αἱ πλειάδες τὴν ἐναντίαν ἐβάδισαν. Ἤλυθε
Τανταλίδαις.) ἤγουν τοῖς ἀπογόνοις τοῦ ταντάλου ἢ
ἔρις τῆς χρυσῆς ἀρνός· ἤγουν ὑπὲρ τῆς χρυσῆς ἀρνός· ἔρις
γὰρ τινὸς λέγεται· καὶ ἣν ἐρίζει αὐτὸς πρός τινα· καὶ ἣν ἐ-
ρίζει τις πρὸς αὐτόν· καὶ ἣν ἐρίζουσιν ἕτεροι περὶ αὐτοῦ.

Οὐ προλείπει.) τὰ ἑκατέρῳ συμβάντα, κατ' ἀμφοτέ-
ρων ἐξενήνοχεν τί γὰρ δεινὸν ὁ μενέλαος ἐπανελθὼν πέ-
πονθεν· εἰ μὴ τὰ ἐν ἰλίῳ δι' αὐτὸν γινόμενα λέγει· καὶ
σύλληψις οὖν ὁ τρόπος· τὸ γὰρ ἑτέρῳ συμβάν, κατ' ἀμ-
φοτέρων ἔταξεν. Τὸ κακόν.) τὸ καλῶς δοκοῦν γε-
γενῆσθαι· οὐ καλῶς ἀπέβη τῷ ὀρέστῃ· τὸ δὲ ἐστι τὸ ἀπη-
νεῖ χειρὶ διατεμεῖν τὸν χρόα τῶν γονέων· καὶ ᾑμαγμέ-
νον ἀνατείνειν τὸ ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς. Τόδ' αὖ
τὸ δὲ μετὰ λόγου καὶ πιθανότητος ἐπιχειρεῖ τι καὶ πρᾶτ-
τειν κακόν, οὐχ ἁπλῶς ἐστιν ἀσέβεια· ἵν' ᾖ καθόλου τοῦτο
καὶ τῶν ἀτρέως καὶ θυέστου· καὶ τῶν κλυταιμνήστρας· καὶ

ἐπ' αἰγίσθου· καὶ οὐ μόνον ἐπὶ τούτων· ἀλλὰ καὶ καθολική ἐστι γνώμη· τὸ δὲ κακοφρονούντων ἀνδρῶν παράνοια, τοιοῦτον ἐστί· τῶν κακὰ διαλογιζομένων ἀνδρῶν· αἴτιον τοῦ ἀλόγιστόν ἐστιν· ἡ τοιαύτη ἡ σύνταξις· οὐδὲ τοῦτο φησὶ καλόν· τὸ, τὸ ξίφος ᾑμαγμένον δεῖξαι ταῖς τοῦ ἡλίου αὐγαῖς· εἰώθασι γὰρ οἱ ἀνελόντες τινὰ δικαίως ὡς οἴονται, τῷ ἡλίῳ τὸ ξίφος δεικνύναι· σύμβολον τοῦ δικαίως πεφονευκέναι· Μελάντερον δέ·) διὰ τὸ μέλαιναν λαβὴν ἔχειν· τουτέστι μελάγκωπον· ἢ μέλαν ὑπὸ τοῦ φόνου γενόμενον· πολλὰ δέ εἰσι τὰ τοιαῦτα σύνθετα· οἷον κελαινεφὲς αἷμα· οὐ γὰρ ἔγκειται τὸ νέφος· οὕτω καὶ ἐνταῦθα τὸ δὲ δέεσθαι οὐκ ἔγκειται· Ἄλλως· τὸ μὲν κακουργεῖν, ἀσεβῶν ἐστι· καὶ πονηρῶν ἀνθρώπων· τὸ δὲ τῆς συμφορᾶς τῆς κατὰ τοῦτον, ἐλεεινότερον·

Ἄλλως· ἀλλὰ καὶ τὸ δεινὰ πρᾶξαι· ἀσέβεια ἐστίν· τοῦτο δέ φησιν, ἐπειδὴ ἡ κλυταιμνήστρα ἐφόνευσε τὸν ἀγαμέμνονα· Σφαγὰς γενναίων τέκνων·) τῶν εὐγενῶν τέκνων τοῦ θυέστου· Φόνος φόνον ἐξαμείβων·) φόνος φόνον διαδεχόμενος· ἐξ ἐκείνου δὲ φόνοι συνεχεῖς· καὶ ἀλλεπάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν τῶν ἀτρειδῶν οἶκον· Πυριγενεῖ·) ἀπηνεῖ· καὶ θρασεία· καὶ ἀνημέρῳ· ὡς ἂν ἔκπυρος γεγενημένῃ· ἢ τῷ ξίφει· ἐπεὶ ὑπὸ πυρὸς παλαμᾶται· Ἀμφὶ φόβῳ·) διὰ τὸν φόβον τοῦ θανάτου· Ἰάχησεν·) ἐβόησεν· Ἐξάψει·) ἐγείρεις κακὴν φήμην δι' ὅλου· Τίς νόσος, ἢ τίνα δάκρυα·) τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλα· ἐστὶ ιγ· τὸ α' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· ἐκ δύο δακτύλων καὶ β' ἀναπαίστων τοῦ β' διαλελυμένου· καὶ γεγονότος προκελευσματικοῦ, ἤτοι τετραβράχεος· τὸ β' ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον· ἡ δὲ βουλὴ ἰωνικὸν ἀπὸ μείζονος

μονόμετρον ὑπερκατάληκτον. τὸ γ΄, ἀσυνάρτητον ἐκ δακτυλικοῦ διμέτρου. καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. εἰ δὲ βούλει ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. ἐξ ἐπιτρίτου τετάρτου, διϊάμβου καὶ βακχείου. τὸ δ΄. τροχαϊκὸν ἰθυφαλλικόν. τοῦ γ΄ ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει. ἰωνικὸν ἀπ᾽ ἐλάσσονος. ἐκ τροχαϊκῆς συζυγίας. ἤτοι ἐπιτρίτου β΄. καὶ ἀναπαίστου. καί ἐστιν ἐφθημιμερές. τὸ ε΄, ὅμοιον ἰωνικὸν ἐξ ἐπιτρίτου α΄. καὶ ἀναπαίστου. τὸ ϛ΄, παιωνικὸν δίμετρον. ὑπερκατάληκτον. ἐκ παιώνων πρώτων δύο. καὶ συλλαβῆς. τὸ ζ΄, ἐφθημιμερές. τὸ η΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τοῦ α΄ ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει ἰωνικὸν ἀπ᾽ ἐλάττονος ἐφθημιμερές. ἐκ παίωνος γ΄, ἀντὶ ἰωνικοῦ καὶ μολοσσοῦ. τὸ θ΄, χοριαμβικὸν δίμετρον. ἀκατάληκτον. διὰ τὴν ἀδιάφορον. τὸ ι΄, ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. ἐξ ἐπιτρίτου β΄ πεντασυλλάβου καὶ χοριάμβου. τὸ ια΄, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. ἐκ χοριάμβου ἰωνικοῦ ἀπὸ μείζονος. καὶ συλλαβῆς. τὸ ιβ΄, τροχαϊκὸν ἐφθημιμερές. τῶν πρώτων δύο ποδῶν, χορείων. τὸ ιγ΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. ἐξ ἀντισπάστου διϊάμβου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει κορωνὶς. καὶ παράγραφος. ταῦτα γάρ ἐστι σημεῖα τοῦ τέλους τῆς ἐπῳδοῦ. Τίς ἔλεος.) δέον τίς δυστυχία εἰπεῖν, ἔλεος εἶπεν ἀπὸ τοῦ συμβαίνοντος. τοῖς γὰρ δυστυχοῦσιν, ἔλεος παρὰ τῶν ἄλλων γίνεται. τὸ αὐτὸ δὲ νοητέον, καὶ πρὸς τὸ τίνα δάκρυα. βούλεται δὲ ἐντεῦθεν εἰπεῖν, ὅτι πάντων ὅσα παρὰ ἀνθρώποις δεινὰ, τὸ ἀποκτεῖναι μητέρα, δεινότερον. Μείζων κατὰ γᾶν.) οὐδεὶς δηλονότι. ἐπεὶ οὔτε νόσος. οὔτε συμφορὰ, μείζων ἐστὶ τῆς μητροκτονίας. Οἷον ἔργον τλέσας.) οἷον ὁ δυστυχὴς Ὀρέστης καταπραξάμενος τὸ τῆς μητροκτονίας, ἀγρόθυμα γε γένηται ταῖς

ἐριννύσι· συλληφθεὶς ὑπ᾽ αὐτῶν, διὰ τὸν τῆς μητρὸς φόνον· δινεύων δὲ βλεφάροις· ἀντὶ τοῦ περιδινούμενος τοὺς ὀφθαλμούς· τοιοῦτοι γὰρ οἱ μανιώδεις· καὶ πανταχοῦ περιστρέφων αὐτούς· ὅ ἐστι πεπηγμένους ἔχων τοὺς ὀφθαλμούς· τὸ δὲ ἑξῆς· εὐμενίσι δρομάσι· δρομάσι δὲ, ταῖς εὐκινήτοις· Τελέσας) διαπραξάμενος· Βεβάκχευται· τετάρακται· Δρομάσι·) ταχείαις· Δινεύων·) περισκοπούμενος· Ω μέλεος·) ὡς ἄρα ἤθα τὴν φύσιν ὠμός· ἡνίκα ἡ μὲν ὠδινήσασα προὔτεινέ σοι τὸν μαστὸν ὑπὸ τῶν χρυσοϋφῶν ἱματίων, γαλακτοτροφίας ὑπομιμνήσκουσα· καὶ τὸ ἔλεον διὰ τούτου θηρωμένη· σὺ δὲ πρὸς τοῦτο ἀπιδὼν, οὐκ ἠλέησας τὴν τεκοῦσαν· ἀλλὰ γέγονας τῆς μητρὸς ἀνόσιος φονεύς· τῷ σῷ πατρὶ ὑπὲρ ὧν πέπονθεν ἐκδίκησιν δι᾽ ἀσεβείας διδούς· Χρυσεοπηνήτων· ἐκ χρυσοῦ καὶ μετάξης κατασκευασθέντων ἱματίων· Υπερτέλλοντα·) ὑπερκύπτοντα· ὑπερανατεινόμενον· Αμοιβήν·) εἰς ἐκδίκησιν· Γυναῖκες ἤπου·) καὶ ἑξῆς αὗται αἱ περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων, ριγ· ὧν τελευταῖος, ὡς εἰς στεναγμοὺς, καὶ γόους δραμουμένη· ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει κορωνίς· Γυναῖκες·) ὦ γυναῖκες, ἆρα ἐξῆλθεν τῶν δόμων ὁ ἄθλιος ὀρέστης τῇ ἐκ θεοῦ ἐρχομένῃ τύχῃ δαμασθείς, Ηκιστα·) οὐδαμῶς μαινόμενος· σωφρονῶν δὲ ἀπῆλθε πρὸς τὸν ἀργεῖον λαόν· δώσων ἀγῶνα τὸν προκείμενον περὶ τῆς ζωῆς· ἐν ᾧ ἀγῶνι ἀπόκειται ἢ ζῆν ἢ θανεῖν ὑμᾶς· φεῦ· τί πρᾶγμα πεποίηκε· τίς δὲ κατέπεισεν αὐτὸν, ὁ πυλάδης· φαίνεται δὲ ὅδε ὁ ἄγγελος οὐ μακρὰν ὢν, εἰπεῖν τὰ ἀπὸ τῶν ἀργείων περὶ τοῦ ἀδελφοῦ σου· ὦ ἀθλία θύγατερ τοῦ ἀγαμέμνονος σεβασμένα ἠλέκτρα· ἄκουσον λόγους δυστυχεῖς· οὓς σοι φέ-

ρων ἐλήλυθα. Παῖ πότνια.) πότνιαν αὐτὴν καλεῖ, ἢ διὰ τὸ εἶναι αὐτὴν παρθένον τοσοῦτον χρόνον, ἢ διὰ τὸ βασιλέως εἶναι θυγατέρα. καὶ βασιλέως, οὐ τοῦ τυχόντος. δύστηνον δὲ καὶ τλήμονα τῶν παρουσῶν ἕνεκα συμφορῶν. Οὕς σοι δυστυχεῖς ἥκω φέρων.) ὅμοιος τῷ ποιεῖσιν, ἢ πλείσους ἀχαιῶν ὤλεσε μία γυνή. ὀφείλων γὰρ εἰπεῖν ἄκουσον λόγους δυστυχεῖς, οὓς ἥκω φέρων σοι. ὁ δὲ, συνυπάγει τῷ ὑποτακτικῷ ἄρθρῳ τὸν λόγον καὶ φησίν. ἄκουσον λόγους. δυστυχεῖς λόγους ἥκω φέρων σοι. Αἰαῖ.) ἀπολώλαμεν. Ἀπὸ τοῦ λόγου δῆλος εἶ κακάγγελος ὤν. Ἐκυρώθη τῇ ψήφῳ τῶν ἀργείων τὸν ἀδελφὸν ἀποθανεῖν. καὶ σὲ ὦ τάλαινα κατὰ τήνδε τὴν ἡμέραν. Οἴμοι.) προσῆλθεν ἐλπὶς ἣν ἐκ μακροῦ φοβουμένη διὰ τὸ μέλλον, ἐφθειρόμην. καὶ διερρεόμην ὑπὸ τῶν γόων. τίς δὲ ἀγών. καὶ τίνες λόγοι ἐν τοῖς ἀργείοις κατεδίκασαν ἡμᾶς ἀποθανεῖν εἰπὲ ὦ πρεσβῦτα, πότερα διὰ λιθοβολούσης χειρὸς. ἢ διὰ ξίφους τὴν ψυχὴν ἀποβαλεῖν ἀπόκειταί μοι. κοινὰς συμφορὰς τοῖς τοῦ ἀδελφοῦ κεκτημένη. Κοινὰς ἀδελφῷ.) ἢ ἴσον θάνατον τῷ ἀδελφῷ θνήσκουσαν, ἢ τὴν αὐτὴν δυστυχίαν τῷ ἀδελφῷ ἔχουσαν. ἢ ἐκείνου μὲν τὸν φόνον ποιήσαντος. ἐμοῦ δὲ συμβουλευσάσης. καὶ διὰ τοῦτο ἐπειδὴ ὁμοίως ἀμφότεροι δυστυχοῦμεν, καὶ τὸν αὐτὸν ὑπέσχοιμεν ἂν θάνατον. Ἐτύγχανον μὲν βαίνων ἐξ ἀγροῦ ἐντὸς τῶν πυλῶν, χρήζων ἀκοῦσαι τὰ περὶ σοῦ καὶ τὰ περὶ ὀρέστου, ἀεί ποτε γὰρ εὐνοϊκῶς διεκείμην πρὸς τὸν πατέρα σου. καί μ' ἔτρεφεν ὁ σὸς οἶκος πένητα μέν. εὐγενῆ δὲ πρὸς τὸ χρῆσθαι τοῖς φίλοις. ἢ γενναῖον ὑπάρχοντα τοῖς φίλοις εἰς τὸ χρῆσθαι αὐτοὺς ἐμοί. ὅμοιον τῷ ἦλυς ὁ ποταμὸς πιεῖν. Καὶ θακοῦντ' ἄκραν.) τόπος οὕτω

καλούμενος· λέγει δὲ τὴν πρῶνα. ἐνταῦθα φασὶ τοὺς ἀργείους ἐκκλησιάζειν. λέγουσι δὲ καὶ τὸν δαναὸν ἐνταῦθα δεδωκέναι δίκας τῷ αἰγύπτῳ. ὑπὲρ ὧν εἰργάσαντο φόνων αἱ θυγατέρες αὐτοῦ. Ἄλλως. Δαναὸς ἐγένετο ἄργους βασιλεύς. οὗτος τὰς θυγατέρας ἑαυτοῦ πεντήκοντα οὔσας, ἐκδίδωσιν εἰς γάμον τοῖς υἱοῖς αἰγύπτου πεντήκοντα καὶ αὐτοῖς οὖσι. οὗτος ἀπῆλθεν εἰς τὸ μαντεῖον χρησόμενος εἰ ἄρα καλῶς ἔγημαν αἱ θυγατέρες. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ, ἐκ τούτων κινδυνεύσειν. ὁ δὲ, ἔπεισε τὰς θυγατέρας ἀνελεῖν τοὺς υἱοὺς αἰγύπτου. μόνη δὲ ὑπερμνήστρα ἐφείσατο τοῦ λυγκέως. καὶ οὗτος ἐβασίλευσεν ἄργους. Ἄλλως. Ὅπου φασὶ πρῶτον τὸν δαναὸν μετὰ θάνατον τῶν υἱῶν αἰγύπτου, δοῦναι δίκας. αὐτὸς γὰρ ὁ αἴγυπτος ἧκεν εἰς ἄργος τιμωρήσων τῷ φόνῳ. δαναὸς δὲ μαθὼν, ἐξῆγεν εἰς ὅπλα τοὺς ἀργείους. ἀλλὰ λυγκεὺς πείθει λόγοις λῦσαι τὴν ἔχθραν. καὶ καθίστωσι δικαστὰς αὐτοῖς, αἰγυπτίων καὶ ἀργείων τοὺς ἀρίστους. ὁ δὲ τόπος ἔνθα ἡ δίκη συνήχθη περὶ τὴν μεγίστην ἄκραν. ἔνθα καὶ ἴναχος ἁλίσας τὸν λαὸν, συνεβουλεύετο οἰκίζειν τὸ πεδίον. ἐξ ἐκείνου ἁλιαία καλεῖται, ἡ νῦν ἡ λιαία λεγομένη. Ἄλλως. Ἡ πολλὴ δόξα κατέχει μὴ ἐλθεῖν τὸν αἴγυπτον εἰς ἄργος. καθάπερ ἄλλοι τε φασὶ, καὶ ἑκαταῖος. γράφων οὕτως. ὁ δὲ αἴγυπτος, αὐτὸς μὲν οὐκ ἦλθεν εἰς ἄργος. λέγεται δέ τις ἐν ἄργει πρὼν, ὅπου δικάζουσιν ἀργεῖοι. ἱστορεῖ δὲ περὶ τοῦ χωρίου δεινίας. γράφων οὕτως. ταχέως δὲ κυριεύσαντα τὸν μελάχαριν. καὶ τὴν κλεομήτραν, βάλλοντες λίθοις ἀπέκτειναν. καὶ τὸν τάφον αὐτοῦ δεικνύουσιν ἔτι καὶ νῦν, ὑπὲρ ἄνω τοῦ καλουμένου πρῶνος, χῶμα παντελῶς. οὐ συμβαίνει τοὺς ἀργείους δικάζειν. τάχα

δ' αὖ τούτου καὶ ἐν Βελλεροφόντῃ μνημονεύει ἐπῶν· καὶ ξεστὸν ὄχλον δαναΐδων ἑδρασμάτων. Ἀνεπτέρωκε.) διήγειρε. Κατηφῆ.) σκυθρωπόν. Καὶ παρειμένον.) παραλελυμένον· καὶ ἔκλυτον ὑπὸ τῆς νόσου. Τὸν δ' ὡς τ' ἀδελφόν.) τὸν δὲ ὀρέστην ἐπὶ τῷ φίλῳ λυπούμενον ἴσα ἀδελφῷ. Κηδόντα.) θεραπεύοντα· ἐπιμελούμενον. Παιδαγωγία.) χειραγωγία. Ὑπὸ τοῖς δυναμένοις.) ὑπὸ τοῖς ἄρχουσιν. Διχόμυθα.) ἀντὶ τοῦ διχογνώμονα· τοῖς κρατοῦσιν ἄλλοτε ἄλλα πρὸς χαριζόμενος· τὸ δὲ διχόμυθα ἐξηγεῖται. διὰ τοῦ καλοῖς κακοὺς λόγους ἐλίατων. Καθιστάναι δὲ νόμους, ἀντὶ τοῦ κυροῖ. λέγων ὅτι ὀρέστης οὐ καλὸν νόμον εἰσήνεγκεν εἰς τοὺς τεκόντας. Ἐπὶ τὸν εὐτυχῆ.) καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει· ὅτι ἀεί ποτε φῦλον κηρύκων λάλον. Φαιδρωπόν.) χαροπὸν ἔστρεφε. Πηδῶσι.) μεταβαίνουσιν. Ἐν τ' ἀρχαῖσιν ᾖ.) καὶ ὅς τις ἐν ἀρχαῖς ᾖ πόλεως· ἤγουν ἀρχὴν πόλεως ἄρχει· ἢ ὃς ἂν δύνηται καὶ ἄρχει τῆς πόλεως. Οὗτος κτανεῖν.) οὗτος ὁ διομήδης οὐκ εἶα κτανεῖν οὔτε σέ· οὔτε τὸν σὸν ἀδελφόν. ἔλεγε δὲ ἐξορίᾳ ζημιοῦν· οὐ γὰρ διώκεται τὸ εἶα ἀπὸ κοινοῦ καὶ ἐνταῦθα λέγεσθαι. Ἐπερρόθησαν.) ἐθορύβησαν. Ἀθυρόγλωσσος.) ἀκρατόστομος· ὁ κλεοφῶν. Ἀνὴρ ἀθυρόγλωσσος ταῦτά φησιν ἐπὶ κλέωνι τῷ δημαγωγῷ λέγεσθαι. σφαλλόμενοι· πρὸ γὰρ τῆς τοῦ ὀρέστου διδασκαλίας πολλοῖς χρόνοις, κλέων ἐτελεύτα. τάχα οὖν εἰς κλεοφῶντα τείνει· ἐπεὶ καὶ ἔναγχος οὗτος· τὰς πρὸς λακεδαιμονίους σπονδὰς οὐ προσήκατο. καὶ τὸ λέγειν ὅτι ἀργεῖος οὐκ ἀργεῖος ἠναγκασμένος εἰς τοῦτο βλέπει. ἔθελε γὰρ εἰπεῖν ἀθηναῖον οὐκ ἀθηναῖον ὄντα αὐτόν· ἀλλὰ νόθον πολίτην, παρόσον θρᾷξ ἦν ἐκ δελφῶν ὁ κλεοφῶν· ἀριστοφάνης

βατράχοις· φιλοτιμότεραι κλεοφῶντος. ἐφ' οὗ δὴ χεί-
λεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται θρηκία χελι-
δὼν, ἐπὶ βάρβαρον ἑζομένη πέταλον. Θορύβῳ τε πι-
σίως τεθαρρηκώς. πείθειν δυνάμενος. εἰς τὸ περιβα-
λεῖν κακῷ τινὶ τοὺς ἀκούοντας. ὥς τε αὐτοὺς ποιῆσαί τι
κακόν. Πιθανὸς ἐπιτήδειος.) τὸ ἐπιπόλαιον. Περι-
βαλεῖν αὐτοὺς τὸν ὀρέστην καὶ τὸν πυλάδην. Κἂν μὴ πα-
ραυτίκα. λείπει τὸ ἀλλ' οὖν. κἂν μὴ παραυτίκα. ἀλλ' οὖν
μετὰ ταῦτα εἰσὶ χρήσιμοι τῇ πόλει. Θεᾶσθαι δ' ὧδε.
ὁ δὲ τοῦ δήμου προϊστάμενος, ὀφείλει τοιούτους ἐπιλέξα-
σθαι δημηγόρους. τοὺς καὶ χρησιμεύειν μέλλοντας. ὁ-
μοίως γὰρ τὸ πρᾶγμα γίνεται. τῷ τε δημηγόρῳ καὶ τῷ
τοῦ δήμου προϊσταμένῳ. Δεῖ φησὶ τὸν ἀγαθὸν πολίτην,
εἰς τὸ τῆς πόλεως συμφέρον ἀφορᾶν ἀεί. καθὼς γὰρ ἂν
συμβουλεύσειαν, οὕτως εἰώθασιν ἀποβαίνειν τὰ πράγ-
ματα. Ἄλλως. Τὸν προεστῶτα τῆς πόλεως. τουτέστι
τὸν δημαγωγὸν, οὕτως ἀφορῶντα πρὸς τὸν λέγοντα δεῖ
κρίνειν. ὁμοίως γάρ φησιν ἀποβαίνει τὸ πρᾶγμα, καὶ τῷ
λέγοντι. καὶ τῷ ἀκούοντι. ὥσπερ γὰρ ἐὰν ᾖ ὁ συμβουλεύων
κακὸς, ἀσύμφορόν ἐστι τῇ πόλει, οὕτως καὶ ὅταν ἀκούων
κακῶς ἀκούῃ πάλιν οὐ σύμφορος. τῷ τοὺς λόγους δὲ
λέγοντι, τουτέστι τῷ προϊσταμένῳ. καὶ τὰ πρωτεῖα φέ-
ροντι τῆς πόλεως. καὶ τιμωμένῳ. Ὑπὸ δ' ἔτεινε.) ὑ-
πέβαλλε δὲ αὐτῷ ὁ τυνδάρεως τοιούτους λόγους λέ-
γειν. ὑμᾶς φονευθῆναι. ἤγουν οὕτως. ὑποβάλλων ὁ τυν-
δάρεως τοῖς καθ' ἡμῶν ποιουμένοις τὸν λόγον, ὑπέτεινε
καὶ εἰς ταυτὸ ἦν, τῷ ὑμᾶς λέγοντι φονεύεσθαι. τὸ σφῶ δὲ,
ἀντὶ τοῦ τῷ λέγοντι τοὺς δύο φονευθῆναι. τὸ δὲ κατακτεί-
ναντι, ὅσον ἐπὶ τοῖς λόγοις οἷς ἔλεγε. Οὐκ εὐωπός.)
οὐκ εὐειδής. οὐκ ἄμορφος. Ἀνδρεῖος δ' ἀνήρ.) γενναῖος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνδρείοις τῇ ψυχῇ· ἀνδρεία γὰρ τῆς ψυχῆς· ῥώμη δὲ τοῦ σώματος. τὸ δὲ ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον, ἀντὶ τοῦ ἐκκλησίαις οὐ παρερχόμενος· οὐδὲ πλησιάζων. αὐτουργὸς δέ ἐστιν, ὁ τὴν ἰδίαν ἐργαζόμενος γῆν. σώζουσι δὲ γῆν οἱ αὐτουργοῦντες· γνησίως γὰρ τοὺς ἀγροὺς ἐργάζονται. καὶ τὸ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων. ἀντὶ τοῦ εὖ δεχομένου λέγων ὡς ὁ προξενηθεὶς. τοῦτο γὰρ ἐναντίον ἐστὶ τῷ δεχομένου· συνδραμεῖν θέλων τοῖς λόγοις. καὶ ταῖς ὑμετέραις βουλεύσεσι. τουτέστι σώζειν ὑμᾶς ἐπουδαικῶς. Ἀκέραιος.) ἁπλοῦς. ἀνεπίληπτον ἠσκηκὼς βίον. ἀναμάρτητον. ἀδιάφθορον. ἀβλαβῆ. οὐκ ἄξιον τοῦ ἐπιπλήττεσθαι. ἀνεπιτίμητον. ὃν οὐδεὶς διὰ τὸ σῶφρον ὕβρισεν. Νῦν ὁπλίζεσθαι χέρα.) ἥτις φησὶν ἡ Κλυταιμνήστρα τὸ ὅσον ἐφ᾽ ᾧ δέδρακε κατὰ τοῦ ἀνδρὸς, ἀνῄρει, καὶ ἀνέτρεψεν ἔθη καλὰ καὶ ζηλωτά. λέγω δὲ τὸ ὁπλίζεσθαι. καὶ ἐπ᾽ ἀλλοδαπῆς ἰέναι. νῦν δὲ ἀνῃρημένης αὐτῆς, πεφρίκασιν αἱ γυναῖκες τὰς κατὰ τῶν ἀνδρῶν ἐπιβουλάς. τότε δὲ οὐκ ἂν ἐτόλμησε τῶν ἀνδρῶν οὐδεὶς ἔξω τῶν οἴκων τοῦ πολέμου ὁρμᾶν. ὑφορώμενος τοὺς εἰωθότας νοθεύειν. Εἴτ᾽ ἄνδρον οἰκουρήματα.) οἱ ἐν τῇ πόλει καταλειφθέντες οἱ μὴ ἐξελθόντες εἰς πόλεμον, τὰς οἰκουρούσας γυναῖκας διαφθείρουσι βλάπτοντες τὰς λελωβημένας. Ἔλεξε δ᾽ ὦ γῆν.) Ἴναχος αὐτόχθων, πρῶτος βασιλεὺς Ἄργους. δεύτερος Πελασγός. Τρίτος Δαναὸς ὁ Βήλου. μετὰ τὸν κατακλυσμὸν, ἐν ὄρεσιν οἰκούντων τῶν Ἀργείων, πρῶτος αὐτοὺς συνῴκησεν Ἴναχος. καὶ λιμναζόμενον τὸ περὶ τὸν Ἴναχον πεδίον, αὐτὸς ἐκαθάρισεν. καὶ ἐπὶ γῆς τινὸς ποιησάμενος τὸν ποταμὸν ἀφ᾽ ἑαυτοῦ Ἴναχον ἐκάλεσεν. καὶ τὸ Ἄργος Ἰνάχιον. Ἰνάχου δὲ καὶ μεν-

λίας, Φορωνεὺς καὶ Πηγεὺς ἐγένετο. φορωνέως δὲ καὶ πειθοῦς, ἐγένετο Αἰγιαλεὺς. Ἀπία. ἀπὸ δὲ εὐρώπης, νιόβη. Νιόβης δὲ, Ἄργος. ἄργου δὲ Κρίασος Ἔκβασος. Πείρασος. ἐπίδαυρος. τίρυνς. κριάσω δὲ ἀπὸ μελανθοῦς, ἐγένετο φόρβας. καὶ κλεόβοια. φόρβαντι δὲ ἐκ τῆς εὐβοίας, ἐγένετο τριόπας. τριόπα δὲ ἐκ σωΐδος ἐγένοντο δίδυμοι μὲν, πελασγὸς καὶ ἴασος. νεώτεροι δὲ ἀγήνωρ καὶ ξάνθος. ὁ δὲ πελασγὸς πρῶτος ἄργου κατασκευὴν ἐξεῦρε. πάλαι τῶν ἀνθρώπων τοῖς δρυάγμασι σιτουμένων. καὶ πελασγικὸν τὸ ἄργος ὠνόμασεν. ἰάσου δὲ καὶ λευκάνης, ἰὼ ἐγένετο. ἐπάφου δὲ λιβύη καὶ τηλέγονος. λιβύης βῆλος καὶ ἀγήνωρ. βήλου δὲ αἴγυπτος καὶ δαναός. Παλαιγενὲς.) εἰς τὸ πάλαι ζέουσι. Ἀμύνων.) βοηθῶν. Οὐ φθάνοιτε ἄν.) οὐκ ἀρκεσθήσεσθε πρὸς τὸν γυναικῶν φόνον. οὐ φθάνοιτε ἀποθνήσκοντες τῷ ἰδίῳ μόρῳ. φθάνω τὸ προλαμβάνω καὶ τὸ καταλαμβάνω. καθὸ λέγεται. οὐκ ἂν φθάνοις τὸ δικαστήριον ἰὼν. καὶ διδοὺς δίκην. ἤγουν οὐκ ἂν ἀρκοίης. οὐκ ἂν καταλαμβάνοις. τοσοῦτον σε ἕξουσι συντόμως ὡς μὴ δύνασθαί σε καταλαμβάνειν τοὺς ἕλκοντας, ἀφ' οὗ κατὰ μεταφορὰν ἐνταῦθα. τὸ οὐκέτ' ἂν φθάνοιτε θνήσκοντες πρὸς τὴν τοῦ θανάτου συντομίαν. οὕτως ὑμᾶς ἕλξουσι δηλονότι μετὰ ταχύτητος. Ὁ νόμος ἀνεῖται.) ἐνδέδεται. ὑμεῖς γὰρ φονευθήσεσθε οὐ φονεύσετε. καὶ ὑποτάξεσθε. οὐχ ὑποτάξοιτε. Οὐ σπάνις γενήσεται.) οὐ λήξει. οὐ δὲ παύσεται. οὐ δὲ πέρας ἕξει ὁ θάνατος ἡμῶν. ἐξαπλοῦται γὰρ καὶ πλατύνεται, ὁ νόμος κατὰ τῶν ἀνδρῶν οὗτος. τοῦτο γὰρ σημαίνει τὸ ἀνεῖται. Ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω.) ἐτύγχανον μὲν βαίνων, ἀντὶ τοῦ ἔβαινον. ἀγρόθεν ἀπὸ τῶν ἀγρῶν ἔσω τῶν πυ-

λῶν τῆς πόλεως δηλονότι, χρῄζων μαθεῖν καὶ τὰ περὶ σοῦ· καὶ τὰ περὶ τοῦ ὀρέστου· εἶχον γάρ ποτε ἀγάπην τῷ σῷ πατρί· καὶ ἔτρεφέ με ὁ σὸς δόμος· πένητα μέν, ἀναγκαῖον δὲ τοῖς φίλοις εἰς τὸ χρῆσθαι ἐμοί δηλονότι· ὁρῶ δὲ ὄχλον στείχοντα· ἤτοι πλῆθος λαοῦ βαδίζον· καὶ καθίζοντα κατὰ τὸ ἀκροτήριον· ὅπου φασὶ κατ' ἀρχὰς τὸν δαναὸν διδόντα δίκας τῷ αἰγύπτῳ ἀθροῖσαι τὸν λαὸν εἰς κοινὰς ἕδρας, ἤτοι εἰς συνέδριον· ἰδὼν δὲ τὴν συναγωγὴν τοῦ λαοῦ, ἠρώτησά τινα τῶν πολιτῶν, τί καινὸν καὶ νέον γέγονε τῷ ἄργει δηλονότι· ἆρα ἀγγέλματι παρὰ τῶν πολεμίων ἐλθόν, διήγειρε τὴν πόλιν τῶν δαναϊδῶν; ὁ δὲ εἶπεν· οὐχ ὁρᾷς ἐκεῖνον τὸν ὀρέστην πλησίον τοῦ ἀθροίσματος ἐρχόμενον, μέλλοντα δραμεῖσθαι ἀγῶνα τὸν θανάσιμον· ἤτοι τὸν θάνατον ἐπάγοντα· ὁρῶ δὲ φάσμα ἀνέλπιστον· ὃ μήποτε ὤφελον ἰδεῖν· λέγω τὸν πυλάδην· καὶ τὸν σὸν σύγγονον στείχοντε· ἤγουν στείχοντας καὶ βαδίζοντας ὁμοῦ· τὸν μέν, ἤγουν τὸν ὀρέστην, κατηφῆ καὶ σκυθρωπόν· καὶ παραλελυμένον ὑπὸ τῆς νόσου· τὸν δὲ πυλάδην ἐπὶ τῷ φίλῳ λυπούμενον ἴσα καὶ ὁμοίως ἀδελφῷ· κυβερνῶντα τὸ νόσημα παιδαγωγίᾳ καὶ χειραγωγίᾳ· ἐπεὶ δὲ ἐγένετο ὁ ὄχλος τῶν ἀργείων πλήρης, κῆρυξ ἀναστάς, εἶπε· Τίς θέλει λέγειν· πότερον ἀντὶ τοῦ ἆρα πρέπον ἐστὶν ἀποθανεῖν τὸν ὀρέστην μητροκτονήσαντα, ἢ μὴ χρεὼν καὶ πρέπον ἐστί· καὶ ἐπὶ τούτῳ, ἤτοι μετὰ τοῦτον ἀνίσταται ἀντὶ τοῦ ἀνέστη ὁ ταλθύβιος· ὃς συνεπόρθει τῷ σῷ πατρὶ ἤγουν σὺν τῷ σῷ πατρί, τοὺς φρύγας· ἔλεξε δὲ διχόμυθα· τουτέστι διπλῆν ἔννοιαν ἔχοντα· ἤτοι δίγνωμα καὶ ἀμφιρρεπῆ· ὢν ἀεὶ ὑπὸ τοῖς δυναμένοις ὑπὸ κάτω τῶν δυναμένων· ἤτοι τοῖς κρατοῦσι χαριζόμενος· τὸν μὲν σὸν πατέρα ἐκπαγλούμενος καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θαυμάζων· τὸν δὲ σύγγονον οὐκ ἐπαινῶν, λόγους κακοὺς ἐλίσσων· ἀντὶ τοῦ συνείρων καὶ συμπλέκων κακοῖς· ὅτι καθισαίη ἀντὶ τοῦ καθίστησιν καὶ τίθησιν εἰς τοὺς τεκόντας νόμους οὐ καλούς· τὸ δὲ ὄμμα ἀεὶ ἐδίδου χαρωπὸν, τοῖς φίλοις τοῦ αἰγίσθου· τὸ γὰρ γένος τῶν κηρύκων τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ πηδῶσι καὶ ὁρμῶσιν ἀεὶ οἱ κήρυκες· οὗτος δὲ φίλος αὐτοῖς τοῖς κήρυξιν, ὃς ἂν ἰσχύῃ καὶ ὑπάρχῃ ἐν ἀρχαῖς πόλεως· ἤτοι ἀρχὴν πόλεως ἔχῃ· μετὰ τοῦτον ἐδημηγόρει ὁ διομήδης ὁ ἄναξ· οὗτος κτανεῖν μὲν, οὐ δὲ σέ· οὐ δὲ τὸν σύγγονόν σου εἴα καὶ παρεχώρει· φυγῇ δὲ καὶ ἐξορίᾳ τιμωροῦντας τοὺς ἀργείους ὑμᾶς δηλονότι, εὐσεβεῖν ἤτοι καθαροὺς εἶναι· ἐθορυβήθησαν δὲ, οἱ μὲν, λέγοντες· ὅτι καλῶς λέγει· οἱ δὲ οὐκ ἐπῄνουν τὰ ὑπ' ἐκείνου λεχθέντα δηλονότι· καὶ μετὰ τοῦτον ἀνίστη ἀνὴρ ἀκρατόστομος· ἰσχύων θράσει καὶ ἀναισχυντίᾳ· ἀργεῖος· οὐκ ἀργεῖος· ἤτοι κατ' ἀνάγκην ὢν ἀργεῖος· πίσυνός τε καὶ θαρρῶν θορύβῳ καὶ ταραχῇ· καὶ παρρησίᾳ ἀμαθεῖ καὶ ἀπαιδεύτῳ· πιθανὸς καὶ ἐπιτήδειος περιβαλεῖν αὐτοὺς κακῷ τινί· ὅταν γὰρ ἡδὺς ὢν δηλονότι τοῖς λόγοις καὶ κατὰ τοὺς λόγους φησὶ κακῶς, πείθει τὸ πλῆθος, κακὸν μέγα ὑπάρχει τῇ πόλει· ὅσοι μετὰ γνώσεως βουλεύουσιν ἀντὶ τοῦ συμβουλεύουσιν ἀεὶ χρηστὰ καὶ ἀγαθὰ, κἂν μὴ παραυτίκα, αὖθις ἤτοι εἰς τὸ μέλλον εἰσὶ χρήσιμοι τῇ πόλει· πρέπει δὲ τὸν προστάτην ἰδόντα, τυχεῖσιν ἐγνωκότα ὧδε καὶ οὕτως, σκοπεῖν καὶ ἐρευνᾶν· ὅμοιον γὰρ γίνεται τὸ πρᾶγμα τῷ λέγοντι τοὺς λόγους, ἤτοι τῷ δημηγοροῦντι· καὶ τῷ τιμωμένῳ αὐτοὺς, τουτέστι τῷ ἄρχοντι· ὃς εἶπεν ἀποκτεῖναι τὸν ὀρέστην καὶ σὲ τοὺς ἀργείους δηλονότι· βάλλοντας πέτροις· ἤτοι λιθοβολοῦντας· ὑπέτεινε δὲ καὶ ὑπέβαλλεν ὁ τυνδάρεως τῷ κατακτείνοντι σφῶ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τουτέστι τῷ συμβουλεύοντι φονευθῆναι ὑμᾶς, λέγειν λόγους τοιούσδε. Ἄλλος δὲ ἀνιστὰς ἔλεγεν ἐναντία τῷδε. κατὰ τὴν ὄψιν μὲν, οὐκ εὐειδής. ἀνὴρ δὲ γενναῖος. καὶ εὐγενὴς τῇ ψυχῇ. ὀλιγάκις μολύνων τὸν κύκλον τῆς ἀγορᾶς. ἀντιστρόφως. ἀντὶ τοῦ ὀλιγάκις χραινόμενος καὶ μολυνόμενος ὑπὸ τοῦ ἄστεος καὶ τοῦ κύκλου τῆς ἀγορᾶς. αὐτουργὸς καὶ γεωργὸς οἵπερ καὶ μόνοι σώζουσι τὴν γῆν, ἀντὶ τοῦ τοὺς ἀνθρώπους συνετὸς δὲ καὶ φρόνιμος. θέλων χωρεῖν ὁμόσε τοῖς λόγοις. τουτέστι παῤῥησιάζεσθαι διὰ τῶν οἰκείων λόγων, πρὸς τοὺς τὰ ἄδικα λέγοντας. ἀκέραιος καὶ ἀνεπίληπτος. ἐπιτηδεύσας βίον ἄμεμπτον ὃς εἶπε στεφανοῦν καὶ τιμᾶν τὸν παῖδα τοῦ ἀγαμέμνονος. ὃς ἠθέλησε τιμωρεῖν καὶ βοηθεῖν τῷ πατρί. κτανὼν γυναῖκα κακὴν καὶ ἄθεον. ἣ ἐκεῖνα τὰ πράγματα ἀπεστέρει τοὺς ἄνδρας. μήτε ὁπλίζεσθαι τινὰ κατὰ τὰς χεῖρας. τουτέστι μήτε μετὰ ὅπλων κινεῖν τὴν χεῖρα. μήτε στρατεύειν ἀφέντα τὰ δώματα, εἰ οἱ λελειμμένοι καὶ ἐναπολειφθέντες τῶν ἀνδρῶν, φθείρουσι τὰ ἔνδον οἰκουρήματα. ἤτοι τὰς ἔνδον οἰκουροὺς γυναῖκας. λωβώμενοι καὶ ὑβρίζοντες τὰς εὐνάς. καὶ τοῖς χρηστοῖς ἐφαίνετο λέγειν καὶ καλῶς. καὶ οὐδεὶς εἶπεν εἰς τὸ ἑξῆς. ἐπὶ τούτῳ δὲ ἦλθεν ὁ σὸς σύγγονος. ἔλεξε δὲ, ὦ ἄνδρες οἱ κεκτημένοι τὴν γῆν τοῦ ἰνάχου πάλαι. ἤτοι ἄνωθεν πελασγοί, δεύτερον δὲ δαναΐδαι. ἀντὶ τοῦ ὕστερον. ὑμῖν ἀμύνων καὶ βοηθῶν οὐδὲν ἔλαττον ἢ τῷ πατρί, ἔκτεινα τὴν μητέρα. εἰ γὰρ ὁ φόνος τῶν ἀρσένων ἔσται ὅσιος, ἤτοι ἐνδεδομένος ταῖς γυναιξίν, οὐκέτι ἂν φθάνοιτε καὶ καταλαμβάνοιτε θνήσκοντες; ἢ χρεὼν καὶ ἀναγκαῖον δουλεύειν ταῖς γυναιξί. τὸ ἐναντίον δὲ δράσετε, ἢ καὶ παρὸ χρεὼν καὶ πρέπον δρᾶσαι. νῦν μὲν γὰρ προδοῦσα, ἤτοι ἔκδοτα ποιήσα-

σα τὰ

σα τὰ λέκτρα τοῦ ἐμοῦ πατρός, τέθνηκεν· εἰ γὰρ δὴ κτανεῖ τις ἐμέ, ὁ νόμος λύεται· καὶ ἀπολέλυται· καὶ οὐκ ἂν φθάνοι τις θνήσκων· ὅτι τῆς τόλμης τῶν γυναικῶν δῆλον ὅτι, οὐ γενήσεται σπάνις καὶ ἔνδεια· ἀλλ' οὐκ ἔπειθε τὸν ὅμιλον, δοκῶν εὖ καὶ καλῶς λέγειν· νικᾷ δὲ ἐκεῖνος ὁ κακὸς λέγων ἐν τῷ πλήθει· ὃς ἠγόρευε κτανεῖν τὸν σύγγονον καὶ σέ· μόλις δὲ ἔπεισεν ὁ τλήμων ὀρέστης, μὴ κτανεῖν πετρουμένους· ἤτοι λίθοις βαλλομένους· ὑπέσχετο δὲ ἐν σφαγῇ αὐτόχειρι· ἤτοι αὐτουργῷ· καὶ διὰ τῶν οἰκείων χειρῶν, λείψειν τὸν βίον σὺν σοί, ἐν τῇδε τῇ ἡμέρᾳ· ἄγει δὲ αὐτὸν ἀπὸ τῶν ἐκκλήτων ἐνταῦθα· ἤτοι ἀπὸ τῆς ἐκκλησίας, ὁ πυλάδης δακρύων· συνακολουθοῦσι δὲ καὶ οἱ φίλοι κλαίοντες· οἰκτείροντες· ἔρχεται δὲ σοι πικρὸν θέαμα καὶ πρόσοψις ἐλεεινή· ἀλλ' ἑτοίμαζε ξίφη· ἢ σχοινίον ἀγχόνης περὶ τῷ τραχήλῳ· ὅτι ἀπόκειται λιπεῖν σε τὸ φῶς· ἡ εὐγένεια δὲ, οὐδὲν ἐπωφέλησεν, ἀντὶ τοῦ ὠφέλησεν· οὐ δὲ ὁ φοῖβος ὁ πύθιος· ἤτοι ὁ ἀπόλλων ὁ καθίζων τρίποδα· ἤτοι ὁ περὶ τρίποδος καθίζων· ἀλλὰ ἀπώλεσεν. Ὦ δυστάλαινα παρθέν'· ὡς ξυνηρεφές·) ὦ παρθένε παναθλία· λίαν ὑπάρχεις ἄλαλος· βαλοῦσα τὸ σὸν πρόσωπον σκυθρωπὸν εἰς τὴν γῆν, ὡς μέλλουσα δραμεῖσθαι εἰς στεναγμοὺς καὶ γόους. Κατάρχομαι στεναγμῶν·) τὰ τοιαῦτα εἴδη, καλεῖται κατὰ σχέσιν ὡς εἴρηται· καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα ια' καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα· τὸ α' ἴαμβος τρίμετρος· ἀκατάληκτος· καθαρός· τὸ β' ὅμοιον· ἐπιμεμιγμένον χορείοις· τὸ γ' τροχαϊκὸν ἰθυφαλλικόν· τὸ δ', ὅμοιον τῷ β'· τὸ ε', ἀσυνάρτητον· ἐκ β' τροχαϊκῶν πενθημιμερῶν, τὸ ς', ἴαμβος τρίμετρος· τὸ ζ', ὅμοιον· ἐπιμεμιγμένον· καὶ ἕτερος πούς· τὸ η', τροχαϊκὸν δί

μετρον ἀκατάληκτον. τὸ θ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τοῦ α' ποδὸς χορείου. τοῦ β' ἀναπαίστου. τὸ ι', τροχαϊκὸν ἑφθημιμερές. ὃ καλεῖται εὐριπίδειον. ἢ ληκύθιον. τὸ ια' ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος. Καταρχομαι.) ὦ πελασγία γῆ δηλονότι, ἀρχὴν ποιοῦμαι στεναγμῶν. θεῖσα καὶ ποιοῦσα διὰ τῶν παρειῶν. ἤτοι διὰ τοῦ αὐτὰς σπαράττειν. τὸν λευκὸν ὄνυχα αἱματηρόν. θεῖσα κατὰ κοινοῦ ἄτην καὶ βλάβην κτύπον τε κρατὸς καὶ κεφαλῆς. ὃν κτύπον δηλονότι ἐκληρώσατο ὑπὸ κάτω τῆς γῆς, ἡ περσεφόνη. ἡ καλὴ παῖς. ἡ θεὰ τῶν νεκρῶν. θρηνείτω δὲ ἡ κυκλωπεία γῆ. ἤτοι τὸ ἄργος. θεῖσα ἐπὶ τῇ κεφαλῇ σίδηρον, κουρᾶς ποιητικόν. διὰ τὰ πήματα τῶν οἴκων τῶν ἀτρειδῶν. ἐλεεινότης ἡ δὲ ἔρχεται ὑπὲρ τῶν μελλόντων τεθνήξεσθαι παίδων ὄντων τῶν ποτὲ στρατηλατῶν. ἤτοι τοῦ ἀγαμέμνονος. ἔφθαρται γὰρ πᾶσα ἡ γέννα τῶν τέκνων τοῦ πέλοπος. καὶ ὁ οἶκος ὁ ὢν ποτὲ ζηλωτὸς, καὶ θαυμαστὸς. ἐπὶ μακαρίοις πράγμασι δηλονότι, ἢ ἀνδράσιν, οἴχεται δηλονότι. νέμεσις εἷλεν αὐτὸν ἀπὸ τῶν θεῶν. καὶ ἡ ἐν τοῖς πολίταις ἐχθρὰ καὶ δυσμενὴς ψῆφος. καὶ κρίσις ἡ φονική. Ξωηρεφὲς, συχνὸν καὶ ὥσπερ ἐστεγασμένον τοῖς κακοῖς. ἐν ἐνίοις δὲ οὐ φέρονται οἱ τρεῖς στίχοι οὗτοι. πῶς γὰρ οὐκ ἔμελλε στενάζειν οὕτω δυστυχῶς ἔχουσα.

Αἱματηρὸν ἄτην.) ἀντὶ τοῦ καταξέουσα ἑαυτῆς τὰς παρειὰς τοῖς ὄνυξι. ὅπερ ἐστὶ δι' αἵματος βλάβη. τὸ θεῖσα δὲ κατὰ κοινοῦ καὶ ἐπὶ τῆς κεφαλῆς. καὶ ἐπὶ τῶν παρειῶν. Νερτέρων περσέφασσα.) περσέφασσα καλεῖται ἡ κόρη. ἀπὸ δὲ ταύτης καὶ τὴν μητέρα βούλεται δηλοῦν. πῶς γὰρ ἡ παῖς καλλίπαις. ἡ γὰρ περσέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φασα θυγάτηρ ταύτης. γράφεται δὲ τὸ καὶ καλλίπαις,
καὶ καλὴ παῖς. αὕτη οὖσα ἡ κόρη. οὕτω βέλτιον. αὕτη
γὰρ ἐκληρώθη τὸν θρήνων. τοῖς γὰρ θρηνοῦσιν ἐγγίνεται
ἡ τὸν ἴακχον γεννήσασα ἡ καλὴ παῖς. Ἰστέον ὅτι τῆς
κόρης ἤγουν τῆς περσεφόνης ἁρπαχθείσης ὑπὸ πλού-
τωνος, ἡ μήτηρ αὐτῆς ἡ δηώ, νῆστις περιήρχετο. ζητοῦσα
αὐτήν. καὶ δὴ περιερχομένη. καὶ ζητοῦσα αὐτήν, ὑπεδέ-
χθη ἐν τοῖς οἴκοις τοῦ ἱπποθόοντος ὑπὸ τῆς γυναικὸς
αὐτοῦ μετανείρας. ἥ τις μετάνειρα παρέθηκεν αὐτῇ
τράπεζαν. καὶ ἐκέρασεν αὐτῇ οἶνον. ἡ δὲ θεὸς οὐκ ἐδέ-
ξατο. λέγουσα μὴ θέμις τὸ εἶναι πιεῖν αὐτῇ οἶνον, ἐπὶ τῇ
θλίψει τῆς θυγατρός. ἀλφίτων δὲ κυκεῶνα ἐκέλευσεν
αὐτῇ κατασκευάσαι. ὃν δεξαμένη ἔπιεν. ἰάμβη δέ-
τις δούλη τῆς μετανείρας, ἀθυμοῦσαν τὴν θεὰν ὁρῶσα,
γελοιώδεις λόγους. καὶ σκώμματά τινα ἔλεγε. πρὸς τὸ
γελάσαι τὴν θεόν. ἦσαν δὲ τὰ ῥήματα ἅπερ αὐτὴ πρώ-
την εἶπεν, ἰαμβικῷ μέτρῳ ῥυθμηθέντα. Ἰάμβη δὲ θυ-
γάτηρ ἠχοῦς καὶ τοῦ πανός. θρᾷσσα τὸ γένος. Ἰαχεί-
τω δὲ γᾶ κυκλωπία.) θρηνείτω τὰ πήματα τῶν ἀτρεί-
δῶν οἴκων ἡ ἀπὸ τοῦ κύκλωπος γῆ. ἤτοι αἱ μυκῆναι.
ἢ τὸ ἄργος. Κυκλωπία.) κύκλωπες θρακικὸν ἔθνος
ἀπὸ κύκλωπος βασιλέως οὕτως ὀνομαζόμενοι. οὗτοι
πολέμῳ ἐξαναστάντες τῆς ἰδίας, ἄλλοι ἄλλως ᾤκί-
σθησαν. πλείονες δὲ αὐτῶν ἐν τῇ κουρήτιδι. ἦσαν δὲ ἄρι-
στοι τεχνῖται. ἄβαντος δὲ τοῦ βασιλέως τῶν ἀργείων
υἱοὶ ἦσαν ἐξ. ἀγλαΐας. προῖτος. καὶ ἀκρίσιος. οὗτοι
μετὰ θάνατον τοῦ πατρὸς ἐστασίασαν περὶ τῆς τυραν-
νίδος. φησὶ δὲ ὅτι ἐν τῷ πολέμῳ τούτῳ, πρῶτοι ξυλί-
ναις ἀσπίσιν ἐχρήσαντο ἀργεῖοι. καὶ νικήσαντος ἀκρι-
σίου, συνέβησαν, ὥστε πλωτῆς γενομένης τῆς θαλάσ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σης ἀπαλλάττεσθαι τὸν προῖτον· χειμάζοντι δὲ αὐτῷ ἐκεῖ-
σε, φίλοι γίνονται ἀργεῖοι· καὶ συμμαχία αὐτῷ ἐκ λυ-
κίας ἔρχεται, καὶ τῆς κουρῆτιδος· ὡς δὲ λοιπὸν ἔαρ ἐ-
γένετο δεδιότες ἀργεῖοι τὴν ἐπίσακτον συμμαχίαν
τοῦ προίτου, συντίθενται· ὥστε ἀκρίσιον μὲν ἄρχειν ἄρ-
γους· προῖτον δὲ, τίρυνθος· κἀπειδὴ ὕποπτα ἦν τὰ τοῦ
βασιλέως, τειχίζουσι τὰς πόλεις, τῶν ἐκ τῆς κουρῆτιδος
κυκλώπων τειχισάντων αὐτάς· λέγει δὲ τὰς μυκήνας
πλησίον δὲ αὗται τοῦ ἄργους· κύκλωπες δὲ οἱ ἐγχειρο-
γάστορες οἳ περιετείχισαν τὰς μυκήνας· οὓς ἡ ἱστορία φη-
σὶ τὸν κεραυνὸν τῷ διῒ κατασκευάσαι· Τῶν ἀτρει-
δῶν·) διὰ τὰ πήματα τῶν ἀτρειδῶν ἐλεεινοί φησι καὶ
οἰκτροὶ τὴν τύχην ἡμεῖς μέλλοντες θανεῖσθαι, παῖδες
τῶν ἐν ἑλλάδι ποτὲ διαπρεψάντων κατὰ τὴν βασιλεί-
αν· Κούριμον·) κουρευτικόν· Ελεος ὅδ' οἴχεται·
ὑπὲρ ἡμῶν ἔλεος ἥξει τῶν θανουμένων· Βέβηκεν·)
παρῴχετο· Οἴχεται·) παρῆλθε· Ζηλωτὸς ποτ'
οἶκος·) καὶ ὁ οἶκος ὁ ὢν ποτὲ ζηλωτὸς τοῖς μακαρίοις,
νέμεσις αὐτὸν εἷλε θεία· καὶ ἡ ἐν τοῖς πολίταις δυσμε-
νὴς φονία ψῆφος· ἀφ' ἑτέρας δὲ πτώσεως ἀρξάμενος·
ὥσπερ ἐκ μεταμελείας ἐφ' ἑτέραν πτῶσιν ἀποδίδωσι
τὴν σύνταξιν· συνήθης δὲ οὗτος ὁ σχηματισμὸς καὶ τῷ πε-
ζῷ λόγῳ· ὡς παρὰ φιλοστράτῳ· φαρέτραι μὲν οὖν χρυ-
σόπαστοι καὶ χρυσαῖ· καὶ τὰ ἐν αὐταῖς βέλη· γυμνὴ
τούτων ἡ ἀγέλη πᾶσα· οὕτω χρὴ γράφειν καὶ τὰ πα-
ρόντα κῶλα· ἵν' εἴη πρὸς τὰ μέτρα ὀρθά· οὕτω δὲ χρή,
καὶ ὁ οἶκος ὁ πάλαι διὰ τὰς εὐδαιμονίας ζηλωτὸς ὤν,
βέβηκε· καὶ οἴχεται· καὶ τὸν ἄλλον στίχον πολύστονά τε
δὴ καὶ πολύπονα· ἵν' εἴη ἴαμβος ὡς ὁ τῆς στροφῆς ἐλλι-
πὴς γὰρ ἦν· διὸ καὶ διορθώθη παρ' ἡμῶν· καὶ οἶμαι ὡς κα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῶς. Ζηλωτὸς.) ἐπίφθονος. Φθόνος νιν εἷλε.) ὀργὴ αὐτὸν κατέλαβε. καὶ ἡ ἔχθρα φονικὴ καταδίκη τῶν πολιτῶν. Ἰὼ πανδάκρυτ᾽ ἐφ᾽ ἁμέρων. ὦ πολύπονα τῶν ἀνθρώπων ἔθνη. καὶ ὑπὸ πάντων ἄξια θρηνεῖσθαι.

Ἰὼ ἰώ.) ὦ πλήθη τῶν ἀνθρώπων πολυστένακτα, βλέπετε πῶς ἡ τύχη ἔρχεται παρὰ προσδοκίαν. ἕτερα δὲ πήματα ἑτέροις πήμασιν, ἀμείβεται καὶ κατὰ διαδοχὴν ἔρχεται ἐν τῷ μακρῷ χρόνῳ. πᾶσα δὲ ἡ ζωὴ τῶν ἀνθρώπων ἀστάθμητος καὶ ἄτακτος. Μόλοιμι τὰν οὐρανοῦ.) μετὰ τὴν κατὰ σχέσιν στροφὴν, ἑτέραν τίθησιν ἀπολελυμένην στροφήν. μονόστροφα καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους. καὶ μετρικὰ ἄτακτα. τὰ κῶλα πάντα λϛ. τὸ α, περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ β΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ γ΄, τροχαϊκὸν. ἑφθημιμερὲς εὐριπίδειον. τὸ δ΄, ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος δ΄ ἰωνικοῦ ἀπὸ μείζονος κατὰ συνίζησιν καὶ ἰάμβου. τὸ ε ἰωνικὸν δίμετρον. ὑπερκατάληκτον. ἐξ ἐπιτρίτου α. παίωνος δ΄. ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς. τὸ ζ΄, ὅμοιον τῷ β΄. τὸ η, ὅμοιον ἐκ χορείων δι᾽ ὅλου. τὸ θ΄, ἰαμβικὴ βάσις. τὸ ι, τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ια, ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως. καὶ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου. εἰ δὲ βούλει, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. ἐκ σπονδείου, διϊάμβου. καὶ σπονδείου αὖθις. τὸ ιβ΄, ὅμοιον τῷ β΄. τὸ ιγ΄, ὅμοιον ἑφθημιμερὲς, τοῦ β΄ ποδὸς χορείου. τὸ ιδ΄, ἰωνικὸν τρίμετρον. βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος διϊάμβου. καὶ δύο συλλαβῶν ἀδιάφορον. τὸ ιε. ὅμοιον τῷ ιγ. καθαρὸν ἰαμβικόν. τὸ ιϛ, ἀσυνάρτητον ἐκ δύο τροχαϊκῶν ἑφθημιμερῶν. εἰ δὲ βούλει, ἐξ ἰθυφα

λικῶν καὶ ἰαμβικῆς βάσεως. τὸ ιζ´, τροχαϊκὸν πενθημιμερὲς. τὸ ιη´, ἰωνικὸν. δίμετρον ἀκατάληκτον. ἐκ παίωνος α´ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ τροχαϊκῆς συζυγίας. ἤτοι ἐπιτρίτου β´. εἰ δὲ βούλει. ἰαμβικὸν ἐφθημιμερὲς. τοῦ α´ ποδὸς δακτύλου. τὸ ιθ´, ὅμοιον τῷ β´. τὸ κ´ ὅμοιον τῷ γ´ τὸ κα´, ἴαμβος τρίμετρος. τὸ κβ´, ὅμοιον τῷ ε´. τὸ κγ´, ὅμοιον κατὰ πάντα τῷ η´. τὸ κδ´, ὅμοιον ἀναπαιστικὸν πενθημιμερὲς. τὸ κε´, τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. τοῦ α´ ποδὸς χορείου. ὃ καλεῖται στησιχόρειον. ἔχον τὸ πινδαρικὸν ἔθος ἴαμβον δηλονότι τὸν τελευταῖον πόδα. τὸ κϛ´, ἰαμβικὸν τρίμετρον. βραχυκατάληκτον, τοῦ α´ ποδὸς χορείου. τὸ κζ´, ὅμοιον καθαρὸν, ἰαμβικόν. τὸ κη´ ὅμοιον τῷ κθ´, δακτυλικὸν τετράμετρον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς εἴρηται. τὸ λ´ ὅμοιον. τὸ λα´ ἀναπαιστικὴ βάσις. εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον. τὸ λα´, ὅμοιον. καταληκτικὸν. ἤτοι ἐφθημιμερὲς. τὸ λγ´, ἀναπαιστικὴ βάσις. τὸ λα´, εἰ καὶ ἀναπαιστικὴ βάσις ἐγράφη, ἀλλ᾽ οὐκ ἔστιν. ἔστι γὰρ ἀναπαιστικὴ δίμετρος. ἀκατάληκτος. ὡσαύτως καὶ τὸ λγ´ δακτυλικὸν τρίμετρον. τὸ λδ´, ὅμοιον. δίμετρον ἀκατάληκτον. τοῦ α´ ποδὸς ἔχοντος συνίζησιν τῶν δύο βραχέων, εἰς βραχὺ. ἵνα ἀνάπαιστος γένηται. τὸ λε´ ὅμοιον καθαρόν. τὸ λϛ´, ὅμοιον τῷ γ´. εὐριπίδειον. τὸ λζ´, ὅμοιον κατὰ πάντα τῷ ιε´. οἵου βούλει μέτρου. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων, παράγραφος. ἐπὶ δὲ τῷ τέλει, κορωνίς. Μόλοιμι.) ἀπέλθοιμι εἰς πέτραν τὴν πεπταμένην ἐν αἰωρήμασι. ἤτοι τὴν αἰωρουμένην καὶ κρεμαμένην μέσον τοῦ οὐρανοῦ καὶ τῆς χθονός. λέγω τὴν βῶλον τὴν ἀλύσεσι χρυσέαις, ἤτοι ἀλύσεων χρυσῶν φερομένην ἐν συστροφαῖς ἐκ τοῦ οὐρανοῦ. ὅπως ἐρῶντα-

πῶς διηγήσωμαι τῷ γέροντι τῷ ταντάλῳ. ὅς ἔτικε τοὺς ἀρχηγοὺς τῶν δόμων ἐμοῦ. ἤτοι τὸν πέλοπα καὶ τοὺς ἐξ αὐτοῦ. οἱ κατεῖδον συμφορὰς, ὅτε κατὰ τὸ ταχύτατον δρόμον τῶν ἵππων. τὸν γενόμενον τῇ διὰ τῶν ἵππων κινήσει, ὁ πέλοψ ἀπὸ τοῦ δίφρου ἐποίησε τὸν φόνον τοῦ μυρτίλου. κατὰ τὸ πέλαγος ῥίψας τὸν μυρτίλον δηλονότι, πρὸς τοῖς αἰγιαλοῖς τῶν θαλασσίων σάλων τοῦ γεραιστοῦ, τοῖς λευκοῖς διὰ τῶν κυμάτων, ἀφ' ἧς αἰτίας ἦλθε τοῖς ἐμοῖς δόμοις ἀρὰ, πολλῶν στεναγμῶν αἰτία. ὁπότε ἐγένετο ἐν τοῖς ποιμνίοις ἀτρέως τοῦ ἱπποτρόφου, τὸ τέρας τὸ ὀλέθριον τοῦ υἱοῦ τῆς μαίας ἑρμοῦ. λέγω τὸ λόχευμα καὶ ὁ τόκος τὸ χρυσόμαλλον ἀρνός. ὅθεν καὶ ἀφ' ἧς αἰτίας ἡ ἔρις. καὶ τὸ ταχεινὸν ἅρμα τοῦ ἡλίου μετεποίησε, προσαρμόσασα ἀντὶ τοῦ μεθαρμόσασα καὶ μεταλλάξασα τὴν ὁδόν. ἤγουν τὴν πορείαν τοῦ οὐρανοῦ. τὴν πρὸς ἑσπέραν. ἤγουν τὴν πρὸς τὸ ἑσπέριον μέρος εἰς μονόπωλον ἠῶ. ἤτοι εἰς ἡμέραν ἑνὸς δρόμου ἵππων. τουτέστιν εἰς ἡμέραν μίαν. καὶ τὸν δρόμον τῆς ἑπταπόρου πλειάδος, ἤτοι τῆς ἑπτὰ πορείας ποιούσης. ἑπτὰ γὰρ ἀστέρων ἐστὶν ἡ πλειάς. καὶ ὁ εἷς ἀμυδρός μεταβάλλει ἀντὶ τοῦ μετέβαλεν ὁ ζεὺς εἰς ὁδὸν ἄλλην ἤγουν ἐκ δύσεως πρὸς ἀνατολήν. καὶ ἀπὸ τῶν δὲ ἤτοι μετὰ ταῦτα, ἀμείβει ἀντὶ τοῦ διαδόχους ἐποίησεν ὁ ζεὺς δηλονότι θανάτους θανάτων. καὶ τὰ ἐπώνυμα δεῖπνα τοῦ θυέστου ἐπήγαγε δηλονότι. καὶ τὰ λέκτρα τῆς αἰρόπης τῆς κρήσσης τῆς δολίας ἐν δολίοις γάμοις. τὰ πανύστατα δὲ κακὰ δηλονότι. ἦλθεν εἰς ἐμὲ καὶ εἰς τὸν ἐμὸν πατέρα σὺν πολυπόνοις ἀνάγκαις τῶν δομάτων. Επρα δ' ἑτέροις.) ἄλλα ἐπ' ἄλλοις κατὰ διαδοχὴν ἐπέρχεται κακὰ τοῖς ἀνθρώποις.

βροτῶν δ' ἀστάθμητος αἰών.) ὁ βίος δὲ τῶν ἀνθρώπων ἀβέβαιος. ἄνισος. ἄστατος. ἄλλοι γὰρ ἄλλας ἔχουσι τύχας. Μόλοιμι.) τὸ ἑξῆς. μόλοιμι πρὸς τὴν πέτραν. καὶ τὴν βῶλον. τὴν τεταμένην ἐξ ὀλύμπου χθονὸς μέσον οὐρανοῦ ἁλύσεσι χρυσαῖς. καὶ φερομένην δίναισι. καὶ αἰωρήμασιν. ὁ δὲ λόγος, εἴθε παραγενοίμην εἰς τὴν μεταξὺ γῆς καὶ οὐρανοῦ τεταμένην πέτραν. ἥτις αἰωρεῖται καὶ φέρεται μυρίαις στρεφομένη χρυσαῖς ἁλύσεσιν ἐξ οὐρανοῦ. ἵνα πρὸς τὸν τάνταλον ἐλθοῦσα, ἀποδυραίμην τὰ συμβάντα. Ἀναξαγόρου μαθητὴς γενόμενος ὁ εὐριπίδης, μύδρον λέγει τὸν ἥλιον. οὕτω γὰρ δοξάζει. μύδρον δὲ καλοῦσι τὸν πεπυρακτωμένον σίδηρον. πέτρον δὲ καὶ βῶλον κατὰ ταυτὸ εἴρηκεν. ἀλλ' ἡ μὲν ἱστορία λέγει τὸν τάνταλον ἀνατεταμέναις χερσὶ φέρειν τὸν οὐρανόν. νῦν δὲ ὁ εὐριπίδης ἰδίως τὸν ἥλιον ἐπηρτῆσθαι λέγει αὐτῷ διάπυρον ὄντα μύδρον. ὑφ' οὗ καὶ δειματοῦσθαι αὐτὸν ἀεί. ἀναξαγόρᾳ πειθόμενος μύδρον αὐτὸν εἶναι λέγοντι. τινὲς δὲ κυρίως ἀκούουσι βῶλον χρυσῆν ἐπαιωρεῖσθαι τῇ κεφαλῇ τοῦ ταντάλου. ὑφίσταται δὲ ὁ εὐριπίδης τὴν ἠλέκτραν εὐχομένην ὅπως τῷ ταντάλῳ ἀποδύρηται τὰ συμβάντα τοῖς ἀπογόνοις αὐτοῦ. ὅμοιον τοῦτο τὸ ἐν πειρίθῳ. σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ ῥόμβῳ πάντων φύσιν ἐμπλέξαντα. οὐ δὲ γὰρ διαφέρει ὑπὸ τῆς φύσεως εἰπὼν πάντα διαπεπλέχθαι. καὶ ὑπὸ ἁλύσεως ἐξηρτῆσθαι τοῦ λίθου. Ἄλλως. Διὰ τούτων παραδηλοῦται, ὅτι ὁ τάνταλος αὐτόθι ἐστὶ μεταξὺ γῆς καὶ οὐρανοῦ, αἴσθησιν ἔχων πάντων τῶν πεπραγμένων. εἰ δ' ἄρα τινὲς διαποροῦσι πῶς ἐξ ἁλύσεως περιηρτημένος περιΐησιν ὁ ἥλιος, γινωσκέτωσαν. ὅτι τὰ φυσικὰ τοῖς μυθικοῖς καταμιγνύουσιν ὁ εὐριπίδης. Μόλοιμι.) εἴθε παραγενοίμην.

Οἱ κατεῖδον ἅπας.) οἵτινες φησὶν οἱ ἐμοὶ προπάτορες. λέγει δὲ ἀτρέα. καὶ θυέστην. καὶ ἀγαμέμνονα, αὐτόπται καὶ θεαταὶ γεγόνασι πολλῶν κακῶν. ἐξοῦ ὅτε πέλοψ κατὰ τὸ αὐτοῦ πτηνόν. ὃ ἐστι ταχύτατον ἅρμα ἔχων, τὸν μυρτίλον ἐξεδίφρευσε. τουτέστιν ἀπὸ τοῦ δίφρου ἐῤῥίψεν εἰς τὴν θάλασσαν. τὴν δὲ ἱστορίαν ταύτην ἤδη προεθέμεθα. ὅτι πέλοψ ὁ ταντάλου συνεργήσαντος τοῦ μυρτίλου. καὶ τὴν παρὰ θάλασσαν ἐλαύνων, ἀπωθήσατο αὐτὸν κατ' ἐκεῖνον τὸν τόπον τῆς θαλάσσης. ἔνθα γεραιστός ἐστιν ἀκρωτήριον τῆς εὐβοίας. ὅθεν τὸ πέλαγος ἐκεῖνο τῆς εὐβοίας τὴν ἐπωνυμίαν εἴληφεν. Πέλοψ ὅτε.) προτακτέον τοῦ λόγου τὸ ὁπότε. τοῦ ἐστὶ καὶ κατεῖδον οἱ ἐμοὶ προπάτορες ἅπας ἐν δόμοις, ἐξοῦ πέλοψ ἐξεδίφρευσεν εἰς θάλασσαν τὸν μυρτίλον. ἔνθεν καὶ μυρτῶον ἀπὸ μυρτίλου τὸ πρὸς εὔβοιαν κέκληται. μηνίσαντος γὰρ ἑρμοῦ τὸν τούτου πατέρα ὑποβαλεῖν τοῖς ποιμνίοις χρυσόμαλλον ἄρνα. ἣ πολλῶν αἰτία κακῶν αὐτοῖς γέγονε. τὰ δὲ λοιπὰ τῆς ἱστορίας ἑξῆς ἐπάγει. ἀνεῖλε δὲ τὸν μυρτίλον, προσδοκήσας καὶ αὐτὸς ὁμοίως ὑπ' αὐτοῦ προδοθήσεσθαι. ἵνα μὴ ἐξείποι ὅτι αὐτὸς ἐνίκησε, καὶ οὐ πέλοψ. οἱ δὲ, ὅτι μετὰ τὴν νίκην ὡς φίλον συλλαβόμενος τὸν μυρτίλον, ἐξεδίφρευσε. ζηλοτυπήσας εἰς ἱπποδάμειαν. Διεδίφρευσε.) ἀντὶ τοῦ ἐξεδίφρευσεν. ἐξέῤῥιψε τὸν μυρτίλον ὥστε ἀπολέσθαι. Δίκων ἐμβαλὼν εἰς τὸν πόντον, ὅτε ἐφόνευσεν. Γεραιστίαις.) γεραιστὸς ἀκρωτήριον τῆς εὐβοίας. Λευκοκύμοσι, τοῖς λευκοῖς κύμασιν. ἐπειδὴ πρὸς ῥηγνύμενα τῷ ἀκρωτηρίῳ, ἀφρώδη γίνεται. Ἁρματεύσας.) ἐκ τοῦ ἅρματος βαλών. ὅμοιον δὲ τῷ διεδίφρευσε. ἠϊόνας δὲ λέγει τὴν ἐπιφάνειαν τοῦ κύματος. ἢ τοὺς αἰγια

λους. Ὅθεν δόμοισιν.) ὅτε ἐγένετο ποιμνίοις τέρας ὀλοὸν ἀτρέως ἱπποβότα. λόχευμα ἀρνὸς χρυσομάλλου μαιάδος τόκου. ὅθεν τουτέστι, διὰ τὸ φονευθῆναι τὸν μυρτίλον, συμφορὰ κατέλαβε τοὺς οἴκους. τὴν ἀρχὴν λαβοῦσα, ἐξ οὗ ἐγένετο τέρας ἐν τοῖς ποιμνίοις τοῦ ἱπποτρόφου ἀτρέως τὸ ὀλέθριον. λέγω δὲ τὸν ἄρνα τὸν χρυσόμαλλον. ὃν ὁ μαιάδος τόκος ἑρμῆς ὑπέβαλεν.

λόχευμα ποιμνίοισι.) τὸ ἑξῆς, λόχευμα χρυσομάλλου ἀρνός.) περιφραστικῶς ὁ ἀρνός. Λόχευμα.) ἀκολουθεῖν δοκεῖ τῷ τὴν ἀλκμαιωνίδα πεποιηκότι εἰς τὰ περὶ τὴν ἄρνα. ὡς καὶ διονύσιος ὁ κυκλογράφος φησί. φερεκύδης δὲ οὐ καθ᾽ ἑρμοῦ μῆνιν φησὶ τὴν ἄρνα ὑποβληθῆναι. ὁ δὲ τὴν ἀλκμαιωνίδα γράψας, τὸν ποιμένα προσαγαγόντα τὸ ποίμνιον τῷ ἀτρεῖ ἀνταποκαλεῖ.

Τὸ χρυσόμαλλον.) ἑρμοῦ φησὶ τὰ ποίμνια. καθότι ἐπιδίδοται τὰ ποίμνια αὐτῷ. ἑρμοῦ δὲ καὶ μιᾶς τῶν δαναοῦ θυγατέρων φαεθούσης ἐγένετο μυρτίλος. οἱ δὲ ἐκ κλυμένης αὐτὸν καὶ διὸς φασὶ γεγενῆσθαι. Ἄλλως.

Ὁπότε τὸν ἀρνειὸν ὑπέβαλε τοῦτον ἑρμῆς ὀργιζόμενος ἀτρεῖ. ἐπειδὴ ὁ πρόγονος αὐτοῦ πέλοψ, τὸν μυρτίλον υἱὸν αὐτοῦ, εἰς τὸ ἐξ αὐτοῦ κληθὲν μυρτῷον πέλαγος ἔρριψε συναγωνισάμενον αὐτῷ. καὶ ποιήσαντα ἀπὸ κηροῦ τοὺς τροχούς. ἤτοι τοὺς σφῆνας τῶν τροχῶν. ὁ δὲ ἀτρεὺς βουλόμενος δεῖξαι, ὅτι αὐτοῦ ἐστὶν ἡ βασιλεία, ἔφη δεῖξαι ὅτι χρυσόμαλλος ἀρνειὸς αὐτῷ ἐτέχθη. τούτου δὲ ὑπονοθεύσας τὴν γυναῖκα θυέστης, ἔκλεψε τὸν ἀρνειόν. μὴ δυνηθεὶς οὖν κατὰ τὴν ὑπόσχεσιν δεῖξαι ὁ ἀτρεὺς, ἔμελλεν ἀφαιρεῖσθαι τὴν βασιλείαν ἐκείνου τὸ ὑπ᾽ αὐτοῦ ὑποσχεθὲν δεικνύντος, εἰ μὴ ὡσὰν φιλόσοφος ἀπέδειξεν αὐτοὺς ἀσεβοῦντας, εἰ θυέστην βασιλέα ἕλωνται. τεκμή

ριον δὲ τῆς βασιλείας τὸν ἥλιον· καὶ τὰς πλειάδας ἐκδύσεως εὑρίσκονται· καὶ οὕτως ἐβασίλευσε· καὶ τὸν ἀδελφὸν σφόδρα ἐτιμωρήσατο· τινὲς δέ φασι τὸν δία πρὸς χάριν ἀτρέως ποιῆσαι τὸν ἥλιον· καὶ τὰς πλειάδας ἀνατεῖλαι ἐκ δύσεως· μεταστρέψαντα τὴν τάξιν ἐν μιᾷ ἡμέρᾳ. Καὶ τοῦτο προεκτιθέμεθα οὕτως. Φιλονεικίας οὔσης αὐτοῖς περὶ τῆς βασιλείας, παρελθὼν ὁ ἀτρεύς, ἐπηγγέλλετο δεῖξαι πρὸς τὸ βεβαιωθῆναι αὐτῷ τὴν βασιλείαν, χρυσόμαλλον ἐν τοῖς ποιμνίοις αὐτοῦ ἄρνα· ἣν ὁ θυέστης λάθρα παρὰ τῆς ἀερόπης αἰτήσας ἔλαβεν· ὅθεν ἀτρεὺς ὡς ἀπατήσας τοὺς ἕλληνας, ἐξεβλήθη τῆς ἀρχῆς· θυέστης δὲ ἐκράτησεν· ἀλλ᾽ ὕστερον πάλιν ὁ ἀτρεύς, φιλονεικίᾳ τῇ πρὸς τοῦτον, προσελθὼν ἐπηγγέλλετο δεῖξαι τὸν ἥλιον ἐκ δυσμῶν εἰς ἀνατολὰς τὴν πορείαν ποιούμενον· καὶ τὴν πλειάδα ὁμοίως εἰς ἀνατολὴν ὁρῶσαν· τοῦτο οὖν οὐ λέγει· ὅτι μετὰ τὸ φανῆναι τὸν ἄρνα ἡ ἔρις τοῦ ἀτρέως πεποίηκεν ἐπιδειχθῆναι ἕλλησι τὸν ἥλιον τὴν ἐναντίαν πορευόμενον· καὶ τὴν πλειάδα μηκέτι πρὸς δύσιν, ἀλλὰ πρὸς ἀνατολάς. Πιθανῶς δὲ ὁ εὐριπίδης τὸν μῦθον προσήρμοσεν· ὁ γὰρ φυσικὸς λόγος τὸν ἥλιον ἀποδείκνυσι τὴν ἐναντίαν πορείαν ἰόντα τῷ οὐρανῷ· φησὶ γὰρ ὅτι πρότερον ἐκ καρκίνου εἰς διδύμους ἐποιεῖτο τὴν πορείαν· ὥστε τὸν σωματοειδῆ ἥλιον ἀπεστραφέναι πρὸς τὴν δύσιν τὸ πρόσωπον· νῦν δὲ διὰ τὴν τοῦ ἀτρέως καὶ θυέστου ἀδικίαν, ἀποστραφέντα πρὸς ἀνατολὴν φέρεσθαι· ἔχοντα φαινόμενον ἡμῖν τὸν νῶτον· διόπερ τὴν μὲν δύσιν αὐτῷ γενέσθαι ἀνατολήν· τὴν δὲ ἀνατολὴν δύσιν· πιθανῶς δὲ τὸ κατὰ τὰς πλειάδας εἴληπται· τὰ μὲν γὰρ ἄλλα ζῴδια, πρώτην φαίνει τὴν κεφαλὴν κατὰ ἀνατολάς· ὁ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦρος τὸ στῆθος προφαίνει καθὸ εἰσὶν αἱ πλειάδες· ὥστε ἀνεστραμμένην καὶ ταύτην τὴν ἀνατολὴν γίνεσθαι· Ἔρις δὲ ἀντὶ τοῦ διὰ τὴν ἔριν ἀτρέως τὴν πρὸς θυέστην· Ἱπποβότα·) ἵππους τρέφοντος· καὶ ἵπποις ἐπιβαίνοντος· Μονόπωλον ἐς ἀῶ·) εὐριπίδης μὲν ἐν ἵπποις ἐποχεῖσθαι φησὶ τὴν ἡμέραν· καὶ τοῦτο δὲ εἶναι τὸν πήγασον· ἄλλοι δὲ τὸν δίφρον· ἠὼς δέ ἐστιν ἡ πρὸ τῆς ἀνατολῆς ἡλίου λάμπουσα;· ἔνιοι δὲ μονόπωλον οὐχὶ τὴν ἕνα πῶλον ἔχουσαν φασὶν· ἀλλ' ἐν μιᾷ ἡμέρᾳ καὶ μόνῃ· ἵν' ἢ ὁ ἀτρεὺς τοῦτο ἐσχηκὼς κατὰ χάριν διός· διὰ ἡμέρας μιᾶς ποτε τὸν ἥλιον ἐκ δύσεως ἀνατεῖλαι, καὶ τὰς πλειάδας· Μεθαρμόσασα·) μεταστρέψασα· Μονόπωλον·) διὰ μιᾶς ἡμέρας· Ἑπταπόρου·) ἑξέπτα γὰρ ἀστέρων ἡ πλειάς· Μεταβάλλει·) ἀντὶ τοῦ μετέβαλλεν· Τῶν δέτ' ἀμείβει·) ἀπὸ δὲ τούτων, ὅ ἐστιν ἐξῆς δὲ τούτων· ἀπὸ τοῦ ἀτρέως καὶ τοῦ θυέστου· κατὰ διαδοχὴν, θανάτους ἐπαλλήλους ἐπήλλαγεν ὁ μαιάδος τόκος· καὶ τὰ δεῖπνα τῶν τέκνων τοῦ θυέστου· ἐπώνυμα δὲ εἶπεν αὐτά· παρετυμολογῶν τὸν θυέστην· παρὰ τὴν θύσιν τῶν τέκνων αὐτοῦ· Ἄλλως· Ἀμοιβὰς κατὰ διαδοχὴν θανάτων· ἐπήλλαγε τῷ γένει ὁ ζεὺς· ἀντὶ τοῦ τῆς χάριτος, ἧς παρέσχετο· ἢ μᾶλλον ὁ ἑρμῆς· ἢ οὕτως· ἀντὶ τοῦ φόνου τοῦ μυρτίλου, διαδοχαὶ φόνων ἐγένοντο· Λέκτρα τε κρήσσας·) ἀνέστρεψε τὴν τάξιν τῆς ἱστορίας· Ταπάνυσα·) λείπει κακά· Ἤλυθε·) λείπει ἥσων· σὺν πολυστόνοις ἀνάγκαις· Καὶ μὴν ὅδε σὸς σύγγονος ἕρπει· Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιστικῶν ἐξ· ὧν τὸ δ̅ μονόμετρον· τὰ δὲ λοιπὰ δ̅, δίμετρα ἀκατάληκτα· τὸ δὲ ς̅ καταληκτικὸν· ἤτοι ἑφθημιμερὲς παροιμιακὸν· ἐπὶ τῷ τέλει παράγραφος·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μὴν ὁ σὸς ἀδελφὸς οὗτος ἔρχεται κατακριθεὶς τῇ ψήφῳ τοῦ θανάτου· τουτέστι καταδικασθεὶς ἀποθανεῖν. ὁ πιστότατός τε πάντων πυλάδης ἔρχεται δηλονότι· λέγω ὁ ἰσάδελφος ἀνήρ· κυβερνῶν τὸ νενοσηκὸς σῶμα τοῦ ὀρέστου, παράστηρος καὶ συνεζευγμένος ἐν ποδὶ κηδοσύνῳ· ἤτοι ἐν πορείᾳ κηδεμονικῇ. Κατακυρωθεὶς.) κατακριθείς. Ἰθύνων.) κυβερνῶν τὸ νοσερὸν σῶμα τοῦ ὀρέστου πορείᾳ κηδεμονικῇ· ἤγουν κατὰ πορείαν κηδεμονικὴν παρασυνεζευγμένον. Ποδὶ κηδοσύνῳ παράστηρος.) τῇ κηδεμοσύνῃ συνεζευγμένος· καὶ τὸ νοσερὸν κῶλον τοῦ ὀρέστου ἰθύνων· κῶλα δὲ κυρίως λέγει τὰς ἁρμονίας τῶν μελῶν. Οἲ ἐγώ.) καὶ αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκη̄· ὧν τελευταῖος, ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται· μετὰ δὲ τὸν λδ̄· καὶ τὸν ρλϛ̄ τμῆμα κώλου· τὸ φδῦ· ὡς ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει, κορωνίς. φδῦ· ἀθλία εἰμὶ ἐγώ· ὁρῶσα γάρ σε ὦ ἀδελφὲ πρὸ τοῦ τύμβου, ἤτοι ἔμπροσθεν τοῦ τύμβου· ἢ πρὸ τοῦ τύμβου ἀντὶ τοῦ πρὸ τοῦ τυχεῖν σε τάφου, καὶ πρότερον τῆς ὑστέρου πυρᾶς, ἤτοι τῆς πρὸς τοὺς ὑστέρους πεμπούσης πυρκαϊᾶς, ἀναστένω. Οἲ ἐγὼ λίαν πάλιν.) λίαν ἐξέπεσον τῶν φρενῶν· ἰδοῦσα τοῖς ὄμμασί σε θέαν τελευταίαν. Οἲ ἐγώ.) πλησιάζοντα· καὶ ἐγγὺς ὄντα τοῦ τάφου· καὶ τοῦ θανάτου, ὁρῶσα, στενάζω· ἢ οὕτως· πρὶν ἐν τῷ τάφῳ· καὶ ἐν τῇ πυρᾷ σε θεάσομαι θρηνῶ. Οἲ ἐγὼ μάλ' αὖθις.) οἴμοι καὶ πάλιν τῇ ἀθλίᾳ. Πανυστάτην πρόσοψιν.) ἐσχάτην θέαν· λέγεται δὲ ἐνταῦθα ἐπὶ τῆς ἐνεργείας τῆς ὄψεως. Οὐ σῖγ' ἀφεῖσα.) οὐ μετὰ σιγῆς καταλείψασα τοὺς γυναικείους λόγους, ὑπομενεῖς τὰ κυρωθέντα, ἐλεεινὰ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα· ἀλλ' ὅμως ἀνάγκη ἐστὶν ἡμᾶς ὑπομένειν τὰς παρούσας δυστυχίας. Καὶ πῶς.) καὶ πῶς σιωπήσω· ἐπεὶ οὐκέτι μέτεστιν ἡμῖν τοῖς ἀθλίοις βλέπειν τὸ δὲ τὸ φῶς τοῦ ἡλίου· ἐπεὶ τὸ φῶς τοῦ ἡλίου ὁρᾶν οὐ μέτεστιν ἡμῖν τοῖς ταλαιπώροις. Σὺ μή μ' ἀποκτείνε.) αὐτάρκης ὁ ὑπὸ τῆς ἑλληνικῆς χειρὸς θάνατος. Ὦ μέλεος.) ὦ τλῆμον Ὀρέστα· ἕνεκα τῆς σῆς ἡλικίας τῆς δυστυχοῦς· καὶ χάριν τοῦ ἀώρου καὶ ἀκαίρου θανάτου. Ζῆν ἐχρῶσε.) πότε ἐχρῶσε ζῆν· ὅτε εὐδαιμόνως εἶ. ὁ νομίζει ἐξ ἀνάγκης γενήσεσθαι, τοῦτ' ἤδη καὶ μήπω γενόμενον, ὡς ἤδη γεγονὸς ἀποφαίνεται. Ἄλλως. Νῦν σε φησὶν ἐχρῆν ζῆν, ὅτε οὐκέτι σε ζῆν συγχωροῦσιν οἱ ἔλλωσι· πορθμεύουσα δέ· τουτέστι διὰ τὴν ὑπόμνησιν τῶν κακῶν ἐσάγουσά με εἰς δάκρυα. Πᾶσι γὰρ οἰκτρόν.) οὐκ ἐκράτησε τοῦ διανοήματος· ἤθελε γὰρ εἰπεῖν· ὅτι πᾶς ἀποθνήσκων οἰκτίζεται τὴν αὐτοῦ ψυχήν. Κύριον.) κεκυρωμένον. Δεῖ δ' ἢ βρόχους.) χρεὼν δ' ἐστὶν ἢ σχοινία καὶ ἀγχόνην ἀνάπτειν καὶ κρεμᾶν μετέωρον· ἢ ξίφος ἀκονᾶν χρή· ἤγουν διὰ χειρός. Σύ νύν μ' ἀδελφέ.) σύ μου φησὶν αὐτόχειρ γενοῦ· ἵνα μήτις με τῶν ἀργείων ἀνελὼν, ὕβριν ταύτην προστρίψει καὶ ἐπιτωθάσει τὸν ἀγαμέμνονος γόνον· ἢ οὕτως· ἵνα μήτις ἐνυβρίσῃ σε τὸν ἀγαμέμνονος γόνον· γράφεται καὶ δόμον· οὕτω γὰρ καὶ καλλίστρατος φησὶν ἀριστοφάνη γράφειν. Ἄλλως. Μὴ ἐνυβρίσῃς σὺ τὸν ἀγαμέμνονος γόνον. Ἅλις τὸ μητρός.) ἀρκούντως ἔχει ὁ φόνος τῆς μητρός, ὃν ἐφονεύθη δηλονότι ὑπ' ἐμοῦ· ἀλλὰ αὐτοχειρὶ θνῆσκε· ἢ ὅτῳ τρόπῳ βούλει. Ἔσται τάδε.) γενήσεται ταῦτα· οὐκ ἐπὶ πολὺ χρόνον τῆς σῆς σφαγῆς ἀπολειφθήσομαι, εἰ ὅλως ἐστὶ τέρψις τοῖς πέλας θανάτου βεβῶσι. Ἄλλως. Οὐκ ἂν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολειφθήσομαι τοῦ σοῦ θανάτου· ὡς μετὰ σὲ τεθνηκέναι· ἀλλ' ἅμα σοὶ, τοῦ παρόντος οἰχήσομαι χρόνου. Τέρπου· τέρπου τέρψιν ματαίας ὠφελείας· εἰ τὸ περιβαλεῖν χεῖρα τοῖς πέλας βεβηκόσι θανάτῳ, ὑπάρχει τέρψεως ποιητικόν. Τί γὰρ αἰδοῦμαι πέλας·) ἤγουν καὶ αὐτὸς περιβαλεῖν σε βούλομαι. Γαμήλια καμικά. Κέδρου τεχνάσματα·) τὰ ἐκ κέδρου κατασκευάσματα· ἐκ γὰρ κεδρίνου ξύλου εἰώθασι τὰς θήκας κατασκευάζειν. Ἡδὺς ἄν·) εὐφραντικώτατα εἴη ἂν ταῦτα εἰ οὕτω γένοιτο· ὁρᾷς δὲ δὴ νῦν ὅτι ἐστερήμεθα φίλων, ὥστε κοινωνεῖν ἡμᾶς ἀλλήλοις δηλονότι τοῦ τάφου. Ἐσπανίσμεθα·) ἐστερήμεθα. Σπουδὴν ἔχων·) σπουδάζων. Ὁ κακός,) ὁ κακότροπος. Ἐπὶ σκήπτροις·) ἐπὶ τῇ βασιλείᾳ. Μὴ σώζειν φίλους·) τὸ μὴ, περιττεύει· ὅτι ηὐλαβεῖτο· καὶ παρῃτεῖτο ἀντειπεῖν μὴ σώζειν τοὺς φίλους· οἱ γὰρ γνήσιοι φίλοι· καὶ πρὸς τὸ πλῆθος οὐ παραιτοῦνται κινδυνεύειν· ἢ τὸ πλῆθος ηὐλαβεῖτο πρὸς τὸ μὴ σώζειν τοὺς φίλους· ἢ εἰπεῖν εὐλαβεῖτο. Οὐδ' ὄμμ' ἔδειξεν·) ἤγουν οὐδὲ διάθεσιν καὶ γνώμην ἔδειξεν· ὅτι παρεστὶν ὀλίγον πρὸς τὸ διεγερθῆναι, καὶ ἀντιτάξασθαι τοῖς ἐχθροῖς· ἀλλ' ἐπὶ τοῖς σκήπτροις ἔχων τὴν ἐλπίδα, ἤγουν ἐπὶ τῇ βασιλείᾳ, ἣν ἤλπιζε κατέχειν ἀποθανόντος τοῦ ὀρέστου, ηὐλαβεῖτο σώζειν τοὺς φίλους. ἀλλά γε σκεψώμεθα ὅπως ἀντὶ τοῦ πῶς δράσαντες γενναῖα καὶ ἀξιώτατα τοῦ ἀγαμέμνονος, ἀποθανούμεθα. Βραβεύς·) κυρίως ὁ ἀγωνοθέτης. Ἀποδείξω πόλει· ἤγουν τοῖς πολίταις ἀποδείξω τὴν εὐγένειαν. Σὲ δὲ ἴσως σὲ δὲ πάλιν πρέπον ὅμοια ποιεῖν ἐμοί. Ἐπίσχου·) καρτέρησον. Μομφὴν ἔχω·) ἀντὶ τοῦ μέμφομαί σοι εἰ ζῆν μ' ἐθέλειν σοῦ ἀποθανόντος ἤλπισας.

Τί γάρ.) τί γὰρ ἁρμόζει, ἀποθανεῖν σε μετ' ἐμοῦ; Ἤρου.) ἠρώτησας με εἰ προσήκει με ἀποθανεῖν μετὰ σοῦ, κἀγὼ σε ἀντερωτήσω· τί δὲ προσήκει με ζῆν, τῆς σῆς φιλίας καὶ ἑταιρείας χωρίς. Οὐκ ἔκτανον.) οὐκ ἐφόνευσας τὴν σὴν μητέρα καθάπερ ἐγώ. Σύν σοί γε.) οὐ πρὸς τὸ ῥηθὲν ἀπεκρίνατο Πυλάδης ὑπὸ Ὀρέστου· θέλει γὰρ λέγειν ὅτι συνησέβησά σοι· ἰδίως ὅτι ταῦτα ὁ Εὐριπίδης, τοῦ Πυλάδου ἔμπροσθεν εἰρηκότος ὅτι ἐκβέβληται ὑπὸ τοῦ πατρός· εἰ μὴ ἄρα αἰνίττεται ὡς μετὰ θάνατον τοῦ πατρὸς δυνήσεται κατελθεῖν.

Ἀπόδος.) σεαυτὸν ἄπαγε πρὸς τὸν πατέρα σου σῶον. Σοὶ μὲν γάρ.) σοὶ σαυτὸν σῶζε τῷ πατρί· οὐ γὰρ οὕτως ἔχεις τύχης ὡς ἐγώ· σοὶ γὰρ ἔξεστιν εἰς τὴν πατρίδα ἐπανελθεῖν. Τῆς δ' ἐσφάλης.) τῆς δὲ τῆς Ἠλέκτρας ἀπέτυχον· ἥν σοι ἐγγυησάμην τὴν σὴν φιλίαν τιμῶν· σὺ δὲ ἄλλο γύναιον λαβὼν τεκνοποίησον· ἐμοὶ γὰρ πρὸς σὲ συγγένεια οὐκέτι γενήσεται. Ἀλλ' ὦ ποθεινόν.) ὦ ποθεινὴ ὁμιλία ἐμοί· τουτέστι σύ· ὦ ποθεινῶς ὡμίλουν ἐγώ· σύνηθες δὲ τοῦτο· τιθέναι ἀντὶ προσώπων τὰ πράγματα· ὧν ἐστιν αἴτια τὰ πρόσωπα· οἷον ὦ ἀνάπαυσις ἐμή· καὶ ὦ ἄλγος ἐμόν· ἀντὶ τοῦ σύ· ἐφ' οὗ ἀναπαύομαι ἐγώ· καὶ σύ, ὃς ἄλγος ἐμοὶ προξενεῖς. Οἱ γὰρ θανόντες.) δέον οὕτως εἰπεῖν· οἱ γὰρ θανόντες χαρμάτων τητῶνται, τητώμεθα εἶπεν· ἐπειδὴ καὶ αὐτὸς μετὰ τῶν θανόντων ὅσον οὔπω ἔσεσθαι ἔμελλεν. Ὄνομα ὁμιλίας.) ὅτι ὁμιλίας τῆς φιλίας φησί· σημειωτέον ὅτι πρὸς τὸ ἐν Φοινίσσαις, ὁμιλίας χθονός. Ἔστι τοῦτο.) τὸ χαίρειν. Τητώμεθα.) στερούμεθα. Ἢ ποῦ.) οὕτως μακρὰν ἀπέχεις τοῦ ἐμοῦ σκοποῦ. Μήθ' αἷμα μου.) ὅ ἐστιν ἀποθανών, μὴ συνωθείης στοιχείοις.

στοιχείοις, ἐξ ὧν εἰμί· ἀλλὰ πλανοίμην εἰκῆ· ὑπ' οὐδενὸς τῶν στοιχείων λαμβανόμενος. Ἄλλως. μήτε τὸ σῶμα μου φησὶν ἀποθανόντος ἡ γῆ παραδέξαιτο· μήτε εἰς αἰθέρα ἡ ἐμὴ ψυχὴ χωρήσοι, εἴ σε προδοίην τανῦν τουτέστι μὴ ἑνωθείην τοῖς στοιχείοις τελευτήσας· οἱ γὰρ ἀποθνήσκοντες κατ' αὐτούς, εἰς τὰ στοιχεῖα ἀναλύονται ἐξ ὧν εἰσί. Ἄλλως. εἴθε μὴ προσδέξαιτό με τὰ στοιχεῖα ἀποθανόντα ὡς βδελυρὸν δηλονότι· καὶ ἀποτρόπαιον, εἴ σε ἐγώ ποτε ἐγκαταλιπών, ἐλευθερώσας τὸ ἐμὸν μέρος δηλονότι· ἤγουν ἐμαυτὸν ἄφετον ποιήσας ἀπολίποιμί σε· καὶ γὰρ συνεφόνευσά σοι τὴν μητέρα· καὶ οὐκ ἀπαρνήσομαι· καὶ πάντα συνεβούλευσα· ὧν ἕνεκα σὺ δίδως τιμωρίας· πρέπον οὖν ἐμοὶ σὺν σοὶ θανεῖν καὶ τῇδε· ἐμὴν γὰρ αὐτὴν κρίνω γυναῖκα ἧς τινος τὴν κοίτην ἐπῄνεσα. Τί γὰρ ἐρῶ καλὸν ποτε.) τί γὰρ ἕξω φησὶν ἀπολογήσασθαι εἰς τὴν πατρίδα ἐπανελθών, εἰ προδοίην σε δυστυχοῦντα· τότε φίλος ὢν ὅτε εὐτύχεις. Γῆν δελφίδ' ἐλθών.) ὕαμπος ὁ λυκόρεως μετὰ τὸν κατακλυσμόν, βασιλεύων τῶν περὶ τὸν παρνασσόν, ὕαν πόλιν ἔκτισε, καὶ γήμας μελαίνθειαν τὴν δευκαλίωνος, ἐποίησε μελανίδα· ἐκ δὲ μελανίδος δελφός· ὃς τὴν ἀρχὴν τοῦ μητροπάτορος παραλαβών· ἔγημε κασταλίαν· ἀφ' ἧς ἡ κρήνη τοὔνομα ἔχει· καὶ ἔσχε καστάλιον καὶ φημῖνον· ὃν φασὶ πρῶτον ἑξαμέτρῳ χρῆσαι· πόλιν δὲ κτίσας ἀδελφὸς, δελφίδα ὠνόμασε· μετὰ δὲ θάνατον αὐτοῦ ἦρξε καστάλιος· οὗ υἱὸς οὐλάφριος· οὗ νούπος· ἐξ οὗ δελφοὶ πολεμοῦντες πρὸς τοὺς ὁμόρους, ἀναρχίαν εἵλοντο· καὶ τὸν ἀκρίσιον μετεπέμψαντο ἐξ ἀγροῦ· ὃς αὐτοῖς τὸν πόλεμον καλῶς διέθετο· καὶ κατὰ ζῆλον τοῦ ἀμφικτυωνικοῦ συνεδρίου·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατεστήσατο ἀμφικτύων ὁ δευκαλίωνος ἐν θερμοπύλαις τῆς θετταλίας· ἕτερον ἐν δελφοῖς κατεστήσατο· καὶ τὸ ἐν θερμοπύλαις ἀναλαβὼν τὰς συνόδους ἀντὶ μιᾶς δύο πεποίηκε· καὶ νόμους ἔθετο καθ' οὓς ἔμελλον ἕκαστα διοικεῖν· ἀτέλειαν τε προσέθηκεν ἐφ' ἑκατέραις ταῖς συνόδοις· καὶ τὴν πρόνοιαν τοῦ ἱεροῦ· καὶ τῶν δελφῶν τῷ συνεδρίῳ ἐπέτρεψε· μετὰ δὲ τινὰς χρόνους, ὄρνυτος ὁ σισύφου ἐλθὼν ἐκ τῆς ἀονίας αὐτόσε· καὶ πολεμοῦντας εὑρὼν ὑαμπολίτας πρὸς ὀπουντίους λοκροὺς περὶ δαφνοῦντος· συμμαχήσας τε ἐνίκησεν· καὶ ἦρξεν αὐτῶν· ἐγένοντο δ' αὐτῷ παῖδες, φῶκος· καὶ θόας· ἀλλ' ὁ μὲν θόας ἅμα τῷ πατρὶ, εἰς κόρινθον ἀπήλασε· φῶκος δὲ δεξάμενος τὴν ἀρχὴν τοῦ πατρὸς, φωκέας αὐτοὺς ὠνόμασεν. Οὐκ ἔστιν.) οὐχ οὕτω ποιήσω. Αλλὰ ταῦτα μέν.) ἃ ἐστὶ δηλονότι ὑμῖν διὰ φροντίδος· τουτέστιν ὁ θάνατος, κἀμοὶ διὰ φροντίδος ἐστίν. Επεὶ δὲ κατθανούμεθα.) ἐπεὶ δὲ ἅπαξ ἐκρίθη ἀποθανεῖν ἡμᾶς, πρὸς ἀλλήλους σκεψώμεθα· ὥσαν τῷ μενελάῳ κακὸς προστριψώμεθα· ἵνα μὴ μόνοι δυστυχῶμεν ἡμεῖς. Ω φίλτατ'.) εἴθε γὰρ τοῦτο ἰδὼν ἀποθάνοιμι. Πιθοῦ νῦν.) πείθητι δή· καὶ τὴν σφαγὴν ἀνάβαλου. Μενῶ.) προσκαρτερήσω· εἰ τὸν ἐχθρὸν κολάσω. Σίγα νῦν.) ὑφορᾶται τὰς τοῦ χοροῦ· ἐνόμιζε γὰρ αὐτὰς ἐχθρὰς εἶναι· τὸ δὲ ὡς ἀντὶ τοῦ γάρ· ἢ ἀντὶ τοῦ ὅτι. Πῶς οὖν ἕτοιμον.) τὸ ἑξῆς· εἰ γὰρ φησὶ τοῦτο εὔκολον, καὶ ἕτοιμον τὸ φονεῦσαι τὴν ἑλένην καλῶς ἂν ἡμῖν ἔσται· ἀλλὰ τὰ ἐπ' ἐμοὶ ἕτοιμόν ἐστι· τὸ γὰρ ἕτοιμον καλόν ἐστιν. ὁ δὲ λόγος τοιοῦτος ἐστί· τὸ γὰρ ἑτοίμως καὶ εὐχερῶς τὴν ἑλένην κατεργάσασθαι, καλόν ἐστιν, εἰ ὅλως δυνατὸν τοῦτο πρᾶξαι· ἕτοιμος γὰρ εἰς τοῦτο ἡμι, εἰ μὴ καταληφθήσο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαι. ἀλλὰ τίνι τρόπῳ φησὶν ἀνέλωμεν. ἕτοιμος γάρ εἰμι πρὸς τὸ σφάξαι. ἢ εἰσὶν ὅμαρες τὸ κτεῖναι. τουτέστιν εἰ μὴ καταληφθήσομαι. Αποσφραγίζεται.) σφραγῖδας ἐπιτίθησιν. ὡς δὴ πάντα κληρονομήσας τὰ ἐμά. τὰ μὲν φησὶ σφραγίζει τῶν ἡμετέρων. τὰ δὲ, ἀποσφραγίζει. γράφεται καὶ ἀποσφαλίζεται. Αλλ' οὐκέτι.) ἀποσφαλισθήσεται δηλονότι. Εχει γὰρ βαρβάρους ὀπάονας.) ἤγουν ἀκολούθους. καὶ δούλους. οὕτω φησὶν ὑπερβαλλόντως ἐτρύφα ἐν τῇ βαρβάρων χώρᾳ, ὡς μηδὲν ἡγεῖσθαι τὴν ἑλλάδα πρὸς τρυφήν. τρυφηλότεροι γὰρ τὸν βίον οἱ βάρβαροι διάγουσι. μείζων τε ἡ ἀσία τῆς εὐρώπης. Τρέσαιμι.) δειλιάσαιμι. Οἵους ἐνόπτρων.) οἵους εἰκὸς εἶναι ἐπιτηδείους εἰς τὴν τῶν ἐνόπτρων, καὶ μύρων ὑπηρεσίαν. Τρυφὰς γὰρ ἥκει.) τρυφὰς λέγει, οὓς ἐκ τροίας εὐνούχους. καὶ θεράποντας ἤγαγε. Ὡς εἰ ἑλλάς.) ὥστε ἡ ἑλλὰς ὅσον εἰς αὐτήν, μικρὸν ὑπάρχει κατοικητήριον. Οὐδὲν τὸ δοῦλον.) ἀσθενεῖς φησὶν οἱ δοῦλοι πρὸς τοὺς ἐλευθέρους μάχεσθαι διὰ τὸ μὴ τολμᾶν. Καὶ μήν.) ὄντως τόδε πράξας ἐκδύτερον θανεῖν οὐχ ὑποχωρῶ. Αλλ' οὐδ' ἐγὼ οὐχ ὑποχωρήσω θανεῖν δίς σοί γε βοηθῶν. Τὸ πρᾶγμα δήλου.) τὸ περὶ τοῦ φόνου τῆς ἑλένης πρᾶγμα δήλωσον. καὶ εἰπὲ ποίῳ τρόπῳ ταύτην μέλλομεν ἀναιρεῖν. Εἴσιμεν.) εἰσέλθωμεν εἰς τοὺς δόμους. ὡς ἀποθανούμενοι. Εχω.) νοῶ ὅσον λέγεις. τὰ λοιπὰ δὲ οὐ νοῶ. Γόους,) θρήνους πρὸς αὐτὴν ἐπιθήσομεν. δι' ἃ ἡμεῖς πανθάνομεν ἤγουν ποιήσομεν τὰ ἡμέτερα δυστυχήματα πρὸς αὐτὴν θρῆνον. Ὥστε δακρῦσαι, οὕτω φησὶ περιπαθῶς δακρύσομεν, ὥστε αὐτὴν εἰς οἶκτον κινῆσαι. ἐπὶ τῷ ἡμετέρῳ θανάτῳ λάθρα χαίρουσαν. Καὶ νῦν παρεῖσαι. καὶ γὰρ

ἡμεῖς οἰκτιζόμεθα μέν, χαίρομεν δέ, ὡς μέλλοντες αὐτὴν φονεύειν. τὸ οὖν τότε, ἤτοι ὅτε ἐπεσχόμεθα· ἢ ὅτε φονεύομεν αὐτήν. Ἄλλως. καὶ ἡμῖν τοῖς δυσὶ τοῦτο φανήσεται. τὸ δεῖν μὲν δακρύειν· χαίρειν δὲ τῇ διανοίᾳ. καὶ ἡμῖν γενήσεται, ὅπερ ἐκείνῃ τότε· ἡνίκα ἐπελθόντες πρὸς αὐτὴν ἱκετεύομεν. ὡς γὰρ ἐκείνη ἡμῶν ὀδυρομένων, προσποιήσεται μὲν δακρύειν, χαιρήσεται δὲ κατὰ τὴν ψυχήν, οὕτω καὶ ἡμεῖς αὐτῆς ἱκετευούσης, προσποιησόμεθα λυπεῖσθαι ἔνδον χαίροντες ὑπὸ τὸ μέλλειν αὐτὴν ἀναιρεῖν. Ἄλλως. καὶ ἡμῖν τό τε ταῦτα παρέσται ἅπερ κἀκείνῃ· ἤγουν τὸ ἔξωθεν δακρύειν· ἔνδοθεν δὲ χαρὰν ἔχει τῇ ἐλπίδι τῆς διαχειρίσεως αὐτῆς. Πρόσθεν δ' ἐπαδῶν.) καὶ πῶς φησὶν ἀναιρήσομεν αὐτὴν ἔμπροσθεν τῶν δούλων. Τίς ὄλεθρος.) ὥσπερ τὸ ταχὺς λέγεται ἐνίοτε ἀντὶ τοῦ ταχέως, οὕτως ἐνταῦθα τὸ τίς, ἀντὶ τοῦ κατά τινα τρόπον· ἐπιρρηματικῶς. Ἐκκλείσομεν.) ἀποσφαλίσομεν αὐτούς, ἄλλον εἰς ἄλλην στέγην. Καὶ τόν γε.) καὶ τὸν μὴ σιγῶντα· ἀλλ' ἐμφαίνοντα τὴν βουλήν, ἀποκτείνειν πρέπει. Εἶτ' αὐτὸ.) εἶτα αὐτὸ τὸ ἔργον καὶ τὸ πρᾶγμα δηλοῖ ὅπου χρεὼν καὶ ἀναγκαῖον τείνειν· ἤτοι ἀφορᾶν καὶ πορθήσεσθαι εἰς τὸ φονεύειν τὴν ἑλένην. μανθάνω καὶ νοῶ τὸ σύμβολον καὶ τὸ σημεῖον. Εἶτ' αὐτὸ.) φανεροῖ τὸ ἔργον ὅπου ἀφορᾶν πρέπον. Ἑλένην ἀποκτείνειν.) καταλαμβάνω τὸ συμφώνημα. Μανθάνω.) νῦν φησὶν ἔγνων πῶς δεῖ φονεύειν τὴν ἑλένην. Ἔγνως; ἤτοι ἐγνώρισας ὃ λέγω· ἄκουσον δὲ καὶ πῶς καλῶς βουλεύομαι. εἰ μὲν γὰρ εἰς γυναῖκα σώφρονα μεθίεμεν καὶ ἐκινοῦμεν τὸ ξίφος, ἦν ἂν ὁ φόνος δυσκλεὴς καὶ ἄδοξος· νῦν δὲ δώσει δίκην ἡ ἑλένη δηλονότι, ἀντὶ τοῦ τιμωρηθήσεται ὑπὲρ πάν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν τῶν ἐν τῇ ἑλλάδι ἀνθρώπων· ὧν τοὺς πατέρας ἀπέκτεινεν· καὶ τέκνα· καὶ γυναῖκας ἐστερημένας ἀνδρῶν ἐποίησεν. εὐχὴ δὲ ἔσαι. πῦρ τε. καὶ θυσίας ποιήσουσι τοῖς θεοῖς· σοί τε καὶ ἐμοὶ εὐχόμενοι πολλὰ καὶ ἀγαθὰ· ὥστε τυχεῖν αὐτῶν δηλονότι· ὅτι ἐποιήσαμεν φόνον κακῆς γυναικὸς τῆς ἑλένης δηλονότι· μητροφόντης δὲ οὐκ ὀνομάζῃ ταύτην κτανών· ἀλλὰ ἀπολιπὼν τοῦτο τὸ καλεῖσθαι μητροφόντης, πεσὴ ἐπὶ τὸ κρεῖττον· λεγόμενος φονεὺς τῆς πολυκτόνου ἑλένης, ἤτοι τῆς αἰτίας φόνου πολλοῖς γινομένης· οὐ πρέπει τὸν μενέλαον μὲν εὐτυχεῖν, τὸν δὲ σὸν πατέρα καὶ ἐμὲ καὶ τὴν ἀδελφὴν θανεῖν· τὴν μητέρα τε· ἐῶ τοῦτο οὐ· γὰρ λέγειν εὐπρεπές· ἔχειν τε τοὺς σοὺς δόμους, λαβόντα τὴν ἑαυτοῦ γυναῖκα, διὰ τὴν ἀνδρείαν τοῦ ἀγαμέμνονος· εἴθε γὰρ μηκέτι ζῴην εἰ μὴ κατ᾽ ἐκείνης λήψομαι μέλαν φάσγανον· ἤτοι θανάτου ποιητικόν. Μεθεῖμεν.) ἐνεβάλομεν. Υπὲρ πάσης ἑλλάδος.) ὑπὲρ ἁπάντων ἑλλήνων δώσει τιμωρίαν. Νύμφας.) καὶ τὰς νέας ἐποίησεν συνευνέτων ἐστερημένας. Ολολυγμὸς ἔσαι.) ἀντὶ τοῦ χαρὰ γενήσεται· καὶ εὐχή· ὅμηρος· αἱ δ᾽ ὀλολυγῇ πᾶσαι.

Πῦρ τ᾽ ἀνάψουσι.) ἀντὶ τοῦ καὶ θεοῖς θυσίαν ποιήσουσι. Κεδν᾽ ἀρώμενοι.) συνετά· νῦν δὲ τὰ ἀγαθά. εὐχόμενοι ἡμᾶς τυχεῖν πολλῶν ἀγαθῶν. διότι ἐποιήσαμεν φόνον κακῆς γυναικός. ὁ μητροφόντης τὸ τοῦ μητροφόντου ὄνομα φυγών, εἰς τὸ βέλτιον ὄνομα ἔρχει. ἑλένης φονεὺς λεγόμενος τῆς πολυκτόνου. Μητέρα τ᾽ ἐῶ.) τὴν μητέρα ἀφίημι. οὐ γὰρ ἀκόλουθον ὑπομιμνήσκειν σε τοῦ φόνου τῆς μητρός. Δι᾽ ἀγαμέμνονος δόρυ.) διὰ τὴν συμμαχίαν τοῦ ἀγαμέμνονος ἀπολαβόντα τὴν ἑλένην· οὐ δεῖ αὐτὸν πρὸς τούτοις ἔχειν τοὺς σοὺς δόμους.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μὴ γὰρ.) οὐθὲ μηκέτι ζῶ ἢ μὴ ἑλκύσω κατ᾽ ἐκείνης τὸ ξίφος. Ἢν δ᾽ οὖν.) ἢν δὲ μὴ ἐγκρατὴς γενώμεθα τοῦ φόνου τῆς ἑλένης, καύσαντες τοὺς δόμους τούσδε ἀποθανούμεθα. ἑνὸς γὰρ τοῖν δυοῖν οὐκ ἀποτυχόντες, λάβοιμεν δόξαν. Ἄλλως. θατέρου εὐστοχήσαντες, ἢ φονεύσαντες αὐτὴν, ἢ καύσαντες τὸν οἶκον, δόξαν ἕξομεν. Πάσαις γυναιξί.) ἀξία στυγεῖσθαι ὑπὸ πασῶν γυναικῶν, ἡ τοῦ τυνδάρεω παῖς. ἥτις κατῄσχυνε τὸ γένος ἑαυτῆς ἤτοι τοὺς συγγενεῖς. ἢ τὸ ἑαυτῆς γένος. τουτέστι τὰς γυναῖκας. Φεῦ.) θαυμαστικόν. οὐκ ἔστιν οὐδὲν κάλλιον ἀληθοῦς φίλου. οὐ πλοῦτος. οὐ βασιλεία. Ἀλόγιστον δέ τι.) ἀσύνετον δέ ἐστιν τὸ ἀνταλλάττειν τὸ πλῆθος αὐτὸ, τοῦ εὐγενοῦς φίλου. ἕνα φησὶν ἄνδρα συνετὸν προκρίνειν αὐτῆς ἀλογίστου πλήθους τῶν πολλῶν. Ἄλλως. ἀσύνετον καὶ μωρόν ἐστι, τὸ ἀνταλλάττεσθαι ἀντὶ τοῦ γενναίου φίλου πλῆθος. ἤγουν τὸ προτιμᾶν τὸ πλῆθος, ἀντὶ τοῦ γενναίου φίλου. οὐ γὰρ τὸ πλῆθος θέλων δηλοῖν ἀλόγιστον. ἀλλ᾽ ὅτι ἀντάλλαγμα γινόμενον τὸ πλῆθος γενναίου φίλου. τουτέστιν ἀντὶ γενναίου φίλου λαμβανόμενον, ὡς πλείονός τινος ἄξιον, ἀλόγιστον λαμβάνεται. καὶ ἔστιν ὅμοιον τῷ ταχὺς παραγένου, ἀντὶ τοῦ ταχέως. Ἐξεῦρες.) ἐμηχανήσω.

Καὶ πλησίον.) καὶ ἀπὸ τῶν κινδύνων παρυπῆρχες πλησίον ἐμοῦ. καὶ ἀρτίως συμβουλεύεις μοι ἐκδίκησιν τῶν πολεμίων. καὶ οὐ μακρὰν ὑπάρχεις. Ἐπαινῶν σε παύσομαι. ἐπειδὴ βάρος ἐστὶ κἀν τῷδε. ἤτοι ἐν τῷ λίαν ἐπαινεῖσθαι. ἐγὼ δὲ ὁμολογουμένως ἀποθνήσκων, δράσας τι τοὺς ἐμοὺς ἐχθροὺς, χρήζω θανεῖν. ὅπως ἂν τανέλωμεν. καὶ ἀφανίσωμεν οἵτινες προὔδωκαν ἐμέ. καὶ ὅπως θρηνῶσιν οἵτινες, καὶ ἐμὲ ἐποίησαν ἄθλιον. ἀλλὰ μεμνημένος παῖς ὑπάρχων ὅστις ἀρχηγὸς ἐ-

γένετο τῶν ἑλλήνων ἄξιος κριθεὶς· οὐ τυραννικῶς· ἀλλ' ὁ/
μως ἰσχὺν καὶ ἐπικουρίαν ἔλαβεν ὑπὸ θεοῦ· ὃν πατέ/
ρα οὐ καταισχυνῶ· δι' ὧν ἂν ἀνδρείως ἀποθανοῦμαι.

Τίσομαι.) τιμωρήσομαι. Ἑνὸς γάρ.) τοῦ μὴ φονευ/
θῆναι. Κτανοῦσι.) μὴ θανοῦσι. τοῦτο κατ' ἰδίαν λέ/
γει. λείπει δὲ τὸ γενέσθαι. κτανοῦσιν ἡμῖν ἑτέρους. οὐχ
ὑφ' ἑτέρων ἀναιρεθῆναι. τουτέστιν εὐτυχήσομεν, εἰ κἀκεί/
να τῶν ἐχθρῶν ἀνέλωμεν· καὶ μὴ παρ' ἐκείνων ἡμεῖς ἀ/
ναιρεθείημεν. Εὔχομαι τέλ.) ἡμῖν γενέσθαι δη/
λονότι. Ὃ βούλομαι γάρ.) ὃ γὰρ νομίζω τερπνὸν, τοῦ/
το καὶ μόνον ὀνομάζων ἀδαπάνως εὐφραίνομαι. Ἄλλως.
ἐξ ὧν οὐδὲν βλαπτόμεθα, οὐδὲν κωλύει εὐφραίνειν ἑαυ/
τοὺς λόγῳ. τὸ ἡδὺ φησὶ καὶ εὐκτὸν ἡμῖν πρᾶγμα· τὸ
τινὰ τούτων λαβεῖν ὑποχείριον, οὐ βούλομαι διὰ στόμα/
τος μόνον προφέρειν. τουτέστι μέχρι λόγων ματαίων στῆ/
ναι. καὶ ἀζημίως τέρψαι τὴν ἐμαυτοῦ ψυχὴν. τουτέστι μὴ
μετὰ τοῦ ζημιῶσαι τινὰ τῶν ἐχθρῶν. καὶ τιμωρήσασθαι.

Ἐγὼ κασίγνητε τοῦτο αὐτό φησι τὸ τινὰ λαβεῖν ὑπο
χείριον τούτων, σωτηρίαν ἡμῖν τοῖς τρισὶ φέρειν νομί/
ζω. ἤτοι καὶ τὸ ἀναιρεθείσης τῆς ἑλένης ἐνεδρεῦσαι καὶ
τὴν ἑρμιόνην. ταῦτα δὲ ἑξῆς ἐπάγει. Λέγ' ὡς τὸ μέλ
λειν.) εἰπὲ φησὶ πόθεν ἕξομεν τὴν σωτηρίαν. οἶδα
γάρ σε συνετὴν τυγχάνουσαν ἀπ' ἀρχῆς. ἀλλὰ λέγε
φησὶν ἣν ἔχεις ἡμῖν σωτηρίαν πῶς πράξεις. Ἄλλως. τὰ
ἀγαθὰ, καὶ ἐν τῷ προσδοκᾶσθαι μόνον, ἔχει τινὰ τέρψιν.
Εἰδότ' ἠρόμην.) σὲ τὸν γινώσκοντα ἠρώτησα. Ὑπο
τίθης.) ὑποβάλλεις. Χοάς.) χοαὶ λέγονται ἐπὶ τῶν
νεκρῶν. Καὶ δὴ τί μοι.) τίνος χάριν τοῦτο εἴρηκας. τί
τοῦτο εἶπας. ὅμοιον τῷ ὑποτίθης τινὰ ἐλπίδα. τίνα γὰρ
φησὶν ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις. ἐκ τοῦ λέγειν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι ἐπορθώθη ἡ ἑρμιόνη πρὸς τὸν τῆς κλυταιμνήστρας τάφον. Συλλάβεσθ' ὅμηρον.) ἐνέχυρον τῆς σωτηρίας ἡμῖν.

Πᾶν γὰρ ἓν φίλον.) ὡς εἰ ἔλεγεν. ἓν σῶμα. καὶ μία ψυχὴ ἐσμέν. πᾶν γὰρ τὸ καθ' ἡμᾶς. ἕν φησι καὶ ταυτόν ἐστιν. Ἄλλως. τοῦτο φησὶν ὡς εἴ τινα ἐξ ἡμῶν κακώσει ἐν τοῖς τρισὶν ἡ βλάβη προσίσταται. κοινὰ γὰρ τὰ τῶν φίλων. ἕν φησι καὶ ταυτόν ἐστι πᾶν τὸ καθ' ἡμᾶς καὶ ὡς εἰπεῖν, ἓν σῶμα. καὶ μία ψυχή. Σπάσαντ' εἴχειν.) ἀπογυμνώσαντα ἔχειν πρὸς αὐτῇ τῇ δέρῃ τῆς παρθένου. Ἑλένης πτῶμα.) ἀντὶ τοῦ τὸ σῶμα. Μέθες πεπᾶσθαι.) ἀντὶ τοῦ ἀπολαύειν. τουτέστι συγχώρει τῷ πατρὶ τὴν ἑρμιόνην πρὸς ἀπόλαυσιν. καὶ ὄνησιν κτήσασθαι. ὅθεν καὶ τὸ πολυπάμμονος. ἐτυμολογεῖται δὲ πατὴρ, παρὰ τὸ πεπᾶσθαι. καὶ ἀλλαχοῦ πολλῶν καλεῖσθαι βούλομαι πατὴρ δόμων. ἀντὶ τοῦ δεσπότης.

Ἣν δ' ὀξυθύμου.) ἐὰν δὲ ἐν τῇ ὀργῇ πολὺς ἔλθῃ, καὶ παρίδῃς σε ἀπολύμενον. τοῦτο γὰρ σημαίνει τὸ κτείνει σε, τότε καὶ σὺ τὴν παρθένον ἀπόκτεινον. Ἐπάλξιν.) βοήθειαν. Εἴρηται λόγος.) πεπλήρωται. Ὦ τὰς φρένας.) ἁρμόζουσα μὲν ἀνδράσι διὰ τὰς φρένας. γυναιξὶ δὲ ὁμοία τὸ σῶμα. ἀντὶ τοῦ εὐπρεπὴς οὖσα. καὶ γυναικὸς φύσιν ἔχουσα. ὃ καὶ βέλτιον. Ἄλλως. πρέπον. ἤγουν σῶφρον. καὶ ἁρμοζόμενον γυναιξί. τὰς μὲν γὰρ ἀρετὰς καὶ ὁ πλάτων κοινὰς εἶναι φησί. πλεονεκτεῖν δὲ ἴσως τοὺς ἄρρενας. Ἢ ζῶν.) ἤ τινι συζῶν. τὸ γὰρ ζῶν, ἀντὶ τοῦ συζῶν, καὶ συνοικῶν. τὸ δὲ ἀξιουμένη. οἷον κοσμουμένη. τιμωμένη. ἀνοίκεια δὲ ταῦτα τοῦ προκειμένου ἀγῶνος. Εἰ γὰρ γένοιτο.) εἴτε τοῦτο γένοιτο. Τίνος χρόνου.) ἐν ποίῳ χρόνῳ. Ὥστ' ἄλλα γ' εἴπας.) ὥστ' ἄλλα γε εἴπας κάλλιστα. εἰ τοῦτ' εὐτυχήσο

φησιν ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις· ἐκ τοῦ λέγειν με, τὸ λαβεῖν τὴν ἑρμιόνην, δόξεις τἄλλα καλῶς εἰρηκέναι· ἐὰν γὰρ τούτου μόνου ἐπιτύχωμεν, πάντα τἄλλα καλῶς εἴρηκας. Σκύμνον·) σκύμνος κυρίως τὸ τῶν λεόντων τέκνον· νῦν δὲ ἐπὶ ἀνθρώπου. Αὐτὸ συντρέχει·) εἰς αὐτὸ φθάνει· ἀντὶ τοῦ φθάνει λοιπὸν ὁ χρόνος· καὶ ἐπίσης ἐστί.

Σὺ μέννυν·) τοῦτο μὲν δὴ τοιοῦτον· σὺ δὲ μένουσα ἔμπροσθεν τῶν δόμων, προσδέχου τὴν ἔλευσιν καὶ παρουσίαν, τῆς παρθένου· καὶ γέγωνε εἰς δόμους· τουτέστιν ἢ διὰ λόγου σημήνασα βόησον μέγα· ὥστε ἔνδον ἡμᾶς ὄντας ἀκοῦσαι· ἢ τὰς θύρας κρούσασα.

Ορφναίας·) σκοτεινῆς. Επίκουρον· βοηθόν. Μολεῖν·) ἐλθεῖν. Τοῦ δὲ συλλήπτωρ·) τοῦ δὲ τοῦ ἔργου βοηθὸς γενοῦ. Ικου·) ἐλθέ. Ω συγγένεια πατρός·) παρόσον ὁ στρόφιος ἀναξιβίαν ἔγημε τὴν ἀγαμέμνονος ἀδελφήν· ἐξ ἧς ἐγένετο πυλάδης ὥς φησι κράτης· ἢ ἐπεὶ ὁ στροφίου πατὴρ κρίσος, ἀτρέως θυγατέρα ἔγημε τὴν κυδραγόραν· αἷμα δὲ οἱ παῖδες· γένος οἱ ἀδελφοί· συγγένεια οἱ γαμβροί. Εκτεινα μητέρα·) τὸ ἑξῆς ἔκτεινα μητέρα, σοὶ πάτερ ἀρήγων. Κἀγὼ δ' ἐπεκέλευσα·) καὶ ἐγὼ συνεργὸς ἦν τοῦ δὲ φόνου· καὶ ἠλευθέρωσα τῆς δουλείας. Οὐκοῦν ὀνείδη·) οὐκοῦν ῥῦσαι ἡμᾶς· ὡς μέλλων κλύειν τὰ δὲ ὑπὸ ὀνείδησιν, ἐὰν μὴ σωθῶμεν· ὅτι ἐπικουρήσασιν οὐκ ἐβοήθησας. Αλλως. Ονείδη τῶν εὐεργεσιῶν τὰς ὑπομνήσεις· ὡς καὶ ὁ ποιητής· ἀλλ' ἤτοι ἔπεσι μὲν ὀνείδισον. Δακρύοις κατασπένδω σε·) ἤγουν σπονδὰς σοι διὰ δακρύων ποιῶ· οὐ γὰρ ἔχω ἄλλο τι. Εγὼ δ' οἴκτοις·) ἐγὼ δὲ εὐχαῖς καὶ θρήνοις. Εξορμώμεθα· ἐξέλθωμεν. Ακοντίζουσι·) ἡ κατὰ γῆς ἔρχονται αἱ εὐχαὶ ἐπακούσει. Δίκη μία·) τιμωρία. Οφείλεται·) ἀπόκειται· χρέος ἔγκειται. Μυκηνίδες ὦ φί

λαι.) σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν β. ἐπὶ τῷ τέλει παράγραφος. Τί δέ μοι τὸ δεῖ χρέος.) ἡ β αὕτη στροφή, κώλων ἐστὶ ε. τὸ α ἰαμβικὸν δίμετρον ἀκατάληκτον τῶν β πρώτων ποδῶν, χορείων. τὸ β παιωνικὸν ἡμιόλιον. ἐκ παίωνος δ. καὶ ἰάμβου. τὸ γ ἰωνικὸν ἀκατάληκτον τρίμετρον. ἐκ παίωνος β. ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ ἰαμβικὸν ἑφθημιμερὲς. τοῦ β καὶ γ ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει προσοδιακὸν τρίμετρον ὑπερκατάληκτον. ἐκ παίωνος β. ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ χοριάμβου καὶ συλλαβῆς. τὸ ε ὅμοιον ἀντεστραμμένον πρῶτον ἔχον τὸν χορίαμβον. εἰ δὲ βούλει δακτυλικὸν ἑφθημιμερὲς. εἶτα παράγραφος καὶ β διπλαῖ. Τί δεῖ μοι χρέος.) ἥκω τίνα χρείαν καλεῖς ἐμὲ σαυτῇ. τοῦ πεσεῖ τι χρησιμεύσωσοι καλουμένη. Χωρεῖτε.) σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τριῶν. ἐπὶ τῷ τέλει παράγραφος. Δόχμια νῦν κόρας.) ἡ γ αὕτη στροφή, κώλων ἐστὶ ε. τὸ α καὶ β, παιωνικὸν ἡμιόλιον. ἐκ παίωνος δ καὶ ἰάμβου. τὸ γ ἰαμβικὸν καθαρὸν ἑφθημιμερὲς. τὸ δ ἀναπαιστικὴ βάσις. εἰ δὲ βούλει ἰωνικὸν ἀπὸ μείζονος. μονόμετρον ὑπερκατάληκτον. τὸ ε ὅμοιον τῷ α. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἐκτὸς νενευκυῖα. ἡ δὲ κατὰ τὸ τέλος, ἐκτὸς νενευκ. Εαὲ λίσσετε νῦν. ἡ ἀντιστροφὴ αὕτη, τῆς α ἐστὶ στροφῆς. μυκλωΐδες ὦ φίλαι. κώλων γάρ ἐστι καὶ αὕτη τῶν ἰσομέτρων ἐκείνοις. τὸ μέντοι α κῶλον, τετρασύλλαβον ἔχει τὸν κρητικόν. τὸ δὲ β οὐ καλῶς εἶχε. διὸ καὶ ἀντιγέγραπται παρ' ἐμοῦ καὶ ἔχει νῦν ὀρθῶς. ἐπὶ τῷ τέλει παράγραφος. Μυκλωΐδες ὦ φίλαι.) πρὸς τὰς ἀπὸ τοῦ χοροῦ διαλέγεται. μυκλωΐδας δὲ αὐτὰς καλεῖ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀργεῖαι· ἐπεὶ ὀλίγον ἀλλήλων ἀφεστήκασιν αἱ πόλεις.
Ἄλλως. Ἰνάχῳ ἐκ μελίας ἐγένετο φορωνεὺς, καὶ φη-
γεύς. τούτων ὁ φορωνεὺς ἄρξας τὸ νῦν ἄργος, φορωνι-
κὸν ἄστυ ἐκάλεσε. ἴσχει δὲ παῖδας ἐκ πειθοῦς, αἰγιαλέα,
ἄπιν, εὐρώπην, νιόβην. φηγεὺς, πόλιν κτίζει φηγέας. καὶ
παῖδας ἴσχει σπάρτωνα, καὶ μέατωνα. σπάρτωνος δὲ
παῖς, μυκηνεὺς, ὃς μυκήνας ἔκτισε. φορωνέως δὲ ἀπο-
λωλότος, καὶ τῶν παίδων τῶν νιόβης διασκεδασθέν-
των, ἄργος ὁ νιόβης βασιλεύσας ὅλην τὴν ἐντὸς τοῦ
ἰσθμοῦ ἀργείαν, καὶ τὸ φορωνικὸν ἄστυ, ἄργος ἐκάλεσε.
Τὰ πρῶτα.) λείπει τὸ φέρουσαι. τουτέστιν αἱ τὰ πρω-
τα φέρεσθε κατὰ τὸ ἄργος. πελασγὸν δὲ ἀπὸ πελασ-
γοῦ τοῦ αὐτόθι βασιλεύσαντος. Παραμένει γὰρ.)
τὸ πότνιαν καλεῖσθαι. Τὸν δ' ἀμαξήρη.) κατὰ τὴν λεω-
φόρον ὁδὸν τὴν δημοσίαν. αἱ δὲ εἰς ἄλλην ὁδόν. εἰς τὸ τη-
ρῆσαι τὸν οἶκον. Τί δέ με.) εἰς τί μοι τοῦτο τὸ πρᾶγ-
μα προσάπτεις τὸ φρουρεῖν δηλαδὴ τὴν ὁδόν. Ἡλίου
βολάς. πρὸς ἀνατολήν. Πρὸς ἑσπέραν.) πρὸς τὴν δύ-
σιν. Ὃς πρὸς ἑσπέραν φέρει.) ἤτοι ἡνιοχεῖ τὸ δυτικόν.
ὅτι τῆς ἑσπέρας ἐστίν. ἢ ὅτι τό τε εἰς ἑαυτοὺς περῶμεν. ἢ
ὅτι τῆς ἠοῦς πέρας ἐστίν. ἢ ἔσω φέρει τις οὖσα. ἀπὸ τοῦ
πάντας εἰς φέρειν. ἤτοι ἔσω φέρειν. καὶ ἡ σαπφὼ δὲ οὕ-
τω τὸν ἑσπέριον ἀστέρα εἶπε. τρόπον τινὰ ἐτυμολογοῦσα
τὸ ὄνομα. ἕσπερε πάντα φέρων ὅσα φαινόλης ἐσκέ-
δασ' αὔως. Δόχμιαι νῦν κόραι.) οἷον περιφέρεσθε.
καὶ πλαγιάζετε τὸ ὄμμα. καὶ φυλάσετε. καὶ τὰ πλάγια τῶν οἴ-
κων ἐπιτηρεῖτε. Ἐλίσσετε νῦν.) τὸ ἑξῆς. ἐλίσσετε οὖν βλέ-
φαρον διὰ βοστρύχων. καὶ κόραισι δίδοτε πάντα ὅ ἐστι
πάντα τόπον τῇ θέᾳ δίδοτε. καὶ σκοπεῖτε. διὰ τῶν βο-
στρύχων δὲ, ἐπειδὴ καθειμένον ἔχουσι τὸν πλόκα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μον μέχρι παρειῶν· ἢ ὡς πενθοῦσαι τὸν ὀρέστην· ἢ ὡς παρθένοι· ἐξ οὗ συνέβαινε τὰ πλάγια μὴ ὁρᾶν· Κόραισι.) κόρας φησὶ τὸ ὑπὸ τὰς κόρας βλέφαρον· κορὸν γὰρ τὸ μέλαν· ἑλίσσετε καὶ κινεῖτε καὶ διὰ τῶν βοστρύχων αὐτὸ δίδοτε πανταχόσε· ἀντὶ τοῦ τὰς κόρας καὶ τὰς ὄψεις ἀποτείνετε πανταχοῦ· ἵν' ᾖ τὸ πάντη ἀντὶ τοῦ πανταχοῦ· ἢ πάντα τόπον δίδοτε ταῖς ὄψεσι· Ὁ δέ τις.) φαντασθὲν τὸ ἡμιχόριον ἐρχόμενόν τινα, τοῦτο πρὸς τὴν ἠλέκτραν φησίν· ἀγρότης δὲ εἶπεν· ἐπειδὴ ᾤετο μήτινα ἂν τῶν ἐν τῇ πόλει λαμπρῶν ἀφῖχθαι· ἀλλ' ἐξ ἀγροῦ τινὰ ποιμένα λέγω, ἢ συβώτην διά τινα χρείαν· τὸ δὲ τίς, ἀόριστόν ἐστιν· οἷον ἀγρότης τίς ὁ δὲ ὃν λέγει δηλονότι, πολεῖται ἤγουν ἔρχεται· ὑπὸ τὸ σὸν μέλαθρον· Ἀπωλόμεσθ' ἄρ' ὦ φίλαι αὐτίκα, εἰ τοὺς κεκρυμμένους ξιφήρεις θήρας· ἤγουν τὸν ὀρέστην καὶ τὸν πυλάδην δείξει καὶ μηνύσει τοῖς ἐχθροῖς· Ἄφοβος εἶχε· ἡ ἀντιστροφὴ αὕτη τῆς δευτέρας ἐστὶ στροφῆς· ἧς ἡ ἀρχὴ τί δέ με τὸ δεχρέος· κώλων γάρ ἐστι καὶ αὕτη ἰσομέτρων ἐκείνῃ ε· ὑπὸ τῷ τέλει παράγραφος· Ἄφοβος ἔχε.) μὴ φοβοῦ· ἄφοβος ἔσο· Στίβος.) ἀρσενικῶς εἶπεν ὁ στίβος· κενός ἐστιν ὁ στίβος· οἷον δοκεῖς εἶναι κενόν δηλονότι· Τὸ σὸν βέβαιον.) πρὸς τὸ ἄλλο ἡμιχόριον λέγει ἡ ἠλέκτρα· πῶς δὲ τὸ κατὰ σέ· ἆρ' ἔτι βέβαιον μένει· Εἶτα δ' ἔρημα.) εἶτα πρὸς τὴν αὐλὴν μέρη εἰσὶ μεμονωμένα· Φέρε νῦν ἐν πύλαις.) ἡ ἀντιστροφὴ αὕτη τῆς τρίτης ἐστὶ στροφῆς· ἧς ἡ ἀρχὴ, δόχμια νῦν κόρας· καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ ε· ἐν μέντοι τῷ ε κώλῳ, ἀντὶ ἰάμβου ἔχει σπονδεῖον· ἀδιάφοροι γάρ εἰσιν αἱ καταλήξεις τῶν κώλων· καὶ ὁ παρατέλευτος πούς· ἔνθα γὰρ ἰαμβικὴ κεῖται συζυγία, ἐναλλάττουσι τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρόνους· καὶ ἀντὶ διϊάμβου, ἐπιτιθέασιν ἐπίτριτον· ὃς κεῖται ἐκ σπονδείου καὶ ἰάμβου· ἢ ἐξ ἰάμβου καὶ σπονδείου· ἔστι δὲ ὅτι σύγκειται καὶ δισπόνδειον· ἐπὶ τῷ τέλει τῆς παρούσης ἀντιστροφῆς, παράγραφος. Φέρε νῦν.) τὴν ἀκοὴν ἤτοι τὸ οὖς τὸ ἐμὸν πρὸς ταῖς πύλαις παραθῶ ὥς τι ἀκοῦσαι. Τί μέλλεθ' οἷ κατ' οἶκον.) διατὶ ἀναβάλλεσθε πρὸ τοῦ ἐπιστῆναι τινὰ σφάγια φοινίσσειν· τουτέστι τὴν ἑλένην φονεύειν. Ἆρ' ἐς τὸ κάλλος.) ἆρα εἰς τὸ τῆς ἑλένης κάλλος βλέψαντες, οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν· οἷόν τι καὶ στησίχορος ὑπογράφει· περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων· φησὶ γὰρ ἅμα τὸ τὴν ὄψιν αὐτῆς ἰδεῖν αὐτοὺς, ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν.

Ἄλλως. Ἐὰν ἦ ἐκκεκώφηται ἄνευ τοῦ ν, ἔστιν ὁ λόγος· ἆρα μὴ καὶ τὰ ξίφη τῆς ἑλένης ἀγασθέντα τὸ κάλλος, ἀνεπαίσθητα· καὶ ἀνενέργητα γεγόνασιν· ἐὰν δὲ ἦ ἐκκεκώφηνται μετὰ τοῦ ν, ἐπὶ τῶν περὶ ὀρέστην ἀκουστέον· ἆρα μὴ διὰ τὸ κάλλος τῆς ἑλένης ἀνεπαίσθητοι ἔμειναν καὶ εἴασαν τὰ ξίφη· ἐκκεκώφηνται· ὡς παρακέκληνται. ἀριστοφάνης δὲ γράφει ἐκκεκώφωνται ξίφη· ὁ δὲ λόγος ἆρα μὴ καὶ τὰ ξίφη νενίκηται τῷ κάλλει· καὶ διαμεμάλακται· ἐὰν δὲ ἦ ἐκκεκόφωνται, ἐπὶ τῶν περὶ ὀρέστην ἐκδεκτέον· ὅτι ἐκκεκώφωνται αὐτοὶ πρὸς τὸ κάλλος· καὶ εἴασαν τὰ ξίφη. Τάχα τις ἀργείων.) τὰ ἑξῆς ταῦτα ἤδη, καλεῖται κυρίως ἀνομοιόστροφα, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν· ἔστι γοῦν τῆς παρούσης στροφῆς τὰ κῶλα δ. τὸ α παιωνικὸν ἡμιόλιον· ἐκ παίωνος δ καὶ σπονδείου· τὸ β ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον· ἐξ ἰωνικοῦ καὶ σπονδείου· τὸ γ καὶ δ ὅμοια τῷ πρώτῳ· ἐπὶ τῷ τέλει παράγραφος. Ποδὶ βοηδρόμῳ.) τῷ βοηθῷ· τῷ μετὰ βοῆς βοηθοῦντι· ἢ τῷ ἐν τῇ

βοηθέοντι· ἤγουν ἐν τῇ μάχῃ· ἴσως φησί τις ἀπὸ τῶν ἀργείων μεθ' ὅπλων ὁρμήσας πρὸς τὰ μέλαθρα βοηθὸς παραγενήσεται. Σκέψασθε βέλτιον.) καὶ ἀκριβῶς σκοπήσατε· οὐ γὰρ χρεία νῦν τοῦ καθέζεσθαι. Αμείβω κέλευθον.) ἡ στροφὴ αὕτη κώλων ἐστὶ β΄. τὸ α΄ ἀντισπαστικὸν ἡμιόλιον· ἐξ ἀντισπάστου καὶ τροχαίου· τὸ β΄ ἰαμβικὸν καθαρὸν πενθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος. κατὰ περικοπὴν στίχοι ἰαμβικοὶ γ΄. ἐπὶ τῷ τέλει παράγραφος. Ὦ Δῖος.) ἡ στροφὴ αὕτη κώλων ἐστὶ β΄ τὸ α΄ δακτυλικὸν τετράμετρον· τὸ β΄ ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας· καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ· ἐπὶ τῷ τέλει παράγραφος. Αμείβω κέλευθον.) διαβιβάζω τὸν ὀφθαλμὸν ἀκριβῶς πάντα περιβλεπομένη. Ἰὼ ἀργεῖοι ὄλλυμαι κακῶς.) ἑλένης ὁ θρῆνος ὥς ἐστι τεκμήρασθαι. Αἔνναον.) διηνεκές. Παρών.) ἐν τῇ πόλει ὤν. Καίνετε.) ἀποκτείνετε. ἀπὸ τοῦ καίνω τὸ φονεύω. Ἱέμενοι.) ἀντὶ τοῦ ἱέντες. ἁπλούστερον δὲ ὡς γυναικὸς εἶπον· οὐδεὶς γὰρ ξίφος ἀφίησι. καὶ βάλλει. ἢ τὸ ἱέμενοι ἀντὶ τοῦ προθυμούμενοι. Καίνετε.) σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων η΄. τὸ α΄ δακτυλικὸν· τετράμετρον καθαρόν· τὸ β΄ καὶ γ΄ καὶ τὸ δ΄ καὶ ε΄ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. ἔχει δὲ τὸ γ΄, τὸν β΄ πόδα προκελευσματικόν· ἤτοι τετράβραχυν· τὸ δὲ ε΄ τὸν β΄ πόδα χορεῖον· τὸ ϛ΄ ἰαμβικὸν ἑφθημιμερὲς ἐκ χορείων· τὸ ζ΄ ὅμοιον· τὸ η΄. τροχαϊκὸν δίμετρον ἀκατάληκτον· ἐπὶ τῷ τέλει· δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν, ἐν ἀρχῇ τοῦ κώλου· ἡ δὲ κατὰ τὸ τέλος· τὸ ἑξῆς, καίνετε τὴν λιποπάτορα ἤγουν τὴν λιπόγαμον· ἤγουν τὴν καταλιποῦσαν τὸν ἑαυτῆς γάμον. Λιποπάτορα.) τὴν καταλιποῦσαν τὸν πατέρα· καὶ τὸν μενέλαον. Παρὰ ποταμὸν.) τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξανθόν. Δίνας.) ὅπου συνέπεσε δάκρυα περὶ τὰς συστροφὰς τοῦ σκαμάνδρου. Σιγᾶτε σιγᾶτε.) αἱ ἑξῆς, αὗται περίοδοι, στίχων εἰσὶ ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μη. ὧν πλουταῖος, τὰς μὲν γάρ οἱ δασυμφόρας. τὰς δ' οὐ σαφῶς. μετὰ δὲ τὸν μβ, κῶλα τρία. τὸ α ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον ἀκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας. καὶ παιώνων β. ἀντὶ ἰωνικοῦ. τὸ β ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καὶ θαρόν. τὸ γ, ἰωνικὸν. ἐξ ἰωνικοῦ ἀπὸ ἐλάττονος διϊάμβου καὶ δακτύλου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. καὶ ἐπὶ τῷ τέλει, κορωνίς. Εἰς μέσον φόνον.) εἰς τὸ μέσον τοῦ φόνου. ἢ ἔσω τοῦ φόνου περιφρασικῶς. Δικτύων βρόχους.) εἰς τὰ δίκτυα περιφρασικῶς. Ην ἁλῷ.) ἐὰν κρατηθῇ. Εν καταστάσει.) ἐν καταστάσει γίνεσθε. καὶ μὴ θορυβεῖτε. ἀναδράμετε φησὶν εἰς τὴν προτέραν κατάστασιν τῆς ὄψεως. καὶ τὸ μὲν ὄμμα κατεσυννωκὸς ἔχετε. τὸ δὲ πρόσωπον ἀνύποπτον τῶν πεπραγμένων χάριν. τουτέστι προσποιεῖσθε καὶ νῦν κατηφεῖς εἶναι καὶ λυπεῖσθαι διὰ τὴν ὀρέστην. ἵνα μὴ περιχαρεῖς ὑμᾶς ὁρῶσα, συνιῇ τὸν κατὰ τῆς μητρὸς αὐτῆς ἑλένης πραττόμενον φόνον. Στέψασα.) κοσμήσασα. Σπείσασα.) θυσιάσασα τοῖς κάτω θυσίας. Ηκω λαβοῦσα.) ἦλθον φησὶν ἐξευμενισαμένη τὸν τάφον τῆς κλυταιμνήστρας. παρὰ δὲ τὸ πρᾶον καὶ εὐμενὲς συντίθεται τὸ ὄνομα ἀντὶ τοῦ πραϋμένης. Πρευμενείαις.) πρᾳότητι. εὐμένειαι. Τηλουρὸς οὖσα.) πόρρω οὖσα. ἤτοι τῆλε τῶν ὁρίων τῆς οἰκίας. ἐν γὰρ τῷ τάφῳ τῆς κλυταιμνήστρας ἦν. ὁ δὲ λόγος ἀλλὰ περίφοβος γέγονα διὰ τὴν γεγομένην βοὴν ἐν τοῖς οἴκοις. ἣν ἤκουσα πόρρω οὖσα. Κλύω βοήν.) λείπει διά. Φόβος τις.) δέον εἰπεῖν.

πρὸς τὸ φόβος βοή· ἤυπνα κλύω· ἐπειδὴ τὸ ἤυπνα προέθηκε, πρὸς τοῦτο καὶ τὴν βοὴν ἐπήγαγεν. Τί δ' ἄξι' ἡμῖν.) τί δ' ἄλλο ἥρμοζεν ἡμῖν· τὰ πράγματα ἡμῖν ἄξια τυγχάνει στεναγμάτων. Ἄλλως. Πεπόνθαμεν ἄξια στεναγμάτων· ἢ οὕτως· πῶς φησὶν οὐκ ἀξίως στενάζομεν, θανεῖν κατακριθέντες. Εὔφημος ἴσθι. εὐφήμει· τί δὲ καινὸν λέγεις. Μὴ δῆτ' ἐμούς.) εἴθε μὴ γένοιτο θανεῖν ὑμᾶς συγγενεῖς ὑπάρχοντας. Ἄρχεσιν ἥρμοσαι.) εἰς τὸν ζυγὸν δὲ τῆς δουλείας ὑπάρχομεν. Ἡ τοῦδ' ἕκατι.) ἆρα χάριν τούτου ἐστὶν ἡ βοὴ κατὰ τοὺς οἴκους. Ἱκέτης.) παρακλήτωρ. Ἐπ' ἄξιοισιν ἆρα.) ἀξίως ὅτι καὶ ὁ οἶκος θρηνεῖ δι' ἡμᾶς· ἐὰν μὲν οὖν εὐφημεῖ γράφεται, ἀντὶ τοῦ δυσφημεῖ νοητέον· ἵν' ᾖ κατὰ ἀντίφρασιν εἰρημένον· συνδέσμου ὄντος τοῦ ἄν. ἐὰν δὲ ὑφ' ἕν, ἀνευφημεῖ, ἀντὶ τοῦ καταφημεῖ· καὶ ἀναθρηνεῖ ὁ δόμος καὶ σημαίνει τὸ ἐνηχεῖ. Περὶ τοῦ γάρ.) περὶ τίνος γὰρ ἄλλου φθέγξαιτό τις ἢ θρηνήσειεν, ἢ ὅτι ἡμεῖς ἀπολλύμεθα. Ἄλλως. Διὰ ποῖον γὰρ ἄλλο ἔμελλέ τις βοᾶν ἐν τοῖς οἴκοις· ἀλλ' ἄπελθε· καὶ μετάλαβε τῆς παρακλήσεως τοῖς φίλοις· προσπεσοῦσα τῇ μητρὶ τῇ μεγάλως μακαρίᾳ· ὥστε τὸν μενέλαον μὴ ἀνέχεσθαι ἰδεῖν ἡμᾶς ἀποθανόντας· ἀλλ' ὦ ἑρμιόνη ἡ ἀνατραφεῖσα διὰ τῶν χειρῶν τῆς μητρός μου· ἐλέησον ἡμᾶς· καὶ ἐλάφρυνον ἀπὸ τῶν κακῶν· ἄγε ἐλθὲ εἰς ἀγῶνα· ἐγὼ δὲ ὁδηγήσω· σὺ γὰρ ἔχεις μόνη τὰ στηρίγματα τῆς ἡμῶν σωτηρίας. Σωτηρία γάρ.) ἀντὶ τοῦ ἐν σοὶ ἐστὶν ἡ σωτηρία ἡμῶν. Ἰδοὺ διώκω.) ἰδοὺ ἐλαύνω τὴν πορείαν εἰς δόμους· σεσωσμένοι ἐστὲ, ὅσον ἐπὶ τῇ ἐμῇ γνώμῃ. Ὦ κατὰ στέγας.) ὦ ὑμεῖς οἱ κατὰ τοὺς οἴκους ξιφηφόροι· οὐ συλλήψεσθε τὴν ἑρμιόνην; Οἴ ἐγώ.)

οἴμοι

οἴμοι τίνες εἰσὶν οὗτοι οὓς εἰσορῶ. Σιγᾶν πρέπον.) ἡμῖν γὰρ ἦλθεν οὐχὶ σεαυτῇ σωτηρία. Οὕνεκ᾽ ἄνδρας.) τὸ ἑξῆς ὅτι ἄνδρας ἀνδρείους. καὶ οὐ δειλοὺς φρύγας εὑρὼν, ἔπαθεν ἅπερ χρὴ παθεῖν τοὺς κακούς.

Βοηδρομῆσαι.) ὥστε τῇ βοηθείᾳ δραμεῖν πρὸς τοὺς οἴκους τοὺς βασιλικούς. Πρὶν ἐτύμως.) πρὶν ἀληθῶς ἴδω τὸ σῶμα τῆς ἑλένης πεφονευμένον ἤτοι ᾑμαγμένον ἐν τοῖς οἴκοις κείμενον. ἢ ἀκούσομεν τοῦτο παρά τινος τῶν δούλων. Τὰς μὲν γὰρ οἶδα.) ὡς ἀπὸ τῆς βοῆς, ἐν συμφοραῖς οὖσαν τὴν ἑλένην ἐγίνωσκον. ἀγνοῶ δὲ εἰ πέρας ἔσχεν ὁ φόνος αὐτῆς. Διὰ δίκας ἔβα.) σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, κώλων καὶ στίχων θ. τὸ α᾽ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος α᾽ καὶ ἰάμβου. τὸ β᾽ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐκ παιώνων β᾽ καὶ συλλαβῆς. εἰ δὲ βούλει ἰαμβικὸν ἑφθημιμερές. τοῦ β᾽ ποδὸς χορείου. τοῦ δὲ γ᾽, δακτύλου. τὸ γ᾽ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ᾽ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἐκ τριῶν χορείων καὶ πυρριχίου. ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ε᾽ τροχαϊκὸν πενθημιμερές. εἰ δὲ βούλει ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. ἐξ ἐπιτρίτου α᾽ καὶ συλλαβῆς. τὸ ζ η θ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει παράγραφος. Διὰ δίκας ἔβα.) δικαίως ἡ νέμεσις τὴν ἑλένην ἐτιμωρήσατο. ἢ οὕτως. ἡ νέμεσις τῆς δίκης τῶν θεῶν, ἔμολεν. ὅ ἐστι δίκην ἀπαιτεῖται παρ᾽ αὐτῶν. ἐνεμέσησαν γὰρ αὐτῇ οἱ θεοί. Οὐ πευσόμεθα.) ἀφ᾽ οὗ ἀκούσομεν πῶς τἀν δόμοις διάκειται. Ἀλλὰ κτυπεῖ γάρ.) ἐξιών τις ψοφεῖ. τοῦτο γὰρ ἔθος ταῖς θύραις. τούτους δὲ τοὺς τρεῖς στίχους, οὐκ ἄν τις συγχωρήσειεν εὐριπίδου εἶναι. ἀλλὰ μᾶλλον τῶν ὑποκριτῶν. οἳ

νου ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καὶ ἐχλόμενοι, παραιοίξαντες ἐκπορεύονται τὸ τοῦ φρυγὸς ἔχοντες σχῆμα καὶ πρόσωπον. ὅμως εἰ ἐκ θυρῶν εὐλόγως ἐξιόντες φαίνονται. ἐξ ὧν δὲ αὐτοὶ λέγουσιν, ἀντιμαρτυροῦσι τῇ διὰ τῶν θυρῶν ἐξόδῳ. φανερὸν δὲ ἐκ τῶν ἑξῆς ὅτι ὑπερπεπήδηκεν. Ἀργεῖον ξίφος.) τὰ τοιαῦτα ἤδη καλεῖται μονοστροφικά, καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ καὶ ἀνομοιόστροφα. οὐ γὰρ ἔχει σχέσιν πρὸς τὸ ἑξῆς. τὰ δὲ κῶλα τῆς παρούσης στροφῆς εἰσὶν ια̅. τὸ α̅ ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας. ἤτοι ἐπιτρίτου δ′. παίωνος β′. ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ διτροχαίου. τὸ β̅, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ̅, ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ δ′ τροχαϊκὸν ἑφθημιμερὲς δευριπίδειον. τὸ ε̅ δακτυλικὸν τρίμετρον ἐκ σπονδείων. τὸ ϛ′ τροχαϊκὸν ἑφθημιμερὲς ἰθυφαλλικόν. τὸ ζ′, ὅμοιον ἑφθημιμερές. τὸ η̅ ὅμοιον δίμετρον ἀκατάληκτον. τοῦ α̅ ποδὸς χορείου. τοῦ δὲ τελευταίου ἀδιαφόρου. εἰ δὲ βούλει ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. ἐκ παιώνος δ̅ καὶ β̅ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. τὸ θ′ ἰαμβικὸν ἑφθημιμερές. τοῦ γ̅ ποδὸς χορείου. τὸ ι̅ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ δακτύλου. ἐπὶ τῷ τέλει παράγραφος. ἐν εἰσθέσει στίχος ἴαμβος τρίμετρος. Κεδρωτά.) τὰ ἐκ κέδρου ξύλα. παστάδων δὲ τῶν κοιτώνων. τέραμνα δὲ τὰς ὑψηλὰς οἰκίας. ἀντὶ τοῦ ὑπὲρ τεράμνων. ταῦτα οὕτως φησίν, ὡς ὑπερπεπηδηκὼς τὴν ἔξω τινὸς οἴκων. παστάδων γὰρ τῶν θαλάμων. Αἰσχίνης δὲ τὸ ὑπὲρ ἀντὶ τῆς πρό φησιν. ἵν᾽ ᾖ ἀντὶ τοῦ πρὸ τεράμνων. τριγλύφους δέ, ἐπεὶ παρὰ δωριεῦσι γλυφή τις ἦν, ἣ ἐκαλεῖτο τρίγλυφος. ἢ ὡς τῶν δωριέων κατὰ

δεξάντων τὰς γλυφὰς τῶν ὀρόφων. εὐμαρὶς δὲ εἶδος ὑποδήματος σανδαλώδους. πεποίηται δὲ ἀπὸ τοῦ εὐμαρῶς ὑποδέχεσθαι. φροῦδα γάρ.) διχῶς αὐτὴ τοῦτο ἐκδέξατο. καθ' ἕνα μὲν τρόπον, ὅτι ἡ γῆ τῶν ἀργείων, ἀφανής ἐστι τοῖς βαρβάροις δραπετεύουσι. καθὸ ἀπέρατοι τῶν τόπων. ἐπεὶ ὑπερβαίνει τὰ βασίλεια. καὶ διὰ τοῦ ἐδάφους τὴν πορείαν ποιεῖται. διὰ τὸ ὕψος ἀφανῆ φησὶν εἶναι τὴν γῆν αὐτῶν. τὸ δὲ βαρβάροις δεσμοῖς, πρὸς τὸ ἐχόμενον ληπτέον. οἷον βάρβαρος ὤν, οὐκ οἶδα ποῦ φύγω. καὶ γὰρ οὐκ εἰμὶ τῶν τόπων ἐθάς. ἢ οὕτως. ἐπεὶ μὴ διὰ γῆς ποιεῖται τὴν πορείαν, ἀλλ' ὑπερβὰς ἥλατο, ἀφανῆ φησὶν εἶναι ἑαυτῷ τὴν γῆν. ἢ τὸ φροῦδα γὰρ ἀπὸ τοῦ ἰλίου φησίν. ἐρωτώμενος γὰρ τὸ ἐμοί φησιν ἴλιον ἴλιον ὤμοι μοι. τουτέστιν ἐμοῦ τοῦ βαρβάρου φεύγοντος πάνυ ἀφεστηκυῖα ἡ πατρίς. Ἴλιον ἴλιον.) καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώλων ιε. τὸ α ἀναπαιστικὸν ἐφθημιμερές. τὸ β τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α ποδὸς χορείου. τὸ γ ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον καταληκτικόν, ἐξ ἰωνικοῦ καὶ χορείου. ἢ ἀναπαιστικοῦ διὰ τὴν ἀδιάφορον. τὸ δ τροχαϊκὸν. ἐφθημιμερὲς εὐριπίδειον. τὸ ε ὅμοιον τῷ β. τροχαϊκὸν καθαρόν. τὸ ς ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ. εἰ δὲ βούλει τροχαϊκὸν ὅμοιον τῷ δ. ἰάμβου ἀρχομένου. τὸ ζ ἰωνικὸν ἀπὸ μείζονος. τρίμετρον καταληκτικὸν ἐκ παίωνος δ. ἰωνικοῦ καὶ ἀμφιβραχέος. ἢ βακχείου διὰ τὴν ἀδιάφορον. τὸ η, ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ θ ἰαμβικὸν ἐφθημιμερές. τοῦ γ ποδὸς χορείου. εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου γ. καὶ παίωνος α. τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ι̅ παιωνικὸν ἡμιόλιον ἐκ παιῶνος δ̅ καὶ σπονδείου. τὸ ια̅ τροχαϊκὸν ὅμοιον τῷ ε̅. τὸ ιβ̅ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιγ̅, παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων δ̅. τὸ ιδ̅, δακτυλικὸν τετράμετρον καθαρόν. τὸ ιε̅ ὅμοιον ἑφθημιμερές. ὃ καλεῖται λογκοιδικόν. διὰ τὸ ἔχειν ἐπὶ τῷ τέλει τροχαϊκὴν συζυγίαν. ἐπὶ τῷ τέλει παράγραφος. ἐν εἰσθέσει δὲ στίχοι ἴαμβοι τρίμετροι β΄. εἶτα παράγραφος. Ἴλιον. ἴλιον.) τὸ ἴλιον λέγει. καὶ τοῦτο εἰπὼν ἐπιστένει. φανερὸν δὲ ἐκ τοῦ καὶ πάλιν ἐρωτηθέντα ἀπὸ τοῦ χοροῦ. τί δ' ἐστὶν ἑλένης πρόσπολε εἰπεῖν, ἴλιον ἴλιον ὤμοι μοι. βαρβάροισι δρομοῖς. βάρβαρος ὢν καὶ φυγεῖν θέλων ποῦ φησὶ φύγω ὦ ξένε. τὸ δὲ αἰαῖ ἐπιστένων λέγει. Ἀργεῖον ξίφος.) ἐντεῦθεν φασὶν ἐξέστη τοῦ ἰδίου ἔθους ὁ εὐριπίδης ἀνοίκεια ἑαυτῷ λέγων. Ταυρόκρανος.) τοῦτο ἔξωθεν ὁ ποιητὴς πρὸς ἀναπλήρωσιν τοῦ ἰάμβου προστέθεικεν. οὐ γὰρ ἁρμόττει τῷ φρυγὶ ἀμαθεῖ ὄντι τοῦτο λέγειν. ἀναστρεπτέον δὲ τὴν λέξιν. τουτέστιν ἐν ὠκεανῷ. ὃς ταυρόκρανος ὢν, ἑλίσσων κύκλῳ χθόνα. καὶ οὗτος δὲ ποταμὸν ὑπείληφε τὸν ὠκεανόν. καὶ ὅμηρος. οὔ τέ τις οὖν ποταμῶν ἀπείω, νόσφ' ὠκεανοῖο. ὅτι δὲ κύκλῳ περιρρεῖ τὴν οἰκουμένην, ἐσήμανε τὸ ἀψορρόου ὠκεανοῖο. ἐπεικῶς δὲ τοὺς ποταμοὺς ταυροκράνους ἐζωγράφουν τε καὶ ἔλεγον. ἴσως ὅτι παραπλήσια τῷ μυκήματι τῶν ταύρων, ἡ ἀπήχησις τοῦ ὕδατος ποιεῖ. ἐν τοῖς σφοδρῶς ῥέουσι ποταμοῖς. ἢ διὰ τὸ βίαιον τῶν ὑδάτων. ἅπερ τὴν γῆν διαρρήσσουσι παρεμπίπτοντα ὡς τοῖς κέρασιν οἱ ταῦροι. ὡς γάρ φησιν ἐν ἄλλοις. ταῦροι δ' ὑβρίσαι καὶ εἰς κέρας θυμούμενοι. ἐν γὰρ αὐτοῖς ἔχουσι τὴν ἰσχύν. Ἴλιον ἴλιον.) ἐρωτηθεὶς ὁ φρὺξ ὑπὸ τοῦ χοροῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάλιν, εἶπεν ἴλιον· ἴλιον ὤμοι μοι· τό τε ἴλιον καὶ τὴν καλ-
λίβωλον ἴδην, τῇ ἑαυτοῦ βαρβάρῳ φωνῇ στένω· ὁ δὲ
λόγος, στένω τὰ εἰρημένα· ἀπολόμενα διὰ τὸ τῆς ἑλένης
κάλλος· καὶ τὸ ἁρμάτειον μέλος· τὸ ἐπὶ τοῖς κακοῖς ᾀ-
σθέν· τινὲς δὲ τοῦτο παρεπίγραφον εἶναι φασὶν εἰς τὰ
κωμικὰ δράματα. Ἁρμάτειον μέλος.) τὸ ἁρ-
μάτειον μέλος ὁ δίδυμος φησὶν ὠνομάσθαι ὅτι αἱ ἀρ-
χαῖαι παρθένοι εἰς τοὺς θαλάμους διὰ τῶν ἁρμάτων ἤ-
γοντο· ὅθεν ἔτι καὶ νῦν πάροχοι λέγονται ἀπὸ τοῦ τοῖς
ὄχεσι παρεδεῖσθαι· ὡς τὸ θαλάμιον ἐν τοῖς θαλάμοις·
ὅθεν τοίνυν ὁ βάρβαρος ἐπειδὴ συνέβη ὁ τῆς ἑλένης
γάμος· ὃν πάρις συνετέλεσεν ἐπὶ κακῷ τοῖς τρωσὶ γε-
νέσθαι καὶ τὸν αὐτοῖς ὑμέναιον ᾀσθέντα, κατὰ ἀνάμνη-
σιν ἀνασκευάζει· τὸν ἐπὶ κακῷ τοῖς τρωσὶν ὑμέναιον ἐπι-
πλεχθέντα· ἔνιοι δὲ ἁρμάτειον τὸν θρῆνον φασί· τὸν ἐπὶ
τῷ ἑλκυσμῷ τοῦ ἕκτορος γενόμενον· Ἀπολλόδωρος δὲ
ὁ κυρηναῖος ἐπιγράφει λέγων εἶναι ἁρμόδιον ὦ ἴλιον· εἰ
δὲ ἦν παρεπιγραφή, ἅπαξ ἂν ἐπεγράφετο τὸ ἴλιον ἀ-
πώλεσεν· ἔνιοι δὲ τὸν φρύγα τὸν ἐκπεπηδηκότα εὐνοῦ-
χον φασί· τοὺς γὰρ εὐνούχους ἐπιεικῶς ὀξυφώνους ὑπάρ-
χειν· τὸ οὖν ὀξύτονον ἁρμάτειον αὐτὸν φάναι, διὰ τὸ τὸν
ὑπεξόνιον τῶν ἁρμάτων ἦχον ἀνατεταμένον τε καὶ
ὀξὺν εἶναι· ὅτι γὰρ εὐνοῦχος ἦν· φησὶ οὔτε γυνὴ πέφυκας·
οὔτ' ἐν ἀνδράσι σύ γ' εἶς· καὶ πάλιν ὀξὺ γὰρ βοῆς ὑπα-
κούσας ἄργος ἐξεγείρεται· εἰσὶ δὲ καὶ ἄλλαι αἰτίαι ἃς
ἐκτίθεται ὁ ὑπομνηματισάμενος· ὁ λόγος οὗτος· τὸ ἴλι-
ον καὶ τὴν ἴδην· ἔτι δὲ καὶ τὸν ἕκτορα· καὶ τὸ ἐπὶ τῷ ἑλκυ-
σμῷ τούτου μέλος θρηνῶ βαρβάρῳ βοᾷ· Διὰ τὸ τῆς
ὀρνιθόγονον· στένω φησὶ τὸ ἴλιον ἀπολλόμενον διὰ τὴν δυ-
σώνυμον ἑλένην· δι' ἣν καὶ ὁ ἕκτωρ ἀνῃρέθη· εὕρηται δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰσὶ σπονδεῖοι· καὶ ἰαμβικοῦ πενθημιμεροῦς· τὸ ιγ͞, ὅ/
μοιον· τὸ ιδ͞, ἰαμβικὴ βάσις· ἤτοι μονόμετρον· τὸ ιε͞,
τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον· τὸ ις͞, ὅμοι/
ον δίμετρον ὑπερκατάληκτον· τὸ ιζ͞ ἰαμβικὸν δίμε/
τρον ἀκατάληκτον· τὸ ιη͞, ὅμοιον, δίμετρον καταληκτι
κὸν· ἤτοι ἐφθημιμερές· τὸ ιθ͞, ὅμοιον τρίμετρον καταλη
κτικὸν· τοῦ β͞ ποδὸς χορείου· ἴαμβος γὰρ ἐστὶ τρίμε/
τρος ἐλλιπὴς μιᾷ συλλαβῇ· τὸ κ͞, ὅμοιον τῷ ις͞ τὸ κα͞,
ἰαμβικὸν δίμετρον· ἀκατάληκτον· ἐκ τριῶν χορείων,
καὶ ἰάμβου· τὸ κβ͞, ὅμοιον ἐκ δύο χορείων· καὶ ἀναπαί
στου· καὶ ἰάμβου· καὶ πυῤῥιχίου διὰ τὴν ἀδιάφορον· τὸ
κγ͞, ὅμοιον ἐκ δ͞ χορείων· τὸ κδ͞, δακτυλικὸν δίμε/
τρον· εἰ δὲ βούλει χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου·
καὶ δύο συλλαβῶν ἀδιαφόρων· τὸ κε͞, ὅμοιον τῷ ιε͞· τὸ
κς͞, ἀντισπαστικὸν μονόμετρον· ὑπερκατάληκτον καθα
ρόν· τὸ κζ͞· τὸ κη͞· τὸ κθ· τὸ λ͞· τὸ λα͞· καὶ τὸ λβ͞, ὅμοια
εἰσὶ κατὰ πάντα· καὶ εἰσὶν ἰωνικὰ ἡμιόλια· ἐκ τροχαϊ
κῆς συζυγίας· ἤτοι ἀπὸ τρίτου β΄· ἀντὶ ἰωνικοῦ ἀπ᾿ ἐλάτ
τονος· καὶ ἰάμβου· πλὴν τὸ μὲν κη͞ κῶλον, ἀντὶ ἰάμβου
ἔχει πυῤῥίχιον· διὰ τὴν ἀδιάφορον· τὸ δὲ λα͞, χορεῖον·
ἐπὶ τῷ τέλει παράγραφος· καὶ ἐν ἐκθέσει στίχος ἴαμβος
τρίμετρος· Αἴλινον αἴλινον·) ὁ λόγος οὕτως· εἰώθασιν
οἱ βάρβαροι τὸ αἴλινον ἐν ἀρχῇ θρήνου λέγειν· οἰκείως
τῆς ἑαυτῶν βαρβάρου φωνῆς· ὅτε τὶς βασιλείας ἀνῃρημέ
νος τύχῃ· κἀγὼ οὖν ἀπολλυμένην τὴν ἑλένην στενάζω·
τὸν λίνον τινὲς ἐτίθεισαν ἐπὶ τοῦ ὕμνου· καὶ τοῦ θρήνου· νῦν
μέντοι ἐπὶ συμφορᾶς αὐτὸν καὶ θρήνοις τέθηκε· Ἀσιάδι φω
νῇ·) ἀντὶ τοῦ βαρβάρῳ· ἡ γὰρ ἀσία τῆς βαρβάρων
χώρας· ἡ δὲ εὐρώπη τῶν ἑλλήνων· Αἴδα·) τοῖς θανα
τον ἀγαζομένοις· δύο διδύμω·) τουτέστιν ὀρέστης καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πυλάδης. τοῦ μὲν πατὴρ ὁ βασιλεὺς ἀγαμέμνων ἐπωνομάζετο. ὁ δὲ στροφίου ἦν παῖς. κακόβουλος δὲ, ὁ κακὰ κατὰ τῆς ἑλένης βουλευσάμενος. Σιγᾷ δόλιος.) τουτέστι τῇ σιγῇ ἔμπειρος τῶν πόνων. Ξυνετὸς.) ἔμπειρος πολέμου. Ἔρροι τᾶς ἡσύχου.) φθειρέσθω φησὶν οὗτος ὁ ἐν κακουργίᾳ ἔμπειρος ὤν. προνοούμενος τῆς ἡσυχίας τῶν κακῶν. Ἄλλως. Διαφθαρείη ὑπὸ τῆς ἡσύχου προνοίας. ἥσυχον δὲ αὐτήν φησι, τὴν ἀπροσδοκήτως πάντα ἀμυνομένην. πρόνοιαν δὲ τὴν εἱμαρμένην. τινὲς δὲ οὕτως. οἰμωζέτω κακοῦργος ὤν, μετὰ ἡσύχου προνοίας. ὁ σύνδεσμος ὁ γὰρ ἀντὶ τοῦ δή. ἵν' ᾖ. οἱ δή. οὗτοι δὲ φησὶν ἔνδον εἰσελθόντες εἰς τοὺς θαλάμους ἧς ἔγημε γυναικὸς τοξότης πάρις. τοὺς ὀφθαλμοὺς δακρύων πεπληρωμένοι. καὶ τῷ σχήματι ταπεινοὶ, ἕζοντο παρ' ἑκάτερον μέρος τῆς ἑλένης. ὁ μὲν ἐκ δεξιῶν. ὁ δὲ ἐξ εὐωνύμων πεφραγμένοι ξίφεσιν. Ἀνὰ δὲ δρομάδες.) τὸ ἑξῆς. ἀνέθορον δὲ πάντες. καὶ οἱ θεράποντες ἀνεπήδησαν παραχρῆμα. καὶ προέθεον καθάπερ δρομάδες ἵπποι φοβηθέντες. Μή τις εἴη δόλος.) οἱ μὲν φησὶ τῶν οἰκετῶν οὐκ ᾤοντο δόλον εἶναι. οἱ δὲ ἐπεπιστεύκησαν τὴν ἑλένην μέλλειν ὑπὸ τοῦ ὀρέστου δολοφονεῖσθαι. ὡς περὶ ἐν ἄρκυσι ζωγρηθεῖσαν. ἄρκυς γὰρ τὸ λίνον. Τοῖς δ' ἐδόκει.) τοῖς δὲ ἐδόκει ὀρέστης ἐν ἀσφαλεστάτῃ δικτύων μηχανῇ, καὶ περιβλήματι λίνου ἐμπλέκειν καὶ ἐμβάλλειν τὴν ἑλένην. οἷον εἰς ἀρκυστάτην μηχανήν. καὶ ὡς περίβλημα λίνων. οἷον εἰς δολοφονίαν. ἄρκυς γὰρ τὸ δίκτυον. Σὺ δ' ἦσθα.) σὺ δὲ παρῆς τοῖς γινομένοις. ἢ ἀκούσας παρ' ἑτέρου πάλαι. ἄλλως. σὺ που ὑπῆρχες. ἢ ἐκ μακροῦ φεύγεις ἐν φόβῳ γενόμενος δηλονότι. ἃ δὲ λέγεις δηλονότι, παρ' ἄλλου ἤκουσας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φρυγίοις ἔτυχον.) καὶ ἡ παροῦσα στροφὴ μονόστροφος ἐστὶ κώ-
λων λα. τὸ α ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ
β καὶ τὸ γ. καὶ τὸ δ, ὅμοια δίμετρα καταληκτικά. ἤτοι
ἑφθημιμερῆ. τὸ ε τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ς προσοδια-
κὸν δίμετρον, ἀκατάληκτον. ἐκ παίωνος α, ἀντὶ ἰωνι-
κοῦ ἀπὸ μείζονος. καὶ χοριάμβου. τὸ ζ, ὅμοιον τῷ ε ἰθυ-
φαλλικόν. τὸ η προσοδιακόν. ἐναντίον τῷ προρρηθέντι.
ἐκ χοριάμβου καὶ παίωνος δ, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάτ-
τονος, εὕρηται γὰρ καὶ παρὰ πινδάρῳ τὸ προσοδιακὸν,
καὶ ἀπ᾽ ἐλάττονος συγκείμενον. καὶ οὐ μόνον ἀπὸ μείζο-
νος. τὸ θ, ὅμοιον τῷ β. εἰ δὲ βούλει προσοδιακὸν δίμε-
τρον ὑπερκατάληκτον. ἐξ ἰωνικοῦ ἀπὸ μείζονος χο-
ριάμβου καὶ συλλαβῆς. τὸ ι, ὅμοιον τῷ ς. ἐκ παίωνος
β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ χοριάμβου. εἰ δὲ βού-
λει ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἐξ ἰάμ-
βου ἀρχόμενον. τὸ ια ἀναπαιστικὴ βάσις. τὸ ιβ, παιω-
νικὸν δίμετρον ὑπερκατάληκτον. ἐκ παίωνος δ, καὶ χο-
ρείου. ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. εἰ δὲ βούλει, τρο-
χαϊκὸν πενθημιμερὲς, ἐκ τροχαίου καὶ δύο βραχέων
ἀντὶ μιᾶς μακρᾶς. τὸ ιγ, δακτυλικὸν πενθημιμερές.
εἰ δὲ βούλει χοριαμβικὸν ἡμιόλιον, ἢ ἰαμβικὸν δίμε-
τρον βραχυκατάληκτον. τὸ ιδ ἰωνικὸν ἡμιόλιον. ἐκ
παίωνος β ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ σπονδείου.
εἴη ἂν καὶ ἰαμβικὸν πενθημιμερές. τοῦ β ποδὸς ἀνα-
παίστου. τὸ ιε ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον.
ἐκ τριῶν χορείων. τὸ ις ὅμοιον. τὸ ιζ ιη ιθ ἐξ ἐπιτρίτου
α καὶ ἰάμβου. τὸ κ ἀντισπαστικὸν δίμετρον ὑπερκατα-
ληκτον ἐξ ἀντισπάστου καὶ κρητικοῦ. τὸ κα. ἰαμβικὸν δί-
μετρον ὑπερκατάληκτον. καθαρόν. τὸ κβ τροχαϊκὸν
δίμετρον ἀκατάληκτον καθαρόν. τὸ κγ ὅμοιον. δίμε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρον καταληκτικὸν εὐριπίδειον· τοῦ α ποδὸς χορείου· τὸ κδ΄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· οὕτω γάρ μοι δοκεῖ ταῦτα βέλτιον εἶναι γράφειν· τὸ γὰρ κακὸς φωκοὺς μόνον ἀδιάγνωστόν ἐστι τίνος ἂν εἴη μέτρου· εἰ καὶ δοκεῖ ἀντισπαστικόν· τὸ κε΄, ἴαμβος· τρίμετρος ἀκατάληκτος· τὸ κς΄, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον· συνίζησιν ἔχον ἐν τῷ α ποδί· εἰ δὲ βούλει ἔστω ὁ β΄ ἀνάπαιστος· τὸ κζ΄, τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον· τὸ κη· καὶ τὸ κθ΄, τροχαϊκὰ· καὶ ἰθυφαλικά· τὸ λ΄, τροχαϊκὸν πενθημιμερές· τὸ λα΄ ἰαμβικὸν· ὅμοιον τῷ κς΄· ἐπὶ τῷ τέλει παράγραφος· καὶ ἐν εἰσθέσει, ἴαμβος τρίμετρος· Παρὰ βόστρυχον·) παρὰ τὸν βόστρυχον φησὶ τῆς ἑλένης πλησίον τῆς παρειᾶς αὐτῆς, αὔραν ἔπεμπον τὴν ῥιπίδα· πτερίνῳ δὲ εἶπε παρόσον αὗται ἐκ πτερῶν ὑπάρχουσι συντεθειμέναι· εὐπηγεῖ δὲ κύκλῳ, ἤτοι καλῶς πεπηγμένῳ· καὶ συντεθειμένῳ· κυκλοτερὴς γὰρ ἡ ἐκ τῶν πτερῶν ῥιπίς· ἡ δὲ πρὸ ἀντὶ τῆς κατά· ὅ ἐστι κατὰ τοῦ προσώπου αὐτῆς πνοὴν ἐκπέμπων· τὸ γὰρ ἑξῆς αὔραν ἀΐσσων ἀντὶ τοῦ πνοὴν ἐκπέμπων· Σκύλων φρυγίων·) ἀντὶ τοῦ τὰ ἀπὸ τῆς λαφυραγωγίας τῶν βαρβάρων νήματα καὶ λῖνα· ἤτοι ἀπὸ τῶν φρυγίων σκύλων· βουλομένης συρράψαι ἐνδύματα πορφυρᾶ· ὅπως ἐπὶ τοῦ τάφου ἀναθῇ τῆς κλυταιμνήστρας· Ἄλλως· Τὰ δὲ νήματα ἵετο· ἀντὶ τοῦ κατέπεμπε· καὶ κατηπειγμένως ἐχαλᾶτο ἐν τῷ πέδῳ διὰ τὸν τύμβον· ἀπὸ δὲ τοῦ τύμβου τὸ σῶμα τῆς κλυταιμνήστρας δηλοῖ· ἀγάλματα δὲ ἀντὶ τοῦ ἀγάλμασι· καλλώπισμα γάρ ἐστιν ἡ κηδεία τοῦ νεκροῦ σώματος· ὁ δὲ λόγος, τὰ δὲ νήματα καὶ τὰ λῖνα τὰ ἐκ φρυγίας εἰργάζετο διὰ τῆς κλυταιμνήστρας τὸ σῶμα· ἵνα τοῦτο συ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στέλλη· καὶ κηδεύσῃ αὖθις, λαμπροῖς ἱματίοις· καὶ φάρεσι πορφυρέοις. Θὲς ἴχνος.) ἀντὶ τοῦ ἀνάστηθι· ἀπαγαγεῖν δὲ αὐτὴν ἐβούλετο ἀπὸ τοῦ τόπου οὗ ἐκάθητο εἰς ἕτερον τόπον· ἐκκλῖναι βουλόμενος τοὺς παρεστῶτας ἱκέτας· τοῦτο οὖν φησὶν ἀποστᾶσα τοῦ κλισμοῦ ἐλθὲ ἐπὶ τὴν πέλοπος καθέδραν· ἤτοι ἔνθα εἰώθει διατρίβειν ὁ πέλοψ. Ὁ δὲ ξυνεργός.) τὸ σὺν κατὰ κοινοῦ· τουτέστιν ὁ δὲ συνεργὸς συμπράττων τῷ ὀρέστῃ ὁ πονηρὸς ἀνὴρ φωκεύς, τοιαῦτα εἶπεν· οὐκ ἐκ ποδῶν καὶ τὰ λοιπά. Τοὺς δ' ἐν ἕδραισι.) ἤτοι ἐν οἴκοις ἀποπάτου. Ἀπόπρο.) πόῤῥωθεν· τὸ δὲ διαρμόσας, ἀντὶ τοῦ προσαρμόσας καὶ συγκλείσας· ἀπὸ τοῦ διαρμόσας δέ, τὴν ἀδιάλειπτον παραμονὴν τῶν οἰκετῶν ἐσήμαινεν ἣν εἶχον μετὰ τῆς δεσποίνης. Ἰδαία μῆτερ.) ἰδαία μῆτερ· ἴδη ὄρος ἐστὶ τροίας· ἔνθα τιμᾶται ἡ ῥέα· ἴσως οὖν ὡς ἐγχωρίαν θεὸν ἐπικαλεῖται αὐτὴν ὁ εὐνοῦχος· ὀβρίμαν δὲ αὐτὴν φησίν, ἐπεὶ λέουσιν ὀχεῖται· ἢ ὅτι ἐνίσταται τοῖς αὐτῇ συντυγχάνουσι· μέλλων δὲ διηγεῖσθαι ὁ φρὺξ ἅπερ ἐθεάσατο ἔνδον, τὴν ῥέαν ἐπικαλεῖται ὡς ἀλεξίκακον· ἰδαίαν δὲ ἀντὶ τοῦ ὀρεινήν· ἐν γὰρ τοῖς ὄρεσι διατρίβειν φασὶ τὴν θεόν· ὀβρίμαν δὲ τὴν ἰσχυρὰν καὶ φοβεράν· ὁ δὲ λόγος· φεῦ φεῦ, τῶν ἀλόγων κακῶν ὦ μῆτερ ῥέα· ἅπερ τεθέαμαι ἔνδον κατὰ τοὺς οἴκους· καλεῖται δὲ καὶ αὐταία· τοῖς φρυξὶ γὰρ ὑπαντῶσα φοβερά ἐστιν. Μυκηνίδα.) ἡ ἑλένη φησὶ διαναστᾶσα τὴν πορείαν φυγῇ πορίζεται· μυκηνίδα δὲ ἀρβύλην τὸν πόδα φησίν· ἀπὸ γὰρ τοῦ ὑποδήματος τὸν πόδα δηλοῖ· τὸ δὲ δικών, ἀντὶ τοῦ ἐκτείνας καὶ βαλών· ὁ δὲ ὀρέστης φησὶ παραχρῆμα προβὰς τὸν πόδα, ἐξέτεινε τὴν χεῖρα, καὶ λαβόμενος τῆς κόμης, ἔμελλεν

αὐτὴν παίειν τῷ ξίφει. Ἰαχὰ δόμων.) ἰαχῆς φησὶ καὶ θορύβου γενομένου κατὰ τὴν οἰκίαν τὰς θύρας τῶν σταθμῶν, ἔνθα ἦμεν συγκεκλεισμένοι τοῖς μοχλοῖς, ἐκσπάσαντες ἐξήλθομεν καθήσοντες. Κτύπησε κρᾶτα.) μετὰ τῶν στηθῶν, καὶ τὴν κεφαλὴν ἐκτύπησε. Ὤμοις ἀριστεροῖσιν.) ἐν τῇ ἀριστερᾷ χειρί. Μελανξίφος.) τὸ μελανθησόμενον. Ἀγκύλας.) τὰ ἀκόντια, ἀπὸ τοῦ ἐπηγκυλίσθαι. ἢ διότι ἀπὸ τῆς κατὰ μέσου ἀγκύλης λαμβανόμενοι ῥίπτουσιν. Πρόκωπον.) μεγάλην κώπην. καὶ ἐκτεταμένην ἔχον. Ἀλίαστος.) ἄτρεπτος. καὶ ἄφυκτος ἐν ταῖς μάχαις. ἢ ἀκατάπαυστος. ἢ ὃν οὐκ ἔχει λιάσαι. καὶ εἰς φυγὴν τρέψαι. Ὁ τρικόρυθος.) ὁ μεγάλην ἔχων περικεφαλαίαν. ὅμοιον δὲ ἐστι τῷ τρίπτυχος αὐλῶπις. ἢ ὅτι ἔνιοι τῶν ἡρώων τριλόφοις ἐχρῶντο. Τότε δὴ τότε.) ἐν τῷ πρὸς ὀρέστην πολέμῳ, ἐφάνημεν διαπρεπόντως δειλοὶ οἱ φρύγες, ἢ τότε ἐν τῷ τρωϊκῷ πολέμῳ. Ἄλλως. Διαπρεπεῖς ἐγένοντο ἀντὶ τοῦ ἔκδηλοι τὴν δειλίαν, καὶ ἐξεληλεγμένοι φησὶν ἐν τῇ πρὸς ὀρέστην καὶ πρὸς τὸν πυλάδην συμβολῇ, ἐφάνησαν οἱ φρύγες πολὺ τῶν ἑλλήνων ἀσθενέστεροι. καὶ ὅσον ἦμεν ἐλάττους ἐν τῇ μάχῃ τῇ πρὸς τοὺς ἕλληνας κατὰ τὴν ἴλιον φησὶ γὰρ αὐτὰ κατὰ ἀναφορὰν τὰ ἐν ἰλίῳ, λόγου παρεκβάσει χρησάμενος. οὐ γὰρ εἰκὸς ἦν οὕτω πολλοὺς εἶναι τοὺς ἐν τοῖς βασιλείοις τεθνηκότας. ὡς καταλέγειν πτώματα μυρίων νεκρῶν. ἔστιν οὖν ὁ πᾶς λόγος τοιοῦτος. κατὰ τὴν συμβολὴν τὴν πρὸς τὸν ὀρέστην, κατάδηλοι γεγόνασιν, ἀσθενεῖς ὄντες οἱ φρύγες. Ἥσσονες ἑλλάδος.) εἰκότως ὑπὸ τῶν ἑλλήνων τότε ἐν ἰλίῳ, ἢ τῶν περὶ τὸν ὀρέστην ἡττήθησαν. ἡνίκα ὁ μὲν ἦν φυγάς. ὁ δὲ, νεκρὸς ἔκειτο. ἄλλος δὲ τραυματίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔσω. ὁ δὲ, ἱκέτης. τὸν ἔλεον θηρώμενος, καὶ τέλος ὡς ὑπὸ σκότιοι γενόμενοι τῷ πλήθει τῶν βαλλομένων βελῶν, εἰς φυγὴν ἐτρεπόμεθα. καὶ οἱ μὲν, ἔπιπτον τιτρωσκόμενοι. οἱ δὲ, πίπτειν ἔμελλον. οἱ δὲ, ἦσαν νεκροί. καὶ μέχρι μὲν τούτου ἡ παρέκβασις. τὸ δὲ ἑξῆς, τὰ γενόμενα τὰ κατὰ τὴν οἰκίαν ἐστὶν, ἅπερ κατὰ ἐπανάληψιν ἐπάγει. ἔστι δὲ τὸ ἑξῆς τοῦ λόγου, φασγάνωντε ἀκμὰς συνήψαμεν. καὶ ἡττήθημεν κατὰ κράτος. ὥσπερ καὶ ἐν τῷ κατὰ ἰλίῳ πολέμῳ ἰώ. καὶ ταῦτα συμβέβηκεν ἅπερ κατέλεξεν. ὡς δὲ ἡττήθημεν, ἦλθεν ἡ ἑρμιόνη. δύναται δὲ καὶ ἐπὶ οἰκίας ταῦτα γενόμενα νοεῖσθαι. ἴδιον δὲ τῆς τραγῳδίας, τὸ τὰ μικρὰ τῶν πραγμάτων ἐξαίρειν. καὶ φοβερὰ ποιεῖν. ὥσπερ νῦν ὁ εὐριπίδης. ταῦτα δὲ ὡς περὶ τῶν ἐν ἰλίῳ λέγει τεθορυβημένος. καὶ οὐ δεόντως ἀπαγγέλλων. οἱ δὲ μὴ νοήσαντες, πολλοὺς ᾠήθησαν ἐν τοῖς βασιλείοις ὑπὸ τῶν περὶ τὸν ὀρέστην τεθνάναι. Κἂν μὲν οὖν περὶ τῶν ἐν ἰλίῳ λέγοιτο, ἐστὶ τὸ ὑπὸ σκότον, ἀντὶ τοῦ καλυφθέντες τῷ πλήθει τῶν βελῶν, ἐφύγομεν. ἐὰν δὲ ἐν τῇ οἰκίᾳ, εἰς τοὺς σκοτεινοὺς τόπους τῆς οἰκίας ἐφύγομεν. Ἐπὶ φόνῳ χαμαιπετεῖ.) θορύβου φησὶ γενομένου, ἦλθεν ἡ ἑρμιόνη, χαμαὶ οὔσῃ τῇ ἑλένῃ. καὶ μελλούσῃ πίπτειν μετὰ τὸ φονευθῆναι. Χαμαιπετεῖ.) ἢ τεθορυβημένος ὢν, οἴεται αὐτὴν πεπτωκέναι. ἢ χαμαιπετεῖ, τῷ μέλλοντι πεσεῖσθαι. Ἄλλως. Οὔπω πεσόντι ἐπὶ γῆς. οὐ δὲ γὰρ ἐφόνευσαν αὐτήν. ἀμέλει μετὰ μικρὸν φησὶν, ὅτι διωκομένη, ἀφανὴς ἐξ αὐτῶν ἐγένετο. Ἄθυρσοι δ' οἷα.) ἢ κακόθυρσοι. ἢ θύρσων δεόμενοι μόνον, πρὸς τὸ εἶναι βάκχαι. ἢ ἀθύρσους αὐτοὺς εἶπεν ἐπεὶ αἱ βάκχαι μετὰ θύρσων βακχεύουσι. Φαρμάκοισι.) τοῦτο δοκεῖ ἀπὸ ἱστορίας εἶναι. παρ' ὅσον παρὰ τῆς θεῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νος γυναικὸς δοκεῖ πλεῖστα φάρμακα εἰληφέναι ἡ ἑλέ-
›› νη. ὡς ὅμηρος. Τὰ οἱ πολύδαμνα πόρεν θῶνος παρά-
›› κοιτις αἰγυπτίη. πολλὰ ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυ-
γρά. Πάλιν δὲ τὰν διός.) συλλαβόμενοι δὲ τὴν ἑρ-
μιόνην, οὐδὲν ἧττον πάλιν ἐπεδίωκον ἑλένην. Ἐξέκλε-
πτον.) ἀπέδρων. Ἀνόητον.) ἀνοητότερον. Ἀμεί-
βει.) διαδέχεται. Ἐπτοημένω.) σπουδαίῳ. Οὔτι-
που.) οὐ διὰ τοῦτο φησὶν ἐβόησας ὥστε τὸν μενέ-
λαον ἐλθόντα βοηθεῖν; Ἄλλως. Οὐκ ἄρα φησὶ μενέ-
λα φωνεῖς τὸν μενέλεων ὥστε βοηθήσομεν. Σοὶ μέν.)
λείπει τὸ βούλομαι. ἢ ἕτοιμός εἰμι. σοὶ μὲν ἐγὼ βοηθεῖν
ἕτοιμος. τιμιώτερος γὰρ ὑπάρχεις. Ἐνδίκως.) δι-
καίως ἄρα ἡ τυνδαρὶς διεφθάρη; Ἐνδικώτατα.)
δικαιότατα. εἴπερ ἐκέκτητο τρεῖς λαιμοὺς ὥστε ἀπο-
θανεῖν. Δειλία ὑπὸ τῆς δειλίας χαριτογλωττίζεις.
ἕτερα κατὰ ψυχὴν ἔχων καὶ φρονῶν. Οὐ γάρ.) οὐ
γὰρ δίκαια ἔπαθεν. ἥτις τὴν ἑλλάδα σὺν αὐτοῖς φρυ-
ξὶν ἔβλαψεν; Οὐ γάρ.) οὐ πρὸς χάριν ἀλλ' ἀληθῶς
λέγω. ὅτι ἀξία ἐστὶν ἀποθανεῖν. ἥτις τὴν ἑλλάδα πᾶ-
σαν. καὶ τὴν φρυγίαν ἠφάνισεν. Ὅμοσον.) ὄμοσον
φησὶν ὅτι οὐ πρὸς χάριν ἐμὴν ταῦτα λέγεις. οὐδὲ ὑπο-
κρινόμενος. ἀλλὰ τῇ ἀληθείᾳ οὕτω φρονεῖς. λείπει ἡ εἰς
εἰς ἐμὴν χάριν. Τὴν ἐμήν.) τὴν ἐμὴν ζωὴν κατώμοσα. ἤγουν
καλῶ εἰς ὅρκον λαμβάνω. Ὦ δὲ κἀν τροίᾳ.) καὶ ἐν
τροίᾳ φησὶν ὁ σίδηρος οὕτως ἦν φοβερὸς τοῖς τρωσίν.
ὡς σὺ νῦν ὁρῶν τὸ ξίφος, φὴς θάνατον ἐν ᾧ περιΐστασθαι.
Ἄπεχε φάσγανον.) μακρὰν ἔχε τὸ ξίφος. πλησίον γὰρ
ὂν φοβερὸν φόνον ἀντιλάμπει. Μὴ πέτρος.) ἵνα μὴ
ἀπολιθωθῇς φοβηθείς. ὥσπερ τὴν γοργόνα θεασάμενος.
Μὴ μὲν οὖν.) μᾶλλον μὲν οὖν δέδοικα ἵνα μὴ γένωμαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεκρός. Ἀφεῖσαι.) ἀντὶ τοῦ παρόντος φησὶν ἀφίημί σε· ὕστερον δὲ βουλεύσομαι περὶ σοῦ· ἔστι δὲ πρὸ τέλους ὁ τόνος· προπερισπᾶται γὰρ παρακείμενος ὤν· ὁ δὲ θεόδωρος ἀπὸ τοῦ ἕω φησὶν αὐτό· εἰ γὰρ ἦν ἀπὸ τοῦ ἵημι προπαροξύνετο φησὶν ὡς τρισύλλαβος· οἱ δὲ ἀπὸ τοῦ εἵημι· ἥσω· ἧκα· εἷμαι· καὶ εἶμαι κατὰ πλεονασμὸν τοῦ ι· ὡς τέθειμαι· καὶ εἶσαι· καὶ ἐξ αὐτοῦ ἀφεῖσαι· φυλάττεται γὰρ ὁ τόνος τῶν ὁριστικῶν, ἐπὰν μετὰ προθέσεως συντεθῇ· καὶ μὴ ἀποβάλωσι τὴν μακράν· Μῶρος εἶ.) τινὲς οὕτω στίζουσι· καὶ τὸ ἄλλο ἀπόλυτον· τινὲς δὲ οὕτως· εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην, πάνυ ἀνόητος εἶ· ἵν' ἢ κατ' ἔλλειψιν· Οὔτε γὰρ γυνὴ πέφυκας.) τοῦτο δὲ δύναται μὲν, ἀντὶ εὐνοῦχον λαμβάνεσθαι· δύναται δὲ καὶ ὅτι γυναῖκες εἰσὶν οἱ φρύγες· Οὔτ' ἐν ἀνδράσι.) εὐνοῦχος γὰρ ὤν· Ὀξὺ γάρ.) ἀντὶ τοῦ ὀξέως ἐξεγείρονται οἱ ἀργεῖοι ἐπὰν βοῆς ἀκούσωσιν· ἐκεῖνο φησὶν ἐφοβούμην· καὶ ὑφορώμην, μὴ ἄρα σὺ κραυγάσας ἐξαναστήσῃς τὴν πόλιν καθ' ἡμῶν· περὶ γὰρ τοῦ μενελάου, οὐδεὶς λόγος· ἑνὸς γὰρ αὐτοῦ ὄντος, δυνησόμεθα περιγενέσθαι· ὥς τε ἡκέτω ὁ περὶ κάλλει μόνον ἐπαιρόμενος· εἰ δὲ τοὺς ἀργείους πάντας ἐπαγόμενος ἔλθῃ ἀμυνόμενος ἡμᾶς διὰ τὸν τῆς ἑλένης φόνον· καὶ μὴ ἐθελήσει σώζειν ἡμᾶς· ἐπαναιρήσομαι τῇ ἑλένῃ τὴν ἑρμιόνην· Τὸν ἑλένης.) τιμωρούμενος διὰ τὸν τῆς ἑλένης φόνον· ἕλκειν· καὶ ἄλλους διώκειν· κυρίως ἀντὶ τὸ κατηγορεῖν· κεῖται δὲ νῦν ἀντὶ τοῦ ἐπεξιέναι· ὁ δὲ λόγος ἐπεξιὼν διὰ τὸν ἑλένης φόβον· Ἕτερον εἰς ἀγῶν' ἕτερον.) ὁ περὶ τοὺς ἀτρείδας, ἀντὶ τοῦ ὁ τῶν ἀτρειδῶν οἶκος εἰς ἕτερον ἀγῶνα μεταπίπτει· μετεωρίζεται δὲ τὴν γνώμην ὁ χορός· δέδοικε γὰρ μὴ ὕστερον ἐγκληθῇ κρύψας·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψασ. Ἰδὲ προκηρύττει.) ἰδού φησιν ἀναπηδῶν ὁ καί
τινὸς, ἀπαγγέλλει τῇ πόλει τὰ ἐνταῦθα πραττόμενα.
Τέλος ἔχει.) ὁ θεὸς ἐπάγει τοῖς ἀνθρώποις ὅποι θέλει
τὸ τέλος. Ἄλλως. τῶν ἀνθρωπίνων πραγμάτων τὸ τέ
λος ἐκ θεῶν ἐστίν. Ἄλλως. ὃ βούλεται ὁ θεὸς τοῖς ἀνθρώ
ποις τέλος ἐπιτίθησι. Ἔπαισε.) ἐὰν μὲν διὰ τοῦ ε τὸ ἔ
πεσεν, οἱονεὶ ἐπλησίασέ τις τοῖς οἴκοις φονικὸς δαί-
μων. δι' αἱμάτων τιμωρίαν ποιούμενος τοῦ πτώματος
τοῦ μυρτίλου. ἐὰν δὲ διὰ τῆς αι διφθόγγου ἀντὶ τοῦ ἔκρου
σεν ἐὰν ἔλθῃ ὁ μενέλαος. Ὀξύπουν.) ταχύπουν. ἀν
τὶ τοῦ ταχέως ἀκούσαντα παρά τινος τὴν παροῦσαν
δυστυχίαν ἐν τοῖς οἴκοις. Δεινὸν εὐτυχῶν.) δεινὸν
φησὶ καὶ χαλεπὸν ἀνὴρ εὐτυχῶν, ὅταν ἔχῃ ἔχθραν
πρὸς εὐτυχοῦντα. ἀνὴρ γὰρ εὐτυχὴς, πρὸς δυσδαίμο-
να μαχόμενος, ἐπικρατέστερός ἐστι. καὶ ὅμηρος. μηδ' ἔθελ'
ἐξ ἔριδος σεῦ, ἀμείνονι φωτὶ μάχεσθαι. τὸ δὲ κλῇθρα
συμπεραίνοντες, ἀντὶ τοῦ συμπερῶντες. συνδέοντες.
συγκλείοντες. πόρπας ἐπιθέντες ταῖς θύραις. τουτέστι
τοῖς μοχλοῖς. Δραστήρια.) ἦλθον ἀκούσας. τὰ χαλεπὰ
καὶ τολμηρὰ. καὶ αὐθαδῶς εἰργασμένα. Ἄλλως.
τὰ χαλεπὰ καὶ δράματος ἄξια. τὸ δὲ γὰρ δρᾶσαι ὡς
ἐπὶ πολὺ ἐπὶ χαλεποῦ τάττουσι. κατὰ τὸ σιωπώμενον
δὲ εἰκὸς ἀπηγγέλθαι τῷ μενελάῳ, τὰ κατὰ τὸν οἶκον γι
νόμενα. βάξιν δὲ ἀντὶ τοῦ φήμην. ἐνόμισε δέ τινα πε-
πλακέναι ταῦτα. τοῦτο γὰρ δηλοῖ τὸ ἣν φόβῳ σφαγεὶς
ἀντὶ τοῦ ἥντινα τὶς διὰ τὸν φόβον μὴ ἀκριβῶς νοήσας
ἤγγειλεν. ἐνόμιζε γὰρ ὡς εἴρηται τινὰ πλάσασθαι.
Τἄλλα τοῦ μητροκτόνου.) οἴεται ὅτι ὀρέστης ἐπήρε φή-
μην, ὡς ἄρα ἑλένη ἡρπάγη μέλλουσα τελευτᾶν ὑπ' αὐ
τοῦ. Ἄλλως. τοῦ ὀρέστου φήσαντος. ἢ φονεύσαν-

πος, ἵνα μὴ ταράξῃ, ὑπέθετο αὐτὴν ἡρπάχθαι. Ὡς κἂν ἄλλα.) εἰ καὶ μὴ τὴν ἑλένην, ἀλλὰ καὶ τὴν παῖδα ῥύσωμαι. Ἡ δ᾽ εἰ.) ἤτοι ἑλένη δ᾽ εἰ συναναιρεθῆναι τοὺς φονέας αὐτῆς ὑπ᾽ ἐμοῦ. ταῦτα αἰνίσσεται. Οὗτος σὺ κλῇθρων.) ταῦτα αἰνίσσεται ὀρέστης ἐκ τοῦ δώματος φησί. Πεπύργωσαι.) ἐπῆρσαι. πέφραξαι. ὕψωσαι. Τῶνδε θριγκῶν.) θριγκοὶ καλοῦνται οἱ ἐπικείμενοι λίθοι ταῖς ἐξοχαῖς τῶν δωμάτων. τὰ αὐτὰ δὲ καὶ γεῖσα. Γεῖσσα λέγονται νῦν καὶ αἱ φάτναι τῶν οἴκων. Ἀπείρξει.) λείπει ὁ καί. ἀπείρξει τῆς σπουδῆς. καὶ τοῦ περᾶν ἔσω τῶν δόμων. Βοηδρόμου.) τῆς εἰς μάχην σπουδῆς ἀποπαύσει. καὶ ἀποκωλύσεις τοῦ μὴ ἔσω τῶν οἰκοδομημάτων εἰσελθεῖν. Εα.) κάτωθεν ἀναβλέψας ὁ μενέλαος ὁρᾷ πῦρ ἀναπτόμενον. καὶ ξίφος ἐπικείμενον τῷ τῆς ἑρμιόνης αὐχένι. Κλεφθεὶς.) ἀφαιρεθείς. Καθ᾽ ὕβριν.) δι᾽ ὕβριν. Λυπρὰν.) λυπηρὰν ἄγνωσιν ἀγνοοῦμαι. εἴθε γὰρ ὤφελον φονεῦσαι αὐτήν.

Ἄλλως. λυποῦμαι ἀγνοούμενος. τουτέστιν ἀγνοοῦμαι ἄγνωσιν λυπηράν. τὸ δ᾽ ἑξῆς. εἰ γὰρ ὤφελον τὴν τῆς ἑλλάδος μιάστορα εἰς ᾅδου βαλεῖν. Τί χρῆμα.) ποῖον φησὶ πρᾶγμα ὤφειλες διδάσκειν. φοβεῖς γὰρ καὶ ἕλκεις εἰς φόβον τοῦτο εἰπών. Ὁ πατρὸς ἀμύντωρ.) ὁ ἐκδικητὴς τοῦ πατρός. ὁ ἀγαμέμνονος βοηθός. λείπει τὸ ἐγώ εἰμι. τοῦτο δέ φησιν ὅτι τῇ ὀφειλούσῃ αὐτὸν ἐσπουδασε βοηθῆσαι. καὶ οὐχὶ τῷ ὀρέστῃ. Ὡς μήγ᾽ ἔχῃς.) πορθήσω φησὶ τὸν οἶκον. ἵνα μὴ σὺ τοῦτον ἔχῃς. καὶ οὐ τοῦτο μόνον. ἀλλὰ καὶ ἐπισφάξω ταύτην τῷ πυρί. τουτέστι τῷ πυρὶ πρήσω τὸν οἶκον, μετὰ τὸ ἀποκτεῖναι τὴν ἑρμιόνην. Εὖ γοῦν θίγοις ἄν.) ὡς σύνηθες. ἐπεὶ οἱ βασιλεῖς ἔθυον. ἐὰν οὖν φησὶ βασιλεύσῃς οὕτως. καὶ οὐχ ἵνα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γῶς αὐτῆς τῶν χερνίβων; πῶς ἔχεις φησὶ θυσίαν τε-
λεῖν. ἆρα γὰρ οὐκ ἀσεβὲς ἐναγῆ σε ὄντα χερνίβων ἅ-
πτεσθαι. καὶ θύειν τοῖς θεοῖς; Τί δὴ γὰρ οὔ.) διατί φη-
σὶν οὐ δικαίως θίγοι μι τῶν θυσιῶν. Καὶ σφάγια
πρὸ δορός.) οὐ γὰρ καὶ σφάγια πρὸ τοῦ πολέμου κα-
ταβάλλοις. πάλιν δὲ καὶ τοῦτο ἠθικῶς. πρὸ δορὸς δέ. ἐ-
πεὶ εἰώθασιν οἱ βασιλεῖς εἰς πόλεμον μέλλοντες ἐξιέ-
ναι, θύειν τοῖς θεοῖς. Σὺ δ' ἂν καλῶς.) σὺ δ' ἂν θύσεις
ἁγνῶς ὡς μὴ μιαρὸς ὤν. Ἁγνὸς γάρ εἰμι χεῖρας.) τοῦ
φόνου τῆς μητρὸς δηλονότι. Ἀλλ' οὐ τὰς φρένας.)
ἀλλ' οὐ τῷ λογισμῷ διὰ τὸ μὴ βεβοηθηκέναι τῷ πατρί.
Οὔκουν σύ γε.) εὐδαίμων εἶ δηλονότι. Οὐ γὰρ ἀνδάνου-
σιν.) αὕτη γὰρ ἥμαρτε φησί. διὸ κἀγὼ οὐκ εὐδαιμονῶ.
Ἄπαιρε.) ἆρον ἀπὸ τῆς ἐμῆς θυγατρὸς τὸ ξίφος. Ψευ-
δὴς ἔφυς.) ἐψεύσω τῆς ἐλπίδος. Ἀλλὰ κτανεῖς.)
ἀλλὰ φονεύσεις μου τὸ θυγάτριον. Οὐ ψευδὴς, οὐκέ-
τι ψευδὴς ὑπάρχεις. Ἢ παῖδά μου.) ἢ μὴ τοῦτο
ποιήσω δηλονότι. Ὧδ' ἔχει.) ἐὰν μὴ πείσῃς οὕτω
κέκριται. Πλὴν εἷς ἐμέ.) οὐκ ἐπόνησας. Τότε
γὰρ ἦσθ'.) ὅτε σε ἠξίουν βοηθῆσαί μοι. Ἔχεις με.) ἐνί-
κησάς με. περιεγένου μου. ὡς ἐπὶ τῆς συνηθείας λέγο-
μεν. τοῦτο δὲ λέγει ὅτι ἐχειρώσατο τὴν ἑρμιόνην.
Σαυτὸν σύ γ'.) σὺ σαυτὸν κατηγωνίσω. κακὸς γενό-
μενος πρός με. Οὐ βοηδρομήσετε.) οὐκ ἔλθετε ἐν βοη-
θείᾳ. Ζῶ.) ὥστε ζῶ. Κτίται.) οἰκήτορες. τοι-
οῦτον ἐστὶ καὶ τὸ σῦς ὀρικτίτου παρὰ πινδάρῳ. ἀντὶ
τοῦ ὀρεοίκου. καὶ τὸ ἐΰκτιτον ἄστυ. ὅμηρος. ἀντὶ τοῦ εὐκα-
τοίκητον πόλιν. Ὁ δὲ βιάζεται πόλιν.) οὐδενὸς αὐτῷ συγ-
χωροῦντος ζῆν διὰ τὸ τὴν μητέρα ἀποκτεῖναι, οὗτος βιά-
ζεται ἀδίκως ἅπασαν τὴν πόλιν, ὥστε τυχεῖν τοῦ ζῆν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Παῦσαι.) παῦσαι ὀργιζομένη ὦ μενέλαε. σύ τε ἐρίζων· ἵνα ἀκούσῃς ὧν ἥκω κομίζων λόγους. Ναυτίλοις σωτήριος.) ὅτι ὑέλειν τοῖς χειμαζομένοις κατὰ θάλασσαν ἐπήκοός ἐστι κατὰ θεσπιόδην, σημειοῦται. ὁ μὲν τοι σωσίβιος ἔμπαλιν εἴρηται οὐκ εὐμενῶς αὐτὸν ἀποφαίνεσθαι. Τῷ τῆς δὲ καλλιστεύματι.) τῇ ὡραιότητι ταύτης. Ὡς ἀπαντλήσῃ.) ἱστορεῖται ὅτι ἡ γῆ βαρυνομένη τῷ πλήθει τῶν ἀνθρώπων, ἠξίωσε τὸν δία ἐλαφρῦναι αὐτῆς τὸ βάρος. τὸν δὲ δία ἐκ χειρὸς αὐτῆς συγκροτῆσαι τόν τε θηβαϊκὸν πόλεμον, καὶ τὸν ἰλιακόν. ἵνα πολλῶν ἀναιρεθέντων κουφισμὸς γένηται. ἕτεροι οὖν φασὶν ἄγε νύμφην. ἐπειδὴ ἐστι ταύτην ἐλέφαντι. ὃν αὐτοί ποτε καταπέμψαι. ἵνα διὰ τὸ ταύτης κάλλος συγκροτηθῇ τῶν πόλεμος ἑλλήνων καὶ φρυγῶν. καὶ τῶν πολλῶν ἀναιρεθέντων ἐλαφροτέρα γένηται ἡ γῆ ἀπὸ τοῦ ἀνθρώπων βάρους. Παρθένιοι.) οἱ μὲν πόλιν. οἱ δὲ χώραν εἶναι φασὶν ἀπὸ παρθενίου τοῦ πελασγοῦ ὀνομασθεῖσαν. ὃς συνῴκισε τοὺς ἀρκάδας. καὶ πελασγοὺς αὐτοὺς ἐπωνόμασεν. ἰδίως θερσιάδης ἱστορεῖσαι τὸν ὀρέστην φησὶν ἐκεῖ νόσῳ ποιήσαντα κύκλῳ βίαιου. ὁ δὲ ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως αὐτὸν δηχθέντα ἐκεῖ τελευτῆσαι. ὁ δὲ φερεκύδης ὅτι καὶ ἐπεὶ τὸν ὀρέστην αἱ ἐρινύες διώκουσι. ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς ἀρτέμιδος. καὶ ἵζει ἱκέτης πρὸς τῷ βωμῷ. αἱ δὲ ἐρινύες ἔρχονται ἐπ᾽ αὐτὸν θέλουσαι ἀποκτεῖναι. καὶ ῥύεται αὐτὸν ἡ ἄρτεμις. ἐξ οὗ καὶ ἡ πόλις αὕτη ὀρέστειον καλεῖται ἀπὸ ὀρέστου. Ἀσκληπιάδης ἐν ἀρκαδικοῖς φησὶ τὸν ὀρέστην ὑπὸ ὄφεως ἀναιρεθῆναι ο̅ ἐτῶν.

Κεκλήσεται δέ.) πελασγὸς αὐτόχθων ὁ ἀργεῖος ὁ τοῦ ἀρέστορος τοῦ ἰάσου, ἐλθὼν εἰς ἀρκαδίαν, ἐξιωθεὶς αὐ

τας τοὺς ἀρκάδας, εἰς τὸ ἡμερώτερον μετέβαλε· καὶ πόλιν ἔκτισεν, ἣν παῤῥασίαν ὠνόμασεν. γυναῖκα δὲ ἀγαγόμενος τὴν χωρίαν ἀφ' ἧς τὸ ὄρος οὕτω καλεῖται, υἱὸν ἔσχε λυκάονα· ὃς τὸ τοῦ λυκαίου διὸς ἱερὸν ἱδρύσατο ἐν παῤῥασίᾳ· καὶ παῖδα ἐσχηκὼς ἐξ ὀρθωνίας νύκτιμον, τὴν ἀρχὴν αὐτοῦ κατέλιπεν· ἐφ' οὗ ὁ κατακλυσμὸς ἐγένετο· μετὰ δὲ ταῦτα βασιλεύει δωριεὺς υἱὸς εἰκαδίου· καὶ κορωνίας. οὗτος ἐξ ἀργίας ἔσχε παρθῖνα· οὗτος ἐξ ἀρχιλόχης κητέα· καὶ πάρον· κητεὺς δὲ ἐκ σίλβης ἔσχε καλλιστώ· ταύτην φασὶν ἐκ διὸς ἀρκάδα πεποιηκέναι· ὃς ἄρξας τῆς χώρας, ἀρκαδίαν ὠνόμασε· γήμας δὲ λεανείραν, ἔσχεν ἐλάτην· ἀφείδαντα· ἀζᾶνα· τούτων ἀρξάντων τῆς χώρας, ὁ ἀζὰν ἀπ' αὐτοῦ τὴν ἰδίαν μοῖραν ἀζανίαν ὠνόμασεν· ἀρκάδες οὖν πάντες κοινῇ ἐκαλοῦντο· μέρος δὲ τούτων ἀζᾶνες· τῷ μερικῷ τὸ ὅλον ἐπήγαγεν, ἀζὰν γὰρ μέρος ἐστὶ τῆς ἀρκαδίας· καὶ ὀρέστειον δὲ πόλις ἀρκαδίας· ὀνομασθὲν ἀπὸ ὀρέστου οἰκήσαντος ἐκεῖσε. Ἐνθένδε τ' ἐλθών.) περὶ τῆς ὀρέστου κρίσεως ἐν ἀρείῳ πάγῳ, ἱστορεῖ καὶ ἑλλάνικος, ταῦτα γράφων· τοῖς ἐκ λακεδαίμονος ἐλθοῦσι καὶ τῷ ὀρέστῃ οἱ ἀθηναῖοι ἔφασαν. τέλος δὲ ἀμφοτέρων ἐπαινούντων, οἱ ἀθηναῖοι τὴν δίκην ἔστασαν ἐννέα γενεαῖς. ὕστερον δὲ ἄρης καὶ ποσειδῶν περὶ ἀλιῤῥοθίου δίκην. εἶτα κέφαλος ὁ δηιονέως· ὅστις πρόκριν τὴν ἐρεχθέως ἔχων γυναῖκα· καὶ ἀποκτείνας, ἐξ ἀρείου πάγου δίκην ὡς δικασθεὶς ἔφυγεν ἓξ γενεαῖς ὕστερον. μετὰ δὲ τὴν δαιδάλου δίκην, ἀδελφιδοῦν τάνταλον ἀποκτείναντος δολόεντι θανάτῳ· καὶ φυγόντος δίκην· τρισὶ γενεαῖς ὕστερον αὕτη ἡ τυνδαρὶς κλυταιμνήστρα ἀγαμέμνονα ἀποκτείνασα· καὶ ὑπὸ ὀρέστου ἀποκτανθεῖσα, συγκροτηθῆ-

ναι δίκην τῷ ὀρέστῃ ὑπὸ εὐμενίδων παρεσκεύασεν, ὃς
μετὰ τὴν κρίσιν ἐπανελθὼν, ἄργους ἐβασίλευσε. καὶ
ἐδίκασεν δὲ ἀθηνᾶ. καὶ ἄρης. Δίκης βραβῆς.) τῆς
κρίσεως διοικηταί. Διοίσουσιν.) ἐξέξουσιν. Χρή.)
ἀπόκειται. Ος δ' οἴεται νεοπτόλεμος.) οὐκ ἐγχαμή-
σειν αὐτὴν κατὰ τοῦτο. ὅτι τέκνα οὐκ ἔσχεν ἀπ' αὐτοῦ.
καὶ ὁ μὲν εὐριπίδης διὰ τοῦτο ἀνῃρῆσθαί φησι τὸν νεο-
πτόλεμον ὑπὸ τῶν δελφῶν. ὅτι παρεγένετο εἰς δελφοὺς,
δίκας ἀπαιτήσων τὸν θεὸν ὑπὲρ τῆς τελευτῆς τοῦ πα-
τρὸς αὐτοῦ. φερεκύδης δὲ φησὶ περὶ παίδων χρησμὸν
αἰτοῦντα τὸν νεοπτόλεμον ἀναιρεθῆναι. ἐπεὶ νεοπτόλεμος
ἑρμιόνην γαμεῖ τὴν μενελάου. καὶ ἔρχεται εἰς δελφοὺς
περὶ παίδων χρησόμενος. οὐ γὰρ αὐτῷ ἐγένοντο ἐξ ἑρμιό-
νης. καὶ ὁρᾷ κατὰ τὸ χρηστήριον κρέα διαρπάζοντας
τοὺς δελφοὺς, ἀφαιρεῖται τὰ κρέα αὐτούς. ἑαυτὸν δὲ
κτείνει μαχαίρᾳ. ὁ δὲ τούτων ἱερεὺς κατορύσσει αὐτὸν
ὑπὸ τὸν οὐδὸν τοῦ νεὼ. ταῦτα γενεαλογεῖ καὶ σοφοκλῆς.
Ο δ' ἐπιώνυμιν) τὸ νιν ἀντὶ τοῦ αὐτοὺς ἐστὶ πληθυντικοῦ
τάττειν εἰώθεσαν. ἢ ἀντὶ μόνου πυλάδου κεῖται. Φερνάς).
προῖκας. Δεῦρ' ἀεί.) ὧδε διόλου ἔφερε. Τῷ δ'
ἐγώ.) χάριν τοῦδε ποιήσω καλῶς. Ω λοξία.) ὦ ἄ-
πολλων μαντευτικὲ ἕνεκα τῶν σῶν μαντευμάτων.
Καίτοι μ' ἐσῄει.) περιδεὴς φησὶν ἦν ἐγὼ μὴ ἄρα δαίμων
τίς τῶν ἀλαστόρων. καὶ οὐχὶ σὺ ὁ προστάξας με μητρο-
κτονεῖν. νῦν δὲ φησὶν αὐταῖς ὄψεσι θεωρῶν, ἔχω τὸ πι-
στόν. Σοὶ δὲ παῖδ' ἐγώ.) ἀντὶ τοῦ κατεγγυήσω. ὅ ἐ-
στιν ἐπαγγέλλομαι δώσειν πρὸς γάμον. οὐ νῦν γὰρ δίδω-
σιν. ἀλλ' ὕστερον. ὀρέστου ἐν ἀρκαδίᾳ διάγοντος, μετὰ τὴν νεο-
πτολέμου τελευτήν. Ονᾶιο.) ἀπολαύσαιο. ὠφεληθεί-
ης. Οἷ.) ὅπου. Νείκους.) τῆς φιλονεικίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σπένδομαι.) φιλιοῦμαι ταῖς συμφοραῖς σου μενέλαε· καὶ τοῖς σοῖς ὦ ἄπολλον προστάγμασι. Ἄλλως. σπένδομαι φησὶ φιλίαν πρὸς σὲ ὦ μενέλαε ἐπὶ συμφοραῖς. τουτέστι μετὰ τὰς συμφορὰς. καὶ τὰς ἀτυχίας. καὶ τοῖς σοῖς ὦ ἄπολλον πείθομαι κελεύσμασι. Ἴτε νῦν καθ' ὁδόν.) ὁ ἐπίλογος οὗτος τοῦ δράματος. ἐκ δύο συστημάτων σύγκειται. καὶ ἔστι τοῦ μὲν α' συστήματος τὰ κῶλα ἀναπαυστικὰ θ'. ὧν τὰ μὲν η' δίμετρα ἀκατάληκτα. τὸ δὲ θ' καταληκτικὸν. ἤτοι ἑφθημιμερὲς παροιμιακόν. τὸ δὲ β' ἀναπαυστικὴ βάσις. τὸ δὲ τρίτον, ὅμοιον ἑφθημιμερὲς. ἐπὶ τῷ τέλει τοῦ α' παράγραφος. τοῦ δὲ β' κορωνὶς, ἡ περατοῦσα τὸ δρᾶμα. Ἴτε νῦν.) ἀπίτε καθ' ὁδὸν ἣν προσέταξα δηλονότι. τιμῶντες τὴν εἰρήνην τὴν καλλίστην ἀπὸ τῶν θεῶν. ἐγὼ δὲ, πλησιάσω τὴν ἑλένην τοῖς οἰκήμασι τοῦ διὸς. διελθὼν τὸν πόλον τῶν λαμπρῶν ἄστρων. ὅπου συγκάθεδρος οὖσα τῇ ἥρᾳ. καὶ τῇ ἥβῃ τῇ γυναικὶ τοῦ ἡρακλέους ἔσται θεὸς ἔντιμος. ἀεὶ τοῖς ἀνθρώποις διὰ θυσιῶν σὺν τοῖς τυνδαρίδαις τοῖς υἱοῖς τοῦ διὸς, μεδέουσα θαλάσσης ναύταις. ἀντὶ τοῦ τῆς τῶν ναυτῶν θαλάσσης μεδέουσα. καὶ ἄρχουσα. Θεῶν εἰρήνην τιμῶν.) τοῦτο φησίν. ἐπεὶ ἐπὶ τὰ πελοποννησιακὰ ἐνόσει ἡ ἑλλὰς πρεσβευσαμένων δὲ τῶν ἀθηναίων οὐ προσήκαντο τὰς σπονδάς. Ἐξανύσας.) διαβάς.
Ἥβῃ.) ἥβη ὠνομάζετο ἡ ἡρακλέος γυνή. λείπει δὲ τὸ οὖσα. πάρεδρος οὖσα ἤτοι συγκάθεδρος. Ἔντιμος.) τιμωμένη θυσίαις. σὺν κάστορι. καὶ πολυδεύκει τοῖς διὸς παισί. βασιλεύουσα τοῖς ναύταις ἐπὶ τῆς θαλάσσης.
Ὦ μέγα.) ὁ χορὸς βοηθὸς ὢν τοῦ ὀρέστου, τὰ κατ' αὐτὸν ἰδὼν ὅπως ἀπέβη, ταῦτα φησίν. ἢ τοῦτο διὰ τοῦ χοροῦ, ὡς ἐκ προσώπου τοῦ ποιητοῦ ἐστιν, ὡς νικήσαντος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπὶ τῷ δράματι. ὦ νίκη μεγάλως σεμνή. αἰεὶ συνέχοις τὴν ἐμὴν ζωήν. καὶ μὴ παύσαιο στεφανοῦσα ἐμὲ δηλονότι. Ὦ μέγα.) ὦ μεγάλως σεβασμία νίκη αἰεὶ τὴν ἐμὴν ζωὴν κατέχοις. καὶ μὴ παύσῃς στεφανοῦσα καὶ τιμῶσα με. τοῦτο παρὰ τοῦ χοροῦ ἐστὶ λεγόμενον ἀπὸ προσώπου τοῦ ποιητοῦ. Τοῦτο τὸ δρᾶμα ἐκ τραγωδικοῦ, κωμικοῦ. ἐκ τῶν συμφορῶν. εἰς εὐθυμίαν κατήντησεν.

Τέλος σχολίων τῶν εἰς ὀρέστην.

## Ὑπόθεσις φοινισσῶν.

Περιπαθεῖς ἄγαν αἱ φοίνισσαι τῇ τραγωδίᾳ. ἀπώλλετο γὰρ τοῦ κρέοντος ὁ υἱὸς ἀπὸ τοῦ τείχους, ὑπὲρ τῆς πόλεως ἀποθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ' ἀλλήλων. καὶ ἰοκάστη ἡ μήτηρ ἀνεῖλεν ἑαυτὴν ἐπὶ τοῖς παισί. καὶ οἱ ἐπὶ θήβας στρατευσάμενοι ἀργεῖοι ἀπώλοντο. καὶ ἄταφος πολυνείκης πρόκειται. καὶ ὁ οἰδίπους τῆς πατρίδος ἐκβάλλεται. καὶ σὺν αὐτῷ ἡ θυγάτηρ ἀντιγόνη. ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον. καὶ πολλῶν γνωμῶν μεστόν τε καὶ καλῶν. Τὸ δρᾶμα ἐστὶ μὲν ταῖς κοιναῖς ὄψεσι καλόν. ἐπεὶ καὶ παραπληρωματικόν. ἥτε ἀπὸ τῶν τειχέων ἀντιγόνη θεωροῦσα μέρος οὐκ ἔστι δράματος. καὶ ὑπόσπονδος πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται. ὅ, τε ἐπὶ πᾶσι μετ' ᾠδῆς ἀδολέσχου φυγαδευόμενος ὁ οἰδίπους προσέρριπται διακενοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χρισμὸς δοθεὶς τῷ λαΐῳ.

Λάϊε λαβδακίδη παίδων γένος ὄλβιον αἰτεῖς.
Τέξεις μὲν φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ,
Παιδὸς ἑοῦ χείρεσσι λιπεῖν βίον· ὣς γὰρ ἔνευσε.
Ζεὺς κρονίδης πέλοπος στυγεραῖσι πιθήσας.
Οὗ φίλον ἥρπασας υἱόν· ὁ δ᾽ ηὔξατό σοι τάδε.

Τὸ τῆς σφιγγὸς αἴνιγμα ἀσκληπιάδης οὕτως ἀναγράφει.

Ἐστὶ δίπουν ἐπὶ γῆς καὶ τετράπουν οὗ μία φωνὴ
Καὶ τρίπουν· ἀλλάσσει δὲ φωνὴν μόνον ὅσ᾽ ἐπὶ γαῖαν
Ἑρπετὰ γίνονται· ἀνά τ᾽ αἰθέρα καὶ κατὰ πόντον.
Ἀλλ᾽ ὁπόταν πλειόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ
Ἔνθα μένος γυίοισιν ἀφαυρότερος πέλει αὐτοῦ.

Λύσις τοῦ αἰνίγματος.

Ἄνθρωπον κατέλεξας· ὃς ἡνίκα γαῖαν ἐφέρπει
Πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων.
Γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει
Αὐχένα φορτίζων γήραϊ καμπτόμενος.

Ὦ τὴν ἐν ἄστροις.

Ἡ εἴσθεσις τοῦ δράματος, ἐκ μονοστροφικῆς ἐστὶ περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ριβ. ὧν τελευταῖος τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθιστάναι. ἐπὶ τῷ τέλει ἡ κορωνίς. ταῦτα πάντα πρὸς τὸν ἥλιον ἀποτείνει ἰοκάστη δυσχεραίνουσα, διὰ τὰ συμβαίνοντα.

Τὴν ἐν ἄστροις.) ὡς ἔχουσιν οἱ τεχνικοὶ παρέχει τοὺς ἥρωας καὶ τὰς συμφορὰς ἀπολοφυρομένους. ὡς καὶ

ὦ

ἐν μηδείᾳ. ὥσθ' ἵμερός μ' ὑπῆλθε γῆ τε κοὐρανῷ λέξαι μολούσῃ δεῦρο ἐν τοῖς. ἄλλως. Παλαιότης φέρεται δ' ἔξω, ὡς σοφοκλῆς μὲν ἐπιτιμήσειεν εὐριπίδῃ ὅτι μὴ περιέταξε τούτους τοὺς δύο στίχους. ὁ δὲ εὐριπίδης ὅτι μὴ περιέταξεν ἐν ἠλέκτρᾳ ὁ σοφοκλῆς. ὦ τοῦ στρατηγήσαντος ἠλέκτρα ποτέ. Ὦ τὴν ἐν ἄστροις.) ἐπιδέδωκεν τοῦ οὐρανοῦ τὴν ὁδὸν τὴν παρὰ τοῖς ἄστροις. ἥ ἐστι τὴν παρὰ τοῖς οἴκοις τοῦ ζωδιακοῦ κύκλου. ὅτι δὲ ἄστρα φησὶ τοὺς οἴκους τοῦ ζωδιακοῦ κύκλου, σαφῶς εἴρηκεν. αὐτὸς ἐκάστην ἴσην μετεμβάσα, δύο πεντήκοντα οἴκους. ζῴδιον ἐν τῷ κύκλῳ ἐπικλάσουσιν. Ὡς δυστυχῆ.) ἀστιβῆ φησι τὴν ἀκτῖνα τοῦ ἡλίου δυστυχῆ καλοῦσι. πῶς δὲ ἀστιβῆ, ὅ ποτε καὶ νόσοις τισὶ τὴν ἡμέραν ἀποφαίνει πικράν. ἄλλως. οἱ κακοδαιμονοῦντες, καὶ τὰς πρὶν εὐδαιμονίας, ἀτυχίας νομίζουσι. τῇ παρούσῃ δυστυχίᾳ βαρυνόμενοι. Ὡς δυστυχῆ.) καὶ μὴν τότε εὐδαίμονες ἦσαν οἱ θηβαῖοι. διά τε τὸν ἁρμονικὸν γάμον ἐν ᾧ οἱ θεοὶ εἱστιάθησαν. καὶ τὴν διονύσου καὶ ἡρακλέους γένεσιν. ὅθεν δὲ ἤρξατο. ἐξ οὗ ἐπικρατεῖν λάϊος βιαιεῖται. τὰ τοιαῦτα δ' οὐ πρὸς τὸ ἀληθές, ἀλλ' ὡς οἱ λέγοντες πάθους ἔχουσιν. εἰώθασι δὲ ὁ εὐριπίδης πρὸς ἕτερα πρόσωπα πρεσβύτερα τὴν τῶν δυστυχημάτων αἰτίαν ἀναφέρειν. καὶ ἐν ὀρέστῃ ἡ ἑλένη φησίν. πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν

κῶν πάριν τεκοῦσα· καὶ ἐν ὀρέστῃ· σύ τοι φυτεύσασ' εὐ-
γατρί· ὦ γέρον κακὸν, ἀπώλεσάς με· κέχρηται τούτῳ
τῷ εἴδει καὶ ὅμηρος· ὃς καὶ ἀλεξάνδρῳ τεκτήνατο νῆας
ἐΐσας· καὶ εὔμαιος συμπαθῶς ἔχων πρὸς τὸν ὀδυσσέα
φησίν· ὡς ὄφελ' ἑλένης ἀπὸ φῦλον ὀλέσθαι· καίτοι τῶν ἀ-
δελφῶν αὐτῆς τῶν διοσκούρων ἤδη θεῶν ὄντων· καὶ πολ-
λὰ τοῖς ἀνθρώποις ἐπαρκούντων· ἔτι δέ τινες ἐγκαλοῦ-
σι τῷ εὐριπίδῃ ὡς οὐκ ἀκολούθως γενεαλογίσαντι· εἰ
μὲν γὰρ ἐξ ἀρχῆς ἐβούλετο τὰ πράγματα λέγειν, ἐ-
χρῆν τὴν ἐκ φοινίκης αἰτίαν τοῦ κάδμου κατὰ λεπτὸν
μετὰ τῆς αἰτίας διηγήσασθαι· εἰ δὲ ἐκ τῆς ὑπογύου ἀρ-
χῆς, ἔδει ἀπὸ τῶν λαΐου δυστυχημάτων ἄρξασθαι· πρὸς
οὓς ῥητέον, ὅτι εἰ μὲν ἄνωθεν ἤρξατο, μακρὸς ἂν ἦν ὁ λό-
γος· ἄλλως τε οὐκ ἔπρεπε θηβαίαν γυναῖκα ἀκριβῶς
τὰ ἐν φοινίκῃ ἐπίστασθαι· εἰ δ' ἀπὸ τῶν λαΐου δυστυχημά-
των, πολλὰς ἂν τῶν περὶ τὰς θήβας συμφορῶν παρέλι-
πεν· ἀκταίωνα μὲν γὰρ αἱ οἰκεῖαι κύνες διεσπάσαντο·
πενθέα τε τὸν υἱὸν ἀγαυῆς· σεμέλην τε ἐκεραύνωσεν
ὁ ζεύς· καὶ τῆς ἰνοῦς υἱὸν λέαρχον μὲν μανεὶς ὁ πατὴρ
ἀθάμας ἀπέκτεινε· μελικέρτης δὲ, μετὰ τῆς μητρὸς
ἔπεσεν εἰς τὴν θάλασσαν· οἱ νιόβης τε παῖδες, ἐτοξεύ-
θησαν· καὶ αὐτὴ λίθος ὁρᾶται δακρύων· Θοαῖς ἵπ-
ποισι·) λείπει ἡ σὺν· ἵν' ᾖ σὺν θοαῖς ἵπποισι· καὶ ὅμη-
ρος· αὐτῇσιν γαίῃ ἐρύσαιτο· καὶ ἐν βάκχαις· αὐτῇ-
σιν ἐλάταις· καὶ ἐν ἱππολύτῳ· αὐτῇσιν ἀρβύλῃσιν
ἁρμόσαι πόδα· καὶ ἔστιν ἀττικὴ ἡ συνήθεια· ἔδει δὲ
ἐκ τοῦ ἐπικρατοῦντος ἀρσενικῶς αὐτοὺς ὀνομάσαι·
τέσσαρες δέ εἰσι· χρόνος· αἰθὼ· ἀστραπή· βροντή·
ἔθος δὲ τοῖς ποιηταῖς θηλυκῶς λέγειν, τὰς ἵππους·
σώφρονι τὰν ἵππον· καὶ ἐν ἱππολύτῳ· αἰδ' ἐν δα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κοῖσαι στόμα· καὶ παρ' ὁμήρῳ· ὠκυφερὴς πεδίοιο ποδῶν κεινῶν ἔκφερον ἵπποι. Κάδμος ἦλθε.) λιβύης τῆς ἐπάφου καὶ ποσειδῶνος, ἀγήνωρ· καὶ βῆλος· ἀγήνορος· καὶ ἀντιόπης τῆς βήλου, κάδμος· κίλιξ· φοῖνιξ· φοίνικος καὶ τηλέφου τῆς ἐπιμεδούσης περσέως· ἀστυπάλη· εὐρώπη καὶ φοινίκη· ἔνιοι δὲ ἀντὶ ἁρμονίας ἠλέκτραν γῆμαι αὐτὸν φασί. Φοίνισσαν.) ἢ μὲν ἀπὸ πάσης τῆς φοινίκης ἀκουστέον, ἀντὶ τοῦ παραλίαν· ἀπὸ μιᾶς πόλεως, ἐκδεκτέον τὴν τύρον· νησιάζεται γὰρ ὡς καὶ ἑξῆς φησί· τύριον οἶδμα λιποῦσ' ἔβαν· ἀκροθίνια λοξίᾳ φοινίσσας ἀπὸ νάσου· τουτέστι τῆς φοινικῆς νήσου τύρου· καὶ κάδμος ἔμολε τάνδε γᾶν τύριος. ἄλλως. τὴν τύρον· νησιάζεται γὰρ ἡ φοινίκη. προληπτικὸς δὲ ὁ λόγος· οὔπω γὰρ ἐκαλεῖτο φοινίκη· ἀπὸ γὰρ τοῦ φοίνικος φησίν· ἦσαν γὰρ ἀγήνορος παῖδες· κίλιξ, ἀφ' οὗ ἡ κιλικία κικλήσκεται. φοῖνιξ· ὅθεν ἐπώνυμα ἡ χώρα φέρει· καὶ θάσος· τοῦτον οἱ ποιηταὶ πίνακον καλοῦσι· πολύδωρον δὲ, διὰ τὸ πολλὰ δῶρα εἰληφέναι τὴν μητέρα αὐτοῦ ἐπὶ τῇ γεννήσει αὐτοῦ. γενεαλογήσας δὲ ἕως λαΐου, ἐπανατρέχει κρέοντα καὶ ἰοκάστην. Γήμας κύπριδος.) δερκύλλος ἐν θηβαϊκοῖς τινὸς δράκοντος ἐπώνυμα. βασιλέως δὲ θηβαίων θυγατέρα τὴν ἁρμονίαν εἶναι φησίν· ὃν φονεύσας κάδμος ἔγημεν ἁρμονίαν. ἔφορος δὲ ἠλέκτρας τῆς ἄτλαντος αὐτὴν εἶναι λέγει· κάδμον δὲ παραπλέοντα τὴν σαμοθράκην, ἁρπάσαι αὐτήν· τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ὀνομάσαι τὰς ἠλέκτρας πύλας· καὶ νῦν ἔτι ἐν τῇ σαμοθράκῃ ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς. δημαγόρας δὲ ἀπὸ λιβύης ἐλθοῦσαν τὴν ἠλέκτραν οἰκῆσαι τὴν σαμοθράκην· ἔνθα συγγενομένην διῒ, τεκεῖν ἠμιθέαν· δάρδανον· ἁρμονίαν· τὸν δὲ κάδμον παραπλέοντα

μετὰ θάσου, ἐπὶ ζήτησιν τῆς ἀδελφῆς, μυηθῆναί τι· καὶ μυούμενον ἰδεῖν τὴν ἁρμονίαν· προνοίᾳ δὲ ἀθηνᾶς, ἁρπάσαι αὐτήν. ἀσφαλίζεται τὴν ὀνομασίαν τῆς ἡρωΐνης· ἐπεὶ οἱ παλαιότεροι ἐπικάστην καλοῦσιν· καὶ ὅμηρος· μητέρα δ' οἰδιπόδαο ἴδον καλὴν ἐπικάστην· ἔνιοι ἁρμονίαν τὴν ἠλέκτραν αὐτὸν οὐ τὴν ἄτλαντος λέγουσι γεγαμηκέναι. Γαμεῖ δὲ λάϊος.) ἐπιμενίδης εὐρύκλειαν τὴν ἔκφαντος φησὶν αὐτὸν γεγαμηκέναι· ἐξ ἧς εἶναι τὸν οἰδίποδα· οἱ δὲ, δύο τὸν λάϊον φασὶ γῆμαι γυναῖκας· εὐρύκλειαν· καὶ ἐπικάστην· καὶ τὸν οἰδίποδα δὲ φασὶν ἐπικάστην τε τὴν μητέρα γεγαμηκέναι· καὶ εὐρυγάνην· αἰγύπτιος δὲ φησὶν, ὡς ἐκ χρησμοῦ τοὺς παῖδας ἀκούσας ἀλληλοκτονῆσαι, ἐξέθηκε τὸν πολυνείκην· μήστωρ δὲ ἀμφοτέρους ἐκτεθῆναι. Παίδων ἄλοκα.) ἐμπεδοκλῆς ὁ φυσικὸς ἀλληγορῶν φησὶν, ἔχεις τοὺς λιμένας ἀφροδίτης· ἐν οἷς ἡ τῶν παίδων γένεσίς ἐστιν· εὐριπίδης δὲ ταυτὸ τοῦτο φάσκων, τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε· καὶ τοῖς ὀνόμασιν οἰκείως ἐχρήσατο τεχνικῶς τῆς μεταφορᾶς σπόρον, καὶ ἄλοκα λέγων. Ἄλλως· μεταφορικῶς, μὴ σπεῖρε τὴν ἄλοκα ἀπὸ τῆς ἀρουμένης γῆς. Ἡδονῇ δούς.) ἀντὶ τοῦ ἑαυτὸν δούς· καὶ πῶς προεγνωκυῖα τὸν χρησμὸν ἡ γυνὴ, οὐκ ἀπέτρεψε τῆς μίξεως τὸν λάϊον· ἢ οὖν ὕστερον εἶπεν αὐτῇ· ἢ εἶπε μὲν, ἡ δὲ ὑπώπτευε τὸ ῥηθὲν εἶναι ψεῦδος διὰ τὸν ἐρῶντα χρυσίππου. Λειμῶν' ἐς ἥρας.) ἢ ὅτι πᾶς λειμὼν, ἱερόν ἐστιν ἥρας, ἢ ὅτι κιθαιρώνια τῆς ἥρας ἐστὶν ἐν θήβαις ἱερόν· ὅσοι δὲ ἐγκαλοῦσιν ὡς ἐν ἱερῷ τόπῳ ἐκτεθέντος τοῦ παιδὸς, ἴσως ἂν ὅτι καὶ ἀθῆναι μὲν λέγονται ἱεραὶ τῆς ἀθηνᾶς· ὀλίγος δέ ἐστι τῆς ἀκροπόλεως ἐναγής τε καὶ ἱερὸς τόπος· καὶ λελωβημένον δὲ ὅμως ἀνείλοντο τὸ βρέφος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἴσως τῷ κάλλει νενικημένοι. καὶ τὴν ἴασιν δυμαρῆ νομί-
σαντες αὐτῶν ὑπὸ τῆς βασιλείας ἔσεσθαι. Δίδωσι
βουκόλοισι.) ἵνα ἀποθάνῃ. οὐ γὰρ ἤθελεν ἐκ τοῦ ἐμφα-
νοῦς ἀνελεῖν τὸ βρέφος, φεύγων τὸ μῖσος. Ἱπποβου-
κόλοι.) ἱπποφορβοί. τὸ δὲ βουκόλοι ἀπὸ τοῦ ἐπισήμου
ζώου. ὡς τὸ τρισχίλιαι ἵπποι ἕλος κατεβουκολέοντο.
τινὲς εἰς λάρνακα βληθέντα. καὶ εἰς θάλασσαν ῥιφέν-
τα τὸν παῖδα προσπελασθῆναι τῇ Κορίνθῳ φασί.
Τῶν ἐμῶν ὠδίνων πόνον.) ἀντὶ τοῦ τὸν πόνον τῶν ἐ-
μῶν ὠδίνων. ἔχει δέ τι τοῦτο παραλλάττον πρὸς τὸ ἐ-
μὸν αὐτοῦ πρᾶγμα. καὶ τὰ τοιαῦτα. ἐν μὲν γὰρ ἐκείνοις
δυοῖν ὄντων προσώπου καὶ πράγματος. εἶτα πρωτοτύ-
που ἀντωνυμίας κατὰ γενικὴν ὀφειλούσης κεῖσθαι ἀντὶ
τοῦ προσώπου διὰ τὴν προσοῦσαν ἑτέραν γενικὴν, κτη-
τικὴ τίθεται πρὸς τὸ πρᾶγμα ἀντωνυμία. ἐνταῦθα δὲ
τριῶν ὄντων. προσώπου. καὶ δυοῖν πραγμάτων, τῶν τε
ὠδίνων καὶ τοῦ πόνου, καὶ τῶν μὲν ὠδίνων τοῦ προσώ-
που οὐσῶν, τοῦ δὲ πόνου τῶν ὠδίνων, ὤφειλεν ἡ κτητι-
κὴ ἀντωνυμία ἀντὶ τῶν ὠδίνων κεῖσθαι. οὕτω γὰρ ἂν ἐ-
φαίνετο προδήλως. ὅτι αἱ μὲν ὠδῖνες εἰσὶ τοῦ προσώ-
που. ὁ δὲ πόνος τῶν ὠδίνων. νυνὶ δὲ ἀντὶ τοῦ πόνου κεῖ-
ται. καὶ συγχεῖ. καὶ δυσδιανόητον ποιεῖ τὸν λόγον.
Μαστοῖς ὑφεῖτο.) ὑπέβαλεν. εὐήθεις δέ φασιν, εἰ λελω-
βημένον ὑπεβάλλετο παιδίον. ὅπου γε καὶ ἐκτίθεμεν
τάχα ἐξ ἡμῶν πεπηρωμένα. καὶ τί θαυμαστὸν ὑποβάλ-
λεσθαι φοβουμένην μὲν ἐκπεσεῖν διὰ τὴν ἀπαιδίαν.
ἀποτρίψασθαι δὲ, τὴν τῆς ὑποβολῆς ὑποψίαν. διὰ τὴν
ὑποῦσαν συμφορὰν τῷ βρέφει. καὶ τὸ ἰαθήσεσθαι δὲ διὰ
τοῦτο, οὐκ ἀπέγνωκεν. Ἤ τινος.) ὅτι οὐκ εἴη παῖς πο-
λύβου γνήσιος. ἀλλὰ νόθος. ὁ μαθὼν παρά τινος τῶν ἡλι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κιωτῶν ὀνειδίσαντος ὅτι εἴη νόθος. ἔνιοι δὲ φασὶν εἰς πυθῶνα ἐληλυθέναι τὸν οἰδίποδα ἵνα τροφεῖα δῷ τῷ ἀπόλλωνι. Λάϊος θοὔμος.) ἤτοι τότε ὀνείρου ταράξαντος αὐτόν. ἢ ὅτε λοιπὸν ὑπώπτευσεν αὐτὴν τὴν ἡλικίαν τοῦ παιδὸς προκόπτειν. ἐβούλετο γὰρ ἢ τεθνεῶτα αὐτὸν ἀκούσας διάγειν ἀδεῶς. ἢ ζῶντα ἀκούσας, φυλάττειν ἑαυτόν. Μαστεύων δὲ ζητῶν. ὅθεν καὶ μαστὸς ὁ ἐπιζητούμενος παρὰ τῶν παίδων. Εἰς ταυτὸν.) εἰς ταυτὸν τῆς σχιστῆς ὁδοῦ τῆς φωκίδος συνάπτουσι τὸν πόδα. ἤτοι συντυγχάνουσι τὸν πόδα ἐπὶ τῆς σχιστῆς ὁδοῦ. οὕτως καλεῖται ἐν φωκίσιν. ἐπεὶ διασχίζει τὴν ἐπὶ βοιωτίαν. καὶ θήβας. καὶ ἀττικήν. καὶ κόρινθον ὁδόν. Καίνιν κελεύει.) καὶ ἐκέλευσεν αὐτὸν ὁ ἡνίοχος τοῦ λαΐου ὑποχωρεῖν τῷ βασιλεῖ ὤφειλεν εἰπεῖν. ὁ δὲ ἄλλως ἀρξάμενος, ἄλλως ἀποδίδωσι τὸν λόγον. ὥσπερ ἐκ μεταμελείας. Πῶλοι δέ νιν.) οἱ ἵπποι δὲ τοῦ λαΐου ἐξῄμασσον αὐτόν. ἤγουν τὸν οἰδίποδα τοῖς ἑαυτῶν ὄνυξι κατὰ τοὺς τένοντας τῶν ποδῶν. ὅμοιον τῷ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. Ἐν χηλαῖς) ἐν ταῖς χηλαῖς τοὺς τῶν ποδῶν τοῦ οἰδίποδος τένοντας ἐξῄμασσον. οὐχ ὑποχωροῦντος αὐτοῦ τῆς ὁδοῦ. Ὅθεν τί τἀκτὸς.) ὑποστικτέον εἰς τὸ ὅθεν. ἔμελλε γὰρ ἴσως τὴν λοιδορίαν. καὶ τὴν μάχην ἀμφοτέρων λέγειν. Τί τἀκτὸς.) ποῖα μοι χρὴ λέγειν τὰ ἔξω τῶν κακῶν. τὰς παρακολουθησάσας ὕβρεις. τοὺς διαπληκτισμοὺς οὐ λέγω. ἀλλ' αὐτὸ τὸ κακόν. ἐν συντόμῳ γὰρ παῖς πατέρα καίνει. Πῶς πατέρα καίνει.) ζητοῦσι πῶς εἰς τὸ μαντεῖον οὐκέτι ἀπῆλθεν ὁ οἰδίπους. φασὶ ὅτι οὐκ ᾤετο τὸν θεὸν εὐθέως χρήσειν αὐτῷ μιαρῷ γενομένῳ. πρὶν καθαρθῆναι. καὶ ἅμα ἵνα μὴ γνῷ ὅτι πατέρα ἔκτεινεν. εἵμαρτο γὰρ καὶ τὴν μητέρα γῆμαι. ὅτι δὲ πολύβῳ ἐδω-

κε τοὺς ἵππους, καὶ ἀντίμαχος φησὶν ἐν λύδῃ· εἶπε δὲ
φωνήσας πόλυβε θρεπτήρια τάδε· ἵππους τοι δώσω
δυσμενέων ἐλάσας. Ζητοῦσι δὲ πάλιν· πῶς οὐδὲ
μίαν ζήτησιν πεποίηνται θηβαῖοι, τεθνεῶτος αὐτοῖς τοῦ
βασιλέως· λεκτέον ὅτι εὐθὺς μὲν αὐτὸν οὐκ ἐπεζήτησαν
ἐν δελφοῖς εἶναι νομίζοντες· μετὰ ταῦτα τῶν ἵππων ἀ-
φανῶν γενομένων λῃστῶν ἐδόκει τοὔργον γεγονέναι.
Ἄλλως. Δεῖ νοεῖν ὅτι ὁ οἰδίπους φονεύσας τὸν λάϊον,
ὡς ἐναγὴς παραχρῆμα οὐκ ἦλθεν εἰς τὸ ἱερόν· οὐ γὰρ
ᾤετο χρῆσαι αὐτῷ τὸν θεόν· ὑποστρέψας δὲ εἰς κόρινθον
μετὰ τῶν ἵππων λαΐου, καὶ καθαρθεὶς τὸν φόνον· πάλιν
ἐπὶ τῷ γνῶναι τοὺς γονεῖς ἐπανῆκε πρὸς τὸν θεὸν λα-
βὼν δὲ χρησμὸν· ὅτι ἐπὶ φθορᾷ τοῦ πατρὸς ἐτέχθη· καὶ
συνουσίᾳ τῆς μητρὸς διέγνω κόρινθον φυγεῖν τὴν νομι-
ζομένην πατρίδα. γνοὺς δὲ τοῦ κρέοντος τὸ κήρυγμα,
ἐπὶ τὸν ἀγῶνα καθίησιν ἑαυτὸν τῆς σφιγγός· κινδύνῳ
τὴν εὐτυχίαν θηρώμενος. Ἐπεζάρει.) ζαρὸς ὀρνεόν
ἐστιν ἁρπακτικόν· τὴν δὲ σφίγγα οἱ μὲν ἔχειν πρόσω-
πον παρθένου· στῆθος δὲ καὶ πόδας λέοντος· πτερὰ δὲ ὄρ-
νιθος. σωκράτης δὲ ἐγχωρίαν αὐτήν φησι χρησμολό-
γον δύσγνωστα μαντευομένην· ἅπερ ἀγνοοῦντες οἱ θη-
βαῖοι· καὶ ἐναντίως αὐτοῖς χρώμενοι ἀπώλλοντο. ἀ-
σκληπιάδης δὲ λέγει τοὺς θηβαίους εἰς ἐκκλησίαν καθ'
ἑκάστην ἀθροίζεσθαι διὰ τὸ μυσάνιγμα τῆς σφιγγός,
λόγος γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρὶν
ἂν τοὺς τῆς σφιγγὸς λύσειαν χρησμούς. Ὡς δ' ἐπεζάρει.)
ἐπέκειτο κακοποιοῦσα. ἁρπασθῆναι δ' ὑπ' αὐτῆς φασὶ
αἵμονα τὸν κρέοντος παῖδα· τινὲς δέ φασιν ὅτι μία τῶν
σὺν αὐταῖς κάδμου θυγατέρων μανεισῶν, μετεβλήθη
εἰς τὸ ζῶον τὴν σφίγγα. Τἄμα κηρύσσει λέχη.)

ἀνόητου

ἀνόητον φασὶν εἶναι τὸν τῆς ἀδελφῆς γάμον τὸν τυχόντα καλεῖν· ἀγνοοῦσι δὲ ὅτι κατεπείγουσα συμφορὰ, καὶ παρὰ τὸ πρέπον τι πράττειν προτρέπεται· ἔπειτα καὶ ἄριστόν τινα ᾤετο τὸν ἐγχειρήσαντα τοῦ ἀγῶνος· κατὰ γὰρ πίνδαρον, ὁ μέγας δὲ κίνδυνος, ἄναλκιν οὐ φῶτα λαμβάνει. Γαμεῖ δὲ τὴν τεκοῦσαν.) φερεκύδης τὰ κατὰ τοὺς παῖδας οἰδίποδος, καὶ τὰς γεγαμημένας οὕτως ἱστορεῖ· οἰδίποδι φησὶ κρέων δίδωσι τὴν βασιλείαν, καὶ τὴν γυναῖκα λαΐου, μητέρα δ' αὐτοῦ ἰοκάστην· ἐξ ἧς γίνονται αὐτῷ φράστωρ καὶ λαόνυτος· οἳ θνήσκουσιν ὑπὸ μινυῶν καὶ ἐργίνου· ἐπεὶ δὲ ἐνιαυτὸς παρῆλθε, γαμεῖ ὁ οἰδίπους εὐρυγάνειαν τὴν περίφαντος· ἐξ ἧς γίνονται αὐτῷ, ἰοκάστη· ἀντιγόνη· ἰσμήνη· ἣν ἀναιρεῖ τυδεὺς ἐπὶ κρήνης· καὶ ἀπ' αὐτῆς ἡ κρήνη ἰσμήνη ἐκλήθη· υἱοὶ δὲ αὐτῷ ἐξ αὐτῆς, ἐτεοκλῆς καὶ πολυνείκης· ἐπεὶ δὲ εὐρυγάνεια ἐτελεύτησε, γαμεῖ ἀστυμέδουσαν τὴν σθενέλου· τινὲς δὲ εὐρυγάνειαν ἀδελφὴν λέγουσιν εἶναι ἰοκάστης τῆς μητρὸς οἰδίποδος. Μαθὼν δὲ.) γνοὺς δὲ τὰ ἐμὰ λέκτρα τὰ τῆς μητρὸς, ἀντὶ τοῦ ἐπιγνοὺς μητρὶ συγκοιμώμενος· τὸ δὲ μητρώων γάμων, περιφραστικῶς· ἀντὶ τῆς μητρός. Εἰς ὄμματ' αὐτοῦ.) ὅμοια καὶ ἑλλάνικος· ἐν δὲ τῷ οἰδίποδι, οἱ λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν· ἡμεῖς δὲ πολύβου παῖδ' ἐρείσαντες πέδῳ, ἐξομματοῦμεν, καὶ διόλλυμεν κόρας. πῶς δὲ φησὶν ἰοκάστη μετὰ τοσαῦτα δυστυχήματα ἔζη, ῥητέον ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλὸν μὲν ἀνδρὸς· ὀκνεῖ δὲ νῦν ἔχουσα ἴσως ἀεὶ γὰρ τοῖς παροῦσι δακρύοις, ἐμποιεῖ τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τῷ πάθει. Ἐπεὶ δὲ τέκνων.) ὅτι δὲ ἥβησαν οἱ παῖδες κλείθροις ἔκρυψαν τὸν πατέρα, ἵνα ἡ τύχη λήθη παραδοθῇ· καὶ πολλὰ δυσαπό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δίπλος οὖσα· καὶ πολλῆς δεομένης μηχανῆς εἰς τὸ λαβεῖν· Πολλῶν δεομένη.) ἤτοι ἡ πολλῆς δεόμενον μηχανῆς πρὸς τὸ λαβεῖν· ἢ πολλῶν παραινέσεων· καὶ πολλῆς παραμυθίας διὰ τὴν ὑπερβολὴν τοῦ πάθους· πρὸς δὲ τί ἥμαρτεν ὁ οἰδίπους ὅτι καὶ αὐτὸς τιμωρεῖται· φασὶ γὰρ ὅτι πέλοψ χρυσίππου ἁρπαγέντος, κατηράσατο μέχρι παίδων εἶναι τὸ κακόν· τινὲς δέ φασιν ὅτι λάϊος ἀνηρέθη ὑπὸ οἰδίποδος, ὅτι ἀμφότεροι ἤρων χρυσίππου· Τάδ᾽ εἰς φόβον.) ἠκότως εἰδήσαν πειραθέντες ὅσα λαΐῳ συνέβη διὰ τὰς πέλοπος ἀράς. Συμβάντ᾽) οὗτος ὁ τόπος εἰς ἀσυμφωνίαν ἄγει τὸ δρᾶμα· ἔδει γὰρ ἐξέλασιν ὑποθέσθαι τοῦ πολυνείκους· ἵνα διὰ τῆς ἑξῆς δεόντως λέγοι ποτὲ μὲν ἐπ᾽ ἦμαρ εἶχον· ἔτ᾽ οὐκ εἶχον· εἰ γὰρ ἀλλήλοις ὑπεχώρησαν ἐνιαυτὸν παρ᾽ ἐνιαυτὸν ἄρχειν, πάντως καὶ τὰ ἐπιτήδεια ἐπεφέρετο ὁ πολυνείκης· δεῖ οὖν εἰδέναι, ὅτι οὐ παρὰ πᾶσι συμφωνεῖ ἡ πολυνείκους εἰς ἄργος ἄφιξις· φερεκύδης γὰρ ἐκβεβλῆσθαι τὸν πολυνείκην φησὶ μετὰ βίας· ἑλλάνικος δὲ ἱστορεῖ κατὰ συνθήκας αὐτῷ συγχωρῆσαι τὴν βασιλείαν ἐτεοκλεῖ· λέγων αἵρεσιν αὐτῷ προτεῖναι τὸν ἐτεοκλῆ· εἰ βούλοιτο τὴν βασιλείαν ἔχειν· ἢ τὸ μέρος τῶν χρημάτων λαβεῖν· καὶ ἑτέραν πόλιν οἰκεῖν· τὸν δὲ λαβόντα τὸν ὅρμον· καὶ τὸν χιτῶνα ἁρμονίας, ἀναχωρῆσαι εἰς ἄργος· κρίναντος τοῦ μέρους τὴν βασιλείαν, οἰδίποδός που χωρῆσαι· ὧν τὸν μὲν ὅρμον, ἀφροδίτη· τὸν δὲ χιτῶνα ἀθηνᾶ ἐχαρίσατο· ὧ καὶ δέδωκε τῇ θυγατρὶ ἄδραστος ἀργεία· ὅθεν εὐριπίδης ταῖς δύο ἱστορίαις ἐχρήσατο· ἐνταῦθα μὲν τῇ φερεκύδου· ὕστερον δὲ τῇ ἑλλανίκου· ὁ μὲν εὐριπίδης τὸν ἐτεοκλέα· ὁ δὲ σοφοκλῆς τὸν πολυνείκην, μείζονα οἶδεν ἐν οἰδίποδι. Επεὶ δ᾽ ἐπὶ ζυγοῖς.) ἀντὶ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀντὶ τὴν βασιλείαν. μετενήνοχε δὲ ἀπὸ τῶν κυβερνητῶν. τοιοῦτον ἐστὶ καὶ τὸ παρ' ὁμήρῳ· ζεὺς δ' ὑψίζυγος. ἀντὶ γὰρ τοῦ ὑψίστου ζυγοῦ καθήμενος ὡς κυβερνήτης, πάντως φέρει τοὺς οἴακας. πτύχας δὲ, ἐὰν μὲν ἀπὸ τοῦ πτὺξ πτύχας. ἐὰν δὲ ἀπὸ τοῦ πτυχὴ, πτυχάς. Κῆδος.) ἀντὶ γαμβρία. λείπει δὲ ὁ καί. Ὑπόσπονδον.) μετὰ σπονδῶν καὶ φιλίας. Πρὶν ψαῦσαι.) πρὶν τὸν πόλεμον συγκροτηθῆναι. Ει σοφὸς πέφυκεν.) ἐπειδὴ τῶν δυσσεβῶν ἐπίσκοπος. Ω κλεινόν.) σύστημα προκαταρκτικὸν τῶν ἑξῆς ἀλλοιοστρόφων συστημάτων, στίχων ἰαμβικῶν τριμέτρων ιε. ἐπὶ τῷ τέλει παράγραφος.

Ομηρικῷ ζήλῳ ἀνάγει εὐριπίδης ἀντιγόνην ἰδεῖν τὸ στράτευμα. ὥσπερ ἐκεῖνος ἑλένην ἐποίησε. πλὴν ὅσον ἐκείνη μὲν τῷ πριάμῳ δεικνύει τὰ τοῦ στρατεύματος. ἀντιγόνῃ δὲ, ὁ παιδαγωγὸς διηγεῖται. Ω κλεινόν.) ὦ ἀντιγόνη ἔνδοξον τῷ πατρὶ βλάστημα ἐν τοῖς οἴκοις. ἐπεί σε ἡ μήτηρ κατέλιπε διὰ τὰς σὰς ἱκεσίας ἐκλιπεῖν τοὺς παρθενῶνας. καὶ ἀνελθεῖν δηλονότι εἰς τὸ ἔσχατον ὑπερῷον τῶν μελάθρων, ὥστε ἰδεῖν τὸ στράτευμα τὸ ἀργεῖον. ἐπίσχες σαυτήν. δηλονότι ἀνάμενον. ὡς ἂν προεξερευνήσω, καὶ ἴδω τὴν ὁδὸν, μήτις ἀπὸ τῶν πολιτῶν φαίνεται ἐν τῇ ὁδῷ. καὶ ἐμοὶ μὲν ἔλθοι καὶ καταλάβοι κακὸς ψόγος ὡς δούλῳ. σοὶ δὲ καθὰ ἀνάσσῃ καὶ κυρίᾳ, πάντα φράσω καὶ εἴπω. ἅτινα ἐθεασάμην καὶ ἤκουσα παρὰ τῶν ἀργείων. ὅτε ἦλθον φέρων τῷ σῷ ἀδελφῷ σπονδὰς ἐνθένδε ἀπὸ τούτου τοῦ τόπου ἐκεῖσε. παρ' ἐκείνου δὲ πάλιν ἐνταῦθα. ἀλλ' οὐδεὶς ἀπὸ τῶν πολιτῶν πλησιάζει ἐν τοῖς δόμοις. διέρχου δὲ διὰ τοῦ ποδὸς τὴν παλαιὰν κλίμακα τὴν ἀπὸ τοῦ κέδρου. καὶ σκόπει τὰ πεδία. καὶ τὰ ῥεύματα τοῦ ἰσμηνοῦ. καὶ τὸ νᾶμα τῆς δίρ

κης τῆς πηγῆς. ὅσον ὑπάρχει τὸ στράτευμα τῶν πολεμί
ων. Ω κλεινὸν οἴκοις.) ἡ τοῦ δράματος διάθεσις, ἐν
ταῦθα ἀγωνιστικωτέρα γίνεται. τὰ γὰρ τῆς ἰοκάστης πα
ρελκόμενά εἰσι. καὶ ἕνεκα τοῦ θεάτρου ἐκτέταται. ἡ δὲ
ἔξοδος τῆς παρθένου, εἰκών ἐστι τῆς ὁμηρικῆς τειχοσκο
πίας τῆς ἑλένης. ἐκ τοῦ ἐναντίου. ἐκεῖ γὰρ γυνὴ τῷ γέ
ροντι δείκνυσι. διδάσκει δὲ πρόοδον παρθένου γενέσθαι
κατ᾽ ἐπιτροπὴν μὲν μητρός. παιδαγωγίαν δὲ τροφέως
χρείας τε μὴ τῆς τυχούσης ἐπειγούσης τὴν ἔξοδον.
Αλλως. εὐδιοικὴς αὕ ἡ τῆς ἀντιγόνης ἔξοδος. καλῶς
δὲ τὴν βασιλικὴν παρθένον οὐ γυναῖκες φυλάττουσιν.
ἀλλ᾽ ὁ διὰ τὸ γῆρας σώφρων καὶ φρόνιμος. τοιγαροῦν οὐκ
ἀσκέπτως μετ᾽ αὐτῆς ἔξεισιν. ἀλλ᾽ ἐρημίαν παραφυλά
ξας. ἐνόμιζε γὰρ διὰ τὸν πάσης πόλεως κίνδυνον, δεῖν
τὴν τῆς κόρης μελέσθαι ποιεῖν εὐταξίαν. Διῆρες, ἔ
σχατον.) διῆρες τὸ διστεγὲς ὑπερῷον. ὡς μόνον, μονῆρες.
δύο διῆρες. ἀπὸ τοῦ δὶς καὶ δύο οὔσης τῆς ὀροφῆς. κα
ταχρηστικώτερον δὲ κἂν ὤροφον ᾖ κἂν πολύστεγον οὕτως
λέγεται. οἱ δὲ, διῆρες. καὶ δικρόν. καὶ ὕπαιθρον. Μή
τις πολιτῶν.) ταῦτα κατεμηχανῆσθαι φασὶ τὸν εὐρι
πίδην. ἵνα τὸν πρωταγωνιστὴν ἀπὸ τοῦ τῆς ἰοκάστης
προσώπου μετασκευάσῃ. διὸ οὐ συνεπιφαίνεται αὐτῷ
ἀντιγόνη. ἀλλ᾽ ὕστερον. οἰκονομικῶς δὲ ὁ ποιητὴς φησὶν
αὐτὸν ἀπεστάλθαι εἰς τὸ στρατόπεδον. ὅπως εὔλογον ἔχῃ
πρόφασιν τοῦ ἐπιγινώσκειν ἅπαντας. διὰ δὲ τοῦ κέ
δρου παλαιὰν κλίμακα, λεληθότως τὸν πλοῦτον τοῦ βα
σιλέως παρίστησιν. ὅπου γε κεδρίνην τὴν κλίμακα φη
σί. Δίρκης τε νᾶμα.) δίρκη. κρήνη θηβῶν. πλησίον
τοῦ ἰσμηνοῦ. ἀπὸ δίρκης ὀνομασθεῖσα. οἱ γὰρ περὶ ζῆθον
καὶ ἀμφίονα ἐκτεθέντες ὑπὸ τῆς μητρὸς ἀντιόπης. καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τραφέντες ἐν τοῖς βουκόλοις τῆς δίρκης, ἐβουκόλουν αὐτήν. ὕστερον δὲ παρέδωκεν αὐτοῖς τὴν ἀντιόπην ὑπὸ τῶν διὰ ταύρων διασπάσαι. οἱ δὲ, γνόντες αὐτὴν μητέρα αὐτῶν, αὐτῆς μὲν ἐφείσαντο. τὴν δὲ δίρκην ὑπὸ τῶν ταύρων διέσπασαν. καὶ ὁ τόπος ἔνθα ἐσύρη, δίρκη καλεῖται. καὶ ὁ τόπος. καὶ ὁ ποταμός. Ὄρεγε νῦν) τὰ τοιαῦτα ἤδη καλεῖται, ὡς εἴρηται ἀνομοιόστροφα κυρίως διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν. καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα, γ. τὸ α, παιωνικὸν τρίμετρον. βραχυκατάληκτον ἐκ παιώνων τετάρτων δύο. καὶ σπονδείου. τὸ β, ἀντισπαστικὸν δίμετρον. ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ διιάμβου. τὸ γ ἀναπαιστικὸν δίμετρον γλυκώνειον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. κατὰ περικοπὴν ἴαμβος. εἶτα παράγραφος. ὄρεγε καὶ πάρεχε ἀρτίως ἀπὸ τῶν κλιμάτων τὴν χεῖρα τὴν γεραιὰν, τῇ ἐμῇ νέᾳ χειρί. ἐπανατέλλων καὶ ἀναβιβάζων τὸ ἴχνος τοῦ ποδός. Ἰδοὺ) ὦ παρθένε ἰδοὺ σώαψον. ἐγκαίρως γὰρ ἐπορθύθης. κινούμενον γὰρ ὑπάρχει τὸ ἀργεῖον στράτευμα. χωρίζουσι δὲ καὶ ἀποχωροῦσιν ἀλλήλων τοὺς λόχους καὶ τὰ τάγματα. Ὄρεγε νῦν). πάρεχέ μοι τὴν χεῖρα ὁδηγόν. ἤγουν ὁδήγει με. ἢ ἀντὶ τοῦ ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμῇ τῇ νέᾳ. ἅμα προσαναβαίνων. ἐπαντέλλων γὰρ ἀντὶ τοῦ ἐπανάγων. ἡ μεταφορὰ ἀπὸ τοῦ ἡλίου. καὶ γὰρ οὗτος εἰς τὸ ὑψηλὸν τοῦ οὐρανοῦ ἀναβαίνει. Ἰὼ πότνια.) ἡ β ἀντιστροφή, κώλων ἐστὶ γ. τὸ α ἀντισπαστικὸν δίμετρον. ἀκατάληκτον. γλυκώνειον. ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου α. τὸ β ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ τροχαϊκὸν πενθημιμερές. τοῦ α ποδὸς χορείου. ἡ δὲ βουλή, παιωνικὸν ἡμιόλιον. ἐκ παίωνος δὲ καὶ σπον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δήου. ἐπὶ τῷ τέλει παράγραφος. Ἰὼ.) φησὶν ὦ θύγατερ τῆς λητοῦς σεβασμία σελήνη. ἅπαν γὰρ τὸ πεδίον ἀστράπτει κατάχαλκον. ἤτοι ἔνοπλον. οὐ γὰρ φαύλως καὶ ἀπρεπῶς ἦλθε καὶ κατέλαβεν ὁ πολυνείκης τὴν γῆν. ἀλλὰ βρέμων καὶ ἠχῶν ἐν πολλοῖς ἵπποις. καὶ μυρίοις ὅπλοις. Ἰὼ πότνια.) ἡ παρθένος τὴν ἄρτεμιν ἀνακαλεῖται. ἐπειδὴ τὸ πεδίον ἀστράπτον ἑώρα. τὸ δὲ τῆς σελήνης εἶδος, τοιοῦτον. εἰς γὰρ τὴν σελήνην ἀλληγορεῖται ἡ ἄρτεμις. διὰ τοῦτο ἐκπληττομένη, πρὸς τὴν ἄρτεμιν ποιεῖται τὸν λόγον. εἰ δέ τις εἴποι ὅτι καιρὸν εἶχε τὸ ταύτην ἐπιβοᾶσθαι ὡς πολεμικῆς, οὐδὲν βλάβος τῷ λόγῳ. Ἀστράπτει.) τῇ ὑπερβολῇ κατάπληξιν ἐμφαίνει. ὅλον λέγων ἀστράπτειν τὸ πεδίον. καίτοι ὀλίγον μέρος αὐτοῦ κατεῖχον οἱ πολέμιοι. οἰκείως δὲ τὸ ἀστράπτειν ἐνταῦθα. τοιαύτη γὰρ ἡ τοῦ χαλκοῦ φύσις. ὅταν τις ἐν ἡλίῳ κινήσειεν αὐτό. πῶς δὲ ἐνταῦθα φησὶ καὶ πάγχαλκον πεδίον. ἐν δὲ τοῖς ἑξῆς φησὶ λευκάσπιν εἰσορῶμεν ἀργείων στρατόν. ἀλλ' οὐ πάντες ἦσαν λευκάσπιδες. περὶ γοῦν τινος φησὶ πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονι κουφίζων. ἢ καὶ ἀπὸ τῶν ἄλλων ὅπλων καὶ πάγχαλκον φησὶ τὸ πεδίον θωρήκων τε καὶ κνημίδων. καὶ κρανῶν, Ἄρα πύλαι.) ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ δ΄. τὸ α΄ δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ σπονδείου. τὸ β΄ παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος α΄ καὶ δακτύλου. τὸ γ΄ προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου ἰωνικοῦ ἀπὸ μείζονος. καὶ κρητικοῦ. τὸ δ΄ δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει χοριαμβικὸν καθαρὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. Λαΐνεοις ἀμφίονος ὀργάνοις.) ἀντὶ τοῦ δ[illegible]οις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς μουσικοῖς γινομένοις. φασὶ γὰρ ὡς ἀμφίων οἰκο
δομησάμενος θήβας, ὅτι διετίθει τὸν τειχισμὸν, οὐ χερ
σὶν ἐχρῆτο πρὸς τοῦτο. οὐδὲ ἦσαν οἱ συναιρόμενοι αὐ
τῷ τῆς οἰκοδομίας. ἀλλὰ τῆς αὐτοῦ μουσικῆς ἐποιεῖτο
τὸ ἔργον, μέλος ἀνακρουόμενος. κἀντεῦθεν τοὺς λίθους
κινῶν καὶ κατασκευάζων τὰ τείχη. ἐγένετο δὲ τὸ τεῖ
χος ἑπτάπυλον. ὅσοι οἱ τῆς λύρας τόνοι. Ἆρα πύ
λαι.) ἆρα αἱ πύλαι καλῶς τοῖς κλήθροις ἡρμοσμέναι
εἰσί. καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσαι τοῖς λαϊνέοις
ἀμφίονος ὀργάνοις, ὅ ἐστι τῷ λαϊνέῳ τείχει. ὀργάνοις
δὲ τοῖς ἔργοις. ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ σοφο
κλῆς. ξουθοῦ μελίσσης κηρόπλαστον ὄργανον. ἀντὶ τοῦ
ἔργον. καὶ ἔμβολα. οἱ μὲν, τοὺς καθέτους. οἱ δὲ τοὺς στρο
φεῖς. Ἄλλως. χαλκόδετα ἔμβολα. τινὲς τοὺς στρο
φεῖς παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ τοῦ οὐδοῦ. χαλκό
δετα δὲ, ἐπεὶ χαλκῷ παρασφηκοῦνται, οἱ στροφεῖς. διὰ
τὸ μὴ προστριβόμενον ἐξασθενεῖν τὸ ξύλον. ἆρα οὖν φη
σὶν αἱ πύλαι καλῶς τοῖς κλήθροις ἡρμοσμέναι εἰσί. καὶ
οἱ στροφεῖς καλῶς συνηρμόσθησαν πρὸς τὸ λαΐνεον τεῖ
χος καὶ τὰς ὀπάς. ὅ ἐστι τὸ ἔργον τοῦ ἀμφίονος. οὐ θαρ
σήσασα δὲ τοῖς κλήθροις, καὶ περὶ τῶν στροφίων φησί.
μή ποτε καὶ τοὺς στροφεῖς τῶν θυρῶν ἀνακαλεῖν δυνή
σωνται οἱ ἀργεῖοι. μὴ συσχεθῇ ἡρμοσμένους. ἄλλοι ἔμ
βολα φασὶ τὰς καθέτους. τὰ νῦν καλούμενα πτερὰ ἅ
περ ἐστὶ τῇ κατασκευῇ τοιάδε. θύραν κατασκευάσαν
τες ἴσην κατά γε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τεί
χους. ἔξωθεν αὐτῆς χαλκοπέταλα, καθηλοῦσιν. ὡς ὁ
λόχαλκον τὴν θύραν νομίζεσθαι. ταύτην ἐπάνω τῆς θύ
ρας ἱστᾶσιν οὐχ ἑδραίαν. ἀλλ' ὥσπερ κρεμαμένην. τῶν
δὲ πυλῶν κλειομένων, καθιᾶσιν ἄνωθεν τὴν κεχαλκω



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένην θύραν. ἤ τις μέχρι τοῦ ἐδάφους φθάνουσα κα-
λύπτει τὴν θύραν. ὡς ἂν μηδὲ μίαν ἐπιβουλὴν γίνεσθαι.
ἰστέον ὅτι καὶ πυρὸς προσφερομένου ταῖς πύλαις ξυλί-
ναις οὔσαις. καὶ πολεμίων πολιορκούντων, τάς τε
πύλας ἔκλειον. καὶ τὰ ἔμβολα καθίεσαν. εἰρήνης δὲ οὔ-
σης διὰ τὸ τὰς πύλας δυσχέρειαν παρέχειν ἔν τε τῷ
κλείεσθαι καὶ ἀνοίγεσθαι, ταύτας μὲν εἴων ἀνεῳγμέ-
νας διαπαντός. ἐπιθύρας δ' ἤρκουν τῷ ἐμβόλῳ. διά
τινος μηχανήματος αὐτὸ καθιέντες, καὶ ἀνέλκοντες.
ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμ-
βάλλεσθαι ἔξωθεν τῶν πυλῶν. χαλκόδετον δὲ, διὰ τὸ
δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ. ὁ δὲ νοῦς. ἆρα αἱ πύ-
λαι τοῖς κλείθροις ἡρμοσμέναι εἰσί. καὶ τὰ χαλκόδετα
ἥρμοσται τοῖς ἀμφίονος λαϊνέοις τοῦ τείχους ὀργάνοις;
τουτέστι τοῖς ὑπὸ ἀμφίονος κατασκευασθεῖσι τείχεσι;
ὁ μὲν γὰρ κάδμος ἔκτισε τὰς θήβας. ἀμφίων δὲ καὶ
ζῆθος ἐτείχισαν. Θάρσει τά γ' ἔνδον.) ἐχυρῶς ἔχει,
τὰ ἔνδον γὰρ καὶ τὰ ἐντὸς ἀσφαλῶς καὶ βεβαίως ἔχει
ἡ πόλις. Ἀλλ' ἄστοχα.) βλέπε εἰ βούλει καὶ θέλεις γνῶναι
τὸν πρῶτον στρατηγόν. Τίς οὗτος.) τίς ἐστιν οὗτος,
ὁ λευκὴν φέρων κόρυθα. ὅστις ἔμπροσθεν προοδοποιεῖ
τοῦ στρατοῦ. κρατῶν ἀμφὶ τὸν βραχίονα ἀσπίδα πάγ-
χαλκον. Λοχαγός.) ταξίαρχος ὦ δέσποινα. τίς.
καὶ ἐκ ποίου τόπου γεγονώς. εἰπὲ ὦ γεραιὲ τίς καλεῖ-
ται κατὰ τὸ ὄνομα. Οὗτος ὀνομάζεται μυκηναῖ-
ος τὸ γένος ἱππομέδων βασιλεύς. Ὁ λευκο-
λόφας.) ὁ λαμπρὰν ἔχων τὴν κεφαλὴν.
Ος ἄγεται.) ὅς τις ἔμπροσθεν ἡγεῖται τοῦ στρατοπέ-
δου. ὁ λόχαλκον ἀσπίδα περὶ τὸν βραχίονα βαστάζων.
Λοχαγός.) ταξίαρχος. ἡγεμών. Μυκηναῖος.) οἱ.

νιῶ περὶ τὴν αὐτὴν μυκήνην καὶ ἄργος· φησὶν οὖν ὅτι μυκηναῖος ἐστίν· οἰκεῖ δὲ περὶ τὴν λέρνην· τὴν ἐν μυκήναις πηγήν. ὅ ἐστι τὴν ἐν ἄργει πηγήν. Λερναῖα.) ἀπὸ μέρους τὸ ἄργος. λέρνη γὰρ πόλις καὶ πηγὴ τοῦ ἄργους.

Ε ἕ ὡς γαῦρος.) Ἡ ε' ἀντιστροφὴ, κώλων ἐστὶ ε. τὸ α' ἰωνικὸν ἀπ' ἐλάττονος. δίμετρον ὑπερκατάληκτον. ἐξ ἰωνικοῦ β' καὶ συλλαβῆς. τὸ β', τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ', τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε', ἀναπαιστικὸν, δίμετρον ἀκατάληκτον. εἰ δὲ βούλει προσοδιακὸν τρίμετρον. βραχυκατάληκτον. ἐξ ἰωνικοῦ ἀπὸ μείζονος. καὶ χοριάμβου, καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος.

Ε ἕ ὡς γαῦρος.) ἐπηρμένος τῷ σώματι. καὶ διὰ τοῦ σχήματος ἐμφανίζων τὸ αὔθαδες τῆς ψυχῆς. Ἄλλως.

Τὸ ἑξῆς ὡς γαῦρος. ὡς φοβερὸς εἰσιδεῖν. ἀστερωπὸς ἐν γραφαῖσι. γίγαντι γηγενέτᾳ προσόμοιος. οὐχὶ πρόσφορος ἁμερίῳ γέννᾳ. Ἀστερωπός.) ἀστεροειδὴς τὸ σῶμα. καὶ τὴν ἐσθῆτα γραπτός. τοὺς γίγαντας πρὸς τὸ φοβερὸν αὐτῶν γράφουσιν. ἴσως οὖν καὶ αὐτὸς κατάστικτον ἔχει τὴν πανοπλίαν. τὸ δὲ ἑξῆς γραπτῷ γίγαντι παραπλήσιος. διὰ μέσου δὲ τὸ ἀστερωπὸς ἔθηκε. δηλῶσαι θέλων τὸ ὄμμα λαμπρὸν ἔχοντα ὁμοίως ἀστέρι.

Ἄλλως. Ἀστεροειδὴς καὶ ποικίλος ἐν ταῖς γραφαῖς τῆς ἀσπίδος. εἰσὶ γὰρ κατάστικτα ὅπλα. Πρόσφορος.) οὐχ ὅμοιος ἀνθρωπίνῃ γενεᾷ. ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει. Ἄλλος ἄλλος.) ἡ ς' ἀντιστροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν τετράμετρον. ἤτοι δίμοιρον ἔπους. τὰ γὰρ δίμοιρα τῶν ἕξ. τὸ β', ὅμοιον ἑφθημιμερές. τὸ γ' παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ δ' ἴαμβος τρίμετρος. ἐπὶ τῷ τέλει παράγραφος. Ἄλλος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλος.) θαυμαστὸς ὁ ἀναδιπλασιασμός. Ἀρηΐδ' αἰτωλόν.) ὡς ἔχοντος αὐτοῦ τῆς ἀσπίδος, τὸν περὶ τοῦ συὸς πόλεμον Καλλίμαχος. εἰμὶ τέρας καλυδῶνος. ἄγω δ' αἰτωλὸν ἀρηχ. τινὲς δὲ ἀρηΐ τὴν τῶν ὅπλων σκευήν. θέλει δὲ εἰπεῖν, ὅτι ἐγχωρίως καθώπλισαι, ὡς οἱ αἰτωλοί. τὸ δὲ στέρνον ἀντὶ τοῦ ὅλου σώματος εἶπεν. οἱ δὲ τὴν τῶν πολεμίων ἐπιθυμίαν. καὶ τὴν ἐπισήμην. ὡς περὶ αἰτωλῶν ἄριστα πολεμούντων. ὁμόγαμον δὲ ἀντὶ τοῦ σύμβιον. παρὰ τὸ ὁμοῦ καὶ ἐπίσης ἄνδρα τε καὶ γυναῖκα τῆς συνουσίας μετέχειν. ἔγημε γὰρ δηιπύλην. τυδεὺς δὲ ἀργείαν. Μιξοβάρβαρος, ἐν τέλει γὰρ τῆς εὐρώπης οἰκοῦντες αἰτωλοί, ἑλληνικῶν τε καὶ βαρβαρικῶν ἅπτονται φρονημάτων. ἢ ἐπεὶ δοκοῦσι βαρβαρικὸν φρόνημα ἔχειν. διὰ τοὺς κατ' ἀλλήλων πολέμους. καὶ ὅμηρος. κουρῆτές τ' ἐμάχοντο καὶ αἰτωλοὶ μενεχάρμαι. Σακεσφόροι γάρ.) ἴσως ὅτι ἐξηλλαγμένοι οἱ αἰτωλοὶ περὶ τὰς ὁπλίσεις. κατασίκτους αὐτὰς ἔχοντες. καὶ θάτερον καὶ τοῖς ὑποδήμασιν. ὥς τε τὸν δεξιὸν μὲν ὑποδεδέσθαι πόδα. γυμνὸν δὲ ἔχειν τὸν ἀριστερόν. καλῶς δὲ εἶπεν αὐτὸν μιξοβάρβαρον. ὅτι οἱ αἰτωλοὶ πάντες ὁπλίζονται. ἀκοντίζουσι δὲ ὡς βάρβαροι. ἴσως γὰρ τότε ἐν τοῖς θηβαϊκοῖς χρόνοις οἱ μὲν ἕλληνες ὅπλοις ἐχρήσαντο. οἱ δὲ βάρβαροι, ἀκοντίζειν ἠπίσταντο. ὕστερον δὲ καὶ τὸ ἀκοντίζειν ἕλληνες μεμαθήκασιν. Τίς οὗτος ἀμφὶ μνῆμα ζήθου.) ἡ ς΄ ἀντιστροφή, κώλων ἐστὶ ε΄. τὸ α΄ ἴαμβος τρίμετρος. τὸ β΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον εἰς δισύλλαβον. τὸ γ΄ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ΄ ὅμοιον. τὸ ε΄ ἰαμβικόν. δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάσσονος. ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ ἰάμβου. ἐπὶ τῷ τέλει πα-

ράγραφος. Ἀμφὶ μνῆμα ζήθου.) οὗτος ὁ ζῆθος ὡς εἴ-
φαμεν τειχιστὴς ὢν τῶν θηβῶν, μεγάλου καὶ ἐπισήμου
τάφου ἠξιώθη. Ἀμφὶ μνῆμα τοῦ ζήθου.) κοινὸς μὲν ἀμ-
φοῖν ὁ τάφος ζήθου καὶ ἀμφίονος. συλληπτικῶς δὲ εἶπε.
τινὲς δέ φασι τὸν ἀμφίονα. * Γοργὸς
τ' ἀσπίδην γοργῶδες ἀποβλέπων τοῖς ὄμμασι. καὶ ἅ-
μα καὶ τῶν βοστρύχων παραλίπων τοῖς ὀφθαλμοῖς τὸ
γοργονῶδες. Ἀμφέπει.) ἐπακολουθεῖ αὐτῷ ὄχλος
πολὺς ὁ ὀπισθόπους. τινὲς δὲ ἀπὸ κατάρας αὐτὸ δέχονται.
οἷον ἐσχάτῳ ποδί. καὶ μηκέτι ὑποστρέφοντι. ἵν' ᾖ ὡς ὄ-
χλος νῦν ἀμφέπει ἐπὶ ἀπωλείᾳ. Ἀταλάντης γόνος.)
αὕτη ἐστὶν ἡ ἰάσου μὲν παῖς. μελανίωνος δὲ γυνή. ἔστι
δὲ καὶ ἄλλη σχοινέως θυγάτηρ. ἱππομένους γυνή. βοιω-
τική. Ἀλλά νιν.) ἀλλ' αὐτὸν ἀπολέσειεν ἡ ἄρτεμις.
ἡ μετὰ τῆς μητρὸς αὐτοῦ κυνηγετοῦσα. εἰκότως δὲ τὴν
ἄρτεμιν κατ' αὐτοῦ ἐπικαλεῖται. ὡς θυμουμένην κατὰ
τῆς ἀταλάντης. ἐπεὶ πρότερον τὴν παρθενίαν ἠγάπα.
ὕστερον δὲ τῷ μελανίωνι γαμηθεῖσα, κατεφρόνησε τῆς
ἀρτέμιδος. αὕτη δέ ἐστιν ἡ καὶ μελεάγρῳ συγκυνηγετή-
σασα. διὸ καὶ εὐλαβοῦμαι, μὴ τοῦτο δίκαιον σκοπή-
σαντες οἱ θεοί, ἀπολέσωσιν ἡμᾶς. Ποῦ δ' ὃς ἐμοί.)
ἡ θ' αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' χοριαμβικὸν ἡμιό-
λιον ἐκ χοριαμβικοῦ, καὶ ἰάμβου. εἰ δὲ βούλει τροχαϊ-
κὸν πενθημιμερές. δακτύλου ἀρχομένου. εἰ δὲ βούλει
τροχαϊκόν. τὸ β' παιωνικὸν δίμετρον καταληκτικόν.
ἐκ παίωνος δευτέρου καὶ δακτύλου, ἢ κρητικοῦ διὰ τὴν
ἀδιάφορον. τὸ γ' ὅμοιον ἡμιόλιον. τὸ δ' ἴαμβος τρίμε-
τρος. ἐπὶ τῷ τέλει παράγραφος. Ποῦ δ' ὅς.) ποῦ ὑ-
πάρχει ὃς ἐγένετο ἐμοὶ ἐκ μιᾶς μητρός, ἐν πολυπόνῳ
καὶ πολυωδύνῳ μοίρᾳ καὶ τύχῃ. ὦ φίλτατε γεραιέ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέπου ἐστὶν ὁ πολυνείκης. Ποῦ δ' ὅς ἐμοὶ.) παρὰ τὸ ὁμηρικὸν. δύω δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν. δὶς δὲ παρέλαβε τὸ ποῦ. τὴν σπουδὴν τῆς κόρης παριστῶν. πολυπόνῳ δὲ μοίρᾳ. ἤτοι κακομοιρίᾳ. τῷ γὰρ ἐπιθέτῳ διέστειλε τὸ τῆς μοίρας ὂν τὸν μέσον. Νιόβης ἀδράστῳ.) εἰκότως τούτῳ παρίσταται. καὶ τοῦτον θεραπεύει. δι' οὗ τὴν ὡς τὴν πατρίδα κάθοδον προσεδόκα αὐτῷ γενέσθαι. Ἑπτὰ παρθένων.) ὁ ἀριστόδημος οὐδαμοῦ ἐν ταῖς θήβαις φησὶ τῶν νιοβιδῶν εἶναι τάφον ὅπερ ἐστὶν ἀληθές. ὡς αὐτοσχεδιάζειν οὖν ἔοικεν εὐριπίδης. περὶ δὲ τοῦ πλήθους τῶν νιοβιδῶν, αὐτὸς εὐριπίδης ἐν κλεοφόντι φησί. καὶ δὶς ἑπτὰ αὐτῆς τέκνα νιόβης θανόντα λοξίου τοξεύμασιν. ὁμοίως καὶ αἰσχύλος ἐν νιόβῃ. καὶ ἀριστοφάνης δὲ ἐν δράματι νιόβης ὁμοίως ζ΄ αὐτὰς λέγουσιν. εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας. τιμαγόρας δὲ ἐν τοῖς θηβαϊκοῖς φησὶν. ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ ἀμφίονα οἱ σπαρτοὶ, ἀνεῖλον αὐτοὺς λοχήσαντες. ἀπόντας εἰς ἐλευθέραν τὴν πατρικὴν οὐσίαν. τὴν δὲ νιόβην εἴασαν ζῆν διὰ πέλοπα. ἄλλοι δὲ ἄλλως ἱστοροῦσι περὶ αὐτῆς. ὁ μὲν γὰρ φερεκύδης φησὶν αὐτὴν ἔχειν παῖδας ς΄. ἀλαλκομενέα. φηρέα. εὔδωρον. λύσιππον. ξάνθον. ἀργεῖον. θυγατέρας δὲ ς΄. κίσυλην. κλυτίαν. μελίαν. ὤρην. λαμίππην. πηλοπίαν. ἑλλάνικος δὲ ἐν τῇ ἐπιγραφῇ ἀταλάντιδος, ἄρσενας δ΄ φησί. ἀρχήνορα. μενέστρατον.

* ἀρχαγόραν. θυγατέρας δὲ τρεῖς. ὠγυγίαν. ἀστυκράτειαν. ξάνθος δὲ ὁ λύδιος, δέκα. καὶ δέκα ἐκ φιλοξένου τοῦ ἀσσυρίου. ὃς ᾤκει ἐν σιπύλῳ. Ἡ γ΄ αὕτη στροφὴ ἑτέρως μέν ἐστιν ἐσχηματισμένη. ὡς ἄνω τεθέντος τοῦ προσώπου. κώλων δέ ἐστιν η΄. τὸ α΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ ὅμοιον. ἀκατάληκτον εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συλλάβων. τὸ γ̄ ὅμοιον πενθημιμερὲς ἐκ β̄ προκελευ-
σματικῶν. ἤτοι τριβραχέων. τὸ δ̄ ἰωνικὸν τρίμετρον
βραχυκατάληκτον ἐκ παίωνος τρίτου. ἀντὶ ἰωνικοῦ
τροχαϊκῆς συζυγίας. ἤτοι ἀπὸ τρίτου β̄ καὶ ἰάμβου. τὸ
ε̄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἐξ ἰάμβου καὶ ἀ-
ναπαίστου, καὶ δύο χορείων. εἰ δὲ βούλει ἰωνικόν. τρίμε-
τρον καταληκτικόν. ἐκ παιώνων β̄. καὶ ᾱ. ἀντὶ ἰωνικοῦ
ἀπὸ μείζονος καὶ χορείου. τὸ ς̄ τροχαϊκὸν τρίμετρον.
ὑπερκατάληκτον στησιχόρειον. τὸ ζ̄ ἀντισπαστικὸν τρί-
μετρον. βραχυκατάληκτον. ἐκ β̄ ἀντισπάστων καὶ ἰάμ-
βου. τὸ η̄ ὅμοιον ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.
Ἀνεμώκεος εἴθε) εἴθε δρόμον νεφέλας ἐξανύσαιμι πο-
δὶ δι' αἰθέρος. πρὸς ἐμὸν ὁμογενέτορα. φυγάδα μέ-
λεον. ποσὶ δ' ὠλένας βάλοιμι τῇ φίλῃ δέρῃ. διὰ χρόνου
γάρ. αὕτη δὲ ἡ σύνταξις ἐστίν. ἐὰν μὴ ἔγκειται τὸ ὡς ἴ-
δον. ἐὰν δὲ ἔγκειται τὸ ὡς ἴδον. οὕτω συντακτέον. χρό-
νῳ φυγάδα μέλεον ὡς ἴδω. Ἑῴοις ὁμοία.) ταῖς
ἑωθιναῖς βολαῖς τοῦ ἡλίου ἐοικώς. τὸν ὁμηρικὸν δὲ μενέ-
λαον μιμεῖται εὐριπίδης, ὑπόσπονδον πολυνείκην ἀ-
γων εἰς τὰς θήβας. ὡς ἐκεῖνος εἰς τὴν ἴλιον εἰσῆλθε κα-
ταθησόμενος τὸν πόλεμον. Σφάγι' αἱμ' αὐτῷ.) σφά-
για μὲν τὰ ἱερά. ῥοαὶ δὲ σπονδαί. ἢ οὕτως. ὧν τὸ αἷμα
τῆς γῆς ῥοαὶ γίνεται. ἢ ὧν τὸ αἷμα συμβαίνει παρὰ τὴν
γῆν ἐκχεῖσθαι. τὸ γὰρ φιλεῖν, καὶ ἐπὶ τοῦ συμβαίνειν τάτ-
τεται. Ἄλλως. Ἐπίθετον τῆς γῆς ἐπὶ τὰ σφάγια με-
τήγαγεν. οἱ δὲ γράφουσι γῆς φιλαιμάτου. οἱ δὲ τὸ τέ-
λειον φιλαιμάτοιο λέγουσιν. Ὦ λιπαροζώνου θυγά-
τερ.) ἡ ιᾱ αὕτη στροφή, ἑτέρως μὲν ἐστὶν ἐσχηματισμέ-
νη κατὰ τὸ τέλος. κώλων δὲ ἐστὶν ἕξ. τὸ ᾱ δακτυλικὸν
ἑφθημιμερές. τὸ β̄ χοριαμβικὸν δίμετρον. ἀκατάλη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κτον· ἐκ χοριάμβου καὶ ἐπιτρίτου α´· τὸ γ´ ὅμοιον καταληκτικόν· εἰ δὲ βούλει δακτυλικὸν· τρίμετρον ἀκατάληκτον εἰς δισυλλαβίαν· τὸ δ´ ὅμοιον ἐκ χοριάμβου· καὶ ἀμφιβραχέος· εἰ δὲ βούλει ἰαμβικὸν ἑφθημιμερὲς· τὸ ε´ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· εἰ δὲ βούλει ἰαμβικὸν πενθημιμερὲς, τοῦ β´ ποδὸς ἀναπαίστου· τὸ ς´ παιωνικὸν τρίμετρον καταληκτικόν· ἐκ παίωνος δ´ καὶ βραχέος· ἐπὶ τῷ τέλει παράγραφος. Θύγατερ ἀελίου·) ἡσίοδός φησιν ἀδελφὴν ἡλίου εἶναι τὴν σελήνην· θεία δ´ ἠέλιόν τε μέγαν· λαμπράν τε σελήνην· αἰσχύλος δὲ καὶ οἱ φυσικώτεροι θυγατέρα· παρόσον ἐκ τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει· ἀμέλει καὶ μετὰ τὰς ἡλιακὰς ἀποστάσεις μεταμορφοῦται ἡ σελήνη. Ἅρμα λευκὸν·) λευκὸν τὸ ἅρμα φησὶ διὰ τοὺς ἵππους· ἐκ γὰρ τῶν ἵππων τὸ ἅρμα λέγει· εἰκότως δὲ ἡ τύχη· καὶ σωφρόνως ἐλαύνει ὁ ἀμφιάραος· οἱ δὲ γὰρ ὡς μάντις τὰ ἀποβησόμενα. Λιπαροζώνου·) εὐπρεπεστάτου. Κέντρα·) μάστιγας. Ἰθύνει·) κυβερνᾷ. Ἐφυβρίζει·) μετὰ ὕβρεως ἀπειλεῖ τὰ χαλεπὰ τῇ πόλει. Προσβάσεις τεκμαίρεται·) τὰς πύλας σκέπτεται. Ὑπεράνορα·) μεγαλοφροσύνην· μεγαλορρημοσύνην· ἤγουν μεγαληγορίαν. Ἰὼ νέμεσις·) ἡ ιβ´ ἀντιστροφὴ κώλων ἐστὶ ιδ´· τὸ α´ ἰωνικὸν ἀπὸ μείζονος· δίμετρον· ἀκατάληκτον· ἐκ παίωνος β´ ἀντὶ ἰωνικοῦ· τὸ β´ ἰωνικὸν ἡμιόλιον· ἐκ παίωνος δ´· καὶ σπονδείου· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· τὸ γ´ ἀντισπαστικὸν· τρίμετρον βραχυκατάληκτον· ἐξ ἰαμβικῆς συζυγίας· ἤτοι διϊάμβου καὶ πυρριχίου· ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον· τὸ δ´ προσοδιακὸν δίμετρον· ἀκατάληκτον· ἐκ παίωνος β´, ἀντὶ ἰωνικοῦ καὶ χοριάμβου· τὸ ε´ ἀναπαιστικὸν

δίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου. τὸ ϛ΄, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου ἐπιτρίτου, καὶ τροχαϊκοῦ. τὸ ζ΄, ὅμοιον τῷ ϛ΄. τὸ η΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ὃ καλεῖται σαπφικὸν, ἢ ἱππωνάκτειον, ἐξ ἐπιτρίτου δ΄ καὶ τρίτου καὶ συλλαβῆς. τὸ θ΄ χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου α΄ χοριάμβου, καὶ ἀμφιβραχέως. τὸ ι΄ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου καὶ ἀναπαίστου. εἰ δὲ βούλει δακτυλικὸν πενθημιμερές. τὸ ια΄ χοριαμβικόν. τὸ ιβ΄, χοριαμβικὸν, ὅμοιον τῷ ζ΄. ἐκ δύο χοριάμβων ἢ ἐπιτρίτου, καὶ χοριάμβου, καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιγ΄, χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ διϊάμβου, διὰ τὴν ἀδιάφορον. τὸ ιδ΄ ὅμοιον ἡμιόλειον. εἰ δὲ βούλει δακτυλικὸν ὅμοιον τῷ ιβ΄. ἐπὶ τῷ τέλει δύο διπλαῖ. ἡ μὲν, ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ, κατὰ τὸ τέλος. δηλοῦσαι ὡς τέλος ἔχει τὰ ἀνομοιόστροφα. Ἰὼ νέμεσις.) φεῦ ὦ νέμεσις δίκη, καὶ διὸς μεγαλόηχοι βρονταί. καὶ φῶς κεραύνιον καυστικόν. σὺ κοιμίζεις καὶ ταπεινοῖς τὴν κενοδοξίαν τὴν ὑπεράνοχα καὶ ὑψηλήν. Ὁ δ' ἐστιν.) τὸ ἑξῆς. ὁ δ' ἐστὶν ὃς ἐπαγγέλλεται πολέμω δουλείαν περιβάλλων. αἰχμαλωτίδας γυναῖκας δώσειν μυκηναίσιν. λερναῖα τρίαινα τοῖς ποσειδῶνος καὶ ἀμυμώνης ὕδασι. διὰ γὰρ τὴν μίξιν τὴν ποσειδῶνος καὶ ἀμυμώνης, πολυΰδριον γέγονε τὸ ἄργος. τὸν ὁμηρικὸν δὲ ἕκτορα ἐμιμήσατο, φάσκοντα πρὸς ἀνδρομάχην. καί κεν ὕδωρ φορέοις μεσσηΐδος ἢ ὑπερείης. Ἄλλως. Τινὲς οὕτως. λαπειόχαι. καὶ εἰσὶ τὰ κτητικὰ ἀντὶ πρωτοτύπων. ἵν' ἡ ποσειδῶνος. καὶ ἀμυμώνης. Τρίαινα.) τρίαινα τόπος ἄργους, ἔνθα τὴν τρίαιναν ὀρθὴν ἔστησαν

ὁ Ποσειδῶν συγγινόμενος τῇ Ἀμυμώνῃ, καὶ εὐθὺς κατ'
ἐκεῖνο ὕδωρ ἀνέβλυσεν· ὃ καὶ τὴν ἐπίκλησιν ἔσχεν ἐξ Ἀμυ-
μώνης. ἦν δὲ καὶ ἑτέρα κρήνη Λέρνη. ἀμφότεραι δὲ τοῦ
Ἄργους εἰσίν. εἰπὼν οὖν τριαίνα, ἐπεξηγήσατο διὰ τοῦ
Ποσειδωνίοις Ἀμυμωνίοις. Σύστημα κατὰ περικοπὴν
ἀνομοιομερὲς ἐν ἐκθέσει στίχων ἰάμβων τριμέτρων
θ'. ἐπὶ τῷ τέλει κορωνίς· διὰ τὸ εἰσέρχεσθαι τὸν χορὸν· καὶ
ὑποχωρεῖν τοὺς ὑποκριτάς. Ὦ τέκνον εἴσβα δῶμα,
εἴσελθε εἰς τὸν οἶκον. Ὄχλος γὰρ ὡς.) ἐπεὶ γὰρ ταρ-
αγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, ὄχλος γυναικῶν χωρεῖ
εἰς τὰ βασίλεια. ἤγουν ὁ νοῦς. παραγενομένων τῶν Ἀρ-
γείων, καὶ πολεμούντων τοῖς Θηβαίοις, ὄχλος γυναικῶν
εἰς τὰ βασίλεια παραγέγονεν. λέγει δὲ τὰς τοῦ χο-
ροῦ γυναῖκας· αἵτινες νεωστὶ ἦσαν ἀπὸ Φοινίκης ἐληλυθυῖ-
αι. ἔνιοι δὲ στίζουσιν εἰς τὴν πόλιν. καὶ τὸ χώρει παρο-
ξύνουσι· καὶ οὕτως ἐξηγοῦνται· ὅτι γὰρ ὄχλος καὶ ταραγ-
μὸς εἰσῆλθεν εἰς τὴν πόλιν, χώρει πρὸς δόμους τυραν-
νικούς. καὶ μένε ὅπου αἱ γυναῖκες· φιλόψογον γὰρ χρῆ-
μα θηλειῶν ἔφυ. ἤγουν τὸ ὡς ἀντὶ τοῦ ὅτι. Τύριον οἶδ-
μα. δέον ἐκ Θηβαίων γυναικῶν συνιστάμενον τὸν χορὸν
Ἰοκάστην παραμυθεῖσθαι ἐπὶ τοῖς συμβᾶσιν, ἐπίτηδες
οὐκ ἐξ ἐγχωρίων. ἀλλ' ἐκ ξένων συνέστηκεν. ὅπως ἂν
δεόντως ἀντιλέγωσι τῇ Ἐτεοκλέους πλεονεξίᾳ. ὥσπερ ἔ-
μελλον τὸν βασιλέα ἐλέγχειν. εἴπερ ὑπ' αὐτοῦ ἐβασι-
λεύοντο. διὰ τοῦτο Φοίνισσαι εἰσὶν αἰχμαλωτίδες. Ἀγη-
νορίδων ἐκπεπορθηκότων Τύρον. καὶ τὰς ἐκκρίτους
αὐτῶν Ἀπόλλωνι πεπομφότων. ἃς καὶ ἀκροθίνια Εὐριπί-
δης λέγει Λοξίᾳ. ἀπερχόμεναι οὖν διὰ τῶν Θηβῶν ἐκεῖ-
σε, ἠναγκάσθησαν εἰς Θήβας ἐπιμεῖναι. διὰ τὸν ἐπιστάν-
τα πόλεμον τῶν Ἀργείων. Τύριον οἶδμα.) τὰ πα-

ρόντα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρόντα ἤδη ἑτέρως εἰσὶν ἐσχηματισμένα· τὰ μὲν γὰρ
εἰσὶ μονοστροφικὰ καὶ μερικὰ κατὰ σχέσιν ἄτακτα· καὶ
συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους·
εἰσὶ δὲ τὰ κατὰ σχέσιν μιᾶς στροφῆς· εἰσὶ γοῦν τῆς μο-
νοστρόφου στροφῆς τὰ κῶλα λϛ· τὸ α΄ ἀντισπαστικὸν δί-
μετρον ἀκατάληκτον· ἐξ ἀντισπάστου πεντασυλλάβου·
διαλελυμένης τῆς πρώτης μακρᾶς, εἰς β΄ βραχείας, καὶ
διιάμβου· εἰ δὲ βούλει ἰωνικὸν δίμετρον ὑπερκατάλη-
κτον· ἐκ παίωνος δ΄ καὶ γ΄· ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος·
καὶ συλλαβῆς· τὸ β΄ ἀναπαιστικὸν δίμετρον βραχυκα-
τάληκτον· εἰ δὲ βούλει περίοδος ἐκ τροχαϊκῆς καὶ ἰαμ-
βικῆς συζυγίας· τὸ γ΄ ἀντισπαστικὸν τρίμετρον· κατα-
ληκτικὸν· φερεκράτειον· ἐξ ἐπιτρίτου δ΄ καὶ βακχείου·
τὸ δ΄ ὅμοιον ἐκ δισπονδείου· καὶ βακχείου· τὸ ε΄, ἰωνικὸν
ἀπ᾽ ἐλάττονος· τρίμετρον· βραχυκατάληκτον ἐκ παίω-
νος δ΄ τρίτου, καὶ ἰάμβου· εἰ δὲ βούλει ἀναπαιστικὸν
ἑφθημιμερὲς ἐκ χορείου δακτύλου· τὸ ϛ΄ ἰωνικὸν δίμε-
τρον καταληκτικὸν, ἐκ διτροχαίου καὶ βακχείου· τὸ ζ΄
ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον· ἐκ παίω-
νος δ΄ καὶ γ΄· ἢ ἰωνικοῦ διὰ τὴν ἀδιάφορον· τὸ η΄ ὅμοιον·
τὸ θ΄ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον· τοῦ δ΄
ποδὸς χορείου· τὸ ι΄, ὅμοιον δίμετρον ἀκατάληκτον·
τοῦ β΄ ποδὸς ἰάμβου· τὸ ια΄, ἀντισπαστικὸν τρίμετρον
καταληκτικὸν· ἐκ διϊάμβου ἐπιτρίτου δ΄ καὶ ἀμφιβρά-
χεος· τὸ ιβ΄ ἰωνικὸν ἀπὸ μείζονος· δίμετρον ὑπερκατά-
ληκτον· ἐξ ἰωνικοῦ ἐπιτρίτου δ΄ καὶ συλλαβῆς· τὸ ιγ΄ ἀν-
τισπαστικὸν δίμετρον ἀκατάληκτον· ἐξ ἐπιτρίτου δ΄ καὶ
διϊάμβου· τὸ ιδ΄ ὅμοιον τῷ ιγ΄· τὸ ιε΄ ὅμοιον· ἐξ ἐπιτρί-
του γ΄· καὶ ἀναπαίστου· εἰ δὲ βούλει ἰαμβικὸν δίμετρον
βραχυκατάληκτον· τοῦ τρίτου ποδὸς ἀναπαίστου· τὸ

ιϛ ὅμοιον τῷ α· τὸ ιζ, ὅμοιον τῷ γ· τὸ ιη, δακτυλικὸν
τετράμετρον· ἤτοι δίμοιρον ἔπους· ἔστι δὲ ἀκέφαλον·
τὸ κ, ὅμοιον τῷ α· τὸ κα ὅμοιον κατὰ πάντα· τὸ κβ ὅ-
μοιον τῷ ιγ· τὸ κγ, ὅμοιον τῷ γ· τὸ κδ, ἀντισπαστικὸν
δίμετρον· ὑπερκατάληκτον· ἐξ ἐπιτρίτου α΄ καὶ διιάμ-
βου· καὶ συλλαβῆς· τὸ κε ὅμοιον τῷ γ· τὸ κϛ ὅμοιον
τῷ β· τὸ κζ προσοδιακὸν τρίμετρον βραχυ-
κατάληκτον· ἐξ ἐπιτρίτου δ΄· χοριάμβου καὶ σπον-
δείου· τὸ κη, χοριαμβικὸν μονόμετρον· ὑπερκατάλη-
κτον· ἐξ ἐπιτρίτου α· καὶ διϊάμβου καὶ συλλαβῆς· τὸ
κθ τροχαϊκὸν· δίμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, ἰω-
νικὸν· τρίμετρον ἀκατάληκτον· ἐξ ἐπιτρίτου δ΄ καὶ τρο-
χαίου· τὸ λ΄ ἰωνικὸν δίμετρον, ἀκατάληκτον· ἐκ παίω-
νος δ΄· ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος· καὶ διτροχαίου· τὸ
λα ὅμοιον· ἐκ σπονδείου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος κα-
τὰ συνίζησιν· τὸ λβ χοριαμβικὸν δίμετρον ἀκατά-
ληκτον· τοῦ β ποδὸς, πεντασυλλάβου διὰ τὴν ἀδιά-
φορον· τὸ λγ ὅμοιον τῷ λα· ἐξ ἐπιτρίτου α΄ καὶ ἰωνικοῦ
κατὰ συνίζησιν· τὸ λδ χοριαμβικὸν δίμετρον· ἀκα-
τάληκτον· ἐκ διϊάμβου· καὶ χορ άμβου διὰ τὴν ἀδιάφο-
ρον· τὸ λε, ὅμοιον τῷ ιη· τὸ δὲ λϛ, ἰωνικὸν ἀπὸ μείζο-
νος· ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ τροχαίου· εἰ δὲ βούλει, ἀνα-
παιστικὸν πενθημιμερές· ταῦτα ἐστὶ τῆς μονοστρόφου στρο-
φῆς τὰ κῶλα· τῆς δὲ κατὰ σχέσιν στροφῆς, ἐστὶν ια· καὶ τὰ
τῆς ἀντιστροφῆς, τοσαῦτα· ἐστὶ δὲ τὸ μὲν θ καὶ τὸ ια,
τροχαϊκὰ δίμετρα καταληκτικὰ· ἤτοι ἑφθημιμερῆ·
ἃ καλεῖται κυρίως εὐριπίδεια· ἢ λικύμνια· τὸ δὲ ι ὅμοι-
ον τροχαϊκὸν· τρίμετρον βραχυκατάληκτον· τὸ μέντοι
τῆς ἀντιστροφῆς ἐναντίου κώλου οὐ καλῶς ἔχον, διωρ-
θώθη παρ' ἡμῶν· καὶ ἔχει τὸν δ καὶ τὸν γ πόδα χορεῖ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θυς. ἐχρήσατο δὲ τῷ τροχαϊκῷ ἐνταῦθα μέτρῳ, διὰ τὸ τοὺς πολεμίους καὶ σφοδρῶς ἐπελθεῖν ὁρμαῖς. καὶ συνεχέσι δρόμοις τὰ ἐκ τῆς λῃΐζεσθαι. διὸ καὶ τὸ θούριος μολὼν ἄρης ἔφη. ἐπὶ ταῖς ἀποθέσεσι τῆς μονοστρόφου στροφῆς τῶν συστημάτων. καὶ ἐπὶ τῷ σʹ τῆς κατὰ σχέσιν στροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τῆς ἀντιστροφῆς, κορωνίς.

Τύριον οἶδμα.) τοῦτο τὸ μέλος στάσιμον λέγεται. ὅταν γὰρ ὁ χορὸς μετὰ τὴν πάροδον λέγει τι μέλος ἀνῆκον τῇ ὑποθέσει ἀκίνητος μένων, στάσιμον καλεῖται. πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ βαδίζοντος, ᾀδομένη ἅμα τῇ ἐξόδῳ. ὡς τὸ σῖγα λεπτὸν ἴχνος ἀρβύλης τίθετε. ἔνιοι δέ φασιν ἀπὸ συμπολιτίδων. ἢ συγγενίδων τῆς ἰοκάστης. αἵτινες ἔμελλον παραμυθήσασθαι αὐτὴν ἐπὶ τοῖς συμβᾶσιν. ἐπειδὴ οὐκ εἰσὶν ἐγχώριαι αἱ τοῦ χοροῦ. ἀλλὰ ξέναι. καὶ ἱερόδουλοι. ὅπως ἐν τοῖς ἑξῆς ἀδεῶς ἀντιλέγοιεν πρὸς τὴν ἐτεοκλέους ἀδικίαν. οὐκ οὖν λέγειν χρὴ μὴ ἐπὶ τοῖς ἔργοις καλῶς. ἀεὶ γὰρ ὁ χορὸς παρρησιαζόμενος, τοῦ δικαίου προΐσταται. πῶς οὖν ἔμελλον τὸν βασιλέα ἐλέγχειν, εἰ ἐβασιλεύοντο ὑπ᾽ αὐτοῦ. Φοινίσσας ἀπὸ νάσου.) οὐ νῆσος. ἀλλ᾽ ἤπειρος ἡ φοινίκη παράλιος. κατεχρήσατο τοίνυν τῇ φράσει. τινὲς δὲ φοινίσσας νήσου τῆς τύρου. νησιάζεται γάρ. οἱ ἀπὸ ἀγήνορος καταγόμενοι, συγγένειαν ἔχοντες πρὸς τοὺς περὶ ἐτεοκλέα, ἃς ἔλαβον αἰχμαλώτους τὴν τύρον ἑλόντες, ἀπέστειλαν αὐτῷ. ἵνα δι᾽ αὐτοῦ τοῦ ἐτεοκλέους εἰς δελφοὺς ἀποσταλῶσιν ἀναθήματα τῷ θεῷ. ἐπεὶ οὖν ἄδηλον ἦν πόθεν ἐληλύθεισαν, αὐτὰς πεποίηκε τὴν κατ᾽ αὐτὰς τύχην ἀπαγγέλλειν. Οἶδμα.) τὸ πέλαγος.

Ακροθίνια δὲ κυρίως μὲν αἱ τῶν καρπῶν ἀπαρχαί. παρὰ τὸν θῖνα ὅ ἐστιν τὸν σωρὸν τῆς ἅλω. καταχρηστικῶς

δὲ λέγονται καὶ ἀπαρχαὶ τῆς λείας. καὶ τὸ κατεναί-
εσθαι. ἀντὶ τοῦ κατανασθήσομαι. καὶ σιμωνίδης ἐν ἰάμ-
βοις. τί ταῦτα τῶν μακρῶν λόγων ἀνέδραμον. ἀν-
τὶ τοῦ ἀναδραμεῖν μέλλω. ἐγὼ δὲ οἶμαι οὕτως ἐστίν. ὅ-
που ἐνφοινίκη κατεπτάχθην οἰκῆσαι τὸν παρνασσόν.
Ἰν ὑπὸ) ὅπως ὑπὸ ταῖς ἐξοχαῖς ταῖς χιονιζομέναις τοῦ
παρνασσοῦ τεχθήσομαι οἰκῆσαι. Ἰόνιον κατὰ πόν-
τον.) διαποροῦσι πῶς λέγουσιν αἱ κατὰ τὸν χορὸν ἀπὸ
φοινίκης εἰς δελφοὺς πλεῦσαι κατὰ τὸν ἰόνιον πόντον.
καὶ σικελίαν γεγονέναι. καὶ ταῦτα ζεφύρου πνεύσαν-
τος. καὶ ἐναντιουμένου τῷ πλῷ. δεῖ οὖν τὸ ἑξῆς ἀκούειν.
τύριον οἶδμα λιποῦσα ἔβην ἐλάτα. λιπὸν τὴν αἰτίαν
τοῦ κώπαις αὐτὰς, καὶ μὴ οὐρίᾳ πεπλευκέναι, ἀποδι-
δόασι τῇ ζεφύρου πνοῇ. ὃς ἐκ τῶν δυτικῶν πνέων ἀντι-
βαίνει τοῖς ἀπὸ ἀνατολῆς ἐπὶ τὰ δυτικὰ πλέουσιν. ὅς ἐ-
στιν ἀπὸ συρίας εἰς ἑλλάδα. ἐλάτῃ τοίνυν ἔπλευσα τοῦ
ζεφύρου κατὰ τὸν οὐρανὸν πνεύσαντος καλλίστῳ κελα-
δήματι ὑπὲρ ἄνω τῶν ἰωνίων καὶ τῶν ἀκαρπίστων πε-
δίων ἅπερ εἰσὶ δυτικά. ἀκάρπιστα δὲ οἱ μὲν τὰ πολύ-
καρπα. οἱ δὲ τὰ θαλάσσια πεδία. ὅ ἐστι τὰ ἄκαρπα.
ὥς που καὶ ἀτρύγετον λέγεται. ἔνιοι δὲ ἰόνιον λέγουσι
τὸ κατ᾽ εὔβοιαν πέλαγος. τὸ περὶ ἰονίαν πόλιν εὐβοί-
ας. ἣν ἔκτισεν ἴων ὁ ξούθου. βασιλεύσας ἔτη κζ. Ἐπ.
ἐλάτα πλεύσασα τὸν ἰόνιον. κατὰ πόντον τοῦ ζεφύρου
πνεύσαντος. ὑπὲρ ἄνω τῶν ἀκαρπίστων πεδίων τῆς
σικελίας. σικελίαν δὲ φασὶν εἶναι μικρὰν νῆσον, με-
ταξὺ χαλκίδος καὶ αὐλίδος. ταύτην δὲ ἄκαρπον εἰρῆ-
σθαι. παραβαλλομένην τῇ μεγάλῃ νήσῳ. καὶ πολυκάρ-
πῳ σικελίᾳ. οἱ δὲ φασὶν αἰσχύλῳ αὐτὸν ἕπεσθαι οἰομέ-
νῳ πάντα τόπον ἰόνιον λέγεσθαι. ὃν ἀλωμένη ἐπῆλθεν

ἢ ἰγώ. ὅθεν καὶ ὡς ἐναντίου ἀνέμου πνέοντος τοῖς ἀπὸ φοινίκης πλέουσι κώπῃ πεπλευκέναι φασίν. ἢ καὶ πνεύσαντος ἤδη τοῦ ζεφύρου καὶ πεπαυμένου, ὅτε γαλήνιον ἦν τὸ πέλαγος ἐν ὥρᾳ ἐαρινῇ. ὁ δὲ κράτης φησὶν αὐτὰς δηλοῦν τὴν ὥραν καθ᾽ ἣν ἐκομίσθησαν εἰς τὴν ἑλλάδα. τὴν μετὰ ζεφύρου πνοάς. τοῦ φαινομένου κατὰ τὸν ἰόνιον κόλπον. Σημαίνει οὖν τὸν ἐαρινὸν καιρόν. οἱ δὲ λέγουσι τοὺς ἀπὸ συρίας εἰς τὴν ἑλλάδα εἰσβάλλοντας τὸν ἰόνιον πόντον περᾶν. Ἀκαρπίστων.) τῶν σφοδρῶς ῥεομένων καὶ χεομένων. ἀκάρπιστα δὲ πεδία τὴν θάλασσαν φησίν. ἐπεὶ ἱππεύειν αἱ νῆες δοκοῦσιν ὀχήματος τρόπον. οὕτω καὶ ἴων λέγει. ὅταν δὲ πόντου πεδίον αἰγαῖον δράμω. καὶ αἰσχύλος νηρεΐσι. δελφινοῤῥὸν πεδίον πόντου διαμειψάμεναι. Ἱππεύσαντος.) σφοδρῶς καταπνεύσαντος ἐξ ὕψους τὸ κάλλιστον ἑαυτοῦ πνεῦμα. καὶ ἐναντίου τῷ χορῷ γεγονότος. ὅτι ἡ δύσις ὁ ζέφυρος πνέων ὥρᾳ θέρους πρὸς εὐρωσίαν. ὅμηρος.

,, ἀλλ᾽ αἰεὶ ζεφύροιο λιγυπνείοντος ἀήτας.

,, ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους. τὸ φύσει οὖν κάλλιστον φησίν. οὐ τὸ ἑαυταῖς κάλλιστον. ἐναντίον γὰρ ἦν. Κλεινῶν ἀγηνοριδῶν.) τινὲς εἰς τὸ ἀγηνοριδῶν στίζουσι. τὸ δὲ ὁμογενεῖς, ἀντὶ τοῦ συγγενεῖς ἡμῖν. τῶν πρὸς τὰς ὁμογενεῖς τῶν ἀγηνοριδῶν πύργους λαΐου πεμφθεῖσα. ἀγήνορος δὲ παῖδες, κάδμος. θάσος. κηφεύς. κίλιξ. φοῖνιξ. εὐρώπη. φινεύς. τῶν λαΐου οὖν φησίν. ἀντὶ τοῦ τῶν πύργους τοῦ λαΐου πεμφθεῖσα. ὅ ἐστιν εἰς θήβας. τινὲς δὲ πύργους φασὶ λαΐου τὸν ἐτεοκλῆ καὶ πολυνείκη. ὁμογενεῖς δὲ τῶν φοινίκων. ἴσα δὲ ἀντὶ τοῦ ὁμοίως. καὶ ἴσως ἀγάλμασι χρυσέοισιν. ὥσπερ τι διὰ χρυσοῦ κατεσκευασμένον ἀνάθημα, οὕτως ἐπέμφθην. ἐκεῖνοι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μην δὲ, ἤτοι γενήσομαι· ἵν᾽ ᾖ ὡς τὸ κατενάσθην· ἡ λάτρις ἡ δούλη ὠνομάσθην καὶ ἐπεμήθην· ἤγουν πᾶσα τῷ θεῷ ἀφιέρωμαι· ἔπι δέ μοι ταῦτα περιλιμπάνεται ἁπλῆ· τὸ λούσασθαι ἐν τῇ κασταλίᾳ. Ἐπὶ δὲ κασταλίας.) λείπει οὖν φησιν ἐναπολούσασθαί με τῷ τῆς κασταλίας ὕδατι· καὶ διαβρέξαι τὴν ἐμαυτῆς κόμην· ἵνα ἁγνὴ γενομένη, οὕτω τοῖς θεοῖς λατρεύοιμι.

Κασταλία δὲ πηγὴ ἐν πυθίᾳ· εἰς ἣν λέγουσι τὰς ἱεροδούλους παρθένους λοῦεσθαι, μελλούσας θεοπρόπιον φθέγξασθαι ἐν τῷ τρίποδι. Παρθένιον δὲ χλιδὴν.) αὐτὴν τὴν κασταλίαν φησί· παρ᾽ ὅσον παρθένων μόνον ἐστὶ λουτρόν· ἢ τὰς κόμας· αἳ κάλλος καὶ τρυφή ἐστι τῶν παρθένων. Δικόρυφον σέλας.) δικόρυφον αὐτὸν εἶπεν, ἐπείπερ ἐν ἀμφοτέραις ταῖς ἄκραις τοῦ παρνασσοῦ εἰσὶν ἱερά· τὸ μὲν, ἀρτέμιδος, καὶ ἀπόλλωνος· τὸ δὲ διονύσου· ἐπεὶ τοίνυν ἐν ἑκατέρᾳ πῦρ ἀνάπτεται πρὸς τὰς θυσίας, τούτου χάριν καὶ τὸ πῦρ δικόρυφον εἶπεν· ἅτε δὴ ἐν ἑκατέρᾳ ἄκρα ἁπτόμενον· οὐκ ἀπὸ τῶν δύο δὲ κορυφῶν ἀναδίδοται αὐτόματον πῦρ· ἀλλ᾽ ἀπὸ ἑνὸς ἄκρου· δοκεῖ δὲ τοῖς κάτω ἐκ δύω ἀναδίδοσθαι, διὰ τὸν ἐπίπροσθεν σκόπελον· καὶ ὥσπερ ἐξ αὐτοῦ ἐπιμερίζεσθαι τὸ πῦρ ὑπὲρ ἄκρων· εἰς τὴν τοῦ διονύσου κορυφὴν, φασὶν εἶναι ἄμπελον· ἥτις καθ᾽ ἑκάστην ἡμέραν, ἕνα βότρυν ἔφερεν· ἐξ οὗ ἡ σπονδὴ τῷ διονύσῳ ἐγένετο· οἰνάνθη δὲ λέγεται ἡ πρώτη ἔκφυσις τῶν βοτρύων· οἰνάνθας οὖν βότρυν, τὸν οἰνάνθης βότρυν προκόπτοντα, οἴνη δὲ καλεῖται ἡ ἄμπελος· σοφοκλῆς δὲ ἐν θυέστῃ ἱστορεῖ, καὶ παρ᾽ εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῇ ἐν παρνασσῷ λέγων οὕτως·
„ ἔστι γάρ τις ἐν ἁλίᾳ εὐβοίας τῇ δὲ βακχεῖος βό-

,, τρυς ἐπ' ἦμαρ ἕρπει. πρῶτα μὲν λαμπρᾶς ἕω κεκλι-
,, μάτωται χῶρος εὐάνθης δέμας. εἶτ' ἦμαρ αὔξει μέ-
,, σον, ὀμφακοστρόπον. καὶ κλίνεται. κἀποπερκοῦ-
,, ται βότρυς. ἄλλη δὲ πᾶσα τέμνεται βλασουμένη ὀ-
πώρα καλῶς. κἀνακιρνᾶται ποτόν. Οἰνάνθα.) ὦ ἄμπελε ἥ τις τὸν πολύκαρπον βότρυν ἀποστάζεις. ἀπὸ τῆς οἰνάνθας αὐτὸν ἐκπέμπουσα. οἰνάνθη δὲ ἡ πρώτη ἔκφυσις τῆς σαφυλῆς. σκοπιὰς δὲ θεῶν φησὶ τὸν κατοπτευτήριον τόπον. οὕτω καλούμενον ἐν παρνασῷ. ὅθεν κατοπτεύσας ἀπόλλων, τὸν δέλφων κατετόξευσεν. Ἱερὸν ἑλίσσων.) τινὲς στίζουσιν εἰς τὸ ἱερόν. τὸ δὲ ἑλίσσων, ἀντὶ τοῦ περιχορεύων. περιττὸς ὁ τε. ἰὴ, γενοίμην χορὸς τῆς θεοῦ, ἑλίσσων ἐν ταῖς χορείαις τὸ ὄρος. οἱ δὲ στίζουσιν εἰς τὸ ὄρος ἱερὸν ἑλίσσων. ἰὴ καὶ σὺ ὦ ἄπολλον περιέπων τὸν παρνασόν.

Ἄφοβος.) οἱ γὰρ ἱερόδουλοι οὐδένα φοβοῦνται.

Γύαλα φοίβου.) τὰ κοιλώματα τοῦ ὄρους. τοιαῦται γὰρ αἱ φύσεις τῶν ὀρῶν ἐν ὕψει καὶ ἐν βάθει συγκειμένων. Νῦν δέ μοι.) ὁ δὲ ἀντὶ τοῦ γάρ. κατὰ ἀνάκλασιν δὲ ὁ πᾶς λόγος προῆκται. ἔχων οὕτως. τὸ παρνάσιον ὄρος λάμπον διπλῇ λαμπηδόνι. σύ τε ὦ αὐτόθι ἐκβλαστάνουσα ἄμπελε. θεῖαί τε ἄντρα τοῦ δράκοντος. οὔρειαί τε σκοπιαὶ θεῶν. σύ τε ὦ δέσποτα ἄπολλον. ὃς τὸ κατανιφόμενον ἄντρον ἀμφιέπεις, εἴθε χορεύσαιμί σοι, καὶ τῇ ἀρτέμιδι ἄφοβος τοῦ λοιποῦ γενομένου. νῦν γὰρ ἡμᾶς ὁ παρὼν πόλεμος ἐκφοβεῖ. καὶ δέδοικα μὴ καὶ δεύτερον αἰχμάλωτος γένωμαι. εἴθε οὖν φησὶ παρ' ὑμῖν γενοίμην, ἵνα ἀσφαλῶς τοῦ λοιποῦ διάξαιμι. Αἷμα δάϊον). πόλεμον ἀκμαῖον διεγείρει τῇδε τῇ πόλει. Φλέγει.) τὸ νέφος τῶν ἀ-

ποδῶν φλέγει· καὶ οἱονεὶ ἀστράπτει σχῆμα καὶ σημεῖον μάχης· οἰκεῖον δὲ τῇ συνεκφορᾷ τὸ ἀστράπτει. Ἂν ἄρης.) ἣν ὁ ἄρης γνώσεται· ὁ δὲ νοῦς· ἣν μάχην φέρων τοῖς πᾶσιν οἱ δ' ἵππους ταχέως πορευθήσεται· ἄμεινον δὲ τὸ ἥσεται ἀντὶ τοῦ ὁρμήσει. Καὶ τὸ θεόθεν.) τὸ δίκαιον· καὶ τὴν τοῦ θείου συμμαχίαν ἀεὶ τοῦ δικαίου προϊσαμένην· καὶ τοῖς δικαίοις ἐπαξίως συνευχομένην. Τὰ μὲν πυλωρῶν κλεῖθρα.) αἱ συστηματικαὶ αὗται περίοδοι εἰσὶν ἰαμβικῶν τριμέτρων λ̄· ὧν τελευταῖος, καλεῖ δὲ πολυνείκην θηβαίοις λεώς· ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστου συστήματος, παράγραφος. Τὰ μὲν πυλωρῶν.) τὰ μὲν πυλώματα τὰ ἐπιτετραμμένα τοῖς πυλωροῖς· διὰ δυσκολίας με ὑπεδέξαντο· ὅθεν καὶ διὰ τὸ δυσμαρῶς· καὶ δυσχερῶς με ὑποδέξασθαι τοὺς φύλακας, ὑποπτεύω μὴ δόλος ἐστίν. Οὐ μεθῶσιν.) οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν· καὶ φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων ὅτε διαλαμβάνει περὶ τοῦ φρῶ· ταύτην τὴν χρῆσιν. ὡπλισμένος δὲ τῷδε φασγάνῳ.) ἀνόητον τὴν χρῆσιν φασὶ τῷ ξίφει πιστεύειν· ταῖς σπονδαῖς δὲ μήπω· εἰ δὲ καὶ μόνος ὢν κρατῆσαι ἐδύνατο τῶν ἐπιβουλευόντων τοσούτων· ἀγνοοῦσι δὲ ὅτι οἱ μετὰ ἀνάγκης ἐπί τινα κίνδυνον ἐρχόμενοι, οὐχὶ ἐκ τῶν ἐνδεχομένων θηρᾶσθαι τὴν ἀσφάλειαν ἐθέλουσιν· ἀλλ' οἵαν παρὰ τοῦ καιροῦ λαμβάνουσι· καὶ οἱ ἐπ' ἐρημίας μετὰ ξιφιδίου πορεύονται· ἧττον μὲν ὡπλισμένοι τῶν ὑποπτευομένων θηρῶν· ἢ λῃστῶν· ἄμεινον δὲ τῶν ἀνόπλων· τοῦτο καὶ πολυνείκει συνέβη· ἀναγκασθεὶς γὰρ ἐπὶ διαλλαγὰς εἰς τὰς θήβας ἐλθεῖν, ἔρχεται μὲν ἵνα μὴ δόξῃ δύσερις εἶναι· δόλον δὲ ὑποπτεύων τὴν ἀσφάλειαν κατὰ τὸ δυνατὸν ἐπορίσατο· τ

πίστιν τοῦ θαῤῥεῖν ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαῤῥεῖν. Ὠὴ δὲ ἐπίφθεγμα ἀνακλήσεως. τὸν κτύπον οὖν φησὶν ἀποφατικῶς ὄντα. ἤγουν τὸν κενὸν ψόφον ὑφορώμεθα. Διοσπετείας.) διοσμαρείας. διοσχερείας. Οὐ μεθῶσιν.) οὐκ ἀφῶσιν ἄτρωτον. Βώμιοι.) ὥστε καταφυγεῖν ἐπ' αὐτοὺς εἰ δέοι. τοῦτο δὲ οὐ συνῳδὸν τὸ ὡπλισμένος δὲ χεῖρα τῷ δεξιᾷ φασγάνῳ. θρασύδειλον γὰρ τὸν Πολυνείκην παρίστησι. πρῶτον μὲν φάσκοντα ὡπλισμένον δὲ χεῖρα τῷ δεξιᾷ φασγάνῳ. τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι. νῦν δὲ τοὺς βωμοὺς πλησίον εἶναι φησίν. οἷς προσφυγὼν, νομίζει σωθῆναι καθάπερ ἱκέτης γενόμενος. Ἐσχάρα. δὲ κυρίως μὲν ὁ ὑπὸ τῆς γῆς βόθρος. ἔνθα σφαγιάζουσι τοῖς κάτω ἐρχομένοις. βωμὸς δὲ, ἐν ᾧ θύουσι τοῖς ἐπουρανίοις θεοῖς. νῦν οὖν βώμιοι ἐσχάραι, τὰ κοιλώματα τῶν βωμῶν. ἢ κατὰ περίφρασιν οἱ βωμοί. Κοὐκ ἐρῆμα δώματα.) τὰς ἀπὸ τοῦ χοροῦ ἑωρακὼς φησὶ τεθαῤῥηκέναι. ἀσθενοῦς δὲ φησὶ ψυχῆς τεκμήριον. τί γὰρ ἔμελλον αὐτῷ γυναῖκες συμβαλέσθαι πρὸς κίνδυνον. Ἐσκοτεινάς.) εἰς τὸν κουλεόν. ἢ ὑπὸ τὴν χλαῖναν. καὶ ἄμεινον ἵνα κεκαλυμμένον τὸ ξίφος ἔχῃ. καὶ πρὸς ἄμυναν ἕτοιμον. Δορός.) λαφυραγωγίας. Ἀκροθίνιον.) τῆς λείας ἀπαρχήν. Λοξίου τ' ἐπεσχάρας.) διαφέρει βωμὸς καὶ ἐσχάρα, βωμὸς γάρ ἐστιν ὁ εἰς ὕψος ᾠκοδομημένος. καὶ ἀνάβασιν ἔχων. ἐσχάρα δὲ ἡ ἐν τετραγώνῳ πρὸς γῆν βάσις βωμοῦ. τάξιν ἔχουσα ἀντὶ ἀναβάσεως. ἢ ἐσχάρα, κυρίως τὸ πῦρ. Μέλλοντος πέμπειν.) σολοικοφανές τοῦτό ἐστιν. ἔδει γὰρ εἰπεῖν μέλλοντος πέμπειν με εἰλίποδος. ἐν τῷ δ' ἐστράτευσαν ἀργεῖοι. ἢ οὕτως. μέλ-

λων δὲ πέμψειν ἰδεῖν τοὺς ἀργείους ὑποστρατεύσαντας, ἐν τοσούτῳ οἱ ἀργεῖοι ἐπὶ τὴν πόλιν ἐστράτευσαν. Επτάστομον.) ἑπτάπυλος ἡ θήβη κατεσκεύαστο· ὅτι πρὸς τὴν ἑπτάχορδον λύραν ἀμφίονος κιθαρίζοντος ἐτειχοδομήθη. Ω συγγένεια.) σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων καὶ κώλων ι· ὁ α καὶ ὁ β ἴαμβοι τρίμετροι· τὸ γ τροχαϊκὸν τρίμετρον ἀκατάληκτον· τοῦ α ποδὸς χορείου· τὸ δ ἰαμβικὸν τρίμετρον καταληκτικὸν· ἐκ διϊάμβου ἐπιτρίτου β τὸ ε καὶ ἕκτον, ἀντισπαστικὸν· δίμετρον ἀκατάληκτον· ἐκ β ἀντισπάστων· τοῦ α καθαροῦ· τοῦ β ἐξαβραχέος· τὸ ζ ἰαμβικὸν, δίμετρον βραχυκατάληκτον· τοῦ α ποδὸς χορείου· τὸ η ἀντισπαστικὸν δίμετρον· ὅμοιον τῷ ϛ· ἐξ ἀντισπάστου, καὶ διτροχαίου· τὸ θ ἐκ παίωνος γ καὶ ἰωνικοῦ· διὰ τὸ ἀδιάφορον· τὸ ι ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως· καὶ τροχαϊκῆς πενθημιμεροῦς ἐπὶ τῷ τέλει παράγραφος. Ω συγγένεια τῶν ἀγήνορος.) Ἰοῦς, ἔπαφος· οὗ λιβύη· ἧς ἀγήνωρ· οὗ βῆλος καὶ ἀγήνωρ· οὗ κάδμος· οὗ πολύδωρος· οὗ λάβδακος· οὗ λάϊος· οὗ οἰδίπους· οὗ ἐτεοκλῆς· καὶ πολυνείκης. Γονυπετεῖς.) ὡς τῶν φοινίκων διὰ γονυκλισίας τιμώντων τοὺς βασιλεῖς. Σέβουσα δὲ.) τιμῶσα· καὶ φυλάττουσα ἢ τιμῶσα κατὰ τὸν πάτριον νόμον· ἢ φυλάττουσα τὸ ἔθος τὸ ἐκ τῆς ἐρισκίας. Φοίνισσαν βοὰν.) τὰ τοιαῦτα εἴδη καλεῖται ὡς εἴρηται μονόστροφα· καὶ μετρικὰ ἄτακτα· καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους· ἔστιν οὖν ἡ παροῦσα στροφὴ, κώλων ιε· τὸ α ἴαμβος τρίμετρος ἀκατάληκτος· τὸ β ἰαμβικὸν ἑφθημιμερὲς· τὸ γ χοριαμβικὸν δίμετρον ἀκατάληκτον· ἐξ ἐπιτρίτου δ· καὶ

χοριάμβου. εἰ δὲ βούλει ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' ἰωνικὸν ἡμιόλιον ἐξ ἐπιτρίτου γ'. καὶ ἰωνικὸν ἡμίσεος. εἰ δὲ βούλει ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ ε' ἰαμβικὴ βάσις. τὸ ϛ' ἴαμβος τρίμετρος. ὅμοιος τῷ α'. τὸ ζ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. ἐκ διϊάμβου παίωνος δ'. ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος. καὶ συλλαβῆς. εἰ δὲ βούλει περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας. ἔχει δὲ ἡ τροχαϊκὴ συζυγία τὸν α' πόδα χορεῖον. τὸ η' τροχαϊκὸν ἑφθημιμερὲς εὐριπίδειον. ἢ ληκύθιον. τὸ θ' ἰωνικὸν ἑφθημιμερές. τὸ ι'. χοριαμβικὸν τρίμετρον. καταληκτικὸν, ἐκ διτροχαίου. χοριάμβου. καὶ βακχείου. εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάττονος. τὸ γὰρ κῦ καὶ βραχὺ παρ' ὁμήρῳ εὕρηται. τὸ ια'. ἰωνικὸν ἀπ' ἐλάττονος τρίμετρον βραχυκατάληκτον. ἐκ παίωνος γ' ἀντὶ ἰωνικοῦ ἐπιτρίτου γ' καὶ ἰάμβου. τὸ ιβ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιγ', ἰαμβικὸν τρίμετρον, ὅμοιον τῷ ια'. τὸ ιδ' καὶ ιε' ὅμοια τῷ β' ἰαμβικοῦ. τὸ ιϛ' τροχαϊκὸν ὅμοιον τῷ η' τοῦ α' ποδὸς χορείου. εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον. ἐξ ἀντισπάστου. καὶ ἐπιτρίτου γ'. ἢ καὶ ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ καὶ διϊάμβου. τὸ ιζ', ἰαμβικὸν. ὅμοιον τῷ β'. τὸ ιη', ἰωνικὸν. ὅμοιον τῷ ιϛ'. ἐκ παίωνος δ' καὶ διτροχαίου. τὸ ιθ', ἀντισπαστικὸν δίμετρον. ἀκατάληκτον. ἐξ ἀντισπάστου, καὶ ἐπιτρίτου γ'. τὸ κ', ἰαμβικὴ βάσις, ὅμοιον τῷ ε'. τὸ κα' ἀντισπαστικὸν. τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου ἐπιτρίτου πεντασυλλάβου. καὶ ἰάμβου διὰ τὸ ἀδιάφορον. εἰ δὲ βούλει καταληκτικόν. ἐξ ἀντισπάστου παίωνος α' καὶ δακτύλου. τὸ κβ' ἰωνικὸν τρίμετρον καταληκτικόν. ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπ' ἐλάττονος διϊάμβου· καὶ μολοσσοῦ· τὸ κγ· καὶ κδ, τροχαϊκὰ ἰθυφαλικά· τὸ κε, ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον· ἐκ παίωνος δ ἀντισπαστικοῦ· καὶ ἰάμβου· τὸ κϛ, ὅμοιον ἐξ ἀντισπάστου καὶ διϊάμβου· καὶ ἐπιτρίτου γ· τὸ κζ, ἀναπαιστικὸν· δίμετρον· ἀκατάληκτον εἰς δισύλλαβον· εἰ δὲ βούλει ἀντισπαστικὸν τρίμετρον· βραχυκατάληκτον· ἐξ ἀντισπάστου ἐπιτρίτου α καὶ τροχαίου· τὸ κη προσοδιακὸν· δίμετρον· ἀκατάληκτον· ἐκ παίωνος β· ἀντὶ ἰωνικοῦ· καὶ χοριάμβου· τὸ κθ, ἰωνικὸν δίμετρον ἀκατάληκτον· ἐκ παίωνος β ἀντὶ ἰωνικοῦ· καὶ διϊάμβου· τὸ λ, ἴαμβος τρίμετρος· τὸ λα ἀντισπαστικὸν δίμετρον· καταληκτικὸν· ἐξ ἀντισπάστου κρητικοῦ· ἤτοι ἀμφιμάκρου· τὸ λβ, τροχαϊκὸν δίμετρον, ἀκατάληκτον· ἴαμβον ἔχον τὸν δ πόδα· ἔοικε δὲ εἶναι καὶ τοῦτο στησιχόρειον· σὺν τῷ πινδαρικῷ ἔθει· τὸ λγ ἰωνικὸν δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ διτροχαίου καὶ κρητικοῦ· τὸ λδ ὅμοιον· τὸ λε ἰαμβικὸν ὅμοιον τῷ ιβ· τὸ λϛ, ὅμοιον· τὸ λζ ὅμοιον τῷ λα· τὸ λη, χοριαμβικὸν· δίμετρον· ἀκατάληκτον· καὶ χοριάμβου πεντασυλλάβου καὶ ἑτέρου καθαροῦ διὰ τὴν κοινήν· ἢ ἐπιτρίτου γ· τὸ λθ, ἰωνικὸν δίμετρον· ἀκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος· καὶ ἐπιτρίτου γ· τὸ μ, ἴαμβος τρίμετρος· ὅμοιος τῷ α· τὸ μα, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον· λείπεται γὰρ ὅλου ποδὸς, εἰς τὸ εἶναι τρίμετρον· τὸ μβ· τὸ μγ· καὶ τὸ μδ καὶ τὸ με ἰαμβικά· ὅμοια τῷ ιβ· τὸ μϛ ὅμοιον ἐφθημιμερές· τὸ μζ, ἀντισπαστικὸν τρίμετρον· βραχυκατάληκτον ἐξ ἀντισπάστου ἐπιτρίτου πεντασυλλάβου καὶ ἰάμβου· τὸ μη, παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ καὶ ἰάμβου· εἰ δὲ βούλει

τροχαϊκὸν πενθημιμερὲς· τοῦ α΄ ποδὸς χορείου. τὸ μθ΄, χοριαμβικὸν δίμετρον καταληκτικόν· ἐξ ἐπιτρίτου β΄· καὶ χοριάμβου πεντασυλλάβου. τὸ ν΄, ἀντισπαστικὸν τρίμετρον, ἀκατάληκτον. ἐκ παίωνος δ΄. ἀντισπάστου· καὶ ἐπιτρίτου πρώτου. εἰ δὲ βούλει ἰωνικὸν τρίμετρον καταληκτικόν· ἐκ διτροχαίου πεντασυλλάβου· ἰωνικοῦ ἀπὸ μείζονος καὶ μολοσσοῦ· τὸ να΄ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ νβ΄, τροχαϊκὸν ἑφθημιμερὲς· τοῦ α΄ ποδὸς, χορείου· ἤτοι τριβράχεος, τὸ νγ΄ ἀντισπαστικὸν· τρίμετρον· βραχυκατάληκτον· ἐξ ἐπιτρίτου α΄ ἐκ τρίτου ϛ΄ σπονδείου· τὸ νδ΄ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. ἐκ παίωνος β΄ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος· χοριάμβου καὶ συλλαβῆς· εἰ δὲ βούλει ἀναπαιστικὸν· ἑφθημιμερὲς, ἰάμβου ἀρχομένου· τὸ νε΄· δακτυλικὸν δίμετρον καταληκτικόν· τὸ νϛ΄ δακτυλικὸν ὅμοιον, τὸ νζ΄ ἀντισπαστικὸν ἀκατάληκτον· τὸ νη΄ ἰωνικὸν τρίμετρον. ἀκατάληκτον ἐκ παίωνος δ΄ β΄· καὶ διϊάμβου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῆς στροφῆς, κορωνίς. Φοίνισσαν ὦ νεανία·) εἰ γὰρ καὶ ἑλληνικῶς ἐλάλουν· ἀλλ' οὖν γε τὴν πάτριον ἀπήχησιν ἔσωζον τῆς φωνῆς· ὡς σοφοκλῆς ἐν ἑλένης ἀπαιτήσει· καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με, παρηγορεῖ λάκωνος ὀσμᾶσθαι λόγου. Ελκω ποδὸς βάσιν·) ἐπείγω μου τὴν βάσιν ὑπὸ τοῦ γήρως τρομεράν.

Αμφίβαλλε μαστὸν,) τὸν μαστὸν τῆς μητρὸς, περίβαλλε ταῖς σαῖς ὠλέναις. ὁ πᾶς νοῦς. περιπτυξάμενος ἀσπάσαι με, ἔστι τὸ ἀμφίβαλλε μαστὸν. ἀπὸ μέρους τὸ στῆθος τῆς μητρὸς ταῖς σαῖς χερσί· καὶ τὸ τῶν παρηΐδων σου ὄρεγμα· ἤγουν ἔκτασμα περίβαλέ μοι. Κυανοχρῶτα·) καὶ τὸν κυανοχρῶτα σου πλόκαμον, περί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βάλλε τῷ τραχήλῳ μου· καὶ κατασκίαζε τοῦτον τοῖς βοστρυχώδεσί σου πλοκάμοις· ἐκ κοινοῦ γὰρ τὸ ἀμφίβαλλε. ἢ γὰρ τὴν ἑαυτῆς πλόκαμον λέγει· ὅτι μικρὸν ὕστερον ἐξυρεῖσθαι αὐτὴν φησὶ διὰ τὸ πένθος. Παρηίδων τ' ὄρυγμα.) ἀντὶ τοῦ ἀγαπητικῶς περιπτυσσόμενος. Τί φῶ σε.) τί σοι εἴπω· πῶς προσφθέγξομαί σε· καὶ πῶς τὰ πάντα λάβω· τέρψιν παλαιὰν καὶ χαρμονήν· καὶ πολυέλικτον ἡδονήν· χερσί τε καὶ λόγοις ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα· ἀντὶ τοῦ περισκιρτῶσα πανταχῆ.

Πολυέλικτον δέ,) πολύπλεκτον· ποικίλην τὴν πανταχόθεν με ἔχουσαν ἡδονήν. Παλαιὰν λάβω.) παλαιῶν ἡδονῶν χαρμονήν. Ἔρημον πατρῴων.) σοῦ ἔρημον δηλονότι· τὴν γὰρ αὐτοῦ ἀπουσίαν, ἐρημίαν τοῦ παντὸς οἴκου οἴεται. Ἄπεπλος.) ἀνείμων λευκῶν ἱματίων ὑπάρχουσα, τὰ δυσόρφναια· καὶ σκότια τρύχη διαδέχομαι. Ἄλλως. Ἀντὶ τοῦ μελανοφόρος· καὶ στικτέον ἐν τῷ τέκνον. Ἀπήνας.) συζυγίας· ἐπεὶ Ἐτεοκλέα καὶ Πολυνείκην ἀπήναν εἶπεν· ἥτις ἐκ δύο βοῶν ἕλκεται. Ὑπὲρ τέραμνα.) καὶ εἰς τὰ μετέωρα τῆς ἀγχόνης· ἀπὸ κοινοῦ τὸ ἀνῆξεν. Ἄλλως. Καὶ ἐπὶ ἀγχόνας ὥρμησε μέν, καὶ κατὰ τοῦ ξίφους ὥρμησεν· καὶ ἐπὶ σφαγὴν ὁμοίως καὶ ἀγχόνης αὐτόχειρα. Στενάζων.) διὰ τὰς ἀρὰς· ἃς κατηρᾶτο μετὰ τῶν τέκνων· μετέγνω γὰρ ἐπὶ τῷ καταρᾶσθαι τοῖς παισί.

Σὲ δ' ὦ τέκνον.) σὲ δ' ὦ τέκνον ἀκούων ἐπὶ ξένης ζευχθῆναι· καὶ ξένοις συγγένειαν ἔχειν· καὶ ἄτην γάμων αὐθαίρετον· τουτέστιν ἣν αὐτὸς σαυτῷ ἐπηγάγου· ταῦτα δὲ ἀνεπίληστα ἐμοί· καὶ τῷ σῷ προγόνῳ Λαΐῳ, εἰ καὶ ἤδη τέθνηκε. Ξένοισιν ἐνδόμοις.) τὸ ἑξῆς· ξένον δὲ κῆδος ἀμφέπειν γάμων· ποῖον κῆδος τὴν ἄτην ἣν ἐπηγάγου

γου ἡμῖν. διὰ γὰρ τοῦ γάμου πολεμεῖς τὴν πατρίδα. τὰ δὲ ἑξῆς διὰ μέσου. ὡσεὶ ἔλεγε δυστυχήματα ἐμοῦ τε καὶ τῶν σῶν προγόνων. τὸ δὲ μὴ μετασχεῖν ὁμοφύλου γυναικὸς, ἐπεγάμβρευσε δὲ τῷ ἀργείῳ ὁ ἰσμηνός. μὴ μεταλαβὼν τῶν ὑμεναίων τῆς λουτροφόρου χλιδῆς. ὅ ἐστι μή τε ὑμεναίων ἀκούσας. μή τε λουτρά σοι ἐκπέμψας. ὁ ἰσμηνὸς δὲ οὐ συνήχθη ὑπὸ τῇ πρὸς τὸν ἄδραστον ἐπιγαμίᾳ. οὐ γὰρ ἐδέξατο τὰ παρ' αὐτοῦ λουτρά. Ἐγὼ δ' οὔτε σοι.) ἔθος ἦν τὴν νύμφην ὑπὸ τῆς μητρὸς τοῦ γαμοῦντος μετὰ λαμπάδος εἰσάγεσθαι. Ἐσιγάθη.) ἐσιωπήθησαν. γράφεται καὶ ἐσιγάθησαν. ἀντὶ τοῦ οὐκ ἀνυμνήθησαν. Ὄλοιτο τάδ' ἀπόλοιτο.) τὰ δὲ τὰ κακὰ. καὶ μεταβληθείησαν εἰς ἀγαθά. εἴ τις αὐτῶν ἐστὶν αἴτιος. λείπει γὰρ τὸ αὐτῶν. Ἄλλως. Ὄλοιτο τάδε. ἀντὶ τοῦ τῶνδε. ὡς τὸ διὰ τεύχεα. καὶ μέλαν αἷμα. ὡς οὖν τούτων αἴτιος. καὶ πρόξενος ἀπόλοιτο. ὅστις ποτὲ ἄρα ἐστί. Κατηκώμασε.) σφοδρῶς ἐπῆλθεν. τῶν κακῶν κάμων τὰ ἄχη εἰς ἐμὲ ἔσκηψαν. Δεινὸν γυναιξὶ τίμιον. ἢ μέγα κακόν. ἢ οὕτως. δεινὸν ἀντὶ τοῦ τίμιον. θαυμαστόν. ὁ δὲ νοῦς. αἱ γοναὶ αἱ ὀδύνης αἴτιαι, θαυμαστόν τι καὶ τίμιον παρὰ ταῖς γυναιξί. εὐήθει δὲ θαυμαστικῶς εἴρηται. ὅτι ταῖς γυναιξὶν αἱ ὀδύναι φίλτρον καθέστηκε. καὶ παρὰ πάσαις τὸ φιλότεκνον σώζεται. Ἄλλως. Αἱ διὰ ὠδίνων γοναί, καθότι πρὸ τοῦ τεκεῖν πολλὴν ταλαιπωρίαν παρέχουσιν. ὡς εἰ ἔλεγε καίτοι τῶν γονῶν ἐπωδύνων οὐσῶν, ὅμως φιλότεκνοί εἰσιν αἱ γυναῖκες. Πατρίδος ἔρως.) εἰ καὶ ἥμαρτον προπετευσάμενος. ὅμως συγγινώσκει μοι ὁ τῆς πατρίδος ἔρως. Μήτηρ φρονῶν.) φρονῶν μὲν, καθότι πεισθεὶς σοι ἦλθον. οὐ φρονῶν δὲ, καθότι κατὰ τῆς πατρίδος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡπλίσθην· καὶ πρὸς τοὺς ἐχθροὺς παραγέγονα· ὅθεν ὑπο-
φέρει, ἀλλ' ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας·
ἀπολογούμενος ὑπὲρ τῆς ἀφίξεως· Εἰς φόβον τ'.)
περιατὸς ὅ ἐστι· Ξιφήρη.) ξίφει ἡρμοσμένος τὴν χεῖρα·
τῇ δειλακεῖ σε περιφέρων· καὶ περιάγων· Χεῖρ' ἔχων.)
ὑποστικτέον ἐν τῷ ἔχων· Ἐνδίμ' ὠφελεῖ.) παρηγορεῖ·
θαρρεῖν ποιεῖ· Ὧν οὐ δικαίως.) ἀφ' ὧν διωχθεὶς ξένην
πόλιν οἰκῶ· Δι' ὄσσων.) τὴν ὀφθαλμῶν τὴν ὄψιν δα-
κρυρροοῦσαν ἔχων· ἔστι δὲ ποιητικὴ περίφρασις· τὸ αὐ-
τὸ γὰρ σημαίνει· ὡς τὸ ποδάνιπτρα ποδῶν· Ἀλλ' ἐκ γὰρ
ἄλγους.) ἀλλ' ἐκ τῆς παλαιᾶς δυστυχίας τῆς κατεχού-
σης με, ἕτερον ἄλγος ὁρῶ σε ἔχουσαν· Κάρα ξυρήκες
ἐξυρημένην τὴν κεφαλὴν, καὶ πέπλους μέλανας ἔχουσαν·
ξυρήκες δὲ ὡς ἀπηνὲς τῷ τόνῳ· Ἄλλως· Ὑπερβολι-
κῶς εἴρηκεν· ἐκέκαρτο γὰρ ὡς ἀνωτέρω εἶπεν· ὅθεν ἐ-
μὰν πολιόχροα κέκαρμαι χαίταν· οὐ ξυρῷ δέ· ἀλλ' ὡς
ἐν πένθει· Οἴμοι ἐγώ.) οἴμοι ἐγὼ, ἕνεκα τῶν ἐμῶν
κακῶν· Καὶ δυσλύτους ἔχουσα· τὰς διαλλα-
γάς.) ὁ στίχος οὗτος ἐν πισὶν οὐ φέρεται· Ὡς δεινόν.)
λίαν χαλεπὸν πρᾶγμ' ἐστὶ μῆτερ, ἔχθρα συγγενῶν· δυσ-
διορθώτους γὰρ ἔχει τὰς φιλιώσεις· ἀλλὰ τί μοι πράτ-
τει ἐν οἴκοις ὁ γέρων πατὴρ, ἐν σκότει διατρίβων· καὶ
τί δρῶσιν αἱ δύο ἀδελφαί· ἆρα λυποῦνται διὰ τὰς ὑ-
μὰς φυγάς; Οὕτω γὰρ.) οὕτως ὁ δαίμων ἤρξατο
φθείρειν τὸ γένος· οὕτω φησὶν ἐξ ἀρχῆς δυστυχῶ; ἀφοῦ
ἀνόμως ἔτεκον· ἀνόμως γὰρ καὶ ἀσεβῶς παρεσκεύα-
σέ με τεκεῖν· Ἀτὰρ τί.) κατὰ τί δὲ ταῦτα φημί
δηλονότι· οἰστέον τὰ τῶν θεῶν· Δέδοιχ' ἃ χρῄζω.)
δέδοικα φησὶ μήπως ἔρωμαι ἃ χρῄζω· καὶ δάκω σου
τὴν φρένα· ὅμως ἐπιθυμῶ σε ἐρέσθαι κἂν λυπῶσι·

τίς ὁ τρόπος·

τίς ὁ τρόπος.) τίς τρόπος τῆς δυστυχίας τῶν φυγάδων.
δηλονότι. Τὰς τῶν κρατούντων.) τοῦτο ὡς ἀθλιώτατόν
ὅς ἔφη ὁ ποιητής. καὶ μὴ φυγὰς ἤ τις, ὅμως φέρει τὰς
τῶν κρατούντων ἁμαρτίας καὶ μὴ θέλη. γράφουσι δὲ
τινὲς τὰς τῶν πολιτῶν. κρατοῦσι γὰρ οἱ πολῖται.
Ξυνασοφεῖν.) συνανοηταίνειν τοῖς ἀνοήτοις. Ἀλλ' εἰς
τὸ κέρδος.) οὐκ ἀξιόχρεως ἥρως ὁ λόγος. Αἱ δ' ἐλ-
πίδες.) αἱ ἐλπίδες. καὶ ἡ προσδοκία τοῦ ἐπιβήσεσθαι
τῆς πατρίδος. ἐντεῦθεν καὶ ἡ παροιμία. αἱ δ' ἐλπίδες
βόσκουσι τοὺς κενοὺς βροτούς. Καλοῖς.) ὄμμασι
καλοῖς ὁρῶσιν αἱ ἐλπίδες. ἀλλὰ βραδύνουσιν. Οὐδ'
ὁ χρόνος.) οὐδὲ ἡ πολλὴ παράτασις τοῦ χρόνου διασα-
φεῖ αὐτὰς οὔσας ματαίας. Ἔχουσιν ἀφροδίτην.)
τέρψιν τινὰ ἡδεῖαν ἔχουσι πρὸς τὰς συμφοράς.
Πόθεν.) ἀπὸ ποίου δὲ πόρου ἐτρέφου πρὸ τοῦ γάμου.
Ἐπ' ἦμαρ.) ἐν μιᾷ ἡμέρᾳ εἶχον τροφήν. ἐν ἄλλῃ δ' οὔ.
Εὖ πράσσε.) εὔχου εὐτυχεῖν. ἀνδρὸς γὰρ κακῶς πράσ-
σοντος ἐκποδὼν φίλοι. πῶς δὲ ταῦτά φησιν, ὅπου γε
ὑπὸ τῶν φίλων εἰς τὴν πατρίδα κατάγεται. ἢ τάχα
πρὸ γάμου ὑπὸ τῶν φίλων δυστυχῶν ἠγνοεῖτο. γήμας
δὲ καὶ τῆς δυστυχίας ἀπαλλαγείς, τότε πάλιν φίλους
ἔχει. πρὸ τοῦ τοίνυν ἐντυχεῖν τῷ ἀδράστῳ ταῦτα πα-
θεῖν φησί. Πῶς δ' ἦλθες.) πῶς εἰς τὸ ἄργος ἦλθες
καὶ οὐκ εἰς ἄλλην πόλιν. ἄτοπον δέ φασι τὸν ἄδραστον
πιστεύσαντα τῷ θεῷ, τοσαῦτα δυστυχῆσαι κατὰ τὰς θή-
βας. καὶ μόνον φυγάδα σωθῆναι ὑπὸ τοῦ ἰδίου ἵππου
ἀρίονος. πρὸς οὓς λεκτέον. ἐκδοῦναι προσέταξε τὰς θυ-
γατέρας ὁ θεός. ἀλλ' οὐχὶ καὶ στρατεῦσαι ταῖς θήβαις.
Χρησμ' ἀδράστῳ.) ὁ μὲν τὴν αἰτίαν τῆς εἰς ἄργος ἀφίξε-
ως ἐρωτᾷ. ὁ δὲ τὴν αἰτίαν τῆς αὐτόθι καταμονῆς. λέγ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γῃ. εἰ μὴ γὰρ διὰ τὸν χρησμὸν τοῦ γάμου παρέμενεν, ἴσως ἂν ἔωθεν παρῴδευσε τὸ ἄργος. ἀλλὰ φησὶ διὰ τὸ πεπρωμένον ἦλθον ἐπὶ τὸ ἄργος. ὁ γὰρ χρησμὸς ἐκεῖσε ἤγαγεν. Κάπρῳ.) ἔχρησεν ὁ θεὸς ἑνῶσαι τὰς θυγατέρας λέοντι καὶ κάπρῳ. Καὶ σοὶ τί.) καὶ κατὰ τί σοι τοῦ ὀνόματος τῶν θηρῶν ἦν μετουσία τέκνον. Οὐκ οἶδα.) τὸ εἱμαρμένον ἤγαγεν ἡμᾶς εἰς τοῦτο τῆς συντυχίας. καὶ οὐκ ἐκ προνοίας μοι ἀπέβη ὁ γάμος. ἀλλ' αὐτομάτως ἐκ τῆς τύχης. Ἄλλως. ὁ χρησμὸς ὑπὸ μνασίου οὕτως ἀναγέγραπται.

χρησμὸς δοθεὶς τῷ ἀδράστῳ.

„ κοῦρα δὲ γαμβροῖν ζεῦξον κάπρῳ ἠδὲ λέοντι.
„ οὕσκεν ἴδοις προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο.
„ ὑμετέρου στείχοντας. μὴ δὲ φρεσὶ σῇσι πλανηθῇς.

καὶ οἱ μὲν λέγουσιν ὡς ἀπὸ τῶν ἐπισήμων τῶν ἀσπίδων συνέβαλλεν ἄδραστος. ὁ μὲν γὰρ εἶχε τὴν καλυδώνιον σῦν. ὁ δὲ, τὴν λεοντοπρόσωπον σφίγγα. οἱ δ' ὡς κρύους γινομένου, ἀφίκοντο εἰς τὸ ἀπόλλωνος ἱερὸν. καὶ δορὰς εὑρόντες λέοντος καὶ συὸς ἀναθήματα κυνηγετῶν, ἐφιλονείκησαν τε. καὶ περὶ τῆς στάσεως εἰς κρίσιν ἀχθέντες τῷ βασιλεῖ, τῶν γάμων ἔτυχον. ἀπείκασε γὰρ τὸν μὲν, λέοντι. τὸν δὲ τυδέα κάπρῳ. ὃς ἔγημε δηϊπύλην. ὁ δὲ πολυνείκης, ἀργείαν. Τί θηρσὶ δ' ὑμᾶς.) κατὰ τί δὲ ὑμᾶς ὁ ἄδραστος ὡμοίωσε τοῖς θηρσί. Στρωμνῆς ἐς ἀλκήν.) διότι ἤλθομεν εἰς μάχην ἕνεκα στρωμνῆς. στρωμνῆς νῦν τοῦτό που τῆς κατοικήσεως. ὅτι θηριωδῶς ἐμαχεσάμεθα πρὸς ἀλλήλους. θηρσὶν ἡμᾶς εἴκασεν. ἔνιοι οὐ διὰ τοῦτο. ἀλλ' ὅτι ὁ μὲν, κάπρου. ὁ δὲ λέοντος δορὰν ἠμφίεστο. Αἰόλου, κρητεύς. οὗ ἀμυθάων. οὗ βίας. οὗ ταλαός. οὗ ἄδραστος. Ἐνταῦ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θαι.) σὺ τούτῳ ὁ τοῦ ταλαοῦ παῖς ἄδραστος ἔγνω τὰ μαντεύματα; ναὶ δηλονότι. καὶ ἔδωκεν ἡμῖν τοῖς δυσὶν τὰς δύο αὐτοῦ θυγατέρας. Σπέσθαι.) ἕπεσθαι. Πολλοὶ δὲ δαναῶν.) καθὸ κατὰ πατρίδος ἐστράτευσαν το. λυπρὰν φησὶ τὴν χάριν. ἀναγκαίαν. οὐκ ἐγχωρεῖ γὰρ ἄλλως γενέσθαι δίχα πολέμου. ἔμφρων δὲ καὶ ἐλεεινὸς ὁ λόγος. Τοῖς φιλτάτοις τοκεῦσι.) γράφεται καὶ ἑκοῦσιν. ἵν᾽ ᾖ τῷ ἀδελφῷ μου. ὁ γὰρ ἐτεοκλῆς ἑκὼν πορθεῖ τὴν βασιλείαν, διὰ τὸ μὴ ἀφίστασθαι τῆς βασιλείας. Εἰς σὲ τείνει.) εἰς σὲ ἀφορᾷ. Διαλλάξασαν.) φιλιώσασαν. Πάλαι μὲν ὑμνηθὲν.) πάλαι λαληθὲν. ἀλλ᾽ ὅμως ἐρῶ. παροιμιώδης δὲ ὁ στίχος. καὶ ὁ ῥήτωρ. δεῖ δὲ χρημάτων. Ἃ γὼ μεθήκω.) ἐφ᾽ ἃ χρήματα κἀγὼ ἥκω. Μῆτερ πάρειμι.) κάλλιστα πεποίηται τῷ τραγικῷ τὸ πρόσωπον οἷον δεῖ εἶναι ἄδικον ἄνδρα. γινώσκων γὰρ ὡς οὐδὲν δίκαιον ἔχει λέγειν, ἐπείγει τὴν κρίσιν. τὸν ἐκ τῆς δικαιολογίας κατὰ λεπτὸν γινόμενον ἔλεγχον ἐκφεύγων. Ἀρχέτω δέ τις.) οὗτος ὁ πολυνείκης Καὶ ξυνωρίδας.) παρατάξεις. ὁ δὲ καὶ, παρέλκει. Τάσσων.) στρατολογῶν. Ξυνωρίδας.) τοὺς ἱππέας τοῦ στρατοῦ ἐκ τῶν ἁρμάτων δηλοῖ ξυνωρίδας τὰ ἅρματα. λόχων δὲ στρατευμάτων. Ὅπως κλύοιμί σου. διὰ σὲ ὦ μῆτερ τὴν διακόσμησιν τοῦ στρατοῦ ἐπέσχον. ὅπως ἀκούσω πρότερον τὰς παρὰ σοῦ γινομένας κοινὰς ἡμῖν διαλύσεις. βραβείας γὰρ διαλύσεις ὅ ἐστι τοὺς μετὰ κρίσεως λόγους. Τόνδ᾽ εἰσεδέξω.) ἀντὶ τοῦ εἴσω ἐδέξω. ὡς εἴσιθι ἀντὶ τοῦ εἴσω ἴθι. τούτῳ δὲ ἐναντίον τὸ ἴλιον εἴσω. ἀντὶ τοῦ εἰς τὴν ἴλιον. ἐκεῖσε γὰρ ἀντὶ προθέσεως παραλαμβάνεται. Ἐπίσχες.) κατάπαυσον. καρτέρησον. αὖθι. ἡ μεταφορὰ ἀπὸ τῶν ἐλαυνόντων. σχάσαι γὰρ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ὑπάρχειν τῶν κωπῶν τὴν εἰρεσίαν. βραδεῖς δὲ μῦθοι οἱ μετ' ἐπισκέψεως. οἳ καὶ τὸ σοφὸν ἔχουσι. Στρέφε.) τρέπε. Εἰς γὰρ ταυτόν.) ἀπεναντίας. Ἐν δίκῃ λόγοις.) ἀπὸ κοινοῦ τὸ ἄμεινον. Σφῷν.) ὑμῖν. Σοφόν.) φρόνιμον. Ὅταν.) ὁπόταν τις φίλος θυμωθεὶς ἀνδρὶ φίλῳ, συνελθὼν ἐκείνῳ δηλονότι τὰ αὑτοῦ ὄμματα τοῖς ἐκείνου δώσῃ, ταῦτα μόνον πρέπει σκοπεῖν δι' ἅπερ ἦλθε. τῶν προτέρων δὲ κακῶν μὴ μνήμην ἔχειν. Σὸς πρόσθεν.) ἀντὶ τοῦ πρόπερος κινείσθω. Ὡς φής.) τοῦτο θεραπεύει τὸν Ἐτεοκλέα. Διαλλακτής.) ὀξυτόνως. παρὰ ῥῆμα γάρ. ὡς ποιητής. κολυμβητής. καὶ τὰ ὅμοια. Κοὐ ποικίλων.) γράφεται δεῖ τὰ ἄνδιχ' ἑρμηνευμάτων ἵν' ᾖ καὶ οὐ ποικίλης δεῖται ἔξωθεν ἀπολογίας ἡ ἀλήθεια ἔχει γὰρ αὐτὰ τὰ ἀληθῆ ἀφ' ἑαυτῶν τὸ εὔκαιρον. ἄνδιχα γὰρ ἀντὶ τοῦ ἔξωθεν. Ἄλλως. τὰ ἔνδικα ἀντὶ τοῦ τὰ δίκαια. τὸ δὲ χ διὰ τὴν δασεῖαν. Ἔχει γὰρ αὐτά.) τὰ δίκαια ἔχει ἰσχὺν. καὶ ἐγκαιριότητα. Νοσῶν ἐν αὑτῷ.) ἐν ἑαυτῷ κακῶς ἔχων, συνηγόρων δεῖται. θεραπειῶν πεπαιδευμένων. καιρὸν δὲ, ἰσχὺν. εὐκαιρίαν. εὐστοχίαν. Προὐσκεψάμην.) ἐγὼ φησὶ προνοησάμενος τῆς πατρικῆς οὐσίας. καὶ βουλόμενος ἐμέ τε καὶ τοῦτον ἐκφυγεῖν τὰς Οἰδίποδος ἀρὰς, ἐξῆλθον ἀπὸ τούτων τῶν ὅρων τῆς γῆς. Ἄλλως. ἐγὼ δὲ προνοησάμενος τὸ ἐμὸν καὶ τὸ τούτου συμφέρον, χρῄζων τὰς ἀρὰς τοῦ πατρὸς ἐκφυγεῖν, ἃς ἐφθέγξατο, ἐξῆλθον ἔξω τῆς ἐμῆς πατρίδος. Λαβών.) Ἀττικὴ ἡ σύνταξις. λαβὼν ἀντὶ τοῦ λαβόντα. αὐτὸν ἐμὲ λαβόντα. ὡς τὸ τὴν τ' ἐρωμένην ἔχων. καὶ νῦν ἕτοιμός εἰμι τὸν μὲν στρατὸν ἀποστεῖλαι. οἰκεῖν δὲ κατὰ διαδοχὴν τὸν ἐμὸν οἶκον λαβόντα. Ὁ δ' αἰνέσας.) συγκατατεθεὶς. συνθέμενος. Πηκτῶν κλι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μάκων.) διὰ πεπηγμένων κλιμάκων ἀναβάσεις.
Α μὴ κυρήσας.) ἄν τινα ἀπότευξιν ποιήσωμαι πράξεων, μὴ ἐπιτυχὼν τοῦ δικαίου. ἢ ἄλλως. καὶ λείπει ἡ εἰς. εἰς ἃ μὴ κυρήσας, πειράσομαι δρᾶν τὰ ἀπὸ τῆς δίκης. ἐπιβοῶμαι δὲ μάρτυρας τούτων τοὺς θεοὺς ὅτι πάντα πράττων μετὰ δικαιοσύνης, ἀπαλλοτριοῦμαι τῆς πατρίδος ἀδικώτατα. Οὐχὶ περιπλοκάς.) ταῦτα εἴκαστα εἶπον. οὐ συστροφὰς συνάξας λόγων. ἀλλ' ἃ καὶ λογίοις καὶ ἀτέχνοις ὑπάρχειν δίκαια φαίνεται. Ἄλλως. αὐθέκαστα τὰ κεφάλαια καὶ τὰ ἀναγκαιότατα τῶν λόγων μου ταῦτά ἐστι. Ἐμοὶ μέν.) εἰ καὶ μὴ κατὰ γνώμην τῶν ἑλλήνων ἀνετράφημεν, ὅμως συνετά μοι δοκεῖς λέγειν. ἵνα πλεονάζῃ ὁ μέν. καὶ μία ἀντωνυμία. Εἰ πᾶσι.) εἰ ταὐτὸ καλὸν ἦν καὶ σοφὸν πᾶσιν ὁμοῦ, οὐκ ἦν ἀμφίβολος φιλονεικία καὶ μάχη ἐν ἀνθρώποις. νῦν δὲ μέχρις ὀνόματος τὸ ὅμοιον. καὶ τὸ ἴσον σώζεται τοῖς ἀνθρώποις. ὀνομάζομεν γὰρ κοινῇ πάντες ἕλληνες χρυσόν. καὶ τὸ μὲν ὄνομα ὁμοίως προφερόμεθα. διχοστατοῦμεν δὲ περὶ τὴν τούτου δόξαν. οἱ μὲν ἀγαθόν. οἱ δὲ φαῦλον αὐτὸν φάσκοντες. ὁμοίως καὶ ἐπὶ τῆς σωφροσύνης, καὶ πάντων τῶν ἄλλων. Πλὴν ὀνομάσαι.) ἐξ ὀνόματος καλέσαι. ἤτοι ὄνομα μόνον. ἡ πρᾶξις δ' οὐκ ἔστι τοῦτο. Ἄστρων ἀνέλθοιμι.) ἐθέλω εἰ δυνάμην εἰς οὐρανὸν ἀνελθεῖν. καὶ εἰς ἅδου κατελθεῖν, ἐπὶ τῷ κατορθῶσαί μοι τὴν τῶν θεῶν τυραννίδα. οὐκ ἐπιτιμητέον δέ. ἁρμόδιοι γὰρ οἱ λόγοι πρὸς πλεονεξίαν διώκοντι. καὶ τῶν ἄστρων. καὶ τοῦ ἡλίου κατακρατῆσαι. καὶ τοῦ θρόνου τοῦ διὸς οὐκ ἂν παραιτήσασθαι. Δυνατὸς ὢν δρᾶσαι τόδε.) εἰ εἰ δυνάμην τοῦτο ποιῆσαι. Τοῦτο οὖν τὸ χρηστόν.) ἀλόγιστος φησὶν ὁ ἐτεοκλῆς. ἐξὸν γὰρ αὐτῷ τῷ τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρεσβυτέρου χρήσασθαι δικαιώματι, ᾧ μᾶλλον ἐπέβαλλεν ἡ ἀρχὴ, ἀδικεῖν ὁμολογεῖν ἑαυτὸν εἰ πλεονεκτεῖν φησί. πρὸς ὃ ῥητέον, ὅτι μίμησιν ἀνδρὸς ἀδίκου ἐξεικονίζει ὁ εὐριπίδης ἡμῖν. μήτε τῷ δοκεῖν εὐσεβεῖν βουλομένῳ. ἄλλως τε εἰ ἔφασκεν ἀρχεῖν, ὡς πρεσβύτερος, ἠκολούθει τῷ λόγῳ. τὸ τῶν κτημάτων μέρος δεῖν ἀπονέμειν. Η σώζειν ἐμοί.) ἀλλὰ σώζειν ἐμαυτῷ. Ανανδρία γάρ.) δειλία γάρ ἐστι τῷ ἀνθρώπῳ ἐκείνῳ. ὅστις φθείρας τὸ μεῖζον, τὸ ἔλαττον ἐδέξατο.

Πρὸς δὲ τοῖς δε.) πρὸς δὲ τοῖσδε οἷς εἶπον δηλονότι. αἰσχύνη καὶ ὄνειδος ἐστὶν, ὧν χρήζει τοῦτον τυχεῖν, ὧν πορθήσει παραγενόμενον. Αλλως. αἰσχύνη φησὶν ἐστὶν, εἰ συγχωρήσαιμι τὴν ἐμὴν βασιλείαν τῷ πολυνείκει λαβεῖν τῷ φόβῳ τοῦ μυκηναίου πολέμου. ἔπρεπε δ' αὐτὸν τὸν πολυνείκην ὦ μῆτερ, οὐ δι' ὅπλων ποιεῖσθαι τὰς φιλίας. πᾶν γὰρ πρᾶγμα κατορθοῖ ὁ λόγος. ὅπερ καὶ ὁ σίδηρος τῶν πολεμίων ποιήσειεν ἄν. ὁ λόγος φησὶν ἴσος ἐστὶ σιδήρῳ. πάντα γὰρ χειροῦται καὶ κατορθοῖ ὁ λόγος διὰ τῆς πειθοῦς. ἅπερ σίδηρος βίᾳ.

Αλλ' εἰ μὲν ἄλλως.) κατὰ ἄλλον τρόπον ἐκτὸς τῆς βασιλείας, ἔξεστιν. Εκεῖνο δὲ.) ἤτοι τὸ βασιλεύειν, ἑκὼν οὐκ ἀπολύσω. βασιλεύειν ἐξόν μοι, τῷ δ' ὑποταγήσομαι; Ιτω.) ἐλθέτω. Ουκ εὖ λέγειν.) οὐ χρὴ τὰ φαῦλα τῶν ἔργων, λόγοις καλλωπίζειν. οὐ γάρ ἐστι τοῦτο καλὸν. ἀλλ' ἐναντίον τῷ δικαίῳ. Ουχ ἅπαντα τῷ γήρᾳ κακά.) ἔστι γὰρ ἐν τῷ γήρᾳ ἔνια κακά. τὸ ἀσθενές. τὸ δυσκίνητον. τὸ ἐπιλήσμον. Αλλ' ἡ ἐμπειρία.) ἡ ἐμπειρία γὰρ, καὶ ἡ πολυχρόνιος τριβὴ, ἔχει τι λέξαι σοφώτερον. ὥστε μή μου καταφρονήσῃς παντελῶς. Αλλως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γράφεται καὶ πρὸς δοτικήν. ἵν᾽ ᾖ τῇ γὰρ ἐμπειρίᾳ, τὸ γῆρας ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

Τί τῆς κακίστης.) τῆς ἐν τοῖς δαίμοσι χειρίστης. ὡς τὸ δικαιότατος κενταύρων. ἀντὶ τοῦ δίκαιος ἐν κενταύροις. φιλοτιμίας δὲ, κενοδοξίας. μέσον γὰρ τὸ τῆς φιλοτιμίας ὄνομα. Ἐπ᾽ ὀλέθρῳ τῶν χρωμένων.) πολλὰ γὰρ τῶν κακῶν ὑπὸ φθορᾶς τῶν ἀπολλυμένων ἀπαλλάττεται. ὡς νόσος. καὶ πυρετοὶ σφοδροὶ. καὶ διάφοροι. Τὸ γὰρ ἴσον νόμιμον.) ἀντὶ τοῦ δίκαιον. καὶ ἀσφαλὲς. καὶ βέβαιον. οἱ γὰρ νόμοι ἀμετάτρεπτοι εἰσίν. ἐν τούτοις γὰρ σώζεται τὸ ἴσον. καὶ γὰρ διὰ τῶν μέτρων καταλαμβάνεται τὸ ἴσον. Εἰθ᾽ ἥλιος μὲν καὶ ἡ νὺξ τῷ ἴσῳ δουλεύουσι. σὺ δ᾽ ἐν βροτοῖς οὐκ ἀνέξῃ τῶν δωμάτων ἔχων τὸ ἴσον, δουλεύειν τῇ ἰσότητι; Τί τὴν τυραννίδ᾽.) λείπει τὸ οὖσαν. καὶ τὸ ὡς. τί τιμᾷς τὴν τυραννίδα ἀδικίαν οὖσαν, ὡς εὐδαίμονα καὶ μακαρίαν. Ἄλλως. αὐτὴν τὴν τυραννίδα, εὐδαίμονα ἀδικίαν φησί. τί τιμᾷς τὴν εὐδαίμονα ἀδικίαν. Εὐδαίμονα.) ἔδει φασὶν δυσδαίμονα αὐτὴν εἰπεῖν. ἵνα τὴν ἐτεοκλέα τῆς περὶ αὐτὴν ἀσεβοῦς ἐπιθυμίας ἀποστρέψῃ. διὰ μέσου δὲ μετὰ σχετλιασμοῦ τὸ ὑπέρευ ἀναπεφώνηται. Ὑπέρευ.) ὑπεράγαν. καὶ μέγα τοῦτο νομίζεις τὸ ἄρχειν. τὸ γὰρ περιβλέπεσθαι. καὶ θαυμάζεσθαι τίμιον τοῦτο δηλοῖ. ἤγουν τὸ ἄρχειν. Ἄλλως. ἐν ἤθει πευσικόν. μέγα νομίζεις τὸ περίβλεπτος εἶναι. καὶ περιφανὴς παρὰ πᾶσιν; ἢ οὕτως. ἀλλὰ τὸ περιβλέπεσθαι τίμιον νενόμικας. κενὸν μὲν οὖν τοῦτο. Ἐπεὶ τά γ᾽ ἀρκοῦνθ᾽.) ἐπειδὴ τὰ ἀρκετὰ, καὶ μεμετρημένα τοῖς φρονίμοις ἱκανὰ λελόγισται. Ἴδια.) φυσικὰ. ἤγουν παρεπόμενα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ ἰδίᾳ φύσει. τὰ ἀπὸ τῶν θεῶν δὲ ἔχοντες χρήματα φροντίζομεν. ὁπόταν δὲ θέλωσιν, αὐτὰ πάλιν ἀφ᾽ ἡμῶν λαμβάνουσι. Ἄλλως. ὅταν γὰρ βούλονται παρασχεῖν αὐτὰ ἑτέροις, πάλιν ἀφαιροῦνται. Ὁ δ᾽ ὄλβος.) ὁ δὲ πλοῦτος οὐ μόνιμος, ἀλλὰ πρόσκαιρος. Ἄγ᾽ ἤν σ᾽ ἄγε.) ἀποκρίθητι ἐάν σε ἐρωτήσω δύο λόγους προβαλλομένη. ἆρα τυραννεῖν θέλεις, ἢ τὴν πόλιν σῶσαι. πάντως ἐρεῖς μοι τυραννεῖν. ἐὰν δὲ νικήσῃ οὗτος. καὶ ἡ τῶν ἀργείων ἰσχὺς, τοὺς καδμείους νικήσει, θεάσῃ φθαρὲν τὸ ἄστυ τῶν θηβαίων. καὶ πολλὰς κόρας αἰχμαλωτιζομένας σὺν βίᾳ παρὰ τῶν πολεμίων ἀνδρῶν. ἐπώδυνος λοιπὸν ὁ πλοῦτος καὶ αἰσχύνης αἴτιος γενήσεται ταῖς θήβαις ὅν τινα ζητεῖς κεκτῆσθαι. γράφεται δὲ καὶ δαπανηρὸς, ὅ ἐστιν ἐπιζήμιος. ἀνάγκη γὰρ εἰς πόλεμον συμμάχους προτρέψασθαι, καὶ δαπανᾶν. Φιλότιμος.) φιλόνεικος. Ἀνήψατο.) ἀνέθηκε. παρῆψατο. ἀπὸ μεταφορᾶς τῶν πλοίων τῶν ἀποδεσμουμένων εἰς λιμένα. Πορθήσων.) ἀσυνέτως δὲ καὶ σὺ ἦλθες λεηλατήσων τὴν πόλιν. ἑνὶ γὰρ διαφερόμενος, ἁπάσῃ τῇ πόλει ἐπάγεις κίνδυνον. καὶ ταῦτα ἐπιστάμενος οὐ δημοκρατουμένην, ἀλλὰ μοναρχουμένην. Τροπαῖα.) νικητήρια. ἀπὸ τοῦ τρέψαι καὶ διῶξαι τοὺς πολεμίους. λέγει δὲ τὰ ἱστάμενα συμβόλαια τῆς νίκης. Τὸ δὲ σκῦλα γράψεις. ἀντὶ τοῦ τὰ ὅπλα ἐπιγράψεις. ἤτοι τὰ ἀναθήματα τῶν πεφονευμένων. τί δ᾽ ἔσται τὸ ἐπίγραμμα. θήβας πυρώσας τάσδε πολυνείκης θεοῖς ἀσπίδας ἔθηκεν; μὴ γένοιτό σοι τέκνον λαβεῖν ὑπὸ τῶν ἑλλήνων τοιαύτην φήμην. Ὑπεκδράμῃ.) παρέλθῃ. νικήσῃ. μετενήνοχε δὲ ἀπὸ τῶν δρομέων. οἷον ὑπέρτερα γίνηται. Κείνων στέρεσθαι.) τοῦ ἄργους δηλονότι. ὁ δὲ νοῦς. μήτε ἐκεῖνα μήτε

ταῦτα ἔχειν· ἤτοι κἀκείνων στερηθῆναι, καὶ τούτων μὴ τυχεῖν. τὸ γὰρ ἐν μέσῳ πεσεῖν· τουτέστι τὸ πρὸ τοῦ ἀφικέσθαι ἐπ' αὐτὰ ἐκπεσεῖν τῆς ἐλπίδος. Μέθετε τὸ λίαν.) τὴν ὑπερβολὴν τῶν ὀρέξεων· ἢ τὸ θυμικόν· καὶ ἐν ὀρέξει. τὸ λίαν χρῆσθαι καλῶς. Ἄλλως. ἐν τούτοις οὐδὲν Ἰοκάστη συμβεβούλευκε τοῖς παισὶ κοινωφελές· ἀλλὰ τῷ μὲν, λέγει· εἰς τί φιλοτιμῇ τυραννεῖν· τῷ δὲ, εἰς τί πολεμεῖς τὴν πατρίδα. ἐχρῆν δὲ τούτοις συμβουλεῦσαι διελομένους τὰ πατρῷα· καὶ τὴν βασιλείαν παύσασθαι τῆς διχοστασίας. ὅπως ὑπέστησαν ἐξ ἀρχῆς ἀνὰ μέρος ἄρχειν. καὶ γὰρ ἐπὶ τῷ ποιητῇ ἦν ποιῆσαι αὐτοὺς μὴ πειθομένους. ὅπως τὰ τῆς ἱστορίας μένῃ βέβαια. εἵμαρτο γὰρ αὐτοὺς ἀλληλοκτόνους γενομένους κατὰ τὰς ἀρὰς τοῦ πατρὸς ἀποθανεῖν. νῦν δὲ, οὐδὲν τούτων πεποίηκεν. Ἀμαθίαι δυοῖν.) αἱ τῶν δύο ἀμαθίαι ὅταν μολῶσιν εἰς ταυτὸν, μέγιστον κακὸν γίνονται. Ἄλλως. Δεινὸν κακὸν, ὅταν εἰς τὸ αὐτὸ κακὸν τῆς ἀμαθίας ἔλθητε. ὅμοιον δέ ἐστι τὸ μηδὲν ἄγαν, τῷ ἄφετε τὸ λίαν φιλονεικεῖν. Ξύμβασιν.) ξυμβίβασιν. Οὐ λόγων.) οὐκ ἔριδος ἐστ' ἀγών. ἀπώλετο γὰρ ὁ καιρὸς ὁ ἐν μέσῳ ἀκαίρως. περαίνει δὲ ἤτοι πληροῖ οὐδαμῶς ἡ τῇ προθυμία. ὁ δὲ νοῦς· περαίνει δ' οὐδὲν ἡ προθυμία. ἀντὶ τοῦ προθυμουμένη ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν, οὐ πείθεις. οὐ γὰρ φιλιωθείημεν. καὶ εἰς ξύμβασιν καὶ φιλίαν ἔλθοιμεν ἄλλως, ἢ ἐπὶ τοῖς εἰρημένοις ὑπ' ἐμοῦ· ὥστε με τὰ σκῆπτρα κατέχειν δηλονότι· καὶ βασιλέα ὑπάρχειν τῆς χθονὸς τῆσδε. τῶν ἐπὶ πολὺ δὲ παρατεινομένων νουθετημάτων ἀποστᾶσα, ἄφες ἡμᾶς· καὶ σὺ δὲ τῶν τειχῶν τούτων ἔξερχου. εἰ δὲ μὴ, ἀποθανῇ. Πρὸς τίνος.) παρὰ τίνος ἀποθανοῦμαι. τίς δ' οὕτως ἄτρωτός ἐστιν, ὅστις εἰς ἡμᾶς

φονικὸν ἐμβαλὼν ξίφος, τὸν ὅμοιον οὐκ ἀπολαβὼν οἴσεται θάνατον. Ἐγγὺς οὐ πρόσω.) οὕτινος ἐγγὺς καὶ ἔμπροσθεν ἵστασαι. τὸ δὲ εἰς χεῖρας λύσεις ἐμὰς, ἐν ἐρωτήσει. λύσεις εἰς χεῖρας ἐμὰς, ἐκ τούτων θνήσκεις. Δειλὸν δ' ὁ πλοῦτος.) παρ' ὅσον οἱ πλούσιοι δειλοί εἰσι πρὸς θάνατον. ὡς μεγάλων ἀγαθῶν στερούμενοι. οἱ δὲ πένητες, ῥιψοκίνδυνοι εἰσὶν. ἐπιλογιζόμενοι ὡς λυσιτελεῖ κινδυνεύσαντας κτήσασθαι, καὶ ἀποθανεῖν μᾶλλον, ἢ πτωχοὺς ὄντας ζῆν. φησὶ γοῦν ὅτι φιλόψυχος εἶ σύ. Πρὸς τὸν οὐδὲν ἐς μάχην.) καὶ ἥττω πρὸς τὸν φιλόζωον. καὶ ἄνανδρον σὺν πλείοσιν ἦλθες μαχέσασθαι. Ἀσφαλὴς γάρ.) ναὶ. καὶ γὰρ ὁ ὠχυρωμένος ἐν ὅπλοις στρατηλάτης, κρείττων ἐστὶ τοῦ θρασέος. Κομπὸς εἶ.) ἀλαζωνικὸς ὑπάρχεις. θαρρῶν ἐν σπονδαῖς, ὥστε τηρῶ τι βαίνειν. Κόμπος.) τὸ μὲν προσηγορικὸν, ὡς τύμπος. τὸ δὲ ἐπίθετον, ὡς καρπὸς. κόμπος. λόγος. κομπὸς. κομπασής. ὁ γοῦν, μεγαλοφρονεῖς ἐπὶ ταῖς γενομέναις σπονδαῖς, καὶ συνθήκαις. αἵτινες σε ῥύονται τοῦ ἤδη τεθνήξεσθαι. Καί σε δεύτερον.) ἰδοὺ φησὶν ἐκ δευτέρου σοι λέγω ἀποδοῦναι μοι τὸ μέρος τῆς βασιλείας. ἅπαξ γὰρ εἶπον ἄνω. καὶ νῦν ἕτοιμός εἰμι τὸ ἐμαυτοῦ λαβὼν, στρατὸν μὲν ἔξω τῆς δ' ἀποστεῖλαι χθονός. Οὐκ ἀπαιτούμεθα. οὐ χρεωστοῦμεν. Τοῦ μέρους.) τοῦ ἐπιβάλλοντός σοι μέρους κεκτημένος τὸ πλεῖον ὅπερ; Φημί.) ναὶ λέγω. ἐλευθέρου δὲ καὶ ἀπαλλάττου τῆς γῆς. Πατρῷοι.) πατρικοί. Πάρει.) παρεγένου. Τῶν λευκοπώλων. κάστορος. καὶ πολυδεύκους. οἳ ζῆθον. καὶ ἀμφίονος. ὅπερ ἄμεινον. Ἐξελῶν.) ἐξελάσων. Ἀδικία σ' ἔχει.) τὸ ἑξῆς. ἐξελαυνόμεθα τῆς πατρίδος ἀδικίᾳ τῇ σῇ. τὸ γὰρ ὦ θεοὶ διὰ μέσου. Ἄμοιρον.) χωρὶς μερίδος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μὴ πόνει.) μὴ κάμνε· μὴ θορυβοῦ τούτου χάριν· ἄπειμι
γάρ· ὡς τινὲς δὲ περιεσταλμένῳ φρονήματι ταῦτα φησί·
προσδοκῶν εἰς τὸ δίκαιον ἔτι καλέσειν τὸν ἀδελφόν·
σὲ δὲ ἐπαινῶ μῆτερ ὅτι ἐσπούδασας ἡμᾶς εἰς φιλίαν
ἀγαγεῖν. Ἀλλά μοι.) ἀντὶ τοῦ καί. Χαρτά.) ἐν
ἤθει· ἄξια χαρᾶς πάσχω τέκνον. Ποῦ ποτε.) κατ' ἐρώ-
τησιν· ἀντὶ τοῦ ἐν ποίῳ τόπῳ παρατάττῃ· ἵνα κἀγὼ
ἐκεῖ παρατάξωμαι. Πατρὸς οὐκ ἐκφεύξεσθον.) ἀπο-
φαντικῶς· ὅτι ἐὰν μαχήσεσθε, πάντως ἀπόλλυσθε.
Ἀγυιεῦ.) ἐν τοῖς προπυλαίοις καὶ οἰκήμασιν ἱδρυμένε·
ὅτι τὸν ἀγυιέα πρὸ πυλῶν ἵστασαν· κίων δὲ οὗτος ὡς εἰς
ὀξὺ λήγων. Δεξίμηλα.) τὰ δεχόμενα τὰς θυσίας.
Καθεύδουσιν.) ὑπνοῦσιν. Νεικέων ἐπώνυμον.) πα-
ρετυμολογεῖ τὸ ὄνομα Πολυνείκους· ὄνομα νεικέων φερώ-
νυμον· τουτέστιν ἀπὸ τῶν νεικέων τὴν ἐπωνυμίαν λαβόν.
Κάδμος ἔμολε.) τὰ τοιαῦτα εἴδη τοῦ χοροῦ, καλεῖται
ἐπῳδικὰ ὡς εἴρηται· εἰσὶ δὲ τὰ παρόντα τριὰς ἐπῳδι-
κή. τὰ κῶλα δὲ τῆς μονοστροφῆς, τοσαῦτα· τὸ α̅ ἰωνικὸν
ἀπὸ μείζονος· δίμετρον ἀκατάληκτον· ἐκ παίωνος α̅,
ἀντὶ ἰωνικοῦ· καὶ διϊάμβου, εἰ δὲ βούλει τροχαϊκὸν·
ἐφθημιμερὲς· τοῦ β̅ ποδὸς χορείου· ἐχρήσατο τῷ τοιού-
τῳ μέτρῳ ἐνταῦθα διὰ τὴν τοῦ Κάδμου κίνησιν· τὸ β̅
ὅμοιον ἰωνικὸν ἀπ' ἐλάττονος ἐκ παίωνος δ̅ ἀντὶ ἰωνι-
κοῦ καὶ διϊάμβου· εἰ δὲ βούλει τροχαϊκὸν ἐφθημιμερὲς·
τοῦ α̅ ποδὸς χορείου· τὸ γ̅ ὅμοιον τῷ α̅· δίμετρον ὑπερ-
κατάληκτον· ἐκ παίωνος α̅ ἀντὶ ἰωνικοῦ ἐπιτρίτου τρί-
του καὶ συλλαβῆς· εἰ δὲ βούλει τροχαϊκὸν, ἐφθιμημερὲς
δίμετρον ἀκατάληκτον· τοῦ β̅ ποδὸς ἀναπαίστου· τὸ
δ̅, ὅμοιον τῷ β̅· δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος
δ̅ ἀντὶ ἰωνικοῦ διϊάμβου καὶ συλλαβῆς· τὸ ε̅ τροχαϊ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κὸν ἑφθημιμερὲς εὐριπίδειον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον, χορεῖον ἔχει τὸν πρῶτον πόδα. τὸ ϛ΄ ὅμοιον τῷ β΄. τὸ ζ΄ ἰωνικὸν ἀπὸ μείζονος. ὅμοιον τῷ α΄. ἐξ ἰωνικοῦ πεντασυλλάβου καὶ διτροχαίου. τὸ μέν τοι κῶλον τῆς ἀντιστροφῆς, τὸ μὲν πρῶτον ἔχει πόδα διτρόχαιον. τὸν β΄ ἐπίτριτον. τὸ η΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. ἐκ τροχαίου καὶ χορείων. τὸ θ΄ τροχαϊκὸν ἑφθημιμερὲς εὐριπίδιον. τὸ ι΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια΄ τροχαϊκὸν καθαρὸν πενθημιμερές. τὸ ιβ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τοῦ α΄ ποδὸς χορείου. τὸ μέν τοι τῆς ἀντιστροφῆς κῶλον, καθαρόν ἐστι. τὸ ιγ΄ καὶ ιδ΄, τροχαϊκὸν εὐριπίδειον. τὸ ιε΄, ἰαμβικὸν δίμετρον. ἀκατάληκτον. τοῦ γ΄ ποδὸς, χορείου. τὸ ιϛ΄, ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ ιζ΄, ἴαμβος καθαρὸς τρίμετρος. τὸ ιη΄, τροχαϊκὸν δίμετρον. βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλικόν. τὸ ιθ΄, ἰωνικὸν ἀπὸ μείζονος. δίμετρον ἀκατάληκτον. καὶ διτροχαίου. καὶ ἐπιτρίτου δ΄. τὸ μέν τοι τῆς ἀντιστροφῆς, παράγραφος.

Κάδμος ἔμολε.) κάδμος ζητῶν τὴν ἀδελφὴν εὐρώπην, μαντεῖον ἔλαβε περὶ αὐτῆς. οὐδὲν αὐτῷ σημαῖνον. ἀλλ᾽ ὥστε αὐτὸν ἐξελθόντα ἕπεσθαι βοΐ. καὶ οὗ δ᾽ ἂν αὐτόματος πέσῃ κτίζειν πόλιν. ἔχει δὲ ὁ χρησμὸς τοῦ πυθίου οὕτως.

Χρησμὸς δοθεὶς, τῷ κάδμῳ.

Φράζεο δὴ μῦθον ἀγήνορος ἔκγονε κάδμε.
Ἠοῦς ἐγρόμενος, προλιπὼν δ᾽ ἴθι πυθῶ δῖαν,
Ἔνθα δ᾽ ἔχων ἐσθῆτα. καὶ αἰγανέην μετὰ χερσί,
Τὴν διὰ φωκίδος. καὶ φλεγύων ἐς ἂν ἵκηαι,
Βουκόλον ἠδὲ βόας κηριτρεφέος πελάγοντος.
Ἔνθα δὲ προσπελάσας συλλάμβανε βοῦν ἐρίμυκον.
Τὴν, ἣ κεν νώτοισιν ἐπαμφοτέροισιν ἔχῃσι

Ἀβουκόλον σῆμ' ἑκάτερθε περίδρομον ἠΰτε μήνης
Τὴν δὲ σὺ ἡγεμόνα σχὲ πολυτρίπτοιο κελεύθου·
Σῆμα δέ τοι ἐξερέω μάλ' ἀριφραδές· οὐδέ σε λήσει·
Ἔνθα δέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο,
Ἵζηται· κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
Καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν·
Ἁγνῶς καὶ καθαρῶς· γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
Ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν·
Δεινὸν ἐνυαλίου πέμψας φύλακ' ἄϊδος εἴσω·
Καὶ σύ γ' ἐπ' ἀνθρώπων ὀνομάκλυτος ἔσσεαι αὖθις·
Ἀθανάτων λεχέων ἀντήσας ὄλβιε Κάδμε·

Ταῦτα ἀκούσας Κάδμος, ἀφίκετο εἰς τὸ βουκόλιον, τοῦ Πελάγοντος τοῦ Ἀμφιδάμαντος· καὶ ἀγοράσας βοῦν· καὶ ἡγεμόνα ταύτην τῆς ὁδοῦ ποιησάμενος, κτίζει τὰς Θήβας ὁμωνύμως τῶν Αἰγυπτίων Θηβῶν· ἐπεὶ τὸ ἀνέκαθεν Αἰγύπτιος ἦν ὁ Κάδμος· καὶ ἡ Βοιωτία δὲ ἀπὸ τῆς βοὸς ἐκλήθη. Ἀδάμασον.) τὸ μὴ ὑπό τινος ἠναγκασμένον πτῶμα· ἀλλὰ αὐτορριφές· πέσημα δὲ τὸ σῶμα ἀπὸ τοῦ παρεπομένου· ἢ ἀντὶ τοῦ αὐτόματον ἔβαλε τὸ σῶμα ἐπὶ τὴν γῆν· δίκειν γὰρ τὸ βάλλειν· ὅθεν καὶ δίσκος. τινὲς δὲ τὸ ἀδάμασον πέσημα, τὸ μηδέπω δαμασθὲν ζεύγλῃ σῶμα· ἐμφαίνει δὲ τὸν νέον μόσχον. Δίκε.) κατέβαλε· καὶ ἐν Βάκχαις δίκετε τρομερὰ σώματα, ὅπου κατῳκίσθη πόλις. Ἄλλως. Ἐνταῦθα ἔπεσεν· ὅπου κατῴκισε Κάδμος τὴν πόλιν.

Οὗ κατῴκισε.) ἐν ἐνίοις τῶν ὑπομνημάτων, ἀντὶ τοῦ οὗ κατῴκισε, κατοικίσαι· ὁ δὲ λόγος πλεονάζοντος τοῦ μέν· ἀντὶ τοῦ οὗ κατοικίσαι μέν, καὶ οἱονεὶ κτίσαι τὰ πεδία τῶν δόμων, ὁ θεὸς ἐμαντεύσατο· ἔνθα ἡ τῆς Δίρκης πηγὴ καταρδεύει τὰς γύας. Πεδία μέν.) τοῦ

τὸ ἀπ' ἄλλης ἀρχῆς. κεῖται γὰρ νῦν ὁ μὲν, ἀντὶ τοῦ
δέ. ἵν' ἢ πεδία δὲ πυροφόρα ὁ θεὸς ἔχουσιν ἱστᾶσθαι.
Ἄλλως. Ονοῦς. τὸ εὔτραφον δὲ ἔχουσιν ἐκεῖ ἀγροὺς
κεῖσθαι. ὅπου ἡ καλλιπόταμος νοτὶς ἐπινέμεται τὰς
γύας τῆς δίρκης. δίρκη δὲ ποταμὸς ἐν θήβαις. ὁμώνυμος
τῇ πηγῇ. Ἔνθα τέκετο.) ἔνθα φησὶν ἐν θήβῃ τὸν διό-
νυσον τῷ διῒ ἡ σεμέλη ἔτεκε. κισσὸς δὲ πανταχόθεν αὐ-
τὸν περισκέψαι. τοῦ γὰρ οἴκου κεραυνωθέντος. ἐξημβλώ-
σεν αὐτὸν ἡ μήτηρ φοβηθεῖσα. κισσὸς δὲ περιέλιξεν.
Ἄλλως. ὅντινα διόνυσον κισσὸς ἔξωθεν περιπτυχαὶς ἐπὶ
βρέφος ὄντα, κατὰ τοῦ νώτου ἐκάλυψεν. ἱστορεῖ γὰρ μνα-
σέας. ὅτι τῶν καδμείων βασιλείων κεραυνωθέντων, κισ-
σὸς περὶ τοὺς κίονας φυεὶς, ἐκάλυψεν αὐτὸν, ὅπως μὴ
αὐθήμερον, καὶ ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ καλυφθέν.
διὸ καὶ περικιόνιος ὁ θεὸς ἐκλήθη παρὰ θηβαίοις. Ὀλβί-
σας ἐνώπισε.) τὸ νῶτον περιέλιξε. μεγάλη γὰρ αὐτοῦ
δόξα, τὸ τῆς παραδόξου σωτηρίας τέλος. ὀλβίσας δὲ
αὐτὸν τὸν διόνυσον ὁ κισσὸς ἐνώπισεν τὸ τοῦ βακχεύειν
καὶ χορεύειν ταῖς θηβαίων αἴτιον. Γυναιξὶν εὐίοις.) ταῖς
διονύσῳ χορευούσαις. καὶ τὸ εὐοῖ εὐὰν ἀποφθεγγομέναις.
Ἔνθα φόνιος.) παρὰ τῇ δίρκῃ ὁ ἐνὸς ἦν δράκων. ὠ-
μὸς τὴν φύσιν. φύλαξ ὑπὸ τοῦ ἄρεος κατασταθεὶς τῆς
δίρκης. πρὸς τὸ μηδένα ἀπ' αὐτῆς ὑδρεῦσαι. Ἐπὶ χέρ-
νιβας.) ἐπὶ τὸ νίψασθαι τὰς χεῖρας. ἐβούλετο γὰρ τὴν
βοῦν θῦσαι τοῖς θεοῖς. ὅτι σύμβολον αὐτῷ αὐτόθι γέγονε
τῷ κτίσαι τὴν πόλιν. ὁ μὲν οὖν ἑλλάνικος λίθῳ φησὶν ἀ-
ναιρεθῆναι τὸν δράκοντα. ὁ δὲ φερεκράτης, ξίφει.
Ἄλλως. Ἐπὶ χέρνιβας. ἕνεκα τοῦ πρὸς τὴν θυσίαν ὕ-
δατος λαβεῖν μολών. ἔθυε γὰρ τῇ γῇ τὴν βοῦν. Ἄρεως
ὠμόφρων φύλαξ. ὡς τὸ βασιλέως ἄρχων. ἀντὶ τοῦ

βασιλέως κατασταθεὶς ἄρχων. Δραγμάτων.) ταῖς κόραις τῶν ὀφθαλμῶν. Πολυπλανοῖς.) ταῖς πανταχοῦ περιαγομέναις. Χέρνιβας.) χερόνιπτρα. ἀπὸ τοῦ χέρνιψ. Ὀλεσίθηρος.) τοῦ ἀπολέσθαι ἄξιος θήρ. ἢ ὀλεσίθηρος αὐτὸς ὁ κάδμος. Δικὼν ὀδόντας.) ἀντὶ τοῦ ἔδικεν. ἐγκατέσπειρεν. μετοχὴ ἀντὶ ῥήματος. Εὐθὺς ἐξανῆκε γᾶ.) ἐκ τῶν ὀδόντων ἐξεκίνησεν ἡ γῆ ὁπλοφόρους ἄνδρας. εἰσὶ δὲ οὗτοι ἐξ αὐτῶν ὑποληφθέντες. πέλωρ. ἐχίων. οὐδαῖος. χθόνιος. ὑπερήνωρ. κατὰ δὲ τιμαγόραν, καὶ κρέων. Ἄλλως. Ὁ μὲν στησίχορος ἐν εὐρωπείᾳ τὴν ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησίν. ὁ δὲ ἀνδροτίων, σπαρτοὺς αὐτοὺς φησί. διὰ τὸ ἀκολουθήσαντας αὐτῷ ἐκ φοινίκης κάδμῳ, σποράδην οἰκῆσαι. ἀμφίλοχος δὲ διὰ τὸ ἐπεσπάρθαι τοῖς οἰκοῦσιν ἐν θήβαις. διονύσιος δὲ ἔθνος βοιωτίας αὐτοὺς φησίν. ἔνιοι δὲ παῖδας κάδμου αὐτοὺς φασὶν ἐκ διαφόρων γυναικῶν. ιγ τὸν ἀριθμόν. Ὑπὲρ ἄκρων ὅρων γῆς.) εἰς τὴν ἐπιφάνειαν τῆς γῆς. Σιδαρόφρων δεῖνιν.) τὸ νῖν πρὸς τὸ ὄφιν. Ξυνῆψεν. ἥνωσε τῇ προσφιλεῖ γῇ. Σιδαρόφρων.) οὕτω φησὶν οἱ ἀναφανέντες ἐκ γῆς ὁμοῦ τῇ πανοπλίᾳ, εὐθὺς ἅμα τοῦ φανῆναι, ἀλλήλους ἐφόνευσαν. τὸ οὖν νὶν πρὸς τὴν ὄψιν ἀπέδωκε. τουτέστιν αὐτὴν δὲ τὴν πανοπλίαν ὄφιν, τὴν ἀναδοθεῖσαν ἐκ γῆς, ὁ κατ' ἀλλήλων φόνος, πάλιν εἰς γῆν κατήνεγκε. τὸ δὲ ὄφιν ὅταν λέγῃ, τοὺς ἄνδρας σημαίνει. Καὶ σε τὸν προμάτορος ἰοῦς ποτ' ἔκγονον ἔπαφον.) τῆς ἐπῳδῆς ταύτης τὰ κῶλα ις. τὸ α τροχαϊκὸν ἐφθημιμερὲς εὐριπίδειον. τὸ β ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τοῦ α ποδὸς χορείου. ἢ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάττονος. δίμετρον ὑπερκατάληκτον. ἐκ παίωνος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δ΄ ἀντὶ ἰωνικοῦ· διϊάμβου καὶ συλλαβῆς· τὸ δ΄ τροχαϊκὸν πενθημιμερὲς· ἐκ χορείων β΄ καὶ συλλαβῆς· τὸ ε΄, ὅμοιον τροχαϊκὸν· πενθημιμερὲς καθαρὸν· τὸ ς΄, ἀντισπαστικὸν δίμετρον· καταληκτικὸν φερεκράτειον· ἐξ ἀντισπάστου καὶ κρητικοῦ· εἰ δὲ βούλει τροχαϊκὸν ἑφθημιμερὲς ἰάμβου ἀρχομένου· τὸ ζ΄ τὸ θ΄· τὸ ι΄, ὅμοια τῷ α΄ τροχαϊκῷ εὐριπιδείῳ· τὸ ια΄, ὅμοιον τῷ ε΄· τὸ ιβ΄ ἰαμβικὸν πενθημιμερὲς· τὸ ιγ΄, ἰαμβικὸν ὅμοιον τῷ ιβ΄· τὸ ιδ΄, τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον· τὸ ιε΄, ἰαμβικὸν δίμετρον· ἀκατάληκτον· καθαρὸν· τὸ ις΄ τροχαϊκὸν εὐριπίδειον· ὅμοιον τῷ α΄· ἐπὶ τῷ τέλει κορωνὶς· καὶ παράγραφος. Ἐπάφου.) ἔπαφος ἐκλήθη, ὅτι ὁ ζεὺς ἐπαφησάμενος τῆς ἰοῦς, πάλιν εἰς γυναῖκα αὐτὴν μετεμόρφωσε· καὶ σὲ ἐπικαλούμενα ὦ ἔπαφε· ὃς ἰοῦς καὶ διὸς γένεθλον ὑπάρχεις· ἐλθὲ δὴ σωτήριος εἰς τὰς θήβας ταῖς ἡμῶν λιταῖς ἐπινεύσας· οἱ γὰρ σοὶ ἔκγονοι καὶ τὰ ἑξῆς. Σοί νιν ἔκγονοι.) ὅσος ἔκγονος κάδμος ὁ ἐπάφου τὰς θήβας ἔκτισε· τούτῳ τῷ τόπῳ, ἐν ᾧ αἱ διώνυμοι θεαὶ ᾤκησαν· δεδόσθαι γὰρ τὰς θήβας τῇ περσεφόνῃ ὑπὸ τοῦ διὸς ἀνακαλυπτήρια ὡς εὐφορίων· ἀλλ' οὔπω θήβη πεπρωμένα κεῖτο τάλαντα· τὴν ῥά ποτε κρονίδης δῶρον πόρε περσεφονείῃ· ἐγγαιμετην· ὅτε πρῶτον ὀπωπήσασθαι ἔμελλε· νυμφιδίου θέρεος παρακλίνασα καλύπτρην· γράφεται σῶν νιν ἐκγόνων κτίσαι· ἵν' ἡ τῶν ἐκγόνων σου τῷ κάδμῳ, αἱ θεαὶ κατέκτισαν τὰς θήβας· γέγονε δὲ περὶ τὴν ἀρχὴν ἁμάρτημα· ἐπ' ἄρχοντος γὰρ ἀθήνησιν εὐκλείδου, μήπω τῶν μακρῶν εὑρημένων, τοῖς βραχέσιν ἀντὶ μακρῶν ἐχρῶντο· τῷ ε΄ ἀντὶ τοῦ η· καὶ τὸ ο ἀντὶ τοῦ ω ἔγραφον· ἔγραφον οὖν τῷ δήμῳ μετὰ τοῦ ι δήμοι μὴ νοήσαν-

τες δὲ

της δὲ καὶ ὅτι κατὰ τὴν ἀρχαίαν γραφὴν καὶ δεῖ μετατεθῆναι τὸ ο̄ εἰς τὸ ω̄ μέγα, ἐτάραξαν τὸ νοητόν.

Α διώνυμοι.) τὸ α δωρικόν ἐστιν, ἀντὶ τοῦ η ὅ ἐστιν ὅπου. τὸ δὲ ἐκτίσαντο ἀντὶ τοῦ ᾤκησαν. ὡς τὸ ὀρυκτὴ τοῦ συὸς παρὰ πινδάρῳ. ἀντὶ τοῦ ὀρεσίκου. ἱερὰν δὲ τῆς δήμητρος τὴν θήβην εἶπεν. ἢ διὰ τὸ εὔκαρπον. ἢ ἐπεὶ πάντα τὰ ἐκ γῆς φυόμενα, ἱερὰ τῇ θεῷ. καὶ οἱ σπαρτοὶ οὖν ἐκ τῆς γῆς. Διώνυμοι δὲ παρόσον ἡ μὲν κόρη, καὶ περσεφόνη. ἡ δὲ δήμητηρ καὶ γῆ καλεῖται. ἡ μὲν πρεσβυτέρα. ἡ δὲ νεωτέρα. Ο κάδμος ἦλθεν εἰς τὴν δὲ τὴν γῆν ὁ τύριος. οὗ χάριν, ἡ τετράπους μόσχος ἔρριψεν ἑαυτὴν αὐτόματον πτῶμα. μὴ ὑπό τινος πληγῆς γεγονὸς πτῶμα. διδοῦσα τέλος φέροντα τὸν χρησμόν. ὅπου οἰκεῖσθαι ἐποίησε πεδία τὰ σιτοφόρα τῶν δόμων ὁ χρησμὸς ἔχρησε γενέσθαι δηλονότι. ὅπου τε ἡ καλλιπόταμος νοτὶς τοῦ ὕδατος τῆς δίρκης ἐπέρχεται τὰς βοτανηφόρους αὔλακας τῆς γῆς. καὶ βαθυσπόρους. ἔνθα τὸν διόνυσον ἔτεκεν ἡ μήτηρ αὐτοῦ ἡ σεμέλη διὰ τοῦ γάμου τοῦ διός. ὅν τινα τὸν διόνυσον εὐθὺς ἔτι βρέφος ὄντα κισσὸς φύσιν ἔχων ἑλίσσεσθαι κύκλῳ, ἐσκέπασε μακάριον δείξας, κλάδοις χλοηφόροις κατασκίοις. κισσὸς δὲ εἰπὼν, ἐπάγει βακχεῖον χόρευμα. ἤγουν λέγω χόρευμα βακχικὸν. τῶν παρθένων τῶν θηβαίων. καὶ τῶν γυναικῶν τῶν εὐΐων. ἤγουν τῶν βακχικῶν. Ενθα δράκων ἦν τοῦ ἄρεως φονικὸς. ἄγριος. ἀπηνής. φύλαξ τῆς πηγῆς δηλονότι. τὰ νάματα τὰ εὔυδρα. καὶ τὰ ὑγρὰ ῥεῖθρα ἐφορῶν ὀφθαλμοῖς. ἐπὶ πολλὰ διάγουσι τὸ βλέμμα. καὶ σκοπουμένοις. ὃν ὁ κάδμος ὁ ὀλεσίθηρος ἐπὶ θυσίας ἐλθὼν ὀλέσας. λίθῳ βαλὼν αὐτὴν βολαῖς χειρῶν κατὰ τὸ κρᾶτα τὸ φόνιον, κατὰ βουλὰς τῆς ἐνδόξου

ἀθλίως. ἢ τῆς ἀπὸ τοῦ διὸς τῆς ἀμήτορος, ἔσπειρε χαμαιριφεῖς τοὺς ὀδόντας αὐτοῦ, εἰς αὔλακας βαθυπόρους. ὅθεν ἀνέδωκεν ἡ γῆ ὡπλισμένους ἄνδρας ἐπάνω τῆς ἐπιφανείας τῆς γῆς. σιδηρόφρων δὲ φόνος πάλιν ἥνωται αὐτῇ τῇ προσφιλεῖ γῇ. ἀπὸ δὲ τοῦ αἵματος αὐτῆς ἔδευσε τὴν γῆν. ἥτις ἤγουν ἡ γῆ ἔδειξεν αὐτὴν ταῖς πνοαῖς τοῦ ἀέρος ταῖς εὐκόλως ὑπὸ τοῦ ἡλίου φωτιζομέναις. καὶ δὴ σὲ ὦ γένεθλον τοῦ διὸς. τὸν ἔπαφον λέγω. τὸν υἱὸν τῆς ποτὲ ἰοῦς τῆς προμήτορος ἡμῶν. ἀντὶ τοῦ τῶν ἀρχόντων ἡμῶν. οἰκειοῦται γὰρ τὰ τῶν δεσποτῶν. ἐπικαλοῦμαι βαρβαρικῇ βοῇ. βαρβαρικαῖς λιταῖς. βῆθι ἤγουν ἐλθὲ εἰς τήνδε τὴν γῆν. οἱ σοὶ ἀπόγονοι ἔκτισαν αὐτὴν, ἐκεῖ, ὅπου αἱ διπλαῖ θεαὶ, ἡ περσεφόνη. καὶ ἡ προσφιλὴς δημήτηρ. ἡ θεὰ ἡ γῆ. ἡ πάντων ἄνασσα. πάντων δὲ τροφὸς, ἐκτίσαντο. καὶ κατῴκισαν. ἢ τὴν κτῆσιν ἔσχον. πέμπε σιτοφόρους θεὰς ταύτας δηλονότι, τὴν δήμητρα. καὶ τὴν περσεφόνην βοηθῆσαι τῇδε τῇ γῇ. πάντα δὲ εὔκολα τοῖς θεοῖς. Χώρει σύ.) αἱ συστηματικαὶ αὗται περίοδοι. καὶ οἱ ἑξῆς ἀμοιβαῖοι στίχοι, ἰαμβικοὶ εἰσὶ τρίμετροι ἀκατάληκτοι κδ. ὧν τελευταῖος προσιζόμεθα τήνδε διασῶσαι πόλιν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Χώρει σύ.) δεῖ νοεῖν ὅτι τοῦ χοροῦ ᾄδοντος, ἔσω ἦν ὁ ἐτεοκλῆς. νῦν δὲ ἔξεισιν οἰκέτης ὑποταχθεὶς καλέσαι τὸν κρέοντα.

Συμβαλεῖν.) βουλεύσασθαι. καὶ ἀνακοινώσασθαι βουλάς. Ἡ πόλλ' ἐπῆλθον.) ὄντως ὑπὲρ πολλοὺς τόπους ἐπέδραμον χρῄζων εἰσιδεῖν σε βασιλεῦ. περιῆλθον γὰρ τὰς τῶν καδμείων πύλας. καὶ φύλακας, ζητῶν τι σὸν δέμας. περιφραστικῶς ἤγουν σέ. Καὶ μήν.) πάντως κἀγὼ ἤθελόν σε ἰδεῖν ὦ κρέον. κατὰ πολὺ γὰρ εὗρον σε

διεῖς τὰς φιλιώσεις. ἡνίκα εἰς λόγους ἐλθὼν ἠνώθην τῷ πολυνείκει. ἐλθὼν γὰρ εἰς λόγους τῷ πολυνείκει, πολὺ δῦρον ἀπλεῖς τὰς διαλλαγὰς ἡμῶν. ἢ οὕτως. πολὺ λειπομένας τὰς συμβουλὰς εἰς τὸ γενέσθαι. δοκῶν διαλλάττεσθαι πρὸς πολυνείκην. ὥσπερ ὑπολείπεται πολεμεῖν. Ἤκουσα μεῖζον.) ἤκουσα αὐτὸν φρονοῦντα μεῖζον, ἢ κατὰ δύναμιν θηβῶν. ἐπὶ τῇ συγγενείᾳ τοῦ ἀδράστου. καὶ τῷ στρατῷ θαρροῦντα. Ἀλλὰ ταῦτα μὲν τῷ θεῷ ἀναθετέον. καὶ ἔστιν ὅμοιον τῷ παρ' ὁμήρῳ. ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεθα καὶ αὖτις. ἃ δ' οὖν ἐστιν ἐμπόδιον, ταῦτα παρῆλθον λέξων. Ἥκει τίς.) ἴσως κατάσκοπος ληφθεὶς, νύκτωρ σταλεὶς. Ὅπλοις ἑλίξειν.) πολιορκήσειν. Ἐξοιστέον.) ἀνάγκη τῇ πόλει ἐξενεγκεῖν ὅπλα. Ἄλλως. οὐκοῦν δέον καὶ τὰς θήβας ἐξενεγκεῖν ὅπλα. καὶ παρατάττεσθαι. Μῶν νεάζων.) ἐρωτηματικῶς ἀναγνωστέον. οὐκ ἐᾷ δὲ αὐτὸν ἐξελθεῖν. Ἔχει τιν' ὄγκον.) ὃ ἔστιν ὑπολήψεις ἔχει παρὰ τοῖς ἕλλησι. τινὲς δὲ τὸ ἄργος ἑλλήνων, τὸ ἑλληνικὸν ἄργος. ἵνα πλεονάζῃ ἡ παρὰ. ὁ δὲ νοῦς. ἔχει τινὰ δύναμιν τὸ ἑλληνικὸν ἄργος. Θάρρει.) τῷ αὐτῶν φόνῳ τὸ ἐμὸν πεδίον πληρώσω. Ὡς οὐ καθέξεις.) ἴσθι ὅτι οὐκ ἐπισχήσω τὸν στρατὸν ἐντὸς τῶν τειχῶν. Καὶ μὴν τὸ νικᾶν.) ἀκολουθεῖ τῇ εὐβουλίᾳ τὸ νικᾶν. καὶ ἡ εὐβουλία ἔχει τὸ κράτος ἐν ταῖς νίκαις.

Βούλει τράπωμαι.) βούλει ἵνα διανοήσωμαι μεθόδους ἄλλας, καὶ αἰτίας βουλευμάτων. Πάσας τράπου.) πρὶν ἐλθεῖν ἐς κίνδυνον. Εἰ νυκτὸς.) εἰ συμπλακείημεν αὐτοῖς νύκτωρ ἐκλόχου. λείπει τὸ πολεμησόμεθα. Ἴσον φέρει νύξ.) ἑκατέρῳ μὲν στρατεύματι ἐπίσης ἐμποδίζει τὸ τῆς νυκτὸς σκότος. τοῖς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέντοι προσεπιτιθεμένοις, πλέον τι παρέχει πρὸς νίκην τὸ οὖν τρέπεσθαι. ἢ οὕτως καὶ τοῖς ἐπιχειροῦσι καὶ τοῖς ἐπιχειρουμένοις, ἴσον παρέχει ἡ νὺξ ἐμπόδιον. τοῖς δὲ τολμηροτέροις, τὴν νίκην χαρίζεται. Εὖ δυστυχῆσαι.) ἡ ἐν ἀντὶ τῆς κατά. ὁ δὲ νοῦς· δυστυχῆσαι τινὰ κατὰ τὸ σκότος τῆς νυκτὸς, χαλεπόν ἐστι. Ἐκπλήξεις.) ἀντὶ τοῦ ταραχὴ μόνον γίνεται αὐτοῖς. οὐ μέντοι ἧττα, ἐπεὶ εἰκὸς αὐτοὺς ἐνόπλους διαπνεῖν. Βαθὺς γένοιτο.) τοῦτό φησιν ὡς συντιθέμενος καὶ ἐπαινῶν. καὶ δεῖ ἐξαίφνης ἐπιθέσθαι. μήπως τροπῆς γενομένης καθ' ἡμῶν περαιοῦν τὸν ποταμὸν βαθὺν ὄντα οὐ δυνησόμεθα. δίρκη δὲ ποταμὸς ὁμώνυμος τῇ κρήνῃ. βαθύς· πλατύς. Ἅπαν κάκιον.) ἅπαν δεύτερον. καὶ χεῖρον. πᾶν ὁτιοῦν μὴ φυλαττόμενον, τοῦ φυλαττομένου ἀκριβῶς χεῖρόν ἐστι. Τί δ' εἰ καθιππεύσωμεν.) τί δὲ ἆρα πλέον ἡμῖν ἔσται, εἰ ἅπαντες ἐφ' ἵππων ὁρμήσομεν κατ' αὐτῶν. Κἀκεῖ πέφρακται.) κἀκεῖ ἠσφάλισται ἅρμασιν ἐν κύκλῳ ὁ στρατός. Τί δῆτα δράσω.) ἀγανακτῶν δυσχεραίνει. ἐπεὶ πάντα ὅσα εἶπεν ἀπεδοκίμασε, φησί. θέλεις οὖν προδῶ τὴν πόλιν. Ἑπτ' ἄνδρας.) τὸ ἑξῆς. ἑπτὰ ἄνδρας ἐν αὐτοῖς φασὶ λόχων ἀνάσσειν. καὶ αὐτοὺς ἑλοῦ. Τί προστετάχθαι.) τί λέγουσιν αὐτοῖς προστετάχθαι. τὸ γὰρ σθένος τῶν ἑπτὰ βραχύ. Λόχων.) ταγμάτων. Ἀπορίαν γάρ.) οὐ μενῶ φησὶν ἕως εἰς ἀπορίαν καὶ ἀμηχανίαν πέσω. Λόχων προκρίνας. πότερον φησὶν ἑπτὰ ἄνδρας τῶν τάξεων ἄρχειν. ἢ εἷς πρὸς ἕνα. οἱ ἑπτὰ κατ' ἰδίαν παρεσταλμένοι δόρασι. Πρὸς ἀμβάσεις.) ἐπαναβάσεις, ὅ ἐστιν ἀποσοβεῖν τῶν τειχέων τὰς ἐπαναβάσεις. Καὶ ξυστρατηγούς.) ξύλλεξαι αὐτοῖς δηλονότι. καὶ στρατηγοὺς ἑτέρους

μετ' αὐτῶν ἑπτά· καθ' ὅμηρον γάρ· σιώπη δ' οὖν ἐρχομένω· καί τι πρὸ ὁ τοῦ ἐνόησεν. Θάρσει.) ἀνδρεία. Ἀμφότερον.) κατὰ τὰ δύο· οὐδὲν γάρ ἐστι τὸ ἕτερον, ἀπολειφθὲν τοῦ ἑτέρου. Ἐλθὼν δ' ἐς ἑπτά.) γελοίως τοῦτο φησὶν ὡς μὴ ὢν νῦν ἐν τῇ πόλει· πεφύλακται δὲ τὰς ὀνομασίας αὐτῶν εἰπεῖν ὥς φησι δίδυμος· διὰ τὸ ὑπὸ αἰσχύλου εἰρῆσθαι, ἐν τοῖς ἑπτὰ ἐπὶ θήβαις αὐτοῦ. Ἄλλως· οὐκ ὀφείλομεν ἑκάστου καταλέγειν τὸ ὄνομα, πολέμου ἐπείγοντος. Διατριβή.) ἀργεία. Ἀλλ' εἶμ'.) ἀλλ' ἀπέρχομαι, ὅπως μὴ ἐμποδίζωμεν τὸ τῶν χειρῶν ἔργον· τουτέστι τὸν πόλεμον. Ἀντήρη.) ἀντίπαλον. Ἑλεῖν δορί.) φονεῦσαι διὰ τοῦ δουρός. Τῆς τύχης.) τῆς εὐτυχίας ἀποτύχω. Ἐχέγγυον.) ἀσφαλῆ. Ὀφλισκάνει.) εἰς ἑαυτὸν χρεωστεῖ μωρίαν· ἀντὶ τοῦ αὐτὸς ἑαυτοῦ καταγνοίη μωρίας· ὡς εἴ τις εἴποι, ὁ δεῖνα εἰς τὸν δὲ δίκην χρεωστεῖ. Ἡμᾶς δ' ἀραῖσι.) καὶ ἡμῖν αἴτιος θανάτου γένηται· ὅσον ἐπὶ ταῖς ἀραῖς· ἐὰν συμβῇ αὐτὰς ἰσχῦσαι· τὸ γὰρ ἢν τύχῃ, τοῦτο δηλοῖ. Ἐν δ' ἐστὶν ἡμῖν ἀργόν.) ἀργὸν ἄπρακτον· καὶ παραλελειμμένον· ὀφεῖλον γενέσθαι· καὶ μὴ γινόμενον. Ἄλλως· ἐκεῖνο φησὶ μόνον ἡμῖν περιλέλειπται· τὸ παρὰ τοῦ μάντεως ἀκοῦσαι περὶ τούτων· εἰωθότες γὰρ οἱ ἄνθρωποι ἐν ταῖς εὐπραγίαις καταφρονεῖν μαντικῆς, ἐν ταῖς συμφοραῖς ἐπὶ τοὺς μάντεις καταφεύγουσιν. Αὐτεπώνυμον.) ὁμώνυμον· τῷ αὐτῷ ὀνόματι καλούμενον. Λαβόντα πέμψω.) ὡς τοῦ μενοικέως ἐν τῷ στρατοπέδῳ ὄντος, τοῦτο φησίν. Ἄλλως. ἐγὼ δὲ τὸν παῖδα σου δεῦρο πέμψω· λαβόντα τὸν τειρεσίαν. Ἤδη πρὸς αὐτόν.) πρὸ ὀλίγου ἐνώπιον αὐτοῦ ἐμεμψάμην τὴν μαντικήν· ὥστε μέμψασθαί μοι ἔχειν. Ἐπισκήπτω.) ἐντέλλομαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἥνπερ ἐὰν ἡ ἐμὴ δύναμις ἐπικρατήσῃ. Νίκην.) τὸ σῶ-
μα. Κἂν φίλων τις ᾖ.) διὰ τούτου προαναφέρει
τὰ κατὰ τὴν ἀδελφήν. Ἐκφέρετε τεύχη.) τεύχη
τὰς ἀσπίδας. Ἀμφιβλήματά τε.) τὰ ἐνδύματα
πάντα τὰ τὸν ἄνθρωπον ὁπλίζοντα. λέγει δὲ θώρακα.
περικεφαλαίαν. κνημῖδα. οἱ δὲ γράφουσι τὰ σάγμα-
τα. Πανοπλά τ' ἀμφιβλήματα.) ταῦτα τινὲς εἴδη
δορατίων φασί. Σῷ δίκῃ.) σῷ κρίσει. νικηφόρον
ἑαυτὸν γὰρ δίκαιον ᾤετο ἀμυνόμενος περὶ τῆς πατρί-
δος. ἐκεῖνον δὲ ἀσεβῆ κατὰ πατρίδος στρατευόμενον.
καὶ ὅμηρος. εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.
Τῇ δ' εὐλαβείᾳ.) σωματοποιεῖ τὴν εὐλάβειαν ὡς ὅμη-
ρος. δεῖμός τε φόβος τε. τῇ δ' εὐλαβείᾳ εὔχονται ἵνα
αὐτοὶ ἀφόβως ἀπέλθωσιν. ἢ ἵνα τοῖς πολεμίοις φό-
βον ἐμβάλωσι. Ὦ πολύμοχθος ἄρης.) τὰ τοιαῦτα εἴδη
τῶν χορῶν καλεῖται τριὰς ἐπωδικὴ ὡς εἴρηται. οὕτω
δὲ χρὴ γράφειν τά τε κῶλα, καὶ τοὺς στίχους ὡς διωρ-
θώθη παρ' ἐμοῦ. ἀτάκτως γὰρ ἦσαν καὶ ἀναρμόστως
ἐν τοῖς ἀντιγράφοις κείμενα. καὶ πολύν μοι παρέσχεν
πόνον. εἰς τάξιν ταῦτα καὶ ἁρμονίαν μετενεγκεῖν. τὰ
μὲν γὰρ ἦσαν δακτυλικὰ. τὰ δὲ ἀναπαιστικὰ κῶλα.
οὐ μὴν δὲ καὶ κατὰ λόγον κείμενα. ἀλλ' εἴ τις ὀρθῶς λογί-
ζοιτο, καλῶς ἂν εὕρῃ ταῦτα διορθωθέντα. ἔστι τοίνυν
τῆς στροφῆς τὰ κῶλα καὶ οἱ στίχοι ιϛ̅. καὶ τὰ τῆς ἀντι-
στροφῆς τοσαῦτα. τὰ πάντα μέντοι δακτυλικὰ. τὸ α̅
τετράμετρον ἀκατάληκτον. κατὰ γὰρ μονοποδίαν με-
τρεῖται τὰ δακτυλικὰ. ὁ β̅ καὶ ὁ γ̅. καὶ ὁ δ̅ ἑξάμε-
τροι. τὸ ε̅ ὅμοιον τῷ α̅. ὁ ϛ̅ ὁ ζ̅. ὁ η̅ καὶ ὁ θ̅ πάλιν ἑξά-
μετροι. τὸ ι̅ καὶ τὰ λοιπὰ ὅμοια τῷ α̅. τὸ ιϛ̅ ἐφθημιμε-
ρές. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς, καὶ τῆς ἀντιστροφῆς, στά

ραγραφος. Ω πολύμοχθος ἄρης.) πολλῶν μό-
χθων καὶ καμάτων αἴτιε. Κατέχει.) χαίρεις
καὶ ἐνθουσιάζεις. Παράμουσος ἐναντίος.) οὐ τὴν αὐ-
τὴν μοῦσαν ἔχων. τουτέστι ταῖς τοῦ βρομίου ἑορταῖς ἀ-
σύμφωνος. Ἄλλως. ἀσύμφωνος. ὡς καὶ τὴν ἄνοι-
αν παράνοιαν φησίν. οὐ σωώδος. ἀλλὰ ἀλλότριος.
Νεάνιδος ὥραις.) τοῖς γαμηλίοις καιροῖς. τινὲς δὲ
οὕτως. νεάνιδος ἀκμαίας ὥραν ἐχούσης γάμου. διὰ
τί δὲ μὴ τὸν σὸν βόστρυχον ἐπὶ στεφάνοις νεάνιδος ὥ-
ραις ἐκπετάσας μέλπεις πρὸς πνεῦμα λωτοῦ. ἔνιοι δὲ
νεάνιδος ὥρας τοῦ ἔαρος. τοῦ πάντα νέα ποιοῦντος.
Ἄλλως. οὐ καλλιχόροις στεφάνοις βόστρυχον ἀναπε-
τάσας ἐπὶ γάμοις νεάνιδος μέλπει, νυμφιδίους ᾠδὰς
πρὸς αὐλόν. ἢ ἐπὶ πρὸς τὸ ὥραις. ἐπὶ ὥραις νεάνιδος.
ἀμπετάσας δὲ, ἀνασείσας τὸν πλόκαμον, ὥσπερ ὁ
διόνυσος. Η κατὰ ἀντὶ τῆς πρό.) Πρὸς πνεύ-
ματα. ὅ ἐστιν ἀπηχήματα αὐλοῦ. Ἀλλὰ σὺν ὁπλο-
φόροις.) ἀλλὰ ἐν ὁπλοφόροις, κῶμον ἀναυλότατον
προχορεύεις. στρατὸν ἀργείων ἐπιπνεύσας τῷ αἵματι τῆς
θήβης. ὅ ἐστιν τῷ γένει τῶν θηβαίων. αἵματος εἰς ἀγα-
θοῖο. Ἀλλὰ σὺν ὁπλοφόροις.) τὸ ἑξῆς. ἀλλὰ σὺν
ὁπλοφόροις θήβαις στρατὸν ἀργείων ἐπιπνεύσας, ὅ ἐ-
στιν ἐνθουσιάσας ἑκάτερον στράτευμα. καὶ κατόχους
αὐτοὺς ποιήσας ἑαυτοῦ, αἵματι κῶμον ἀναυλότα-
τον προχορεύεις. ὅ ἐστι προκαλεῖ αὐτοὺς εἰς ἄμουσον
κῶμον σὺν αἵματι. λέγει δὲ τὸν πόλεμον. ἄναυλον δὲ
ἀπὸ τοῦ αὐλός, ἐκμελῆ, καὶ ἄμουσον. σάλπιγξ γάρ ἐστι
ὁ αὐλὸς τοῦ πολέμου. ἡ δὲ πρὸ πλεονάζει. ὡς τὸ νῆας
τε προπάσας. Κῶμος.) εἶδος ὀρχήσεως.
Οὐδ᾽ ὑπὸ θυρσομανεῖ.) ἡ ὑπὸ ἀντὶ τῆς σύν. σὺν θυρσομα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεῖ διονύσῳ. Νεβρὶς δέ ἐστι δέρμα ἐλάφου κατάστικτον· ὃ φοροῦσιν οἱ βακχεύονται· ἐπειδὴ γὰρ οἱ μαινόμενοι τὸ δέρμα αὐτῶν κατατέμνοντες, ποικίλον ποιοῦσιν οἱ σώφρονα μανίαν μαινόμενοι, τῷ καταστίκτῳ τῆς νε νεβρίδος, σοφίζονται τῆς μανίας τὸ σχῆμα. Ψαλίοις.) χαλινοῖς μονωνύχων ἵππων καὶ τετραπόδων.

Ἐπὶ χεύμασι βαίνων.) ἡδὺ μὲν οὐδέν· εἰ καὶ χαρίεν πράττεις· τῶν βαίνων δὲ τοῖς χεύμασι τοῦ ἰσμηνοῦ σὺν ἅρμασι καὶ ψαλίοις μονοπώλοις, τῇ ἱππικῇ ἐκμάθων.

Ἐπιπνεύσας δὲ.) ἀντὶ τοῦ παροξύνας τοὺς θηβαίους· καὶ ἐξ ἐναντίας αὐτοὺς τάξας τοῖς ἀργείοις· ἀπὸ δὲ τοῦ ἐναντίου νῦν εἶπεν· ἐν γὰρ τοῖς ἀνωτέρω τοὺς ἀργείους εἶπε παροξύνεσθαι κατὰ τῶν θηβῶν· τοῦτο δέ φησιν· ὡς τοῦ ἄρεως ἑκατέρους παροξύνοντος κατ' ἀλλήλων.

Ἀσπιδοφέρμονα.) τουτέστιν ἀσπιδοθρέμμονα· φέρβεσθαι γὰρ τὸ θρέψαι· τὸν ἐν ἀσπίδι τραφέντα· τουτέστι τὸν στρα-τὸν λαόν· τὸν πολεμικὸν παραγώγως. Ἄλλως· ἀσπιδοφέρμονα θίασον ἔνοπλον· ὁ νοῦς οὕτως· κοσμήσας χορὸν οὐ θυρσοφόρον· ἀλλ' ἀσπιδοφέρμονα· οὐ σὺν θίασον· καὶ σύγκωμον χορόν· ἀλλ' ἀντίπαλον· οὐ κισσῷ κοσμήσας· ἀλλὰ χαλκῷ· εἰ δὲ ἦν τοῦ διονύσου οὕτως ἂν ἔφη· θυρσοφόρον θίασον· σύγκωμον· κατὰ σύμφυτα ὄρη κισσῷ κοσμήσας κατὰ τὰ λάϊνα τείχη.

Ἢ δεινά τις ἔρις.) τοῦτο καθολικόν· οὕτως δεινὴ θεὸς ἡ ἔρις· κατειργάσατο γὰρ κακὰ τοῖς βασιλεῦσι λαβδακίδαις· ἤτοι τοῖς θηβαίοις· πρόγονος γὰρ θηβαίων λάβδακος· ὦ ζαθέων πετάλων· Ὦ νάπος τῶν ζαθέων καὶ μεγάλων φύλλων· ἢ θείων· ὥσπερ φαμὲν θεῖον τόπον διὰ τὸν ἐν αὐτῷ θεόν· λέγονται γὰρ ἐν αὐτῷ ἱδρύσθαι αἱ μοῦσαι· καὶ δένδροις διαφόροις κοσμεῖσθαι. Πολυθη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρότατον.) πολλοὺς θῆρας ἔχον. Νάπος.) ὁ σύμφυτος τόπος. Ὄμμα κιθαιρῶν.) ὅπερ ἐφορᾶ ἡ ἄρτεμις. ὑπὲρ τὰ ἄλλα ὄρη. ἢ ὡς κάλλιστον παρὰ τῇ θεῷ. ὥσπερ ἐν τῷ σώματι τὸ ὄμμα. πολύθηρον γάρ ἐστι. κυνηγέτις δὲ ἡ θεὸς ἡ ἄρτεμις ὑπάρχει. Λόχευμα.) γέννημα. Ἔκβολον.) ἐκβεβλημένον. Χρυσοδέτοις.) ἡ μὲν ἰοκάστη ὡς ἀκριβῶς εἰδυῖα, εἶπε σιδηρᾶς τὰς περόνας. αὗται δὲ ὡς βάρβαροι οὐκ ἀκριβῶς ἴσασιν. Μὴ δὲ τὸ παρθένιον.) ἀπὸ κοινοῦ τὸ ὤφελεν. τουτέστιν οὐ δὲ ἡ σφὶγξ ὤφελεν εἰς τὰς θήβας ἐπεληλυθέναι. αὕτη γὰρ ἀρχὴ τῆς συμφορᾶς ἐγένετο τοῦ οἰδίποδος. διὰ τὸ εὑρηκέναι γὰρ τὸ προτεθὲν ὑπ' αὐτῆς ζήτημα, ἔγημε τὴν μητέρα κατ' ἄγνοιαν. προέκειτο γὰρ εἰς γάμον τῷ συνιέντι. Οὔρειον τέρας.) ἄγριον. ἢ ἴσως ἐπειδὴ ἐν κιθαιρῶνι ἐτρέφετο τῷ ὄρει, τέρας αὐτήν φησι. τέρας δὲ ἐστι πᾶν τὸ παρὰ φύσιν. τὸ δὲ ἑξῆς. μὴ δὲ τὸ παρθένιον πτερὸν σφιγγὸς ὤφελεν ἐλθεῖν εἰς πένθεα ταῦτα τῆς χθονός. τέρας δὲ τὴν σφίγγα λέγει, ἐπειδὴ πτερωτὴ ἦν παρθένου πρόσωπον ἔχουσα. λέοντος δὲ τὸ πᾶν σῶμα μιξοφυὴς οὖσα. Ἀμουσοτάταισι.) συγκακομούσοις προβλήμασι καὶ σοφίσμασιν. ὠδὴν δὲ κακόμουσον τὸ αἴνιγμα φησίν. ἐπεὶ ἐμμελῶς τε καὶ εὐρύθμως. καὶ ἐμμέτρως ἐλέγετο. ἐξαπόλλυε δὲ πολλοὺς τῶν θηβαίων. μὴ εὑρίσκοντες γὰρ τὸ αἴνιγμα κατησθίοντο. Ἅποτε.) ἥτις ἐπικαθεζομένη τοῖς τείχεσι τετραβάμοις χηλαῖς, τὴν καδμογενῆ γένναν εἰς αἰθέρος ἄβατον φῶς ἀνῆγεν. ἐπεὶ ἄβατος καὶ αὐτοῖς τοῖς ὀρνέοις ἐστίν. ὑπερβολικῶς δὲ τοῦτο φησίν. ἀντὶ τοῦ εἰς ὕψος πολύ. ὥστε προσεγγίζειν τῷ αἰθέρι. ἀνέφερε τὴν καδμογενῆ γένναν. τοιοῦ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

του γάρ τι ἰσορρεῖται· ὅτι εἰς ὕψος αὐτοὺς ἀνῆκε· καὶ ἠφίει ἐπὶ γῆς φέρεσθαι κάτω διασπαράξασα. Ἣν ὁ κατὰ χθονὸς, ἤγουν ἐριννύς τις· ἢ ἀϊδωνεὺς· ἢ ἀλάστωρ ἐφῆκε τῇ πόλει. πάντα γὰρ τὰ δεινὰ χθόνια ἔλεγον οἱ ἀρχαῖοι. Δυσδαίμων.) μετὰ δὲ ταῦτα δυσδαίμων ἔρις ἄλλη αὔξεται κατὰ τοὺς οἴκους τοῦ οἰδίποδος τῶν παιδίων. ἄλλη δὲ ἔρις ἄλλα ποιεῖ κατὰ διαδοχὴν κατὰ τὴν πόλιν. καὶ τοὺς οἴκους τῶν οἰδίποδος παίδων. κακοὶ γὰρ ὄντες, κακὰ πάσχουσιν ὡς παρὰ φύσιν τεχθέντες.

Οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ καλόν.) οὐ γάρ ποτε τοῦτο καλόν ἐστιν, ὅπερ αὐτὸ τὴν ἀρχὴν ἀπὸ ῥίζης μὴ ἔλθοι καλῶς. τοῦτο δ' ἐστὶ κατὰ τὸν οἰδίποδα παρανόμως γήμαντα τὴν μητέρα· καὶ παρανόμως παῖδας τεκόντα. τοῦτο οὖν φησὶ τὸ μὴ καλὸν γενόμενον, οὔποτε ἐπαινήσομεν. οὐ δὲ γὰρ αὐτοῖς γέγονεν, ἤ ἐστι καλόν. Οὐδ' οἱ μὴ νόμιμοι.) ἀπὸ κοινοῦ τὸ καλόν. οὐκ εἰσὶν οἱ νόμιμοι παῖδες καλόν. οἱ παρὰ τὸν τῆς φύσεως νόμον γενόμενοι. ἀλλὰ κατάρατοι. καὶ ἀνόσιοι. Μίασμα δὲ πατρός.) πατρὸς γὰρ σπόριμον εἰς λέχος ἦλθεν· ὅ ἐστι τοῦ ἀδελφοῦ αὐτῶν τοῦ οἰδίποδος. Ὦ πολύμοχθος ἄρης.) Ὦ πολλῶν καμάτων αἴτιος ἄρης, διατί πρὸς φόνον καὶ πρὸς θάνατον ἐνθουσιᾷς, ἀνάρμοστος ὑπάρχων ταῖς ἑορταῖς τοῦ διονύσου· οὐκ ἐπιστροφαῖς καὶ κύκλοις χορῶν καλλιχόρων εὐπρεπείαις, λέγω νεάνιδος· ἤγουν ἐφ' οἷς διαπρέπουσιν αἱ νεάνιδες, τὸν σὸν βόστρυχον ἀναπετάσας κατὰ τὰ ἀπηχήματα τῆς σύριγγος προσηχῆ μέλος. ἐν ᾧ χάριτές εἰσι χαρὰν ἐμποιοῦσαι· καὶ ἀναλλίχασιν· ἀλλὰ σὺν ὁπλοφόροις ἀνδράσι πρὸ τῶν θηβῶν χορεύεις χορείαν ὑβριστικὴν· κακομουσοτάτην.

διεγείρασ τὸν στρατὸν τῶν ἀργείων ἐπὶ φόνον. οὗ δὲ ὑπὸ τῷ διονύσῳ, τῷ μετὰ θύρσων μαινομένῳ χορεύεις. δέρματα ἐλάφων ἐνδεδυμένος. καὶ ἐπὶ τοῖς ῥεύμασι τοῦ ἰσμηνοῦ τοῦ ποταμοῦ πορευόμενος σὺν ἅρμασι. καὶ χαλινοῖς τετραπόδων μονωνύχων ἵππων ἱππεύουσιν ὁρμᾷς. διεγείρασ τοὺς ἀργείους κατὰ τῆς γενεᾶς τῶν ἀπὸ τῆς σπορᾶς τῶν ὀδόντων τοῦ δράκοντος ἀναδοθέντων. λέγω θίασον ἀσπιδοφόρον ἔνοπλον. ἀντίπαλον κατὰ τὰ λάϊνα τείχη τῆς θήβας ὁπλίσας χαλκῶν. ὄντως χαλεπὴ θεὸς ἡ ἔρις. εἴ τις ταύτας τὰς βλάβας ἐβουλεύσατο κατὰ τῶν βασιλέων τῆς γῆς ταύτης τῶν ἀπὸ τοῦ λαβδάκου καταγομένων. τῶν πολλοὺς καμάτους ὑπομεμενηκότων. Ὦ κιθαιρὼν περίβλεπτον καὶ διάδηλον ὄρος τῆς ἀρτέμιδος. ἄγαν θείων δένδρων πεπληρωμένον πολυειδῶν θηρίων ἀγρευομένων. περιεκτικὸν τῶν χιόνων καὶ φυλακτικὸν, οὐκ ὤφελες τὸν οἰδίποδα τὸν ἐκτεθέντα τῷ θανάτῳ. τὸν ἐκβεβλημένον τῶν οἴκων. τὸν ἐπίσημον ἤγουν διάδηλον ταῖς χρυσοδέτοις περόναις. τὸν τόκον τῆς ἰοκάστης θρέψαι βρέφος ὄντα. Οὐδὲ ἡ ὑπόπτερος σφίγξ. ἡ παρθένος τὸ ὄρειον πένθος τῆς γῆς ταύτης ὤφειλε δηλονότι ἐλθεῖν σὺν αἰνίγμασιν ἐμμέτροις κακομουσοτάτοις. ἥτις ποτὲ τὴν γενεὰν τὴν ἀπὸ τοῦ κάδμου καταγομένην διὰ τῶν ὀνύχων τῶν τεσσάρων αὐτῆς ποδῶν, ἠφάνιζε τοῖς τείχεσιν ἐπικαθίζουσα. ἣν ὁ καταχθόνιος ᾅδης ἔπεμψε κατὰ τῶν καδμείων. ἄλλη δὲ πάλιν ἔρις δυστυχὴς αὔξει κατὰ τῶν παίδων τοῦ οἰδίποδος. κατά τε τὰ δώματα. καὶ τὴν πόλιν. καὶ γὰρ ὅπερ οὐκ ἔστι καλὸν, οὐδέποτε φύσει καλὸν ὑπάρχει. οὐδὲ οἱ μὴ ὄντες ἔννομοι παῖδες καλοί εἰσιν. ὡς ὁ οἰδίπους. τὸ κακὸν γέννημα τῆς

μητρὸς· τὸ μεμιγμένον τῷ αἵματι τοῦ πατρός. ἡ δὲ ἰοκά-
στη ἦλθε λέχος εἰς συγγενικόν. Ἔτεκες ὦ γᾶ. Ταῦτα
ἐφεξῆς μέχρι τοῦ τέλους τοῦ χοροῦ ἀνακλητικῶς προ-
φέρουσι, μακαρίζουσαι τὰς ἀρχαίας εὐδαιμονίας τὰς
θήβας. τὸ δὲ ἑξῆς, ἔτεκές ποτε ὦ γᾶ γένναν ὀδοντο-
φυῆ σπαρτῶν τῶν ἀπὸ τοῦ φοινικολόφοιο δράκοντος·
ὥς ποτε ἠκούσαμεν κατὰ τὴν βάρβαρον ἀκοὴν ἡμῶν·
ἐν τῇ πατρίδι οὖσαι. τὸ οὖν ἀπὸ φοινικολόφοιο δράκον-
τος συντακτέον. θηρότροφον δὲ γένναν. περιφραστικῶς
τοὺς σπαρτούς· ἐπεὶ ἀπὸ θηρίου τοῦ δράκοντος ἐγεννή-
θησαν. τέθειται δὲ τὸ τραφῆναι, καὶ ἀντὶ τοῦ γεννηθῆναι·
ἢ ἀντὶ τοῦ αὐξηθῆναι, καὶ ἀναδοθῆναι ἀπὸ τῆς γῆς. κάλ-
λιστον δὲ κλέος ταῖς θήβαις αὐτοὺς τοὺς σπαρτοὺς φησί·
ἔστι δὲ τὸ ὄνειδος, τῶν μέσων λέξεων· ὡς καὶ τύχη. καὶ
δόλος· καὶ ζῆλος. Ὄνειδος.) κλέος. ἐγκώμιον.
Ὑμεναίους εἰς τοὺς γάμους δὲ τῆς ἁρμονίας ἤλυθον πο-
τὲ οἱ θεοί. Πύργος ἀνέσα.) ὁ πύργος δὲ καὶ τὰ τεί-
χη ἀνῳκοδομήθη ὑπὸ τῆς τοῦ ἀμφίονος λύρας.
Χλοεροτρόφον.) βοτανοτρόφον. Πρόπαρ.) τὸ ἔμ-
προσθεν τοῦ ἰσμηνοῦ ποτίζει. Ἰὼ θ' ἁ κερόεσσα.) καὶ
ἡ κερασφόρος ἰὼ τοὺς βασιλεῖς τῶν θηβαίων ἐγέννησε.
Μυριάδας δ' ἀγαθῶν. δεῖ δὲ φησὶ φράσαι συντόμως·
ἡ πόλις αὕτη μυρία ἀνδραγαθήματα νίκαις συνά-
πτουσα εἰς ἄκρον ἐν τῷ πολέμῳ προελήλυθεν ἀνδρα-
γαθημάτων. ὡς εἰ ἔλεγε τὴν οὕτως μακαρίαν, οὐκ ἀπει-
κὸς τοὺς ἐπελθόντας πολεμίους ἀπώσασθαι. ἢ οὕτως·
ἡ δὴ τοσαῦτα πλεονεκτήματα εὐτυχήσασα· καὶ ἄλλους
ἄλλοις ἀμειψαμένη, νῦν ἐπὶ ξυροῦ πολέμου ἕστηκεν· ἐπὶ
ἀγωνίσμασι πολεμικοῖς. Ἡ γοῦν παρθένε.) αἱ ἑξῆς
αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταλήκτων ἑπτ̄· ὧν τελευταῖος, πηρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν. Ἡγοῦ πάροιθε θύγατερ.) μαντὼ ἐκαλεῖτο ἡ θυγάτηρ τοῦ τειρεσίου. προοδοποίει ἔμπροσθεν ὦ θύγατερ. ὅτι ὀφθαλμὸς ὑπάρχεις σὺ τῷ τυφλῷ καὶ ὁδηγουμένῳ μοι ποδί, καθὰ τοῖς ἐπιβάταις τῆς νεὼς τὸ ἄστρον· εἰς ὃ δηλονότι ἀποβλέπουσι. Ἄγε πρόβαινε. προέρχου. τιθεῖσα τὸ ἐμὸν ἴχνος ἥγου ἐμὲ εἰς ὁμαλὴν καὶ ἰσόπεδον γῆν ἵνα μὴ προσπέσωμεν μὴ δυνάμενος πορεύεσθαι. ἀσθενὴς γὰρ ὁ πατήρ σου. καὶ τὰς σημειώσεις τῶν ἀποβάσεων, φύλαξαι τῇ παρθενικῇ σου χειρί. Οὓς ἔλαβον.) οἱ γὰρ οἰωνοσκόποι ἐν δέλτοις ἐσημειοῦντο τὰς πτήσεις· ἵνα διὰ μνήμης ἄγοιεν. εἰ δὲ τυφλὸς ἦν, μὴ θαυμάσωμεν. ἡ γὰρ θυγάτηρ ἔμπειρος οὖσα, ἐσημειοῦτο τὰς πτήσεις. φασὶ δὲ αὐτὴν μετὰ τὸν θάνατον τοῦ πατρὸς, ἀρίστην μάντιν γενέσθαι. οἱ δὲ θᾶκοι, τόπος θήβης· ὅποι ἐμαντεύετο ὁ τειρεσίας. Τέκνον μενοικεῦ.) ἀντὶ τοῦ τέκνον ἐμὸν καθ' ἡλικίαν. πόσου διαστήματος ἐστὶν ἡ ἐπίλοιπος ὁδὸς μέχρι τοῦ ἄστεος ἢ πρὸς τὸν πατέρα σου· κοπιῶσι γὰρ οἱ πόδες μου. καὶ μόλις περιπατῶ συνεχῆ βαδίσας βάδισιν. Τέκνον μενοικεῦ.) εἰπέ μοι πόσου διαστήματος ἡ ἔμπροσθεν ὁδὸς τοῦ ἄστεος. ἐντὸς γὰρ τοῦ ἄστεος τὴν πορείαν ἐποιεῖτο. διὰ τοῦτο φησὶν ἢ τοῦ ἄστεος ὁδός. Θάρσει ὦ τειρεσία. ἔξεστί σοι γὰρ πλησίον τῶν φίλων στῆσαι τὸν πόδα. γράφεται καὶ ἐξορμίσαι. ἀντὶ τοῦ στῆσον τὸν σὸν πόδα. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν νηῶν τῶν εἰς λιμένα καταγομένων. ἅπτου δ' αὐτοῦ καὶ ἀντιλαβοῦ τέκνον μενοικεῦ. ὅτι πᾶσα ἀπήνη. καὶ πᾶς πρεσβύτου πούς εἴωθε περιμένειν χειρὸς ἀλλοτρίας χειραγωγήματα. Ὡς πᾶσ' ἀπήνη.) ὡς πᾶν γὰρ ἅρμα· μὴ ὄντος τοῦ κινοῦντος ἡνιό-

χθου, ἀκίνητον μένει, οὕτω καὶ πρεσβύτης εἰ μή τις αὐτὸν ἀνακουφίζει, ἑαυτῷ χρῆσθαι οὐ δύναται. Εἰσίω.) ἔσω ταῦτα. διατί με ὦ κρέον μετεκαλέσω ἐν σπουδῇ. Οὔπω λελήσμεθα.) οὐδαμῶς ἐπελαθόμεθα διότι μετεκαλεσάμεθα. ἀλλ᾽ ἀνάτλαβε τὴν δύναμιν. καὶ τὴν πνοὴν σύλλεξον. ἐκβαλὼν τὸ ἆσθμα, ὅπερ ἡ ὁδὸς ἐποίησεν. Καὶ πνεῦμ᾽ ἄθροισον.) διὰ τοῦτο πνεῦμα αὐτὸν ἀθροῖσαι φησὶν, ἵνα τὴν ἔνδον ἐκ τῆς ὁδοῦ αὐτῷ συμβᾶσαν θερμότητα ἀναψύξῃ διὰ τοῦ ἔξωθεν πνεύματος. Κἆπος.) νῦν τὸν κάματον. ἢ τὸ τῆς ὁδοῦ ἆσθμα γινόμενον. ἄλλοι δὲ ἆπος τὸ ὕψος. νῦν δὲ καταχρηστικῶς τὸ μῆκος. ὡς καὶ πούς ὀλέθριος ἐν καλλιμάχῳ.

Κόπῳ πάρειμι.) χθὲς τῇ προλαβούσῃ ἡμέρᾳ. ἀπὸ τῆς γῆς τῶν ἀθηναίων παραπεμφθεὶς δεῦρο σὺν κόπῳ παραγέγονα. γράφεται δὲ καὶ παρεῖμαι. ἀντὶ τοῦ ὑπὸ τοῦ κόπου παραλέλυμαι. Κἀκεῖ γάρ.) καὶ ἐκεῖ γὰρ ἦν πόλεμος ὅντινα ἐποίησεν εὔμολπος. ὅπου νικηφόρους τοὺς ἀθηναίους ἐποίησα. καὶ τοῦτον τὸν χρυσοῦν στέφανον ὡς βλέπεις φορῶ. λαβὼν ὡς ἐξαίρετον ἀπαρχὴν ἀπὸ τῶν πολεμίων σκυλευμάτων αὐτῶν. ἐπίτηδες δὲ πρὸς ἔπαινον τῶν ἀθηναίων ἀνακεχρόνισται, τέσσαρσι γενεαῖς προύχοντα τοῦ θηβαϊκοῦ πολέμου. Ἄλλως. Τέσσαρσι γενεαῖς τοῦ θηβαϊκοῦ πολέμου, πρεσβύτερός ἐστιν εὐμόλπου ὁ πρὸς ἐρεχθέα πόλεμος. ἐρεχθέως μὲν γὰρ πανδίων. οὗ αἰγεύς. οὗ θησεὺς ὁ τῶν ἐν καδμείᾳ πεσόντων τὰ σώματα ἀνελόμενος. ἦν δὲ ὁ εὔμολπος θρακῶν βασιλεύς. ὃς λέγεται ἐλθεῖν εἰς ἐλευσῖνα. ὑπὲρ τοῦ μυηθῆναι τὰ ἐλευσίνια. καὶ πρῶτος ἱστορεῖται ξένος μυηθῆναι. διὸ καὶ ἀπ᾽ αὐτοῦ ἄρχοντες ἐγένοντο ἱεροῖσιν εὐμολπίδαι ἀθήνησιν. οὗτος συνεμάχησεν ἐλευσινίοις,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στασιάζουσι κατὰ τοῦ βασιλέως ἐρεχθέως· καὶ ἡττηθεὶς ἐφονεύθη. ὕστερον δὲ κατὰ πυθόχρηστον ἐτιμήθη. καὶ ὁ τάφος αὐτοῦ ἱερώθη, διὰ τὸ πρῶτον τὰ ἐλευσίνια μεμυῆσθαι. τινὲς δὲ υἱὸν ποσειδῶνος τὸν εὔμολπόν φασιν· ὃς ἡττηθεὶς ὑπὸ τῆς ἀθήνης εἰς τὴν ἔριν τὴν περὶ τῆς ἀττικῆς διὰ τῆς ἐλαίας, τὸν υἱὸν αὐτοῦ κατὰ τῶν ἀθηναίων ἐκίνησεν. χρυσοῦν δὲ στέφανον εἶπεν, ἐπειδὴ στεφάνους ἔχουσιν ἐν τοῖς πολέμοις· ἵνα νικῶντες ἀναδέωνται. Οἰωνὸν ἐθέμην.) σημεῖον ἐθέμην τοῦ ἡμᾶς νικῆσαι τὸν ἐπὶ τῇ νίκῃ δοθέντα σοι στέφανον. ἐν ταραχῇ γάρ ἐσμεν ὡς αὐτὸς οἶδας τοῦ πολέμου τῶν ἀργείων. καὶ δὴ καὶ μεγάλη ἐστὶ ταῖς θήβαις ἀγωνία. ὁ μὲν βασιλεὺς ἐτεοκλῆς πρὸ ὀλίγου ὁπλισθεὶς ὅπλοις ἐξῆλθε πρὸς μάχην τῶν ἀργείων. ἐμοὶ δ' ἐνετείλατο παρὰ σοῦ μαθεῖν, τί ποιοῦντες τὴν πόλιν ῥυσαίμεθ' ἄν. Ἐτεοκλέους μέν.) προεῖπεν ὁ ἐτεοκλῆς αἰτίαν τῆς λύπης τοῦ μάντεως. σοὶ μὲν γὰρ ἡδὺς εἰς λόγους ἀφίξεται. ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην. ἀντὶ τοῦ ἐξεφαύλισα. Ἐξ οὗ τεκνώθη.) τέκνου πατὴρ ἐγένετο. ἀντὶ τοῦ ἐτεκνώσε. κατὰ ἀπαρίθμησιν δὲ προάγει τὸν λόγον. ἀπὸ τοῦ λαΐου γὰρ ἀρξάμενος, κατέβη εἰς τοὺς περὶ τὸν ἐτεοκλέα. καὶ πολυνείκην. Αἱ θ' αἱματωποί.) καὶ ἐξ οὗ ἐγένοντο αἱ ᾑμαγμέναι. καὶ τετρωμέναι τῶν ὀφθαλμῶν τυφλώσεις. Θεῶν σόφισμα.) ἀντὶ τοῦ ἐπίνοια θεῶν. ἵνα πᾶσι δειχθῇ μὴ παρακούειν θεῶν. καὶ ἀπόδειξις δὲ ἤγουν παραίνεσις εἰς τὸ μὴ παραβῆναι τὸ θεῖον.

Ὡς δὴ θεούς.) ὡς δὴ μέλλοντος ἐκ τούτου τὴν τῶν θεῶν κρίσιν. καὶ ἀγανάκτησιν ὑπεκβῆναι, καὶ μέχρι τούτου οἰόμενοι στήσειν αὐτοῖς τὸ κακὸν τοῖς θεοῖς. διὰ τοῦ συγκλείειν τὸν πατέρα περιτρέχοντας. κεκρι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένον δὲ τοῖς θεοῖς, ὥς τε καὶ αὐτοὺς ἀλλήλους ἀποκτεῖναι. Ημαρτον ἀμαθῶς.) ἀπέτυχον ἀπαιδεύτως. Ουτ' ἔξοδον.) ἐλευθερίαν προσέχεσθαι τῆς οἰκίας. Εξηγρίωσαν.) εἰς θυμὸν ἐκίνησαν. Εκδ' ἔπνευσ'.) ἐξεφώνησε κατ' αὐτῶν ἀρὰς χαλεπὰς τυφλὸς ὤν. σὺν τούτῳ δὲ καὶ καταπεφρονημένος. καὶ ὑβριζόμενος. Αγω.) λείπει διὰ, διαλέγων. τὸ δὲ οὐ ἀπὸ κοινοῦ. ὁ δὲ νοῦς πράττων καὶ λέγων πολλὰ, ἐμισήθην ὑπὸ τῶν παίδων τοῦ οἰδίποδος. γράφεται καὶ εἰς ὄχλον ἦλθον. ἀντὶ τοῦ εἰς ὄχλησιν. Αὐτόχειρ.) ἀντὶ τοῦ αὐτοχέρως ἀμφότεροι φονευθήσονται. Μίξαντες.) συγκροτήσαντες. Εκεῖνο μὲν γάρ.) ἔθος ποιητικὸν, τὸ ἀπὸ τοῦ γὰρ ἄρχεσθαι. ὅμηρος. ὦ φίλοι. ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστόν. καὶ μένανδρος. ἐκ γειτόνων γὰρ οἴκων ὧ τοιχωρύχει. Πρῶτον μὲν.) ἀντὶ τοῦ πρωτεῦον. αἱρετώτερον. ἐπικρατέστερον. μηδένα τῶν καταγομένων ἀπὸ τοῦ οἰδίποδος, μὴ βασιλέα. μήτε πολίτην ὑπάρχειν τῆς χθονὸς. ὡς κακοδαιμονοῦντας. ὡς σκληρῷ δαίμονι. καὶ ἀπανθρώπῳ χρωμένους. ἐπεὶ δὲ ἐπικρατέστερόν ἐστι τὸ κακὸν τοῦ ἀγαθοῦ. καὶ ὅμηρος ἐπεὶ τὰ χείρονα νικᾷ, ἔστιν ἄλλη μία μέθοδος καὶ ἐπίνοια σωτηρίας. ἀλλ' οὐκ ἀκίνδυνον οὔτ' ἐμοὶ τόδε εἰπεῖν. καὶ λυπηρὸν τὸ σύμβαμα τῶν κλήρων τοῖς κεκτημένοις τὴν δυστυχίαν, ὥς τε παρασχεῖν τῇ πόλει θεραπείας φάρμακον. ἀπελεύσομαι. χαίρετε. εἷς γὰρ ὢν καὶ αὐτὸς. μετὰ πολλῶν θηβαίων ἀπολοῦμαι. τοῦτο γὰρ εἴρηται. Επίσχες.) ἐπίσχες σεαυτὸν ὦ πρέσβυ. καὶ καρτέρησον. Μὴ ἐπιλαμβάνου.) μή μου ἅπτου. Μένου.) περίμενον, τί φεύγεις. Τύχης τ'.) ἡ ἀγαθὴ τύχη σε φεύγει οὐκ ἐγώ. Εἰς γὰρ τί μᾶλλον.) δεῖ προθυμίαν ἔχειν, ἢ περὶ τὸ σώζειν τὴν πατρίδα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πατρίδα. ὅμηρος· εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. Κλύοις ἂν ἤδη.) ἄκουε δὴ νῦν. Βούλει παρόντος.) τὴν διήγησιν ἔδει φησὶ μὴ ἄντικρυ τοῦ μενοικέος λέγειν. ἤτοι τὰ περὶ τῆς σφαγῆς αὐτοῦ. ἀλλ' ὥσπερ καὶ ἑτέρωθι ποιεῖ. δεῦρ' ἐλθ' εἰς οἷς σοι. λέγοι δ' ἄν τις ὅτι γενικόν ἐστι τὸ πρόσωπον. καὶ φιλόδοξον. ὡς καὶ τὴν ψυχὴν προέσθαι ὑπὲρ εὐκλείας. Ἄκουε δή.) τῶν ἐμῶν μαντευμάτων τὴν μέθοδον. ἅτινα ποιοῦντες σώσαιτ' ἂν τὴν πόλιν τῶν θηβαίων. χρεία ἐστὶν ὑπὲρ τῆς πατρίδος σφάξαι τὸν σὸν παῖδα τοῦτον τὸν μενοικέα. ἐπειδὴ τὴν εὐτυχίαν τῆς πόλεως αὐτὸς ἀναζητεῖς.

Τί φής.) τί λέγεις. τίς ἐστιν ὁ λόγος οὗτος ὃν εἶπας γέρον. γράφεται καὶ οὕτως τί φής. ἐμὸν παῖδ' ἕνεκα γῆς σφάξαι θέλεις; Σοί γε.) σοὶ μόνῳ κακά. Χαιρέτω πόλις φθειρέσθω.) οἰμωζέτω. Ἐκνεύει πάλιν.) ὑποστρέφει εἰς τοὐπίσω. ἀναχωρεῖ. ἔξαρνος γίνεται.

Χαίρων ἄπιθι.) οὐ γὰρ χρεία μοί ἐστι τῶν σῶν μαντευμάτων. Ἀπώλεσεν ἡ ἀλήθεια.) τοῦτο κατ' ἐρώτησιν ὁ τειρεσίας φησί. Ὦ πρὸς σέ.) λείπει τὸ ἱκετεύω σε ὦ τειρεσία. προσπίπτω σοι κατὰ τῶν γονάτων. ἢ ἕνεκα. καὶ τῆς τιμίας τριχὸς ἕνεκα. Ἀδικεῖν κελεύεις.) προτρέπων με δηλονότι μὴ λέγειν τὸ δίκαιον. Ἄλλοις μελήσει.) ταῦτ' ἄλλοις ἔσται διὰ φροντίδος. τὸ κτανεῖν δηλονότι. ὑπ' ἐμοῦ δὲ λεχθήσεται. Ἐκ τοῦ δ' ἐμοί.) ἀπὸ ποίας αἰτίας τόδε τὸ κακὸν ἦλθεν ἐμοὶ καὶ τῷ παιδί. Ὀρθῶς.) ἁρμοδίως μ' ἐρωτᾷς. καὶ εἰς ἐξέτασιν ἄρχῃ τῶν ἐμῶν λόγων. πρέπει τόνδε ἐν τῷ φωλεῷ, ὅπου ὁ γηγενὴς δράκων ἐγένετο φύλαξ τῶν ναμάτων τῆς δίρκης, σφαγέντα, τὸ ἀπὸ τῆς σφαγῆς αἷμα δοῦναι θυσίας τῇ γῇ. διὰ τὰ μηνίματα τὰ παλαιὰ τοῦ ἄρεως, τὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατὰ τοῦ κάδμου. ὃς ἄρης ἐκδικεῖ τὸν φόνον τοῦ ἐκ γῆς γεννηθέντος δράκοντος ὃν ἐφόνευσεν αὐτὸς ὁ κάδμος. καὶ ταῦτα ποιοῦντες βοηθὸν ἕξετε τὸν ἄρην. Κάδμου παλαιῶν.) λείπει ἡ κατά. ὁ δὲ νοῦς κατὰ κάδμου. διὰ τὴν παλαιὰν μῆνιν τοῦ ἄρεως. καὶ τοῦ κάδμου. ἐπ᾽ ἐκδικίᾳ γὰρ τοῦ δράκοντος ἔτι καὶ νῦν μνησικακεῖ τοῖς περιλειφθεῖσι τῶν σπαρτῶν ὁ ἄρης. ἐπεὶ μὴ ἤμυναν τῷ δράκοντι γεγονότες ἐξ αὐτοῦ. οὔτε τοῖς ἀδελφοῖς. ἔμειναν δὲ τοῦ κάδμου φίλοι. καὶ σὺν αὐτῷ ἔκτισαν τὴν πόλιν. ὁ δὲ ἐχίων, καὶ θυγατέρα κάδμου ἔγημε. ἀλλαχοῦ δὲ φησὶ ταῦτα ὑπὸ διονύσου πεπονθέναι τὴν πόλιν. Χθὼν δ᾽ ἀντὶ καρποῦ.) ἡ γῆ δὲ ἐὰν ἀντὶ καρποῦ. ἤτοι τοῦ δράκοντος τοῦ υἱοῦ αὐτῆς, λάβῃ καρπόν, ἤτοι τὸν μενοικέα. καὶ ἀντὶ τοῦ αἵματος τοῦ δράκοντος, αἷμα βρότειον τοῦ μενοικέως, ἔσται ἵλεως ὑμῖν. ἐλυπεῖτο γὰρ ἡ γῆ ὅτι τῶν γηγενῶν σπαρτῶν ἐδέξατο τὸ αἷμα. Η ποθ᾽ ἡμῖν.) ἥτις ἡ γῆ ἀνέδωκέ ποτε ἡμῖν στάχυν τῶν σπαρτῶν χρυσοπήληκα. ἤτοι ἄνδρας χρυσαῖς περικεφαλαίαις κεκοσμημένους. οὕτω γὰρ ἀνεδόθησαν. ἢ ἀπὸ μέρους τῆς πήληκος πᾶσαν τὴν ὅπλισιν δεῖ νοεῖν. Λοιπὸς εἰ σπαρτῶν γένους.) οἱ περιληφθέντες τῶν σπαρτῶν ὡς αἰσχύλος φησίν, ἦσαν χθόνιος. οὐδαῖος. πέλωρος. ὑπερήνωρ. καὶ ἐχίων. ὃς ἔγημεν ἀγαυὴν τὴν κάδμου θυγατέρα. ἐξ ἧς ποιεῖ πενθέα. οὗ ὁ λάβδακος. οὗ μενοικεύς. οὗ κρέων. καὶ ἰοκάστη. Ακέραιος.) καθαρὸς. καὶ ἀνεπίληπτος. καὶ ἀληθὴς ἀπόγονος τῶν σπαρτῶν. Τό δὲ ἐκ τε μητρὸς ἀρσένων τ᾽ ἄπο.) ἀντὶ ἑνικοῦ τὸ πληθυντικὸν εἶπε. ἀντὶ τοῦ ἀκέραιος καὶ ἀπὸ πατρός. Αἵμονος μὲν οὖν.) ὁ αἵμων φησὶν ὁ πρεσβύτερός σου υἱὸς τὸ μεμολυσθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ μνηστείᾳ, οὐ σφαγήσεται· ἀφθόρου γὰρ ἀνδρὸς χρεία· ἢ καθὸ ἐμνηστεύσατο· ἢ ἐπεὶ ὥς λέγουσι λάθρα συνῆλθε. τοῦτο δ᾽ ὡς μάντιν εἰδότα εὐφήμως εἰπεῖν. ἀνειμένος δὲ τῇ πόλει, ἀντὶ τοῦ σφαγιασθεὶς καὶ ἱερωθεὶς τῇ πόλει. Πικρὸν δ᾽ ἀδράστῳ.) μόνος γὰρ ἐσώθη τῶν στρατηγῶν· διὸ εἶπε νόστον· πικρὸν δὲ, διὰ τὴν λύπην τῶν συστρατευσαμένων. Κλεινὰς τε θήβας.) ἐνδόξους θήσει ἀπὸ κοινοῦ. Τοῖν δ᾽ ἑλοῦ.) ἀπὸ τῶν δύο δυστυχιῶν, πρόκρινε τὴν ἑτέραν· ἢ τὸν παῖδα σῶσον· ἢ τὴν πόλιν. Τὰ μὲν παρ᾽ ἡμῶν.) πάνθ᾽ ὅσα παρ᾽ ἡμῶν ἐβούλου μαθεῖν ἔχεις· ἀντὶ τοῦ ἀκήκοας καὶ κατέχεις. Ηγοῦ τέκνον.) προσδοποιοῦ θυγατρὶ πρὸς τὸν οἶκον. ὅστις δὲ μαντικῇ χρῆται τέχνῃ μάταιός ἐστι· ἢν μὲν γὰρ τύχῃ δηλώσας μισητὰ, ἐπαχθὴς ἐγένετο ἐκείνοις δηλονότι ὧν χάριν τὰς μαντείας ποιῆται. ψευδὴ δὲ τοῖς χρωμένοις λέγων ὑπὸ συμπαθείας, ἀδικεῖ. εἰς τοὺς θεοὺς ψευδόμενος. κρύπτων τὸ ἀληθὲς καὶ μὴ διάδηλον ποιῶν τὴν δύναμιν αὐτῶν καὶ τὴν δωρεάν. τὸν ἀπόλλωνα δὲ μόνον πρέπει χρησμοὺς διδόναι τοῖς βροτοῖς. ὃς οὐ φοβεῖταί τινα. Κρέον τί σιγᾷς.) ὦ κρέον τί σιωπᾷς τὴν φωνὴν ἄηχον ὑπέχων· καὶ οὐκέτι φθεγγόμενος. ὡς εἰ λέγειν οὐ σιωπῆς σοι καιρὸς ἀκούσαντι ταῦτα· ἀλλὰ βουλεύσασθαί τι καὶ πρᾶξαι. Σχάσας.) μεταφορικῶς ἀντὶ τοῦ ἀποκόψας· καὶ ἀποκλείσας. ἄφθογγον δὲ γῆρω, ἀντὶ τοῦ ἄηχον. Κἀμοί μέν.) κἀγώ σοι οὐδὲν ἧττον συναλγῶ· ἀλλ᾽ οὐ σιωπῆς· βουλῆς δὲ μᾶλλον καιρός ἐστιν· διὸ ἔδει λαλεῖν σε. Δῆλον οἵγ᾽ ἐμοὶ λόγοι.) λείπει τὸ πρᾶγμα· δῆλον τὸ πρᾶγμα. Εγὼ γὰρ οὔποτ᾽ εἰς τόδ᾽ εἶμι.) ἐγὼ γὰρ οὐδέποτε εἰς τοῦτο τῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμφορᾶς ἀντὶ τοῦ εἰς τοιαύτην συμφορὰν ἀπελεύσο-
μαι. ὥστε παρασχεῖναι τῇ πόλει τοῦτον σφαγέντα. ἀν-
τὶ τοῦ ὥστε σφαγιασθῆναι ὑπὲρ τῆς πόλεως. πᾶσι γὰρ
ἀνθρώποις ὑπάρχει φιλότεκνος ὁ βίος. ἤγουν πάντες
ἄνθρωποι τὰ ἑαυτῶν τέκνα φιλοῦσι. οὐδεὶς ἂν δοίη
τὸν αὑτοῦ παῖδα ὥστε φονευθῆναι. μὴ ἐπαινείτω με τίς
λόγους εὐλόγους λέγων. τὰ μὰ τέκνα συμβουλεύων με
κτείνειν. ἐγὼ δὲ θνήσκειν ὑπὲρ πατρίδος ἕτοιμός εἰμι.
ἀπολυόμενος αὐτὴν τῶν περιεστώτων κακῶν. ἐν ζωῇ γὰρ
ἐγκαίρω καθέσταμαι. ἀλλ' ἄγε ὦ παῖ πρὸ τοῦ τὴν πόλιν
μαθεῖν, τὰ ἀπαίδευτα τοῦ μάντεως ἔχασας χρησήρια,
φεῦγε λίαν ταχέως τῆς χθονὸς ταύτης ἐλευθερωθείς.
λέξει γὰρ τοῖς ἄρχουσι καὶ τοῖς στρατηγοῖς ταῦτα. ἰὼν
τὰς ἑπτὰ πύλας. καὶ τοὺς λοχαγέτας παραγενόμενος
καὶ ἐὰν προφθάσωμεν, ὑπάρχει σοι σωτηρία. ἐὰν δὲ
ὑστερήσῃς ἀπολούμεθα. ἀποθανῇ γάρ. Ποῖ δῆτα.) ποῦ
λοιπὸν φύγω. εἰς τίνα πόλιν. εἰς τίνα τῶν φίλων;
Ὅπου.) ποῦ, ὅπου μακρὰν μάλιστα τῆσδε τῆς γῆς κινή-
σῃ. Οὐκοῦν.) πρέπον σε λοιπὸν ὅπου πορευθῶ λέ-
γειν. ἐκπληροῦν δ' ἐμέ. Δελφοὺς περάσας.) ἐκ τῶν
Δελφῶν περάσας δηλονότι. εἰς οὐδὲν δὲ χρήσιμον τοῦ-
το γράφει. μᾶλλον δὲ αὐτὸν ἐχρῆν σκοπεῖν, ὅπως τῶν πο-
λεμίων παρασκευαζομένων λύσῃ φυγὼν ὁ μενοικεύς.
Σεμνά.) τὰ σεβάσμια τῆς Δωδώνης θεμέλια φύλαγ-
μά μοι γενήσεται. ὅ ἐστι ποία πόλις δεξαμένη με σώ-
σει. Πόμπιμος ὁ δαίμων.) ὁδηγήσει σε ἡ τύχη.
Χρημάτων δέ.) τίς εὐπορία. Ἐγὼ πορεύσω.) ἀντὶ
τοῦ πέμψω χρυσόν. καλῶς λέγεις ὦ πάτερ. ἀπέρχου
δή. Ὡς σῶν πρός.) ἐκ παραλλήλου. ἢ ἡ εἰς πόλιν.

πρὸς τὴν σὴν κασιγνήτην ἰοκάστην ἐλθὼν· ἧς τινος καὶ-
ταρχὰς τὸν μαςὸν ἐθήλασα, τῆς μητρὸς ςερηθεὶς καὶ ὀρ-
φανὸς γενόμενος προσαγορεύων ἐκείνην· καὶ συνταξό-
μενος, ἀπελεύσομαι διατηρήσων τὴν ἐμαυτοῦ ζωήν. ἐναν-
τίως δὲ ἱςορεῖ σοφοκλῆς· μετὰ γὰρ θάνατον τοῦ παι-
δὸς ἡ μήτηρ αὐτοῦ ζῆ· ὡς ἐν ἀντιγόνῃ φησί· καὶ μὴν ὁρῶ
δάμαρτα τοῦ κρέοντος. Προσηγορήσων αὐτήν.) καὶ
σώσων τὸν βίον. Α᾿λλως. σώσων τὴν πόλιν οὐ γὰρ
ὡς ὁ πατὴρ ᾤετο. Α᾿λλ᾿ ἢ χώρει.) πορεύου ἄπελθε·
μὴ σὺ σαυτὸν ἐμπόδιζε πρὸς τὴν σωτηρίαν. Α᾿λλως·
μὴ τοσοῦτον ὅσον τὸ κατὰ σὲ μὴ γενέσθω κώλυμα.

Γυναῖκες.) ὦ γυναῖκες λίαν ἐπιτηδείως καὶ καλῶς ἐξέ-
βαλον τὸν φόβον τοῦ πατρὸς, διὰ λόγων ἀπατήσας αὐ-
τόν· ὥστε τυχεῖν ὧν βούλομαι· ὅστις ὁ πατὴρ φυγαδεύει
καὶ ὑπεξάγει τῆς πόλεως τῆς εὐτυχίας ἀποστερῶν με·
καὶ φόβῳ δίδωσιν ἐμέ· καὶ συγγνώμης ἄξιον τὸ πρᾶγ-
μα τῷ πατρί· τὸ κατ᾿ ἐμὲ δ᾿ οὐδαμῶς συγγνώμην
ἔχει, τὸ γενέσθαι προδότην τῆς πατρίδος ἥτις ἐγέννη-
σέ με· ἵνα οὖν γνῶτε ἀπελεύσομαι· καὶ σώσω τὴν πόλιν·
τὴν δὲ ζωὴν δώσω ὥστε ἀποθανεῖν ὑπὲρ τῆσδε τῆς χθο-
νός· αἰσχύνης γὰρ ἄξιον λείπει τὸ εἰ ἂν οἱ τῶν μαντευμά-
των ἐλεύθεροι καὶ ὑπὸ τῶν θεῶν μὴ ἀναγκαζόμενοι, οὐκ ἀνα-
βάλλονται ἀποθανεῖν παρὰ πόλεμον ςάντες, καὶ ὑπὲρ
τῆς πατρίδος ἔμπροσθεν τῶν πύργων μαχόμενοι· ἐγὼ
δὲ πατέρα καὶ ἀδελφὸν προδοὺς, καὶ πόλιν τὴν ἐμαυ-
τοῦ, ὡς ἄνανδρος ἔξω τῆς χθονὸς ἀπελεύσομαι, καὶ ὅ-
που ἂν ζῶ κακότροπος φανήσομαι· οὐ ποιήσω τοῦτο
μὰ τὸν μετ᾿ ἄςρων ζῆνα· τὸν ἥλιον φησὶ τὸν αἴτιον τοῦ ἐ-
μοῦ φόνου· ἄρη δὲ φόνιον, ἐπειδὴ οὗτος φονικὸς τὸν σπαρ-
τῶν· δράκοντα καταςήσας αὐτόθι φύλακα τῆς κρήνης.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξ οὗ τῶν ὀδόντων οἱ σπαρτοί. ὅς τις τοὺς ἀναδοθέντας
ποτὲ ἐκ τῆς γῆς σπαρτοὺς δεσπότας καὶ βασιλεῖς τῆς
δὲ τῆς γῆς κατεστήσατο. ἀλλ᾽ ἀπελεύσομαι. καὶ στὰς ἐκ
τοῦ ἄκρου τῶν ἐπάλξεων. καὶ σφάξας ἐμαυτὸν εἰς τὴν
θαλάμην τὴν σκοτεινὴν τοῦ δράκοντος. ὅπου ὁ τειρεσί-
ας διηγήσατο καὶ παρῄνεσε φονευθῆναι, ἐλευθερώσω
τὴν γῆν. Σφάξας ἐμαυτόν.) σωσιφάνης ὁ τραγι-
κὸς ὑπὸ τοῦ λαΐου φησὶ τεθνηκέναι τὸν μενοικέα. νικό-
στρατος δὲ, ὑπὸ τῆς σφιγγός. Σηκόν.) εἰς τὸν σηκὸν
σφάξας ἐμαυτὸν ἀπὸ τῶν τειχέων. ὡς τοῦ σηκοῦ πλη-
σίον τοῦ τείχους ὄντος. Ἐξηγήσατο.) ὅπου ὁ μάντις
ἐξηγήσατο. εἶπε γὰρ. δεῖ τόνδε θαλάμαις οὗ δράκων ὁ γη-
γενὴς ἐγένετο. δίρκης ναμάτων ἐπίσκοπος, σφαγέν-
τα φόνιον αἷμα δοῦναι γῇ χοάς. Ἀλλ᾽ εἶμι.) οὐκ ἐκ-
φεύξομαι. ἀλλ᾽ εἶμι πρὸς θάνατον ἐπάλξεων ἄκρων.
Εἴρηται λόγος.) ἐλέχθη ὁ λόγος. ἀπέρχομαι δὲ διὰ τοῦ
ἐμοῦ θανάτου δῶρον οὐκ ἀπρεπὲς τῇ πατρίδι δώ-
σων. καὶ τοῦ κινδύνου ταύτην ἐλευθερώσων. εἰ γὰρ ἕκα-
στος ὃ κατὰ δύναμιν εἶχεν ἀγαθὸν εἰσέφερε τῇ πατρί-
δι, ἐκ τῆς ἀνύσαι πᾶσαι κακοῦ αἱ πόλεις. Ἔβας ἔ-
βας.) πρὸς οὐδὲν ταῦτα. ἔδει γὰρ τὸν χορὸν οἰκτίσα-
σθαι καὶ τὸν θάνατον μενοικέως. ἢ ἀποδέχεσθαι τὴν εὐ-
τυχίαν τοῦ νεανίσκου. ἀλλὰ τὰ περὶ οἰδίπουν. καὶ τὴν
σφίγγα διηγοῦνται τὰ πολλάκις εἰρημένα. Ἔβας.)
ἦλθες ἦλθες ὦ πτερόεσσα σφίγξ. γέννημα μὲν τῆς τῶν
θηβαίων γῆς. ἐνταῦθα γὰρ ἐγεννήθης. λόχευμα δὲ, τοῦ
τυφῶνος. καὶ τῆς καταχθονίου ἐχίδνης. ἐπὶ ἁρπαγῇ
τῶν θηβαίων. πολλῶν στεναγμῶν αἰτία. πολύφθορε. μιξο-
πάρθενε. ἔχεις γὰρ τὰ μὲν παρθένου. τὰ δὲ, θηρός. ξένης
καὶ παραδόξου φύσεως φοινικὸν τέρας τοῖς τε φοιτα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέοις καὶ μανικοῖς πτεροῖς. καὶ τοῖς ὄνυξι τοῖς ὠμὰ τὰ κρέα ἁρπάζουσι πρὸς σίτησιν. ἤ τις πεδαίρουσα. τοὺς νέους ἀπὸ τῆς γῆς εἰς ὕψος αἴρουσα ποτὲ ἐκ τῶν τόπων τῆς δίρκης ἤτοι ἐκ τῶν θηβῶν. περιῆγες καὶ περιέφερον ἄναυλον καὶ ἀνήδονον ᾠδήν. ἄλυρον δὲ μοῦσαν τὸν θρῆνον. παρ' ὅσον πρὸς αὐλὸν οὐχὶ πρὸς λύραν ᾔδοντο οἱ ὕμνοι. ἱερὰν ἀπόλλωνος νομιζομένην. ἀπενθὴς δὲ θεὸς ὁ ἀπόλλων. αἰσχύλος. τί ταῦτ' ἀνωλόλυξας ἀμφὶ λοξίου. οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν. ἢ ἀμφὶ δὲ πρὸς τὸ ἔφερον. περιέφερον ᾠδήν. λέγει δὲ τὸ αἴνιγμα.

Ἄχεα πατρίδι φόνια.) λέγω φόνους. καὶ λύπας ταῖς θήβαις. τινὲς δὲ τὸ φόνια πρὸς τὰ ἑξῆς. ὅς τάδε τὰ φόνια πράξας, φόνιος ἦν θεός. ὁ ἐκ θεῶν ταῦτα πράξας. αὐτὸς φόνιος ἦν. αἱ δὲ ἰάλεμοι τῶν παρθένων. καὶ τῶν μητέρων ἐστέναζον ἐν τοῖς οἴκοις. πενθοῦσαι αἱ μέν, τὰ τέκνα. αἱ δέ, τοὺς ἀδελφούς. Ἰήιον δὲ βοάν. θρηνητικὴν βοήν διὸ τὸ μὲν θρήνων, ψιλοῦται. τὸ δὲ παιώνων δασύνεται. Ἐπωτότιζεν.) ἄλλος ἄλλῳ ἐθρήνει. ὁ στεναγμὸς δὲ καὶ ἡ ἠχὴ βροντῇ ὑπῆρχεν ὅμοιος. ὅταν ἀναρπάσειεν ἡ σφὶγξ ἀπὸ τῆς πόλεως τινὰ τῶν ἀνδρῶν θρῆνος καὶ βοὴ ἐγένετο. μετὰ χρόνον δὲ ὁ ἄθλιος οἰδίπους εἰς τήνδε τὴν γῆν τῶν θηβαίων ταῖς τοῦ ἀπόλλωνος παραπομπαῖς ἦλθε. Ἀποστολαῖς.) πυνθανομένῳ γὰρ οἰδίποδι περὶ τῶν γονέων, ἔχρησεν αὐτῷ ὁ θεὸς ὡς ἀποκτείνας τὸν πατέρα, γαμήσει τὴν μητέρα. διὸ εἰς θήβας ἦλθεν, οὐκ εἰς κόρινθον. φοβούμενος μὴ ἀποκτείνας πόλυβον, γαμήσει μερόπην. Τότε μὲν ἄσμενος.) ἀντὶ τοῦ ἡδὺς διὰ τὸ λῦσαι τὸ αἴνιγμα. πάλιν δὲ ἤτοι ὕστερον ἄχη συνάπτει. διὰ τὸν γάμον τῆς μητρός. καὶ τὰ λοιπά. ἀπὸ κοινοῦ δὲ τὸ συνάπτει.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καλλίνικος ὤν.) τὸ ἑξῆς καλλίνικος γὰρ ὢν τῶν αἰνιγμάτων τῆς σφιγγὸς ἕνεκα, γάμους συνάπτει τῇ μητρί. Μέλεος.) ἀπὸ τούτου εὐθέως ἐχρῆν ἄρξασθαι τὸν χορὸν ἐκεῖνα γὰρ προοίμιά εἰσι. διὰ φόνων δὲ διέρχεται εἰς τὴν μεμιασμένην φιλονεικίαν. λέγει δὲ τὴν μονομαχίαν. καταβαλὼν διὰ τῶν ἀρῶν τὰ ἑαυτοῦ τέκνα ὁ ἄθλιος.

Ἄλλως. Δι' αἱμάτων.) τὴν πόλιν δὲ διὰ φόνων ἐναλλάσσει. τὸ γὰρ ἀμείβει ἀμείβεσθαι ποιεῖ. ἐμβαλὼν διὰ καταρῶν τοὺς παῖδας εἰς φιλονεικίαν. Ἄλλως. τὰ πρῶτα κακὰ, δι' αἱμάτων ἤλλαξεν. ἐμβαλὼν τοὺς παῖδας διὰ καταρῶν εἰς φιλονεικίαν. Ἀγάμεθα ἀγάμεθα.) θαυμάζομεν. καὶ ἐκπληττόμεθα τὸν μενοικέα ἐκεῖνον. ὃς ἦλθεν ἐπὶ θάνατον ὑπὲρ τῆς ἑαυτοῦ πατρίδος. κρέοντι μὲν καταλείψας θρήνους. τὰς δ' ἑπτάπυλους θήβας νικηφόρους καταστήσων. ἀντικαταλλασσόμενος ἑκουσίῳ θανάτῳ τὴν εὔκλειαν. Γενοίμεθ' ὦ δέ.) εἴθε ὦ δέσποινα ἀθηνᾶ. καὶ ἡμεῖς εὐτυχήσαιμεν τοιούτων τέκνων. ὡς παρθένοι δὲ παρθένῳ θεῷ εὔχονται. ταύτην πῶς εἰδέναι θεόν. συμπεριλαμβάνουσι δὲ τὸ πᾶν γένος γενοίμεθα λέγουσαι. Ἃ δράκοντος.) ἥτις τὸν φόνον τὸν διὰ λίθου γενόμενον τοῦ δράκοντος πεποίηκας. δοκεῖ γὰρ ἀθηνᾶ συμπρᾶξαι τῷ κάδμῳ κατὰ τῶν σπαρτῶν. καὶ ἱδρύσατο ταύτην ὄγκαν προσαγορεύσας τῇ τῶν φοινίκων διαλέκτῳ. ἐπιγέγραπται δὲ τῷ ἱερῷ τούτῳ, ὄγκας νηός. τουτέστιν ἀθηνᾶς. ὅν ποτε κάδμος ἔσσατο. βοῦν θ' ἱέρευσεν ὅτ' ἔκτισεν ἄστυ τὸ θήβας. Καδμείαν μέριμναν.) τὸν κάδμον προτρεπτικῶς διεγείρασα καὶ παρορμήσασα εἰς ὀργήν. ἤτοι εἰς τὸν φόνον τοῦ δράκοντος. Ὅθεν.) ἤγουν ἀφ' ἧς αἰτίας ἐπῆλθεν εἰς τὴν δὲ τὴν πόλιν μεγάλη τις βλάβη ταῖς τῶν θεῶν ἀρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παγαῖς· ἥρπαζε γὰρ ἡ σφὶγξ· ὁ δὲ μενοικεὺς ἔπαθεν τι ὅμοιον ἁρπαγῆ· Ωὴ·) τοῦτο καὶ ἐπὶ χαρᾶς λέγεται· καὶ ἐπὶ φόβου καὶ θρήνου· ἐνταῦθα δὲ ἐπὶ χαρᾶς· Εκπορεύεται·) ἐξέρχεται· Διὰ μακροῦ·) βραδέως μὲν ἐξέρχη· ἀλλ' ὅμως δὲ ἐξῆλθε· καὶ ἄκουσον ἔνδοξε γυνὴ τοῦ οἰδίποδος· παυσαμένη τῶν θρήνων· καὶ τῶν θρηνωδῶν δακρύων· Οὐ παρ' ἐλπίδα βέβηκας·) ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται οὗτος ὁ στίχος· ἐπειδὴ ὑπαπιστῆσαι αὐτοῦ ἡ γυνὴ διὰ κεχωρίσαι τοῦ δεσπότου· διὰ τοῦτο ὑπονοεῖ μὴ καὶ τέθνηκεν· Ως ἀπαλλάξω·) τὸ ὡς ἀντὶ τοῦ ἵνα· ἦλθον ἵνα σε ἀπαλλάξω τοῦ φόβου· Επτάπυργοι·) ἀντὶ τοῦ ἑπτάπυλοι· πύργος γὰρ ἡ ἀσφάλεια· Αλλως· Αἱ ἑπτάπυλοι σκέπαι τῆς πόλεως· Ηλθον δὲ πρὸς κίνδυνον·) ἀντὶ τοῦ συμβαλόντες τοῖς ἀργείοις, κινδύνου διάπειραν ἔσχον· Ακμὰς ἐς αὐτὴν·) εἰς αὐτὴν ἦλθον τοῦ πολέμου τὴν σφοδρότητα· ἀλλ' ὁ τῶν καδμείων πόλεμος, κρείσσων ἐγένετο τῶν ἀργείων· Εἶπε πολυνείκους πέρι·) φιλοστόργου μητρὸς ἦθος· εὔχεται γὰρ ἑκάτερον εὐτυχῆν· ἀκούσασα δὲ περὶ ἐτεοκλέους καὶ περὶ πολυνείκους ἐρωτᾷ· Ξυνωρίς·) ἡ δυάς· Εὐδαιμονοίης·) εὐτυχοίης· λέξον δὲ πῶς τοὺς ἀργείους ἀπὸ τῶν πυλῶν ἀπεδιώξατε περικυκλούμενοι ὑπ' ἐκείνων ὅπως εἰσελθοῦσα εὐφραίνω τὸν τυφλὸν οἰδίποδα· τῆς γῆς ταύτης φυλαττομένης· Μελάνδετον·) μέλαιναν λαβὴν ἔχον κερατίνην· ἢ σιδηρᾶν· ἡσίοδος· μέλας δ' οὐκ ἔσκε σίδηρος· ἐπ' ἄκρων δὲ πύργων πρὸς τὸ πᾶσι τὴν πρᾶξιν καταφανῆ γενέσθαι· τὸ ἑξῆς ξίφος μελάνδετον· σωτήριον· Λοχαγέτας·) λόχους· τάγματα· Φύλακας διὰ τοῦτο ἑπτὰ ἔταξε στρατηγοὺς πρὸς ταῖς ἑπτὰ πύλαις, ἑαυτὸν οὐ κατατάξας· ὅπως

αὐτὸς περιάρχοιτο τὰς πύλας. Ἐφέδρους.) ἀντιπάλους ἀγωνιστὰς. ἐπικαθεζομένους ἀντιπαλαίσθαι, ἐὰν ἐπικρατῇ τὸ ἀντίπαλον μέρος. Ὁπλίτας.) πεζούς. Ὡς τῷ νοσοῦντι.) τῷ νοσοῦντι μέρει τῶν τειχῶν. Τευμησσόν.) τευμησσὸς, ὄρος βοιωτίας. ἀντὶ τοῦ τῷ τευμησσῷ παρακειμένην χώραν. ἐπεὶ πῶς ὁρᾶν ἐδύνατο, τοῦ τευμησσοῦ ἀφεστηκότος πλέον ρ' σταδίους τῶν θηβῶν. ἢ οὐκ ἐκλιπόντα. ἀλλ' ἤδη καταλιπόντα. Καὶ τάφρου πέλας.) πλησίον τῆς σούδας.

Παιᾶν,) εἶδος ᾠδῆς λεγόμενον εἰς ἀπόλλωνα ἐπὶ καταπαύσει τῶν δεινῶν. Νηίταις πύλαις.) ἢ ἀπὸ νηΐδος τῆς ἀμφίονος καὶ νιόβης. ἢ ἐπεὶ νεάται εἰσίν. ὁ δὲ φερεκύδης ἀπὸ νηΐδος τῆς ζήθου θυγατρός. Πεφρικότα δὲ ἐξορθούμενον ταῖς ἀσπίσιν. ὡς τὸ ἔφριξε δὲ μάχη φθισίμβροτος. Προιτίδας.) ἐκβληθεὶς γὰρ ὑπὸ ἀκρισίου, ᾤκησεν ὁ προῖτος εἰς τὰς θήβας. πλησίον τούτων τῶν πυλῶν. Σφάγι' ἔχων.) ἱερεῖα εἰς σφαγὴν ἔχων ἕτοιμα ἐν τῷ ἅρματι. ἵν' εἰ χρεία γένοιτο μαντείας, εὐθέως σφάξας μαντεύσηται.

Οὐ σημεῖ' ἔχων.) οὐκ ἔχων ἐπὶ τῇ ἀσπίδι σημεῖα ὑπερήφανα. καὶ μετὰ ἀλαζονείας. ὡς τὰ καπανέως. καὶ παρ' αἰσχύλῳ. τοίαν ὁ μάντις ἀσπίδ' ἔχων πάγχαλκον εἶπε. σῆμα δ' οὐκ ἐπῆν κύκλῳ. Πανόπτην.) τὸν ἄργον κύνα. Στικτοῖς.) ποικίλοις. κατὰ πληκτικοῖς. Ἐπιτολαῖσι.) τοῖς μὲν πρὸς ἀνατολὰς κειμένοις ὄμμασι βλέποντα. μύοντα δὲ τὰ πρὸς δύσιν. θέλει γὰρ αὐτὸν τοῖς μὲν διαγρυπνεῖν. τοῖς δὲ καθεύδειν ὄμμασι. Ἄλλως. Ὁ εὐριπίδης ἔνια μὲν τῶν τοῦ ἄργου ὀμμάτων συνανατέλλειν φησὶ τοῖς ἄστροις δεδορκότα. τὰ δὲ πρὸς ταῖς δύσεσι καταμύειν. ὁ μὲν γὰρ φερεκύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δης ἐπὶ τοῦ ἰνίου φησὶν αὐτὸν ἔχειν ὀφθαλμόν· ἅμα δη-
λῶν, ὅτι δύο ἐγένοντο ἄργοι· γράφει δὲ οὕτως· Ἄργος
ὁ διὸς, γαμεῖ πειθὼ τὴν ὠκεανοῦ θυγατέρα· τοῦ δὲ γίνε-
ται κρίασος· τοῦ δὲ, ἐρευθαλίων· ἀφ' οὗ ἐρευθαλία πό-
λις καλεῖται ἐν ἄργει· καὶ φόρβας· τοῦ δὲ, γίνεται ἀρέ-
στωρ· τοῦ δὲ, ἄργος· ᾧ ἥρα ὀφθαλμὸν τίθησιν ἐν τῷ ἰνίῳ·
καὶ τὸν ὕπνον ἐξαιρεῖται· καὶ ὑφίσταται καὶ φύλακα αὐ-
τὸν τῆς ἰοῦς· ἔπειτα ἑρμῆς αὐτὸν κτείνει· διονύσιος δὲ ἐν
τῷ ἐνδεκάτῳ τοῦ κύκλου βύρσαν αὐτὸν ἠμφιέσθαι φη-
σί· καὶ κύκλῳ τὸ σῶμα ὅλον ὠμματῶσθαι· ὁ δὲ τὸν *
ποιήσας φησί· καί οἱ ἐπίσκοπον ἄργον ἵει κρατερόν τε
μέγαν τε· τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ
ἔνθα· ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος· οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροισι· φυλακὴν δ' εἶχεν ἔμπεδον αἰεί·
Ὁμωλοῖσι·) πύλαι θηβῶν αὗται οὕτως ἐκλήθησαν, ἀπὸ
ὁμωλοέως τοῦ ἀμφίονος· τοὺς γὰρ περὶ ἀμφίονα φασὶν
* ἅμα κάδμῳ τειχίσαι τὴν πόλιν· ἀριστόδημος
δ' αὐτάς φησιν οὕτω κληθῆναι, διὰ τὸ πλησίον εἶναι τοῦ
ὁμολώου· ἄλλοι δὲ ἀπὸ μιᾶς τῶν νιόβης θυγατέρων·
ὁμολωΐδος καλουμένης· Λέοντος δέρος·) λέοντος
δέρμα ὁ τυδεὺς εἶχεν ἐγγεγραμμένον· τῇ μὲν λαιᾷ
τὸ δέρμα· τῇ δὲ δεξιᾷ, τὸ πέλτον· τὸ δὲ Τιτᾶν προμη-
θεύς·) οὕτως ἐξεδέξαντο τινές· ἀντὶ τοῦ δόρυ εἶχεν
ὡς τιτάν, ἀλλ' αὐτόχρημα τιτὰν προμηθεύς· Ποτνιά-
δες·) τὰς τοῦ γλαύκου φησίν· αἳ λυσσήσασαι, κατέφα-
γον τὸν δεσπότην γλαῦκον τὸν σισύφου· ἐν ποτνίαις τῆς
βοιωτίας· Κρηναίαισι·) ταῖς ἐν τῇ δίρκῃ· Ἐφοι-
των·) ἐσκίρτων· Στρόφιγξι·) μηχαναῖς Ἔνδο-
θεν·) κυκλούμεναι ἔνδοθεν τῆς ἄντυγος· δηλονότι· ἵνα
εἴη κατὰ μέσον τῆς ἀσπίδος· στρόφιγξι ὁ, ταῖς περιφε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρας τοῦ δρόμου. Πόρπαξ ὑπ' αὐτόν.) κατὰ τὸ μέσον τῆς ἀσπίδος. Ἐπ' ἠλέκτραις πύλαις.) ἀπὸ ἠλεκτρύωνος τοῦ πατρὸς ἀλκμήνης· ἢ ἀπὸ ἠλέκτρας τῆς ἀμφίονος. ἔνιοι δὲ ἀπὸ ἠλέκτρας τῆς ἁρμονίας μητρός. ἧς εἶναι ἀνάθημα φασὶ τὸ ἐν τροίᾳ παλλάδιον. τὸ κλαπὲν ὑπὸ ὀδυσσέως καὶ διομήδους. Σιδηρονώτοις.) πῶς οὖν ἀνωτέρω εἶπε λεύκασπιν εἰσορῶμεν ἀργείων στρατόν. ἐν δὲ τῇ ἀντιγόνῃ τὴν χρυσεόνωτον ἀσπίδα τοῦ καπανέως, λεύκασπιν μὲν οὖν ἀπὸ τοῦ πλεονάζοντος φησί. χρυσεόνωτον δὲ τὸν πολυτελῆ. σιδηρόνωτον δὲ, τὴν ἰσχυρὰν ἀσπίδα. Σιδηρονώτοις.) χαλκενδύτοις. Ὑπόνοιαν ἡμῖν.) τουτέστιν ὑποψίαν καὶ σημεῖον ὁποῖα ἡ πόλις πείσεται. ὑπέκειτο γάρ φησι καὶ ἐζωγράφητο ὑπὸ τῆς ἀσπίδος γίγας φέρων ἐπὶ τοῖς ὤμοις πᾶσαν τὴν πόλιν ὑπόνοιαν διδούς. καὶ τὰ ἑξῆς. Ἑκατὸν ἐχίδναις.) πληρῶν τὴν ἀσπίδα ἑκατὸν ἐχίδναις. ἐχιδνοκέφαλος γὰρ ἡ ὕδρα. ἡ δὲ σύνταξις πολλαῖς ἐχίδναις. τουτέστι κεφαλαῖς ὕδρας ἐκπληρῶν τὴν ἀσπίδα. ἀντὶ τοῦ πληρώσας. τὸ δὲ ἑξῆς ἀσπίδα ἔχων λαιοῖς ἐν βραχίοσιν, ἑκατὸν ἐχίδναις ὕδρας ἐκπληρῶν τῇ γραφῇ. ἀντὶ τοῦ ἑκατὸν κεφαλαῖς. λέγει δὲ τὴν ὕδραν. ἐχιδνώδεις γὰρ ἦσαν αἱ ταύτης κεφαλαί.

Σύνθημα. ἀγγελίαν. μήνυμα. σημεῖον τι ἴδιον εἰ γινώσκουσιν ὑπὲρ τοῦ μὴ τοὺς ἰδίους φονεύειν. Ποιμέσι δὲ λόχων. τοῖς στρατηγοῖς τῶν ταγμάτων. Μεσαγγύλοις δὲ, τοῖς ἀκοντίοις. διὰ τὸ κατὰ μέσον τοῦ ξύλου, τὰ ἀκόντια ἀγκύλον τι καὶ κοῖλον ἔχειν. ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν τῇ ἐργασίᾳ. Τί μέλλετε.) διατί κατ' ὀλίγον ἀναλισκόμεθα. καὶ οὐχὶ πάντες ἐμπίπτομεν ταῖς πύλαις. γυμνῆτες δὲ οἱ σφενδονῆται καὶ

οἱ τοξόται. Ξανθὸν δὲ κρᾶτα.) ἀμφίβολον πότερον τοὺς κρᾶτας εἶπεν, ἢ τὰς κρᾶτας. ἐπεὶ καὶ ἐν ἀρχελάῳ. ἐγὼ δὲ τὴν σὸν κρᾶτ᾽ ἀναστρέψαι θέλω. καὶ ὅμηρος ἀμφιβόλως εἴρηκεν. ἀπὸ κρατῶν τυπτομένων. καὶ ἴσων. τύπτων τὴν αὐτοῦ κρᾶτα. Διεπάλωσε.) διελέπτωσε. Ο δ᾽ ἀρκὰς.) ἀρκὰς γὰρ ὢν ἐν ἄργει ἐπαιδεύθη. ὡς ἐν ἄλλοις φησίν. ἀρκὰς μὲν ἦν. ἐλθὼν δ᾽ ἐπ᾽ ἰνάχου ῥοαῖς παιδεύεται κατ᾽ ἄργος. Τυφῶς πύλαισι.) τύφεσθαι ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς συγκεχύσθαι. μένανδρος ἐν φιλαδέλφοις. νὴ τὸν δία τὸν μέγιστον ἐκτυφήσομαι. καὶ ἐν ἐπιτρέπουσιν. ἐξετύφην μὲν οὖν κλαίουσα. τυφῶς μὲν οὖν ἡ ἐκ τῆς ἀναθυμιάσεως πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα συστροφή. βούλεται δὲ ἀπὸ μέρους τὸ πῦρ δηλῶσαι. ἐμπεσὼν φησὶ ταῖς πύλαις ὡς πῦρ, ἀνεβόησε φωνῇ μεγάλῃ. πῦρ καὶ δικέλλας αὐτῶν. τινὲς ἐκ τοῦ τυφῶνος ἐδέξαντο ἑνὸς τῶν γιγάντων. Ἀλλ᾽ ἔσχε πρὸς ταῖς κρηναίαις πύλαις φησὶ τὸν παρθενοπαῖον ὑπὸ τοῦ περικλυμένου λιθοβοληθῆναι ἀριστόδημος. ἁμαξοπληθῆ δὲ, δυναμένην πληρῶσαι ἅμαξαν. ἀπὸ κοινοῦ τὸ ἐμβαίνων. Κυβιστῆρας.) ἐκπεπνευκότας τὴν ψυχὴν παραδιδόντας. καὶ ἀπὸ τῆς κεφαλῆς πίπτοντας. Ἀταλάντης γόνος.) ὁ παρθενοπαῖος. Τυφῶς.) πράσιος δαίμων. καὶ τὸ σφοδρὸν τοῦ ἀνέμου. Μαργῶντα.) μεμηνότα. Εναλίου θεοῦ.) τοῦ ποσειδῶνος. Γεῖσ᾽ ἐπάλξεων.) τὰ ἄκρα τῶν ἐπάλξεων. Διεπάλωσεν. εἰς λεπτὰ διέχεε. καὶ γὰρ παιπάλη λέγεται τὸ λεπτὸν τοῦ ἀλεύρου. ὅμηρος. ὡς δέ τε πολυπτυχίων ἐπάλωσεν ἀρούρας. ἀντὶ τοῦ ἐπέπασεν. παρὰ τὸ παλάσσετο δ᾽ αἵματι θώραξ. Ῥαφὰς.) συνδέσεις. Οἰνωπὸν.) πυρράν. ξανθίζουσαν γένυν. τὴν παραχρῆμα

ἡματῶσεν. Οὐδ᾽ ἀποίσεται.) οὐδὲ κομίσῃ ἑαυτὸν
ζῶντα πρὸς τὴν μητέρα. Ἐπῄει.) ἐπήρχετο. Παρα-
σπισάς.) ἀσπιδηφόρους. Ἐριπνάς.) τῶν ἐπάλξεων
τὰ ἄκρα. ὥστε καταλεῖψαι τὰς ἐπάλξεις φυγάδας
γενομένους ἡμᾶς. Ἀλλάνιν.) τὸν λαόν. Συναθροίζε-
ται.) συνάγει πάλιν. καὶ ἐν τοῖς πύργοις ἵστησιν. Νοσοῦν.)
τοῦτο τὸ μέρος παύσαντες δυστυχοῦν. καὶ κακῶς ἔχον, ἐ-
σπεύδομεν εἰς ἄλλας πύλας. Ὡς.) πῶς. Ἀμβάσεις.)
πρὸς τὰς ἀναβάσεις τῆς ὑψηλῆς κλίμακος βαστάζων,
ἐπορεύετο. Καὶ τοσόνδ᾽ ἐκόμπασε.) καὶ τοσοῦτον ἐκαυ-
χήσατο, μηδὲ τὸ τίμιον πῦρ ὅ ἐστιν ὁ κεραυνὸς κωλύειν
αὐτὸν, τοῦ μὴ πορθεῖν τὴν πόλιν ἀπ᾽ ἄκρων τειχῶν. Κατ᾽
ἄκρων.) ἢ κατὰ πρὸς τὸ ἑλεῖν. περγάμων ἤτοι τῶν τειχῶν.
εἰς τὸ μὴ καθελεῖν τὴν πόλιν. τὸ γὰρ οὐ πλεονάζει. Ὑπ᾽ αὐ-
τὴν ἀσπίδα.) ἐναργῶς ἔδειξε τοῦτον ὑπὸ τῇ ἀσπίδι κε-
καλυμμένον. καὶ βαλλόμενον ἄνωθεν. ὡς τῷ ἀσπίδι ταυ-
ρείῃ κεκαλυμμένος. περιφραστικῶς δὲ ἐνήλατα ὅπου ἐ-
πιβαίνομεν. ἢ τὰς βάσεις τῶν ἐνηλάτων τῆς κλίμακος.
Ἄλλως. Ἐνήλατα εἰσὶ τὰ ὀρθὰ ξύλα. ἔνθα πήγνυται
καὶ ἐλαύνεται τὰ βάθρα τῆς κλίμακος. Ἀμείβων.)
διερχόμενος. Ἐσφενδονᾶτο.) ὡς ἀπὸ σφενδόνης
ἐχωρίζετο καὶ ἐρρίπτετο τὰ μέλη αὐτοῦ ἀπ᾽ ἀλλήλων.
Κῶλα.) τὰ ἄκρα τῶν ποδῶν ὡς κύκλωμα δέ. ὡς ὁ τρο-
χὸς τοῦ Ἰξίονος. περὶ ὃν ἀεὶ στρέφεται. οὕτως γὰρ ὁ Ἰξίων
διὰ τὸ ἐρασθῆναι Ἥρας, ταύτην κατεδικάσθη τὴν τιμω-
ρίαν ἐν ᾅδου. Ἔμπυρος.) κεκαυμένος. Καθεῖσιν.)
καθεσθῆναι ἐποίησεν ἔξω τῆς σουδας. Ἁρμάτων ὀ-
χοῦς.) τὰ ἅρματα περιφραστικῶς. Κἀς μέσ᾽.) ἐν
μέσῃ τῇ παρατάξει. Ἄξονές τ᾽ ἐπ᾽ ἄξοσι.) καὶ παρ᾽ αὐ-
χύλῳ ἐν γλαυκῷ ἐφάρματος γὰρ ἅρμα. καὶ νεκρῷ νε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς. ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐκπεφυγμένοι. Ἐξευσωρεύονθ' ὁμοῦ.) σωρηδὸν ἀλλήλοις ἐπέκειντο. Ἔσχομεν κατασκαφάς.) τοὺς θεμελίους τῶν πύργων κατασκαφῆναι διεκωλύσαμεν. Θεοῖς μέλει.) τοῖς θεοῖς φροντίς ἐστι. Καλὸν τὸ νικᾶν.) καλὸν τὸ νικᾶν ἐστίν. εἰ δὲ καὶ βέλτιον τοῦ νικᾶν ἡμᾶς βούλονται οἱ θεοί, εὐτυχεῖν ἄν. λέγει δὲ τὸ φιλίαν ἐμβαλεῖν τοῖς ἀδελφοῖς. Εἰ δ' ἀμείνονα.) τινὲς ἀντὶ τοῦ δικαίαν. ὁ δὲ νοῦς, ἐγένετο μὲν νικᾶν τοὺς θηβαίους. εἰ δὲ οἱ θεοὶ τὰ δίκαια κρίνουσι. καὶ συμβῇ ἀπολέσθαι τοὺς θηβαίους, ἀλλ' οὖν ἐγὼ διαφύγοιμι. Ἀλλ' ἀνελθέ μοι.) ἀνάδραμε. διήγησαι. Ἔα τὰ λοιπά.) μὴ περαιτέρω πύθῃ. Δεῦρ' ἀεί.) ἀντὶ τοῦ μέχρι τοῦ νῦν. ἕως τούτου. ἐπειδὴ δὲ εἶπεν ἔα τὰ λοιπὰ εἰ καλῶς πράσσεις, εἶπεν ὅτι εἰς ὑποψίαν εἶπας. Ὑπασπιστοῦ.) ἀντὶ τοῦ ἀσπιδηφόρου. ἔρημος. καὶ μεμονωμένος ἐστὶ ἐμοῦ τοῦ ὑπασπιστοῦ ὁ σὸς παῖς. Καὶ στέγεις ὑπὸ σκότῳ.) καὶ καλύπτεις ἐν ἀφανείᾳ. Ἐπ' ἀγαθοῖσι.) πρὸς οἷς ἔλεξα ἀγαθοῖς, οὐκ ἂν παραγγέλλοιμι τὰ κακά. Εἰ μή με φεύγων.) λέξεις δηλονότι. Τί μ' οὐκ ἔασας.) διατί μετὰ τὴν εὐάγγελον ἀγγελίαν οὐκ ἀφῆκάς με ἀπελθεῖν. ἀλλ' ἀναγκάζεις μηνῦσαι τὰ κακά. Τὼ παῖδε τὼ σὼ. φροντίζουσι. τολμᾶν λέγω ἀπρεπέστατα τολμήματα. μονομαχεῖν ἰδίᾳ παντὸς τοῦ στρατοῦ. λέξαντες εἰς μέσον τῶν ἀργείων καὶ καδμείων λόγον τοιοῦτον, ὁποῖον μὴ ὤφελον εἰπεῖν. ὁ ἐτεοκλῆς δὲ ἤρξατο τοῦ λόγου ἀφ' ὑψηλοῦ πύργου στάς. κελεύσας τοῖς κήρυξι σιγὴν κηρῦξαι τῷ λαῷ. Ὦ γῆς ἑλλάδος.) ὁμηρικῶς ἤρξατο. κέκλυτέ μευ τρῶες. καὶ εὐκνήμιδες ἀχαιοί. οὗτος δὲ ὁ στίχος, ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψυχὰς ἀπεμπολᾶτε.) τὴν ζωὴν ὑμῶν προδίδοτε. ἀπεμπολᾶν κυρίως τὸ πιπράσκειν. Ἄλλως. Εἰς κίνδυνον ἐκδίδοτε. ἡ μεταφορὰ ἀπὸ τῶν κινδυνευόντων ἐν θαλάσσῃ κέρδους χάριν. Μεθεὶς.) ἐκ βαλὼν τὸ θάνατον, μόνος συγκροτήσω τῷ ἀδελφῷ μου μάχην. Μεθεὶς.) παύσας. ἐκ βαλὼν τὸν κίνδυνον ὑμῶν καὶ τὸν πόλεμον. Νείσεσθε.) πορεύεσθε. Σπαρτῶν τε.) καὶ ὁ τῶν θηβαίων ὄχλος ἀποθανών, αὐτάρκης. Ἐκ τάξεων.) ἐκ τῶν ταγμάτων ὥρμησε. καὶ συνήνεσε τοὺς λόγους. καὶ οἱ ἀργεῖοι πάντες ἐπευφήμησαν ἃ ὁ ἐτεοκλῆς εἶπεν. καὶ οἱ καδμεῖοι. ὡς δίκαιον τόδε νομίζοντες. ἐπὶ τούτοις ἐφιλιώθησαν. καὶ ἀπὸ τῶν δύο μερῶν ὅρκους ὤμοσαν ἐμμένειν τοῖς ὅρκοις τοὺς στρατηγούς. Κἀν μεταιχμίοις.) μεταίχμιον λέγεται ὁ τόπος ὁ μεταξὺ τῶν δύο στρατευμάτων. ἐπὶ τούτοις τοῖς ὁμιλήμασιν ἐν τοῖς μεταιχμίοις συνελθόντες, ἐπείσθησαν τὸ ἐμμένειν αὐτοῖς οἱ στρατηγοί. ἢ τοὺς ἄλλους βασιλεῖς καὶ τὰ στρατεύματα νοοῦσιν ἐμμένειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων. Ὅρκους συνῆψαν.) οἷον τὰ πρὸς τοὺς ὅρκους ἐπιτήδεια συνέμιξαν θηβαῖοι. καὶ ἀργεῖοι. τουτέστι τὸν οἶνον. καὶ τὸ αἷμα τῶν ἱερείων. Ἤδη δ' ἔκρυπτον.) ἐξ ἐκείνου τὸ σῶμα καθώπλιζον. Πρόμον.) πρόμαχον. Ἔσαν δ'.) ἔστησαν δὲ φαιδροί. καὶ οὐκ ἠλλοίωσαν τὴν ὄψιν.

Μαργῶντε.) μανικῶς ὁρμῶντες πέμψειν κατ' ἀλλήλων τὸ δόρυ. Ἄλλος.) ἄλλος δὲ τῶν φίλων ἀπ' ἄλλου μέρους παρεκβαίνοντες διὰ λόγων εἰς θάρσος προβάλλοντες προσηνυδῶν ταῦτα. Ἐν σοὶ ζωὴς.) ἐν σοὶ τρόπαιον στῆσαι ἐστὶν ἡμῖν ἐλπίς. τῷ τε ἄργει εὔκλειαν ἀπαγγελίαν δοῦναι. ἡ εὔκλειαν, λόγον. καὶ φήμην καταλῆψαι τῆς πατρίδος. Ἄλλως. Ἐν σοὶ κεῖται ἀνορ-

θῶσαι

ἐῶσαι τὸ εἴδωλον τὸ νικητήριον· οἱ γὰρ νικῶντες εἴδω-
λον ἵστασαν τοῦ διός. Ἐτεοκλέα δ' αὖ.) ἀπὸ κοινοῦ
τὸ ἐθάρσυνόν τε καὶ ἔλεγον. Ἐμπύρους τ' ἀκμάς.)
τὰς τοῦ πυρὸς ἀναδόσεις· καὶ τὰ φῶτα τὰ ἐκ τῶν ἐμ-
πύρων ἀναφερόμενα· ἀφ' ὧν σημειοῦνται οἱ μάντεις.
Ἀκμὰς δέ.) τὰς ἀναδόσεις· ἐπεὶ βιαιότατόν ἐστι τὸ πῦρ.
Ῥήξεις δὲ ἐνώμων.) τὰς τῆς χολῆς ῥήξεις ἐπεσκόπουν
τὴν ὄψιν μεταφέροντες· τηροῦσι γὰρ οἱ μάντεις τὰς χο-
λάς. Ὑγρότητ' ἐναντίων.) τὰ περὶ τῶν ἐναντίων
δηλοῦσαν· τὴν ὑπὸ τῶν ἐναντίων ἐχθρῶν ἀεὶ ταραττο-
μένην· οἱ γὰρ ὄντες περὶ τῶν ἐχθρῶν εἰ βουληθεῖεν μαν-
τεύεσθαι, ἔχοντες χολὴν ἀφορῶσι· πικροὶ γὰρ οἱ ἐχθροί.
ὑγρότητα δὲ λέγει αὐτὴν τὴν χολήν. Ἄλλως. Ῥή-
ξεις τ' ἐνώμων· τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες
ἐπετίθεσαν τῷ πυρί· καὶ παρετήρουν πῶς ῥαγήσεται.
καὶ ποῦ τὸ οὖρον ἀκοντίζει· σοφοκλῆς ἐν μάντεσι· τὰς
μαλλοδέτας κύστις. Ὑγρότητα ἐναντίαν.) τὴν τὰ
περὶ τῶν ἐναντίων δηλοῦσαν, ἢ διὰ τὸ πικρὰν οὖσαν
καλεῖσθαι γλυκεῖαν· ἢ ἐναντίαν ὡς πρὸς τὸ πῦρ· ξη-
ρὸν γὰρ τὸ πῦρ. τὸ δὲ ἑξῆς, μάντεις τὰ μῆλ' ἔσφαζον· ἐμ-
πύρους τ' ἀκμὰς ἐνώμων· κατὰ κοινοῦ γὰρ τὸ ἐνώμων
ἄκραν τε λαμπάδα ἐνώμων· ἄκραν τε λαμπάδα τὸ
ἄκρον τοῦ πυρός· ὃ καλεῖται κέρκος ἐσκόπουν· οἱ δὲ τὴν
καρδίαν διὰ τὸ εἶναι πυρώδη· καὶ θερμήν. Ἄλλως· τὴν
οὐρὰν τοῦ ἱερείου· ἦν γὰρ καὶ δι' αὐτῆς μαντεία· καμπτο-
μένη γὰρ ὑπὸ τοῦ πυρὸς σημαίνει δυσχέρειαν πολέμου.
ἁπλουμένη δὲ καὶ κατανεύουσα, ἧτταν· ἀνατεινομένη δὲ
εἰς ὕψος, νίκην· οἱ δὲ ἄκραν λαμπάδα τὴν χολὴν λέ-
γουσι τὴν ἐν τῷ ἥπατι· σημεῖον γάρ ἐστι τῆς νίκης τε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ὕπνης. Ἢ σοφοὺς.) μαγικούς. Ἢ φίλτρ᾽ ἐπῳδῶν.) τῶν ἐπαδόντων ἀνθρώπων ἣ ἐπάγουσα δύναται εἰς φιλίαν αὐτοὺς ἀγαγεῖν. Ἁμίλλης.) φιλονεικίας. Τὰ δεινά.) τὰ δεινὰ ἀγωνίσματα.

Στεῖχ᾽ ἐρήτυσον.) ἀπέρχου κώλυσον ἀπὸ τῆς χαλεπῆς ἔριδος τὰ τέκνα· ἐπεὶ ὁ πόλεμος μέγας ἐστί. Δαιμόνων κατάστασις.) κατάστασις ἡ τύχη. ὁ δὲ νοῦς· ἔξιθι ἀπὸ τῶν οἴκων ὦ τέκνον. οὐ γὰρ ἐν χοροῖς καὶ παρθενῶσιν ἡ παροῦσα τύχη προβαίνει σοι· ὥστε καὶ ὄχλον διελθεῖν αἰδεῖσθαι. Τίν᾽ ὦ τεκοῦσα.) τίνα ὦ μῆτερ καὶ νῦν ἑτέραν συμφορὰν ἐμοὶ τῇ φίλῃ ἀπαγγέλλεις. τὸ γὰρ φίλοις, ἀντὶ τοῦ φίλῃ. ἢ φίλοις ἀντὶ τοῦ περὶ φίλων ἤγουν Ἐτεοκλέους καὶ Πολυνείκους. Αἰχμὴν ἐς μίαν.) εἰς μονομαχίαν καθεστήκασιν. Οἲ ἐγώ.) ἐπίρρημα στεναγμοῦ. Οὐ φίλα.) οὐ προσφιλῆ. ἀλλ᾽ ἀκολούθει.

Προσπιτνοῦσα.) παρακαλοῦσα. Πρὸς μεταίχμιον.) πρὸς τὸν τόπον τὸν μεταξὺ τοῦ πολέμου. ἔνθα ἦν τὸ μονομαχεῖον. Αἲ αἲ τρομερὰν φρίκα.) φεῦ φεῦ ἔντρομον ὀρθίασιν τῶν τριχῶν ἔχων, τρομερὰν φρένα ἤτοι ἔντρομον λογισμὸν ἔχω· τουτέστιν ἐν φόβῳ εἰμί, διὰ δὲ τῆς ἐμῆς σαρκὸς οἶκτος ἦλθε. διὰ τοὺς δύο παῖδας τῆς ἀθλίας μητρός. πότερος ἄρα πότερον αἱμάξει διὰ πολέμου διὰ φόνου τὸ συγγενὲς λέγω σῶμα τὴν συγγενῆ ψυχήν. ὁμογενῆ γὰρ τὰ σώματα τοῖς ἀδελφοῖς. καὶ αἱ ψυχαὶ διὰ τῶν ἀδελφῶν. θέλουσαι αἱ τοῦ χοροῦ αὐξῆσαι τὸ πάθος, ταῦτα ἐπάγουσιν. ὡς εἰ ἔλεγεν. πότερος ἂν αὐτῶν τὸν ἕτερον αἱμάξει, οὐ τὸν τυχόντα ἄνθρωπον. ἀλλ᾽ ἀδελφόν. οὗ τὸ σῶμα καὶ ἡ ψυχὴ ὁμογενῆ ἐστιν αὐτῷ. Τρομερὰν φρίκα.) φρικωτρόμου παι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥαιτίαν. καὶ πίνδαρος. φρίσσοντας ὄμβρους. τοὺς φρίσσειν ποιοῦντας. Τρομερὰν.) τρόμου γεννητικὴν. καὶ τρομοποιὸν φόβον. Ἄλλως. τῇ φρικὶ τρομερὰν ἔχω τὴν φρένα. Διὰ σάρκα.) ἀντὶ τοῦ διὰ σαρκός. ὡς τὸ διὰ τ' ἔντεα καὶ μέλαν αἷμα. Ἔλεος.) ἔλεός με εἰσῆλθε καὶ οἶκτος ὁ περὶ τῆς ἰοκάστης διὰ τὰ δίδυμα τέκνα. Δίδυμα τέκεα.) τοῦτο τινὲς σολοικισμὸν ἡγήσαντο. ἔδει γὰρ εἰπεῖν διδύμων τεκέων. Πότερος ἄρα.) ὁποῖος ἀπὸ τῶν δύο ποῖον αἱμάξει τὴν ὁμογενῆ δέρην. τὸ ἑξῆς. πότερον ἄρα πότερον αἱμάξει τὴν ὁμογενῆ δέραν. ὁμογενῆ ψυχὰν. δι' ἀσπίδων. δι' αἱμάτων. Πότερον ἄρα.) ποῖον ἄρα τῶν νεκρῶν ἀπολλύμενον θρηνήσω. Φεῦ δᾶ.) φεῦ γῆ. ἡ δᾶ συλλαβὴ ἀττικῶς πλεονάζει. ὡς ἐπὶ τοῦ ἤθα. καὶ φῆθα. Ἄλλως. οἱ μὲν, ἓν μέρος λόγου ἀνέγνωσαν τὸ φεῦ δᾶ. οἱ δὲ, ὡς ἐν παρολκῇ τοῦ δᾶ. ἔνιοι δὲ, ἀντὶ τοῦ φεῦ δή. τινὲς δὲ, ἀντὶ τοῦ φεῦ γῆ. κατὰ πάθος μεταβληθέντος τοῦ γ εἰς τὸ δ. ὡς ἐν τῷ δημήτηρ. πηγή. πηδή. παρὰ τὸ τὸ ὕδωρ πηδᾶν ἅμα. Δορὶ δὲ παλλόμεναι.) ἀντὶ τοῦ τὸ δόρυ κατ' ἀλλήλων πάλλουσαι. ἢ ἐπὶ πόλεμον κινηθεῖσαι. Πέσεα.) τὰ πτώματα. θέλει εἰπεῖν ὅτι πεσόντες αἱμάξουσι τὰ σώματα. πέσεα οὖν ἀντὶ τοῦ πεσήματα. πτώματα. Τάλανες δυστυχεῖς εἰσίν. ὅτι εἰς ἐνθύμησιν μονομαχίας ἦλθον. Βοὰν βαρβάρῳ.) τῇ ἐμαυτῆς φησὶ τῇ βαρβάρῳ τὴν ἐπισύνακτον βοὴν τῶν νεκρῶν. οἷον τὴν ἐπὶ τοῖς νεκροῖς συνειναγμένην προσφερομένην βοὴν μέλλουσαν τοῖς δάκρυσι θρηνήσω. τουτέστιν ἐπιμελῶς δακρύσασα θρηνήσω. Σχεδὸν τύχα.) πέλας. τὸ σχεδὸν καὶ τὸ πέλας ἐκ παραλλήλου. ἡ κατ' αὐτοὺς τύχη τοῦ φόνου πλησίον ἐστί. τουτέστιν ὅσον οὐ

πω γνωσόμεθα πῶς ἐκβήσεται αὐτοῖς τὸ μονομάχιον. Κρινεῖ φάος.) τὸ σήμερον δηλονότι ἡ παρεστῶσα ἡμέρα. διδάξει τὸ πρᾶγμα. καὶ τὸ μέλλον ἤγουν τὸ ἀποβησόμενον. Μελλομένας.) ἀντὶ τοῦ μελλούσας. ἢ μελλομένην τοῖς νεκροῖς. καὶ θεραπευούσας τὰς τούτων ψυχάς. Ἐνεκ' ἐριννύων.) ὡς τῶν ἐριννύων ἀποπεμπουσῶν τὰ φαῦλα τοῖς ἀνθρώποις. ἢ διὰ τὰς ἀρὰς τοῦ οἰδίποδος. καὶ τὰς ἐπηκόους ἐριννῦς. Σωεφῆ.) συγγνόν. Οἴμοι τί δράσω.) ἵνα δόξῃ φιλόπατρις ὁ κρέων. καὶ μὴ μόνον τοῦ παιδὸς λόγον ποιεῖσθαι, φησὶ τίνος ἄρξομαι θρήνων ποιούμενος τοῦ παιδὸς καὶ τῆς πόλεως. καίτοι ἤδως ὅτι διὰ τὸν θάνατον τοῦ παιδὸς εὐτυχεῖ τὰ τῆς πόλεως. μικρὸν γὰρ ὕστερον εἰπών. ἐμός τε γὰρ παῖς ὀλωλεν ἐπελάθετο εἰπεῖν, πόλις τε. Νέφος.) πλῆθος τῶν πολεμίων. Κρημνῶν ἐκ δρακοντίων.) ὡς τοῦ μενοικέως παρὰ τὸν τάφον ἔνθα ἦν ὁ δράκων κατακρημνίσας ἑαυτόν. Ἄλλως. δεῖ νοεῖν ἔσω τῶν τειχῶν τὸν σηκὸν τοῦ δράκοντος εἶναι. πῶς γὰρ εἶχε τὸ σῶμα ἀναλαβεῖν ὁ κρέων, τῶν πολεμίων παρακαθημένων. ἀπὸ δὲ τοῦ τείχους ἔρριψεν ἑαυτὸν ὁ παῖς. εἰς ἐπίδειξιν τῆς ὑπὲρ τῆς πατρίδος προθυμίας. Αὐτοσφαγῆ.) ταῖς αὐτοῦ χερσὶν ἐσφαγμένον. Βοᾷ.) θρηνεῖ δ' ὁ ἐμὸς πᾶς οἶκος. Μεταστέλλων.) μετακαλέσων. Εὐσεβεῖν.) τιμᾶν τὸν χθόνιον θεόν. Κόρη τε.) τὸ ἑξῆς κόρη τε ἀντιγόνη. κοινῇ ἐξόδῳ τῆς μητρὸς ἅμα τῇ μητρί. καὶ ἡ ἀντιγόνη ἐξῆλθε. Ποῖ.) ποῦ βέβηκε. Κἀπὶ ποίαν.) συμφορὰν ἐνταῦθα λέγει τὴν δυστυχίαν. ἢ τὸ συμβεβηκός. Εἰς ἀσπίδ' ἥξειν.) εἰς μάχην. εἰς συμβολήν. Νέκυν τοι.) ἀντὶ τοῦ τὸ νεκρὸν σῶμα τοῦ παιδὸς ἐμοῦ ἐπιμελείας ἠξίουν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐκ εἰς τὸ δ᾽ ἦλθον.) οὐκ εἰς τόδε ἔφθασα. εἰς τὸ γνωρίσαι. οὐκ ὢν τοῦτο παραγενόμενος ὥστε καὶ τὰ δ᾽ εἰδέναι. Οἴμοι. τὸ μὲν σημεῖον.) ἐκ τοῦ προσώπου τοῦ ἀγγέλου στοχάζεται τὰ λεχθησόμενα. Τὸ δρώμενον.) τὸ πραχθέν. Οὐκ εὐπροσώποις.) προοιμίοις οὐ καλοῖς. οὐκ εὐσχήμοσι τὸ ὦ τάλαιν᾽ ἐγὼ δεύτερον βοῶ. θρηνητικὸν δὲ τὸ ἦθος. Λέγεις δὲ δὴ τί.) ἀποφατικῶς. ἢ ἐρωτηματικῶς. πρὸς τοῖς εἰρημένοις πήμασι λέγεις φέρειν ἕτερα; Εν φάει.) ἐν τῷ φωτί. τουτέστιν ἐν σωτηρίᾳ. συνήθως δὲ ὁ εὐριπίδης ἐν ἑνὶ στίχῳ προειπὼν τῆς συμφορᾶς τὸ κεφάλαιον, κατασκευαστικώτερον ὕστερον διηγεῖται τὸ πᾶν. Παίδων.) λείπει ἡ περὶ. τὰ περὶ τῶν παίδων. κατὰ τὴν αὐτὴν συμφορὰν ὀλωλότων; Ω᾽στε δακρῦσαι.) ναὶ ἤκουσαι ὥστε δακρῦσαι εἰ αἴσθησιν εἶχον τὰ οἰκήματα. Εἰ καὶ τὰ πρός.) τούτοισιν εἰδείης κακά τι ἐρεῖς δηλονότι. Δυσποτμώτερα.) δυστυχέστερα. Ανάγετε ὑψοῦτε θρῆνον.) καὶ κτύπον λευκοπήχεων χειρῶν. ἀνάγετε ἀπὸ κοινοῦ. Ω τλῆμον.) ὦ ἀθλία ἰοκάστη. οἷον τέλος τοῦ βίου. καὶ τῶν γάμων ὑπέμεινας διὰ τοὺς αἰνιγμοὺς τῆς σφιγγός. Αρᾶς τ᾽ ἀγώνισμα.) τὸ κατάραμα. τουτέστιν εἰπέ μοι πῶς ἀπέβη ἡ κατάρα τοῦ οἰδίποδος. Τὰ μὲν πρὸ πύργων.) εὐτυχήματα γινώσκεις. λέγει δὲ τὴν νίκην ἣν ἐνίκησαν πρὸ πυλῶν τῆς πόλεως. Τειχέων περιπτυχαί.) περιφραστικῶς τὰ τείχη. οὐ μακραὶ εἰσὶν, ὥστε μὴ οὐχὶ πάντας εἰδέναι τὸ δρώμενον. λείπει γὰρ τὸ μή. Οἶσθ᾽ ὥστ᾽ οὔ τινες εἰς τὸ οὐ στίζουσιν. οὐκ οἶσθα φησὶ τὰ πρὸ τῶν πύργων εὐτυχήματα. μακρὰ γάρ εἰσι. Αλλως. τειχέων περιπτυχαί. περιφραστικῶς τὰ τείχη. ἐκ τοῦ οἷον περιπτύσσεσθαι καὶ κυκλοῦν τὴν πόλιν. περιλαμβάνονται γὰρ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἱ πόλεις τοῖς τείχεσι. καλῶς δὲ διὰ τῆς θηβαϊκῆς ἀφορμῆς τὰ προειρημένα ὑπὸ τοῦ πρώτου ἀγγέλου ἐσιώπησεν. ἡ δὲ διάνοια. τὰ μὲν πρὸ τῶν τειχῶν εὐτυχήματα ὡς ἐνικήσαμεν δηλαδὴ τοὺς ἀργείους, οἶδας. οὐ γὰρ μακρὰν τὰ τείχη ὡς μὴ πάντα σε εἰδέναι. Εἰς μέσον μεταίχμιον.) παρῆλθον εἰς τὸ μέσον ὡς εἰς ἀγῶνα δορὸς. καὶ ἀλκὴν μονομαχίου. Βλέψας δ' ἐς ἀργείους.) τὸν νοῦν ἐκεῖσε ἔχων, ἀφῆκεν εὐχὰς ὁ πολυνείκης. λέγων ὦ σεβασμία ἥρα σὸς εἰμὶ ἐπολιτογραφήθην γὰρ παρὰ σοὶ ἐμαυτῷ ζεύξας ἀντὶ τοῦ εἰς ζεῦξιν λαβὼν τὴν παῖδα τοῦ ἀδράστου. καὶ οἰκῶ τὴν σὴν χθόνα. δὸς ὦ ἥρα ἐμοὶ κτεῖναι τὸν ἀδελφὸν. καὶ καθαιμάξαι τὴν ἐμὴν δεξιὰν νικηφόρον τὴν αὐτήν. ἤτοι τὴν ἐκείνῳ ἐναντίαν. κακίστην αὐτῷ νίκην τὸν ἀδελφὸν φονεύσαι. ἄκρως δὲ δηλοῖ ἦθος ἀνδρὸς. μεμφομένου ἑαυτὸν ἐπὶ ὠμότητι. Πολλοῖς δ' ἐπῄει.) τοσαῦτα φησὶν ἐπῄει δάκρυα τοῖς πολλοῖς, ὅση ταῖς τύχαις ἦν συμφορὰ τοῖς μονομαχοῦσι. τουτέστι συμφώνως τῇ κατ' αὐτοὺς τύχῃ, ἐδάκρυον οἱ ἐκτός. Ἄλλως. πολλοῖς δὲ ἐπῄει δάκρυα τῆς τύχης ὅση. λείπει γὰρ τὸ ἕνεκεν τῆς τύχης ἣ δίκη ἦν. Διδόντες κόρας.) οἰκτρὸν γὰρ θέαμα μονομαχοῦντας ἀδελφοὺς ἦν ἰδεῖν. οἷς καὶ τὸ ἡττᾶσθαι. καὶ τὸ ἡττᾶσθαι οἰκτρὸν ἦν. Ἄλλως. ἐμφαίνεται καὶ κατὰ ἀλήθειαν θυμὸς πικρίαν ἐνδεικνύμενος διὰ τοῦ βλέμματος. Ηὔξατ' ὦ.) καὶ οὗτος νῦν εἰς τὸ ἱερὸν τῆς ἀθηνᾶς ἀποβλέψας τὸ ἐν θήβαις. Ἐπεὶ δ' ἀφείθη.) ἐπὶ τῶν ἐπτὰ ἐπὶ θήβας οὔπω ἐχρῶντο τῇ σάλπιγγι ἕλληνες. ἀλλ' οὐδὲ ἐπὶ τοῦ τρωϊκοῦ πολέμου. ὅμηρος δὲ αὐτὸς μὲν οἶδε σάλπιγγα. οὐ ποιεῖ δὲ σάλπιγγι χρωμένους τοὺς ἥρωας. πρῶτος γὰρ ἀρχίδας συμμαχῶν τοῖς ἡρακλείδαις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἤγαγεν τὴν τυρσηνικὴν σάλπιγγα εἰς ἑλλήνας· ἐχρῶν-
το οὖν κατὰ τὸ παλαιὸν ἐν τοῖς πολέμοις ἀντὶ σαλ-
πιγκτῶν πυρφόροις· οὗτοι δὲ ἱεροὶ ἦσαν ἄρεως· ἑκατέ-
ρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος· ἣν ἀφιέν-
τες εἰς τὸ μεταίχμιον, ἀνεχώρουν ἀκίνδυνοι· καὶ οὕ-
τως συνέβαλλον αἱ στρατιαί· ἐσώζοντο δὲ οἱ πυρφόροι,
ὡς ἱεροὶ τοῦ θεοῦ· εἰ καὶ πάντες ἀπώλοντο· ὅθεν παροι-
μία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων οὐδὲ πυρφόρος ἐσώ-
θη. Ἄλλως. πυρσὸς ἐστὶν ἡ λαμπάς· ἣν ἀνατεί-
νουσιν ἐν νυκτὶ σημεῖον τοῦ χρῆναι πολεμεῖν· καὶ ἄλλως·
Πυρσὸς ὡς τυρσηνικῆς.) ἀντὶ τοῦ μεγάλως· ὡς τῶν τυρ-
σηνικῶν πρωτοτέρων τῇ σάλπιγγι χρωμένων· ὁ δὲ
νοῦς· ἐπειδὴ ἀφείθη τὸ σημεῖον ὡς τυρσηνικῆς σάλπιγ-
γος ἠχή· σῆμα τῆς φονικῆς μάχης, ὥρμησαν δρόμον
χαλεπὸν κατ' ἀλλήλων. Συνῆψαν ἀφρῷ.) λείπει
ὁ γάρ· καὶ ἄλλως· συνῆψαν μάχην· ὡς κάπροι τὰς γε-
νειάδας· ἀφρῷ διάβροχοι· καὶ τὴν ἀγρίαν γένυν θή-
γοντες· ἐπὶ γὰρ τῶν κάπρων ἀμφότερα ληπτέον· τό, τε θή-
γοντες· καὶ τὸ διάβροχοι γενειάδας. Ἦσσον δὲ λόγ-
χαις.) ἀντὶ τοῦ ὥρμων· ἀπὸ τοῦ ἀΐσσω· κατ' ἀλλήλων ἢ
ὥρμων τὰς λόγχας ἀκοντίζοντες· ἀλλ' ἑκάτερος ἐν τῷ
βάλλειν τὸν ἕτερον, ὑπεκαθίζετο τῷ τῆς ἀσπίδος κύκλῳ
ἵνα αὐτὸν ὑπερπηδήσαν τὸ δόρυ· καὶ ὀλισθῆσαν τῷ κύ-
κλῳ τῆς ἀσπίδος, μάταιον· καὶ ἀνεπίτευκτον γίνηται.
Εἰ δ' ὄμμ' ὑπερέχον) εἰ δὲ ἴδῃ ὁ ἕτερος τὸ πρόσωπον τοῦ
ἄλλου, ὑπεραίρων τῆς ἀσπίδος ἐκίνει τὴν λόγχην. Ἄλλως·
εἰ δὲ ὁ ἕτερος τὸ ὄμμα τῆς περιφερείας ὑπερέχων, ἠβού-
λετο βιάσασθαι ὁ ἕτερος τὴν λόγχην ἐκίνει· ὥστε
τοῦτον πλῆξαι τῷ σώματι· ὄμμα δὲ φησὶν ἀπὸ μέν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρους τὸ πρόσωπον. Κεγχρώμασι.) κέγχρον καλοῦσι τὸν ἐπὶ τὴν ἴτυν τῆς ἀσπίδος κόσμον. μικροὶ δὲ ἧλοι εἰσὶν, οἳ ἐκ χρυσοῦ γίνονται. τινὲς δὲ μικρὰς ὀπὰς περὶ τὴν ἴτυν. δι' ὧν ἐθεῶντο τοὺς ἐναντίους. Ἀργόν.) ὡς μὴ δύνασθαι τρῶσαι. Πλείων δὲ.) πλείων δὲ ἱδρὼς ἔσταλαζε τοῖς ὁρῶσι, διὰ τὸν φόβον τῶν φίλων, ἢ τοῖς ἀγωνιζομένοις. Μεταψαίρων.) μετακινῶν. μεταστρέφων τῷ ποδὶ κατὰ τὸ λεληθός. οἱονεὶ παρασύρων. ἀπὸ τοῦ φῶ. οὗ παράγωγόν ἐστι τὸ ψαύω. καὶ οἱ ναῦται χαίρειν φασὶ τὸ ἄρμενον ὅταν μὴ πολὺς ἄνεμος πνέῃ. ἀλλὰ μόνον ψαύῃ. Ἴχνους ὑπόδρομον.) ἴχνος ὑπόδρομον μεταφορικῶς τὸ ἴχνος. ὑπόδρομον δὲ ἔξω ὑποδεδραμηκός. Εἰσιδών.) ἰδὼν τὸν πόδα πρὸς τὸ πλήττεσθαι ἐπιτήδειον. ὅ ἐστιν ἐντρεπισμένον τὸ σκέλος πρὸς τὸ τρωθῆναι ἰδών. Πληγὴν σιδήρῳ.) τόπον δυνατὸν πληγῆναι. Ἐπηλάλαξεν.) ἤχησεν. Κἀντῷδε.) καὶ ἐκ τούτου, ὑπὸ τοῦ μόχθου γυμνὸν τῆς ἀσπίδος τὸν ὦμον τοῦ πολυνείκους θεασάμενος ὁ πρόσθεν τρωθεὶς ἐτεοκλῆς εἰς τὰ στέρνα τοῦ πολυνείκους ἔπεμψε σὺν βίᾳ τὴν λόγχην. λόγχην δὲ νῦν τὸ ξίφος. συνηθὲς δὲ τοῦτο τοῖς τραγικοῖς. Ἀπὸ δ' ἔθραυσεν.) εἰς τὰ στήθη βίᾳ ὡς τὸ δόρυ καθῆκεν ἀπεκλάσθη τὸ δόρυ μὴ δυνηθὲν περάσαι τὸν θώρακα. τὸ ἑαυτοῦ δὲ δόρυ ἀπέκλασεν. τῇ σφοδρᾷ ῥύμῃ τρώσας. Ἐξ ἴσου δ' ἄρης.) ἀγωγὸν τοῖς ἀκροαταῖς, τὸ ἴσον ἀπονεῖμαι τῆς τύχης ἑκατέρῳ τῶν ἀγωνιζομένων. Ἀπεστερημένοις.) ἀμφοτέρων ἀπεστερημένων τὰς χεῖρας τοῦ δόρατος. Ἔνθεν δὲ.) ἀπὸ τούτου δὲ ἁρπάσαντες τὰς κώπας τῶν φασγάνων, συνῆλθον. ἐγγὺς ἀλλήλων

ἦλθον. συμβαλόντες δὲ τὰς ἀσπίδας. καὶ ἀμφότεροι τοῖς ποσὶ βαίνοντες. καὶ στάντες, πολλὴν ταραχὴν ἐποίουν πρὸς ἑαυτοὺς ὁρμηκότες. Ὁμιλία χθονός.) ὥσπερ εἰ ἔλεγεν ὁμιλία καὶ ἔρωτι τῆς πατρίδος ὑπέμεινε σοφίσασθαι τὴν μάχην. ἤρα γὰρ πλέον τῆς πατρίδος, διὰ τὸ ἐθέλειν ἄρχειν. τινὲς δὲ ὁμιλεῖν ἀντὶ τοῦ συμμαχεῖν. ὅμηρος. καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ πύλου ἐλθών. καὶ νῦν μετὰ πρώτοισιν ὁμιλεῖ. ὁμιλία οὖν ἀντὶ τοῦ συμμαχία. βοήθεια. τουτέστι συμμαχῶν τῇ πατρίδι. καὶ βοηθῶν ἐξεῦρε τὸ σόφισμα τοῦτο. Τὸ θεσσαλὸν ἐστὶ καὶ σόφισμα.) τάττεται ἐπὶ τοῦ παραλογίζεσθαι καὶ ἀπατᾶν. ποικίλοι γὰρ τὰ ἤθη οἱ θεσσαλοί. καὶ οὐκ ὀρθοὶ τὴν γνώμην. διαδοθῆναι δὲ τὴν παροιμίαν ἐντεῦθεν. διοτίμω τῷ θεσσαλῷ κατιέναι μέλλοντι, λόγιον ἐξέπεσεν ἐπιτηρεῖν μὴ λάθωσιν αὐτὸν οἱ ἐναντίοι μεῖζον εὐράμενοι. ἐπιδεδιὼς οὖν ἐκείνους ὑπερβαλέσθαι. καθ' ἑκατόμβης ἀνδρῶν ηὔξατο καταιβίω ἀπόλλωνι. κατελθὼν δὲ, εἰς θυσίαν ἀνθρώπους ἐλογίσατο μὴ πρέπειν θεῷ. μὴ δ' ἄλλως εὐαγὲς εἶναι, καὶ ὑπερέθετο. τοῦτο δὲ ἑκάστου ἔτους δρᾶν τοὺς θεσσαλοὺς φασὶ τὴν θυσίαν ὑπερχομένους. ὁ οὖν εὐριπίδης ἐπὶ τῷ τὸν πολυνείκην σοφισάμενον, τὸ θεσσαλὸν παρέλαβε σόφισμα. λοιδορεῖ δὲ θεσσαλοὺς ὁ εὐριπίδης. πολλοὶ γάρ εἰσιν ἀλλ' ἄπιστα θεσσαλοῖς. καὶ ἀριστοφάνης ἐν πλούτῳ. ἔμπορος ἥκων ἐκ θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν. καὶ ὁ ῥήτωρ. ἐστὶ τὰ θετταλῶν ἄπιστα δήπου φύσει ταῦτα. καὶ ἀεὶ πᾶσιν ἀνθρώποις. ὅτι δὲ καὶ φαρμακίδες εἰσὶν αἱ θετταλαὶ ἀριστοφάνης φησί. γυναῖκα φαρμακίδα εἰ πριάμενος θετταλήν. οὐχ ὡς τραφέντος δὲ τοῦ ἐτεοκλέους ἐν θετταλίᾳ. ἀλλ' ὡς ἐν ξυντυχίᾳ αὐτοῦ πεποιηκότος σχῆμα

θετταλοῦ· οὐχ ὡς θετταλῶν οὕτω τιτρωσκόντων· ἀλλ' ὡς δι' ἀπάτης νικώντων. Λαιὸν μέν.) τοῦτό φησιν ὅτι ἐάσας τὸ ἀντιπροσώπως μάχεσθαι, ὀπίσω ἤνεγκε τὸν ἀριστερὸν πόδα. ἵνα πλάγιος εὑρεθῇ. καὶ μὴ ἀνθιστάμενον ἔχων τὴν ἀσπίδα τοῦ πολυνείκους. κατὰ τὴν πλευρὰν αὐτὸν τρώσῃ. Πρόσω τὰ κῶλα.) τὰ πρὸς τὴν λαγόνα φυλάττων τὰ πρόσω κοῖλα τῆς ἑαυτοῦ γαστρὸς φυλάττων. Προβὰς δέ.) προτείνας γὰρ τὸν δεξιὸν πόδα, ἐνέβαλε τὸ ἔγχος διὰ τοῦ ὀμφαλοῦ. καὶ ἐνήρμοσε καὶ διεπέρασε μέχρι τοῦ σπονδύλου τῆς ῥάχεως. ἅμα δὲ κλίνας τὴν πλευρὰν καὶ τὴν γαστέρα σὺν σταλαγμοῖς αἱμάτων ἔπεσεν ὁ ἄθλιος πολυνείκης. ὁ γὰρ ἐτεοκλῆς ὡς νενικηκὼς τὴν μάχην, ῥίψας τὸ ξίφος εἰς γῆν, ἐλαφυραγώγει αὐτόν. τὸν νοῦν πρὸς τὸν πολυνείκην οὐκ ἔχων. Ἐκεῖσε δὲ πρὸς τὸ σκυλεύειν. ἢ πρὸς τὸν νεκρόν. ἢ πρὸς ἑαυτόν. οἷον οὐκ ἔχων ἑαυτόν. ὃ δὴ αὐτὸν ἀποτυχεῖν ἐποίησεν. Ἄλλως. Οὐ πρὸς τὸν νεκρὸν ἔχων τὸν νοῦν, ἀλλ' εἰς τὸ σκυλεύειν τὸν πολυνείκην. ᾤετο γὰρ αὐτὸν εἶναι νεκρόν. Κοὐ διώρισαν.) οὐκ ἐχώρισαν τὴν ἀρχήν. ἢ οὐκ ἐσαφήνισαν τὴν νίκην. Χο. τίνες κρέων.

φεῦ φεῦ.) ἕνεκα τῶν σῶν κακῶν οἰδίπου ὅσον καὶ μέγα στενάζω. τὰς σὰς δὲ κατάρας ἔοικεν ἐκπληρῶσαι ὁ θεός. Βοηδρόμος.) ὁ μετὰ βοῆς καὶ ἑτέρους προκαλούμενος εἰς βοήθειαν. ἢ ὁ ἐν τῇ βοῇ ἤγουν ἐν τῷ πολέμῳ τρέχων. τελευταία βοηθὸς παραγέγονα. Ἡ παρασπίζουσα.) δι' ὑπηρετουμένη. πλησιάζουσα. Ὦ γηροβοσκῶν μητρός.) λείπει τὸ ταῦτα λέγουσα. Ἀνείς.) ἀναπέμψας. Δύσλητον.) δυσέκπλυτον. Ὑγρὰν χέρα.) ὑγρὰν ὑπὸ τοῦ αἵματος. γράφεται καὶ λυγρὰν ἤτοι χαλεπήν. Ὥστε σημῆναι.) ὡς δηλῶν ὅτι ἀσπά-

ζεσθαι τὴν μητέρα βούλεται. Ὡς τοσόνδε δὴ γοῦν τύχω.) ὁ νοῦς· ἵνα καὶ τούτου τύχω τοῦ θάπτεσθαι εἰς τὴν πατρίδα. Ξυνάρμοσον.) κάλυψον. Τίθησι δ' αὐτ.) τοῦτο διὰ μέσου ὁ ποιητής· τὰς χεῖρας τὰς μητρὸς ἐπιθεὶς τοῖς ἑαυτοῦ ὄμμασι, λέγει τὸ χαίρετε. Ὑπερπαθήσασα.) ὑπεραλγήσασα. Ἐν δὲ τοῖσι φιλτάτοις.) γράφεται σὺν τέκνοις δὲ φιλτάτοις. ὅμηρος δὲ φησὶν αὐτὴν ἀγχόνῃ ἀπολέσθαι· ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου. Ἀνῇξε.) ἀνέδραμεν. Οἱ μὲν πατάξαι.) λείπει τὸ λέγοντες. Ἤϊσσον.) ὥρμησαν. Προμηθείᾳ.) προνοίᾳ καὶ λογισμῷ ἐκάθηντο ὡπλισμένοι. Κάφθημεν.) τὸ ἑξῆς· προελάβομεν ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατὸν οὔπω τείχεσι πεφραγμένον· καὶ οὐδεὶς ἐκαρτέρησεν ὑπομεῖναι. Ἔρρει.) ἔρρει. Οἱ μὲν Διός.) Οἱ μὲν ἀργεῖοι ἔστησαν τὸ εἴδωλον τοῦ Διός. Οἰκτίσαι.) ὥστε κλαῦσαι, θάψαι. Πόλει δ' ἀγώνων.) ὁ κατὰ τὴν πόλιν πόλεμος. οἱ ἀγῶνες ἐξέβησαν τῇ πόλει εὐτυχεῖς μὲν, ἐπεὶ ἐνίκησαν· δυστυχεῖς δὲ, διότι ἐσφάγησαν οἱ βασιλεῖς. Οὐκ εἰς ἀκοάς.) οὐκ ἄχρις ἀκοῆς ἐστὶ τὰ κατὰ τὴν οἰκίαν· ἤγουν οὐκ ἀκοῇ ἐπιγινώσκομεν τὴν συμφορὰν, ἀλλ' ὄψει καὶ πείρᾳ. Πρὸς μελάθροις.) ἐγγὺς μελάθρων. Αἰῶνα.) βίον, ζωήν. Οὐ προκαλυπτομένα.) οὐ καλύπτουσα τὰ ἁβρὰ καὶ τρυφερὰ τῆς παρειᾶς τῆς βοστρυχώδους· οὐδὲ τὸ ὑπὸ τῆς παρθενίας παρθενικὸν φοίνιγμα τὸ ὑπὸ τοῖς ὀφθαλμοῖς· λέγω τὸ ἐρύθημα τοῦ προσώπου ἤγουν τὸ ἐν τῷ προσώπῳ αἰδουμένη, φέρομαι βάκχα ἤτοι ὑπουργὸς τῶν νεκύων· δικοῦσα καὶ ῥίψασα ἀπὸ τῆς ἐμῆς κόμης τὸ σκέπασμα. ἀντὶ τοῦ ἀφεῖσα τὴν ἀνθηρὰν στολὴν τὴν ἁρμόζουσαν τῇ τρυφῇ τὴν ἀπὸ κρόκου βεβαμμένην διὰ ἡγεμόνευμα· ἤτοι διὰ προπομ

τὴν τῶν νεκρῶν. πολύστονον. καὶ πολλῶν στεναγμῶν πλήρη.

Οὐ προκαλυπτομένα) ἀντὶ γόνῃ τραγῳδεῖ. νῦν φησὶν οὐ προκαλυπτομένη τὰς παρειάς. οὐ γὰρ πρέπουσαι παρθένοις αἰδῶ ἀναλαβοῦσα, ἐξορμῶ. καὶ ἐκβακχεύω, καθάπερ βάκχη τις ἐπὶ τοὺς νεκρούς. ἀπορρίψασα. τὸ κρήδεμνον. καὶ τὴν στολὴν μετεῖσα τὴν τῆς ἐμῆς τρυφῆς. τουτέστιν ἣν ὅτε ἐτρύφων. καὶ εὐδαιμόνουν περιεβαλόμην, ἀπάρχομαι θρήνου τοῖς νεκροῖς. οὐ γὰρ τρυφῆς ὁ καιρός. Ἄλλως. Οὐ προκαλυπτομένη ἀπρεπῶς ἐκβέβληκε. καὶ οὐ παρθενικῶς. τίνι γὰρ ἀπολογεῖται, εἰ μὴ τῷ θεάτρῳ. Ἄλλως. Οὐ προκαλυπτομένη τὰ φαιδρὰ τῆς βοστρυχώδους παρειᾶς βοστρυχώδη δὲ εἶπεν. ἐπεὶ μέχρι τῶν παρειῶν ἔχει τὰ οὖλα τῶν τριχῶν.

Βοστρυχώδεος) ἐν ᾗ οἱ βόστρυχοι κεῖνται. Ἁβρὰ παρθενίδος) τὰ φαιδρὰ τῆς παρειᾶς. περιφραστικῶς τὴν παρειάν. Τὸν ὑπὸ βλεφάροις) ἢ ὑπὸ πρὸς τὸ αἰδουμένα. Φοίνικ' ἐρύθημα) τὸν πυρρόν. ἀρσενικῶς δὲ εἶπε τὸν φοίνικα ἐρύθημα ἀντὶ οὐδετέρου. ἔδει γὰρ εἰπεῖν βλεφάροις φοινικοῦν ἐρύθημα. τινὲς δέ, τὸ ὑπὸ βλεφάροις φοίνιξιν αἰδουμένη. ὅπερ ἐστὶν ἐρύθημα προσώπου. αἰδουμένα δέ. ἀντὶ τοῦ οὐδ' ὑπαιδουμένη τὸ βλεφάροις φοινικοῦν ἐρύθημα τῆς παρθενίας. καὶ τὸ φέρομαι βάκχα νεκύων. παρόσον αἱ βάκχαι ἀπογυμνούμεναι χορεύουσιν. οὐ διονύσου δὲ βάκχη. ἀλλὰ νεκρῶν.

Χλιδᾶς) τρυφῆς. Ἁγεμόνευμα) ἑαυτὴν γὰρ λέγει προηγήτειραν τῶν νεκρῶν. Στολίδα κροκόεσσαν) τὴν ἐκ κρόκης στολῆς χαλάσασα. ὥστε γυμνὰ μεῖναι τὰ στήθη. Ἄλλως. Τὴν ἐμὴν στολὴν πάσης τρυφῆς ἐκβαλοῦσα.

Αἰαῖ αἰ. ἰὼ πολύνεικες) ἰὼ ὦ πολύνεικες. ἔφυς ἄρ' ἐπώνυμος. ἤγουν αὐτὸ ὃ ἐπωνομάσθης τουτέστι φιλόνεικος, ὥ-

μοι μοι ἐπέβαι· τοῦτο διὰ μέσου. ἡ σὴ δὲ ἔρις, οὐκ ἔρις ἦν δηλονότι· ἀλλὰ φόνος κρανθεὶς καὶ ἑνωθεὶς φόνῳ λέγω αἵματι καὶ φόνῳ δεινῷ καὶ χαλεπῷ, ὤλεσε τὸν δόμον τοῦ Οἰδίποδος. τίνα δὲ τραγῳδητὴν, ἢ τίνα στοναχὴν ἐμμελῆ ἔνδακρυν ὦ δόμος ἀνακαλέσομαι· φέρουσα τάδε τὰ τρία σώματα τὰ συγγενικά· λέγω τὴν μητέρα καὶ τὰ τέκνα. τὴν χαρὰν καὶ ἡδονὴν τῆς ἐριννύος καὶ τῆς κατάρας τοῦ Οἰδίποδος. ἡ ἐριννὺς ὤλεσε παντελῶς τὸν οἶκον τοῦ Οἰδίποδος. ὅτε ὦ πάτερ ἔγνως τὸ μέλος· ἤτοι τὸ αἴνιγμα τῆς δυσξυμβλήτου σφιγγὸς, συνετὸς γενόμενος. τὸ σῶμα αὐτῆς φονεύσας. ἰώ μοι διὰ μέσου. τίς Ἑλλάς· ἤτοι Ἑλληνικὴ γῆ· ἢ βαρβαρικόν· ἢ τίς ἕτερος τῶν ἔμπροσθεν εὐγενῶν αἵματος καὶ γένους ὑπάρχων, δηλονότι ἀνθρωπείου, τοιαύτας λύπας φανερὰς ὑπέμεινε τοσούτων κακῶν, ὡς ἐγὼ δηλονότι. Σὰ δ' ἔρις.) ἡ ἔρις φησίν· οὐκ αὐτὸ μόνον ἄχρι φιλονεικίας τὸ τέλος ἔσχεν, ἀλλ' ἄχρι φόνων ἐπαλλήλων διελθοῦσα, ἄρδην τὸν πάντα οἶκον τοῦ Οἰδίποδος ἀπώλεσεν. τινὲς δὲ οὕτως· ἡ σὴ ἔρις, οὐκ αὐτὸ μόνον γέγονε φιλονεικία. ἀλλὰ φόνος φόνῳ κρανθεῖσα. Ἄλλως. Τὸ τέλειον κρανθεῖσα· οἷον οὐκ ἄχρι ψιλῆς φιλονεικίας προελθοῦσα ἡ ἔρις· ἀλλὰ φόνος τῷ φόνῳ κρανθεῖσα. Τίνα προσῳδόν.) τίνα θρῆνον ἄξιον· καὶ τίνα στεναγμὸν σύμφωνον τῆς προκειμένης συμφορᾶς καὶ τῶν τριῶν τούτων νεκρῶν ἀνακαλέσω προσάδοντα φησὶ καὶ ἁρμόζοντα τοῖς νῦν πάθεσι. Μουσοπόλον δὲ,) μουσικήν· ἔστι γὰρ καὶ θρῆνος μουσικός· Ὅμηρος. παρὰ δ' εἷσαν ἀοιδοὺς θρήνους ἐξάρχους. οἵτε στονόεσσαν ἀοιδήν· καὶ τὰ ἑξῆς. Μουσοπόλον.) θρηνητικήν. Σύγγονα.) συγγενικά. μητέρα λέγω. καὶ τέκνα. τὸ δὲ χαρῆ τῆς ἐριννύος· ἤτοι

παντελῶς τοῦ οἰδίποδος τὸν δόμον ὤλεσεν.
Δυσξυνέτου.) τῆς σφιγγὸς τῆς ἀσαφοῦς ἐπεὶ πᾶσι
δυσξύνετον ἦν τὸ αἴνιγμα. πλὴν τοῦ οἰδίποδος μόνου.
διὰ γὰρ τοῦτο συνετὸν ὑπὸ τοῦτο εἴρηκε τὸ μέλος. πᾶσι
μὲν τοῖς ἄλλοις ἀσαφὲς. αὐτῷ δὲ μόνῳ σαφὲς καὶ κα-
ταληπτόν. ξυνετὸν δὲ τὸ σαφές. Ἄλλως. Τῷ οἰδίπο-
δι ξυνετὸν. ἀπὸ κοινοῦ δὲ τὸ σφιγγός. τινὲς δὲ ξυνετὸν
τὸ βαθύτατον, μέλος. τὸ αἴνιγμα εἶπεν. ἐπεὶ μετὰ μέ-
λους τινὸς προέφερεν αὐτὸ ἡ σφίγξ. διὸ καὶ ἀοιδοῦ σφιγ-
γὸς εἶπεν. Φονεύσασα δέ.) ἀντὶ τοῦ φόνου καὶ ἀναιρέ-
σεως γενόμενος αὐτῇ αἴτιος. Τίς ἑλλάς.) τίς ἑλληνι-
κὴ γυνὴ. ἢ βάρβαρος γυνὴ δηλονότι. Ἄλλως. Τίς φη-
σὶν ἑλλήνων ἢ βαρβάρων. καὶ τῶν ἀνέκαθεν ἀνδρῶν
τοσούτων πλῆθος κακῶν ὑπέμεινε. καὶ λύπης ὑπὸ ἀνθρω-
πίνου σώματος. τὸ γὰρ ἀνθρωπείου, ἀντὶ τοῦ ἀνθρω-
πίνου. Ἢ τῶν πάροιθεν.) ἀπὸ κοινοῦ τὸ τίς. ἢ τίς τῶν
πάροιθεν συγγενῶν τοσαύτας λύπας ὑπέμεινε. Τάλαιν'
ὡς ἐλελίζω. τάλαινα εἰμὶ ἐγὼ πῶς ἐλελίζω καὶ ταράτ-
τομαι. καὶ τίς ἄρα ὄρνις καθεζομένη ἐπὶ κλάδοις τοῖς
κατ' ἄκρον κομῶσιν ἢ δρυὸς ἢ ἐλάτης, στερηθεῖσα τῆς μη-
τρὸς, συνῳδὸς καὶ σύμφωνος ἔσται τοῖς ἐμοῖς ὀδυρμοῖς
ἐν ἄχεσι καὶ λύπαις. εἰς αἴλινον καὶ θρῆνον. ἐν αἰάγμασι
καὶ θρηνητικοῖς ἀπηχήμασιν. ἥτις ἐπὶ τούτοις κλαίω. μό-
νη δὲ τὸν ἀεὶ χρόνον. ἤτοι διαπαντὸς ἠχήσω καὶ θρηνή-
σω. διάξουσα τὴν ζωὴν ἐνσταζομένοις δάκρυσιν. ἐπὶ τί-
να πρῶτον βάλλω ἀπαρχὰς ἀπὸ τῆς χαίτης ἤτοι ἀπὸ
τῆς κόμης διὰ σπαραγμῶν. πότερον δηλονότι παρὰ τοῖς
δυσὶ μαστοῖς τοῦ γάλακτος τῆς μητρός. ἢ πρὸς τὰ οὐ-
λόμενα αἰκίσματα τῶν διττῶν ἀδελφῶν. ἤτοι πρὸς τὰς
ἀξίας ἀπωλείας πληγὰς τῶν δύο ἀδελφῶν. φεῦ ὦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάτερ ἀλαὶ, ὁ φέρων ὄμμα τυφλὸν. λίπε τοὺς σοὺς δόμους. δεῖξον ὦ οἰδίπους τὴν σὴν ζωὴν τὴν ἀθλίαν. ὅστις ἐμβαλὼν τοῖς σοῖς ὄμμασιν ἀορασίαν καὶ τύφλωσιν. ἐπὶ τοῖς δώμασιν ὀδυνηρῶς αὖθις ἐπὶ πολὺ ζωὴν παρατεινομένην καὶ μακροχρόνιον. ἀκούεις σὺ ὁ πλανώμενος κατὰ τὴν αὐλὴν καὶ κατὰ τὸν οἶκον. ἰαύων καὶ διατρίβων καὶ κινῶν ἐν τοῖς δεμνίοις γηραιὸν πόδα δύστηνον. ἤτοι γεροντικὴν ἀθλίαν πορείαν; Τάλαιν᾽ ὡς ἐλελίζω. ἐγὼ φησὶ πάλαινα. ἥτις αἴλινον ἀνακλαίω. καὶ ἀναθρηνῶ, ἐπὶ τούτοις τοῖς οἰκτροῖς ἀτυχήμασι. καθάπερ τις ὄρνις θρηνοῦσα ἀπηχεῖ. δρυὸς πετάλοις ἐφεζομένη. Μονομάτωρ.) ἡ μεμονωμένη τῆς μητρὸς αἰάγμασι θρηνητικοῖς ἀπηχήμασι. Α τοῖς δὲ.) ἄπνα ἄσματα θρηνῶ. ἐπὶ τοῖς δὲ τοῖς νεκροῖς. Ευλειβομένοις.) ἐν ὑγροῖς. Μόνα δὲ αἰῶνα.) ἀντὶ τοῦ μονάδα βίον. ὀρφανὸν. μονήρη. μεμονωμένον. ἔρημον. ἡ δὲ πρὸ ἀντὶ τοῦ ἀνά. τουτέστιν ἀνακλαίω. τοῦτο ἰδία ἀναπεφώνηται. Απαρχάς.) θυσίας. Γάλακτος.) λείπει τοῖς ποιητικοῖς. Αἰκίσματα.) πρὸς τὰς ὀλεθρίας πληγάς. Οἰδιπόδα.) ἀπὸ τῆς οἰδιπόδης εὐθείας. Ελκεις.) παρέλκεις. καὶ παρατείνεις μακρότατον βίον. πλανώμενος καὶ τυφλώττων. Ιαύων.) ἐγκοιμίζων. ἐγκρύπτων. Κλύεις ὦ κατ᾽ αὐλάν.) ἀπὸ μέρους τοῦ ποδὸς, τὸ ὅλον σῶμα δηλοῖ. τουτέστι κλύεις ὦ πάτερ, ὃς ἔνδον κατὰ τὴν αὐλὴν διατρίβεις. καὶ τὸ γεγηρακός σου σῶμα τοῖς δεμνίοις ἐγκρύπτεις. Τί μ᾽ ὦ παρθένε.) διατί ὦ παρθένε ὁδηγίαις τῆς τυφλῆς πορείας ἐξήγαγές με εἰς φῶς, προσκαλισαμένη τοῖς δάκρυσι τὸν ἀεὶ ἐν λέχει καὶ κοίτῃ ὑπάρχοντα. Πτηνόν.) ταχύτατον. Τί μ᾽ ὦ.) ὅλως ἐν πᾶσιν εὐριπίδης πτωχοποιός ἐστιν. καὶ νῦν ὁ οἰδίπους

οὐδὲ ὁδηγὸν αὐτῷ ἔχει ἐν τῇ πατρίδι ὤν, ἀλλὰ καὶ μόνος ἐκπορεύεται ἑαυτὸν ὁδηγῶν. τάχα δὲ καὶ πάντες ἐξῆλθον θεαταὶ γενέσθαι τῶν παρόντων κακῶν. διὸ μεμονωμένον θεράποντος, τὸ οἰδίποδος πρόσωπον ἔξεισι. λεχήρη δὲ φησὶ τὸν ἀεὶ ἐν λέχει καὶ σκότει ὑπάρχοντα. τὸ ἑξῆς τοῦ νοῦ διατί με τὸν πολιὸν ἀντὶ τοῦ πεπολιωμένον ἐξήγαγες ὦ παρθένε σκοτίων ἐκ θαλάμων, εἰς φῶς ἀέρος. ὄντα με ἀφανὲς εἴδωλον. ὅ ἐστι τυφλὴν σκιάν. ἀλλὰ τὸ αἰθέρος ἀφανὲς εἴδωλον κατ' ἰδίαν προσενεκτέον. τί με φησὶν ἐξήγαγες ὥσπερ εἴδωλον ὄντα αἰθέρος. τουτέστι τοῦ ἀέρος. καὶ γὰρ τὸν ἀέρα περιΐπταται τὰ εἴδωλα. καὶ αἱ ψυχαί. ἢ καὶ ὡς νεκρόν με ὑπάρχοντα. ἢ ὡς σκιᾶς ὄνειρον. Δυστυχὲς ἀγγελίαν.) ἀντὶ τοῦ δυστυχῆ ἀγγελίαν κομίσῃ. οὐκέτι ζῶσι τὰ τέκνα σου. οὐδὲ ἡ γυνή σου, ἥτις τὸν τυφλόν σου πόδα θεραπεύμασιν ἀεὶ μετὰ μόχθου ὁδηγεῖ. Πάρα γάρ.) πάρεστι γὰρ στενάζειν διὰ ταῦτα καὶ βοᾶν. Οὐκ ἐπὶ χάρμασιν.) οὐκ ἐπιχαίρουσα οὔτε ὀνειδίζουσα νῦν λέγω τοῦτο. ἀλλ' ὀδυνωμένη. καὶ συναλγοῦσα τὴν ψυχήν. ὅτι ἡ σὴ κακοδαιμονία, ἣν ἔδει μέχρι σοῦ στῆναι. καὶ ἐφ' ἡμᾶς τοὺς παῖδας κατήντησεν οὐχ ὁσίως.

Ἀλάστωρ δὲ,) ἔφορος δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων. καὶ τιμωρός. Σχετλίαισι φονίαις μάχαις ξίφεσί τε βρίθων καὶ πυρί. Τέκνα.) διὰ τὰ τέκνα.

Διὸ ὀδύνας.) ἐπίδηλος ὁ σὸς θρῆνος. πολλὰ γὰρ τὰ ὑπερέχοντα σε κακά. διατί ταῦτα στενάζεις. διὰ τὴν τύφλωσιν. διὰ τὸν τῆς μητρὸς γάμον, εἶπεν οὐ διὰ ταῦτα θρηνῶ. λείπει δὲ ἡ διά. διατί τάδε καταστένεις. Εἶτα τί θριππάγ' ἐς μειζόνως ἂν ὠδυνάθης, εἰ τοὺς ὀφθαλμοὺς ἔχων ὁρῶντας, καθεώρας τούτους κειμένους νεκρούς.

τὸ γὰρ

τὸ γὰρ ἐπευνώμας ἀντὶ τοῦ διέκρινας. καὶ ἐπεσκόπεις. Ὄμματος αὐγαῖς.) ἀντὶ τοῦ τῶν ὀμμάτων. Τῶν μὲν ἐμῶν.) ἐγὼ κατηρασάμην τῷ θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς παῖδας. Ἃ δὲ τάλαιν' ἄλοχος.) καὶ τοῦτο ἀπρεπὲς ὅτι τὴν οἰδίποδα ἄλοχον τὴν ἰοκάστην ποιεῖ λέγοντα. ὑπογνόντα ὅτι ἡ μήτηρ ἦν. ἔδει οὖν τὸ ὄνομα παραιτήσασθαι. Ἱκέτις.) ἱκέτιν τὴν μαστὸν αἰρομένην καὶ μετεωρίζουσαν ἵνα οἱ παῖδες ἰδόντες, λήξωσι τῆς μάχης. γράφεται δὲ καὶ ὁρωμένα. ὅ ἐστιν ὁρούουσα. καὶ προτείνουσα τὸν μαστόν. Λείμακα.) λειμῶνα.

Κοινὸν συγγενικὸν πόλεμον.) κοινὸν τὸ εὗρε. ὁ δὲ λόγος ἀσύνετος. ἐπὶ τοῖς τραύμασιν εὗρε ψυχρὰν σπονδὴν αἵματος. ἥπερ αἱμάτων φονευομένων σπονδή ἐστι τοῦ ᾅδου. Ἐναύλους) συνοίκους. ἢ ἐν ἐπαύλει μαχομένους. Ψυχρὰν λοιβάν.) τὴν εἰς ψύξιν καὶ θάνατον ἄγουσαν. Ἂν ἔλαχ' ἀΐδας.) ἥν τινα λοιβὴν τοῦ αἵματος κεκλήρωται ὁ ᾅδης. παρ' ὅσον οἱ φονευόμενοι εἰς ᾅδου χωροῦσι. προεξένησε δέ φησι ὁ ἄρης τῷ ᾅδῃ τὴν ἐξ αἵματος σπονδήν. Χαλκόχροον.) τὸ ὑπὸ χαλκοῦ συγκεκροτημένον καὶ κατεσκευασμένον ξίφος.

Ἀγχι δὲ τέκνων.) ἐπὶ τῶν τέκνων τῶν νεκρῶν. Εὐτυχέστερος βίος.) οὐχ ὡς τοῦ προτέρου βίου εὐτυχοῦς ὄντος, τῷ συγκριτικῷ ἐχρήσατο. ἔσθ' ὅτε γὰρ τὰ συγκριτικὰ ἐξ ἀνομοιοειδῶν γίνεται. ὡς τὸ πρεσβυτέρα παίδων. οὐχ ὡς καὶ τῶν ἄλλων παίδων παλαιῶν ὄντων.

Ὡς ὥρα τάφου.) καιρός ἐστι μνήμην ποιεῖσθαι τῶν τάφων καὶ τῶν θαπτομένων. Ἀρχὰς τῆσδε γῆς.) τὰς ἀρχὰς διδούς. ἀπὸ κοινοῦ δὲ τὸ διδούς. φερνὰς οὖν φησιν ἔδωκε τῇ ἑαυτοῦ ἀδελφῇ, ἑαυτοῦ τὴν ἀρχήν. Ὡς ὥρα τάφου.) οὐχ ἵνα πάντες ταφῶσιν. ἀλλὰ μόνος ἐτεοκλῆς.

καὶ Ἰοκάστη. τὸν γὰρ Πολυνείκην ἀκήδευτον ταφῆναι κελεύει. Φερνὰς δέ φησι τὰ διδόμενα χάριν προικὸς τῇ νύμφῃ. Αἵμονι.) τῷ υἱῷ μου. Διὰ δὲ τοὺς ἀλάστορας.) τὰς δυστυχίας τὰς σάς. Ὦ μοῖρ' ἀπαρχῆς.) ὦ μοῖρα καὶ τύχη λίαν ἐποίησας ἐμὲ ἀπ' ἀρχῆς ἄθλιον καὶ τλήμονα. ὡς οὐδεὶς ἄλλος τῶν ἀνθρώπων ἐγένετο. ὃν ἐμὲ δηλονότι καὶ πρὸ τοῦ ἐλθεῖν εἰς φῶς ἐκ τῆς γονῆς τῆς μητρὸς, ἤτοι ἐκ τῆς γεννήσεως τῆς μητρὸς, ἐθέσπισεν ὁ Ἀπόλλων τῷ Λαΐῳ ἄγονον ἤτοι μὴ γεννηθῆναι ὀφείλοντα γενέσθαι φονέα τοῦ πατρός. φεῦ. ἄθλιος εἰμὶ ἐγώ. ἐπεὶ δὲ ἐγενόμην, ἤτοι εἰς φῶς ἦλθον, πάλιν ὁ σπείρας πατὴρ ἔκτεινέ με. ἤτοι κτεῖναι με ἔκρινεν. νομίσας γεγονέναι πολέμιον. ἀπέκειτο δὲ θανεῖν αὐτὸν, ἐξ ἐμοῦ. πέμπει δέ με ἀντὶ τοῦ ἐξέπεμψεν ἐμὲ, ποθοῦντα μαστὸν, ἤτοι ὑπομάζιον ὄντα. βορὰν ἀθλίαν γενησόμενον δηλονότι θηρσὶν ἀντὶ τοῦ θηρῶν. οὗ καὶ ὅπου σωζόμεθα ἀντὶ τοῦ ἐσώθημεν. ὤφελε γὰρ ἀντὶ τοῦ ἔπρεπεν ἐλθεῖν ὁ Κιθαιρὼν εἰς τὰ χάσματα καὶ εἰς τὰ σχίσματα τοῦ ταρτάρου. τὰ ἄβυσσα. καὶ τὰ βαθύτατα. ὃς οὐκ ἀπώλεσεν ἐμέ. ἀλλὰ ἔδωκεν ἐμοὶ ὁ δαίμων δουλεῦσαι τε ἀμφὶ δεσπότην τὸν Πόλυβον. κτανὼν δὲ ὁ δυστυχὴς τὸν ἐμαυτοῦ πατέρα, ἦλθον εἰς συνάφειαν τῆς ταλαιπόρου μητρός. ἔτεκόν τε παῖδας ἀδελφούς. οὓς ἀπώλεσα λαβὼν ἀρὰς παρὰ τοῦ Λαΐου. καὶ δοὺς τοῖς παισίν. οὐ γὰρ τοσοῦτον ὑπάρχω ἀσύνετος καὶ ἀνόητος, ὥστε ἄνευ τοῦ καὶ τινὸς τῶν θεῶν ἐμηχανησάμην ταῦτα εἰς τὰ ἐμὰ ὄμματα. καὶ εἰς τὸν βίον καὶ τὴν ζωὴν τῶν ἐμῶν παίδων. εἶεν καὶ ἔστω ταῦτα. τί δῆτα δράσω ὁ δυστυχὴς ἐγώ. τίς ἀκολουθήσει μοι ὁδηγὸς ποδὸς τυφλοῦ. ἡ θανοῦσα ἤδε ἤγουν ἡ Ἰοκάστη; ζῶσα γὰρ ἂν οἶδα

σαφῶς, ὅτι ἐγένετο ἡγεμὼν δηλονότι. ἀλλ' ἢ τῶν καλῶν παίδων δίας; ἀλλ' οὐκ ἔστι μοι. ἀλλ' ἔτι νεάζων, ἤτοι νέος ὤν, εὕροιμι αὐτὸς πόρον ζωῆς; πόθεν. ἀντὶ τοῦ οὐδαμῶς, τί ἀποκτείνεις ἐμὲ ὦ κρέον οὕτως ἄρδην καὶ παντελῶς. ἀποκτενεῖς γὰρ εἰ ἐκβαλεῖς ἐμὲ ἔξω τῆς γῆς. οὐ μὴν ἑλίξας τὰς χεῖρας περὶ τὸ σὸν γόνυ φανοῦμαι δειλός. τὴν γὰρ ποτὲ οὖσαν ἐμοὶ γενναιότητα, οὐκ ἂν καταλίποιμι. καίπερ πράσσων δυστυχῶς. Μητρὸς ἐκγονῆς.) γόνος καὶ γονὴ, τὸ σπέρμα τοῦ ἀνδρός. ὃ παραλαβοῦσα ἡ γυνὴ καὶ θάλψασα. καὶ τὸν τεταγμένον χρόνον κατασχοῦσα, ἀποτίκτει. ὥσπερ δὲ λέγεται σπέρμα τῆς γῆς ὁ σῖτος. καὶ ἡ κριθή. καὶ τὰ τοιαῦτα, διότι εἰς τὴν γῆν σπείρονται, οὕτω καὶ ὁ καταβαλλόμενος πρὸς τὴν γυναῖκα σπόρος τῆς γυναικὸς ἂν λέγοιτο. κατὰ τὸν προσήκοντα λόγον. καθ' ὃ λέγεται ἐνταῦθα τὸ μητρὸς ἐκγονῆς. ἤγουν ἐκ τοῦ σπέρματος καὶ τῆς μητρός. ἀντὶ τοῦ ἐκ τοῦ πρὸς τὴν ἐμὴν μητέρα καταβληθέντος σπέρματος. ἀπὸ τούτων, καὶ τὸ γόνιμον καὶ τὸ ἄγονον. λέγεται δὲ ταῦτα, ἐναντία γάρ εἰσι. καὶ ἐπὶ τῶν αὐτῶν λέγεται. πρῶτα μὲν ἐπὶ ἀνδρὸς δυναμένου παιδοποιεῖν, ἢ μὴ δυναμένου. καὶ ἐπὶ μήτρας δυναμένης σπέρμα ζωογονεῖν, ἢ μὴ δυναμένης. ἔπειτα καὶ ἐπὶ φυτῶν δυναμένων καρποφορεῖν, ἢ μὴ δυναμένων. καὶ ἐπὶ γῆς ἐπιτηδείας σπέρματα τρέφειν. καὶ θάλπειν. ἢ μὴ ἐπιτηδείας. καὶ ἐπὶ ποιητοῦ δυναμένου ποιήματα. ἢ μὴ δυναμένου. καὶ ἐπὶ βρέφους δυναμένου τεχθῆναι, ἢ πρέποντος. ὡς ἐν τούτοις. καὶ τοῦτο φασὶν ἑπτὰ φησὶ γόνιμον εἶναι. ἐνταῦθα δὲ ἀντὶ τοῦ δυναμένου τεχθῆναι ἢ μὴ δυναμένου. ἢ πρέποντος. οἷον ἐνταῦθα τὸ ἄγονον. ἀπόλλων λαΐῳ μ' ἐθέσπισεν. ἐνταῦθα ἀντὶ τοῦ μὴ πρέποντος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶναι τεχθῆναι. Στρέψον. Ὡς μ᾽ ἔφυσας.) λίαν ἐξ ἀρχῆς ἐποίησας ἄθλιον. καθὸ πρὶν γενέσθαι δυστυχὴς ὑπῆρχεν. Ἐθέσπισεν.) ἐμαντεύσατο. Ἐπεὶ δ᾽ ἐγενόμην.) Ἐπεὶ δ᾽ ἐγεννήθην, πάλιν ὁ σπείρας πατὴρ κτείνει με. ὅσον κατὰ τὴν οἰκείαν προαίρεσιν. Χρήζων γὰρ.) ἀπέκειτο. εἵμαρτο. Μαστὸν ποθοῦντα.) ἔτι χρήζοντα μαστοῦ τὸν ἄθλιον πέμπει με τροφὴν τοῖς θηρσί. Δουλεῦσαί τε μοι.) δοῦλον γενέσθαι. καὶ τοῦτο εὐηθές. οὐ γὰρ δοῦλον αὐτὸν ἐποίησεν. ὡς καὶ ἡ Ἰοκάστη φησίν. ἡ δὲ τῶν ἐμῶν ὠδίνων πόνον, μαστοῖς ὑφεῖτο. καὶ πόσιν πείθει τεκεῖν. ἀλλὰ φαμὲν ὅτι ἕνεκα τοῦ εἰς οἶκτον κινῆσαι τοὺς θεωμένους. ἢ ὅτι οἱ βαρυνόμενοι συμφοραῖς ὑπὸ προκειμένης δυστυχίας καὶ τὰς προκειμένας εὐδαιμονίας, δυστυχίας ἀποκαλοῦσι. Πόλυβον ἀμφὶ δεσπότην.) οὐκ ἐξέφηνεν αὐτὸν πατέρα. οὐκ ἐτέχθη υἱός. ἀλλὰ δοῦλος. καὶ κτῆμα αὐτοῦ γέγονεν. Ἀρὰς παραλαβὼν.) θέλει εἰπεῖν ὅτι εἵμαρται ταῦτα παθεῖν τῷ γένει. ὁ γὰρ Λάϊος φησὶ γνοὺς μὴ κατὰ βούλησιν θεῶν γεγονότα με, κατηράσατο. ἵνα δηλονότι ἀποθάνω. ἐγὼ δὲ ἀπὸ σκαιοῦ δαίμονος τὰς παρ᾽ ἐκείνου ἀρὰς δεξάμενος, παρέδωκα φησὶ καὶ τοῖς ἐξ ἐμοῦ παισί. Ὁμαρτήσει.) ἀκολουθήσει. ὁδηγήσει. Ζῶντα γὰρ σάφ᾽ οἶδ᾽ ὁ.) σαφῶς οἶδα ὅτι εἰ ἔζη, συνήθως ἄν με ἐχειραγώγησεν Ἰοκάστη. Ἀλλ᾽ εὔτεκνος.) ἀλλ᾽ ἡ εὐτεκνία τῶν δυσνόμου παίδων; Πόθεν.) οὐδαμῶς. Τί δ᾽ ἄρδην.) παντελῶς. Εἰλίξας.) συστρέψας τὰς ἐμὰς χεῖρας περὶ τὸ σὸν γόνυ δῆλος φανοῦμαι. τὴν γὰρ ἐμὴν εὐγένειαν οὐ καταπροδώσω. κἂν δυστυχῶ. Σοί τ᾽ εὖ λέλεκται.) σοί τε εὖ καὶ καλῶς λέλεκται μὴ θέλειν τὰ ἐμὰ γόνατα. ἤτοι μὴ χρήζειν ἅπτεσθαι τῶν ἐμῶν γονάτων. ἐγὼ δὲ οὐκ

ἐν ἐάσαι μισεῖ οἰκεῖν τὴν χθόνα. ἀπὸ τοῦδε δὲ τῶν νεκρῶν τὸν μὲν, ἤγουν τὸν ἐτεοκλῆν, πρέπον κομίζειν ἤδη εἰς τοὺς δόμους. τόνδε δὲ. λέγω τὸν νέκυν τοῦ πολυνείκους ὃς ἦλθε σὺν ἄλλοις πορθήσων τὴν πατρίδα, ἐκβάλετε καὶ ῥίψατε ἄταφον ἔξω τῶν ὅρων τῆσδε τῆς χθονός. κηρυχθήσεται δὲ πᾶσι τοῖς καδμείοις τάδε. ὃς ἁλῷ καὶ κρατηθῇ, ἢ κατασέφων καὶ τιμῶν τόνδε τὸν νεκρόν. ἢ καλύπτων γῇ. ἤτοι θάπτων, θάνατον ἀνταλλάξεται. ἤγουν ἀντὶ κόσμου καὶ τῆς ταφῆς, λήψεται θάνατον, κηρύξεται δὲ κατὰ κοινοῦ ἐᾶν ἄκλαυστον ἄταφον βορὰν τοῖς ὀρνέοις. σὺ δὲ ὦ ἀντιγόνη ἐκλιποῦσα τοὺς θρήνους τῶν τριῶν νεκρῶν. κόμιζε σεαυτὴν ἔσω τῶν δόμων. καὶ παρθενεύου ἀντὶ τοῦ ἐν τῷ παρθενῶνι μένε. προσμένουσα τὴν ἐπερχομένην ἡμέραν, ἐν ᾗ μενεῖ σε τὸ λέκτρον καὶ ἡ συνάφεια τοῦ αἵμονος. Σοί τ᾽ οὐ λέλεκται.) καλῶς εἶπας ὅτι οὐχ ἱκετεύωσε. εἰ γὰρ καὶ σὺ ἠθέλησας ἐγὼ οὐ συνεχώρουν. Τόνδε δ᾽ ὅς.) τὸν δὲ πολυνείκους νέκυν. Κηρύξεται.) κηρυχθήσεται. Κατασέφων ἁλῷ.) εἰώθασι γὰρ στέφειν τοὺς νεκρούς. Θάνατον ἀνταλλάξεται.) ἀντὶ τῆς ταφῆς, θάνατον, λήψεται.

Καὶ παρθενεύου.) παρθένος δίαγε ἐκδεξομένη τὴν ἑξῆς ἡμέραν. Ὥς σε στενάζω.) πρὸς τὸν οἰδίποδα λέγει. ὅτι στένω σε ὦ πάτερ. πλέον τῶν τεθνηκότων.

Ἀτὰρ σ᾽ ἐρωτῶ.) πρὸς τὸν κρέοντα ἀποστρέφει τὸν λόγον. τί διώκεις τὸν πατέρα. τί ἀπαγορεύεις τὴν ταφὴν τοῦ παιδὸς πολυνείκους. Θεσμοποιεῖς.) νομοθετεῖς. Ἀφρονάγε.) τὰ βουλεύματα. καὶ σὺ μωρὸς ὃς ἐπείθης τὰ δεινὰ εἰς πέρας ἀγαγεῖν. Οὐκ ἔννομος γάρ.) οὐκ ἔννομον τιμωρίαν ἀπαιτεῖτε αὐτήν.

Ἄλλως. ἀπὸ κοινοῦ τὸ οὐ δικαίως. ἀνόσιον γάρ φη-

φησὶν ὅτι τοιαύτην τιμωρίαν αὐτ' ἀπαιτεῖς. λέγει δὲ τὸ ἄταφον εἶναι. Εἴπερ γε πόλεως.) καί φησιν ἔννομος εἴπερ ἦν ἐχθρὸς τῆς πόλεως. οὐκ ἐχθρὸς ὢν ἤτοι οὐκ ὀφείλων εἶναι ἐχθρός. Οὐκοῦν ἔδωκεν.) κατ' ἐρώτησιν ὁ λόγος. οὐκ ἔδωκεν οὖν τῇ ἀποβάσει τὴν κόλασιν; δαίμονα δὲ φησὶ τὸν ἐξ εἱμαρμένης καὶ δαίμονος θάνατον. τύχην δὲ τὴν κατὰ τὸν πόλεμον συντυχίαν. οὐκοῦν φησὶν ἀρκέσθητι τῷ θανάτῳ. ὃν ἔτυχεν αὐτὸν ἐν τῷ πολέμῳ ἀνατλῆναι. Καὶ τῷ τάφῳ.) καὶ ἐν τῷ ἐνταφιασμῷ τὴν δίκην διδότω. Τί πλημμελήσας.) κατ' ἐρώτησιν ἐνήνεκται. τί πλημμελήσας, ἀπῄτησε τὸ μέρος. Καὶ ἀπεννέπη.) καὶ ἀπαγορεύῃ ἡ πόλις.

Ἀλλ' εὐκλεές.) ἀλλ' ἔνδοξον δύο φίλους κεῖσθαι πλησίον. Λάζυσθε.) λαμβάνετε. Οὐχ ἅσοι δοκεῖ.) ταῦτα ἔκρινεν ὁ δαίμων τὸ μὴ ταφῆναι τὸν ἀδελφόν σου οὐχ ἅσοι δοκεῖ. Ὥς οὔ τις.) γινώσκει ὅτι οὐδείς, τοῦτον θάψει. ὑγρὰν κόνιν λέγει τὴν χυτὴν καὶ λεπτήν. πρὸς ἀντιδιαστολὴν τῆς ἐν βώλακος. ὅμηρος χυτὴν δ' ἐπὶ γαῖαν ἔχευε. ἔστι δὲ ὑγρὰ ἡ νεοσκαφὴς γῆ. Τῶν ἀπορρήτων.) τῶν ἀπηγορευμένων. ἀριστοφάνης. καὶ ὅς τ' ἀπόρρητ' ἀποπέμπει ἐξ αἰγίνης. Ναὶ πρὸς σέ.) λείπει ὀκνῶ καὶ τῆς δέ. ἔασον ταφῆναι ὦ κρέον τὸν πολυνείκην πρὸς τῆς δὲ τῆς ἰοκάστης ἀντιβολῶ σε. Σὺ δ' ἄλλα.) ἀλλὰ καὶ λουτρὰ ἄφες με περιβαλεῖν τῷ νεκρῷ.

Ἀλλ' ἀμφιτραύματα.) εἰώθασι γὰρ ἀπὸ τῶν τραυμάτων ἐπιμελεῖσθαι τῶν νεκρῶν, ὑπὲρ τοῦ αὐτοὺς εὐσχήμονας φαίνεσθαι. τελαμῶνας δὲ τὰ ῥάκη οὓς φαμὲν ἐπιδέσμους. Ὦ φίλτατε πολύνεικες.) ἀλλὰ προσπτύξομαι καὶ τὸ σῶμά σου. ἐπεὶ οὐ συγχωροῦμαι θάψαι σε. Οὐκ εἰς γάμους σούς.) οὐκ ὀφείλεις κλαίειν μέλ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λουσα γαμῶν· ἢ οὕτως· οὐχὶ κτήσῃ τοῖς γόοις συμφορὰς εἰς γάμους σούς. Οἷον ἐξωνείδισεν.) καυχωμένη εἶπεν· ἐξύβρισεν· ὄνειδος γὰρ τοῦτο τὸν τούτου υἱὸν ὑπὸ γυναικὸς ἀπολέσθαι· ἢ ἀπὸ τοῦ κλέους εἴληπται· ἀντὶ τοῦ ἐκλέϊσεν· καὶ ἔνδοξον ἐποίησε μιμήσασθαι φήσασα τὰς δαναΐδας· τὸ γὰρ ὄνειδος, καὶ ἀπὸ ἀγαθοῦ τάττεσθαι δύναται· καὶ ἡμῖν συνήθως· παρόσον ὄνειδος τῷ κρέοντι εἰ ὁ υἱὸς αὐτοῦ ὑπὸ γυναικὸς ἀπολείπεται. Γενναιότης σοί.) εὐγένεια· ἀντὶ τοῦ γενναῖος μὲν πράττεις· μωρῶν ἐστιν· ἢ ὁ δὲ ἀντὶ τοῦ καί· τουτέστιν εὐγένεια καὶ μωρία ἔνεστί σοι. Καὶ ξυνθανοῦμαι.) συναποθνήσκω φησὶν αὐτῷ ἵνα πλέον τι μαθήσῃ. Ἀλλ' εἰ γαμοίμην.) ἠθικῶς τοῦτο προσενεκτέον· καὶ δεῖ συνυπακούειν τὸ καλῶς δ' ἂν ἔχοι· ἐγὼ γαμοίμην· καὶ σὺ μόνος φεύγεις πάτερ· συναπτέον δὲ τὸ ἀλλ' εἰ γαμοίμην, τίς σε τυφλὸν ὄντα θεραπεύσει. Πεσών.) πεσὼν κείσομαι ἐν ἐκείνῳ τῷ τόπῳ ὅπου μοι μοῖρα. Καὶ τὰ κλεινά.) οἱ ἀσαφεῖς λόγοι που εἰσί. Ἓν ἦμαρ.) γράφεται ἓν ἦμαρ μ' ὤλβισεν· ἠδ' ἀπώλεσεν· τὸ δὲ ἠδὲ ἀντὶ τοῦ καί· ἤτοι ἓν ἦμαρ με ὤλβισε καὶ ἀπώλεσε. ποῖον δέ ἐστι, καθὸ ὄλβιος ἐγένετο καὶ δυστυχής· ὅτε τὸ αἴνιγμα τῆς σφιγγὸς ἔλυσε· κατὰ γὰρ τὴν αὐτὴν ἡμέραν, καὶ ἔγημε τὴν μητέρα· καὶ τῆς ἀρχῆς ἀντελάβετο· τὸ μὲν οὖν εὐτύχημα, τὸ λῦσαι τὸ αἴνιγμα· καὶ βασιλεῦσαι· δυστύχημα δὲ, τὸ γῆμαι τὴν μητέρα παρὰ τὸν τῆς φύσεως θεσμόν.

Αἰσχρὰ φυγῇ.) τὸ οὐ συναπτέον πρὸς τὸ αἰσχρά· τουτέστιν οὐκ αἰσχρά· οὐ τηρεῖ τὸ σύμφωνον· ἀλλὰ κατὰ δρᾶμα ὑποτίθεται· πῶς γὰρ θάψει πολυνείκην αὐτὴ συμφεύγουσα τῷ πατρί· πλεονάζει δέ, τούτῳ τῷ εἴδει εὐριπίδης.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Προσάγαγέ με ἵνα ψαύσω τῆς μητρός σου.) ἰδού· ψαῦσον διὰ τῆς χειρὸς, τῆς φιλτάτης γεραιᾶς. ὦ μῆτερ καὶ γυνή μου ἀθλιωτάτη ἐλεεινὴ πρόκειται. ὁμοῦ πάντ' ἔχουσα τὰ κακά. ποῦ δὲ τὸ πτῶμα τοῦ πολυνείκους καὶ τοῦ ἐτεοκλέους ἐστίν. οὗτοι ἐξηπλωμένοι κεῖνται πλησίον ἀλλήλων. ὦ προσφιλῆ πτώματα ἄθλια πατρὸς ταλαιπώρου καὶ ἀθλίου. γνῶ ὦ θύγατερ ἡ τοῦ ἀπόλλωνος τελευταῖα μαντεῖα. ὁ ποῖος χρησμός. ἆρα πρὸς τοῖς κακοῖς λέξεις κακά. Αλλ' ἦ.) τὸ ἦ ἀντὶ τοῦ ἆρα· ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ δέ. ὁ δὲ λόγος κατ' ἐρώτησιν. ἆρα δὴ πρὸς τοῖς οὖσι κακοῖς, ἄλλα κακὰ ἐρεῖς; Τίς δὲ πύργος.) ἀντὶ τοῦ πόλις. τετράπυλος γὰρ ἡ ἀττική.

Ἱερὸς κολωνός.) λέξεταί με δηλονότι. ἔστι δὲ ἀκρωτήριον τῆς ἀττικῆς. ἔστι καὶ ἕτερος κολωνὸς ἐργάτης. ἵππειον δὲ θεὸν τὸν ποσειδῶνα λέγει. Δῶμα θ' ἱππείου.) διχῶς λέγεται. καὶ πληθυντικῶς, καὶ ἑνικῶς. περὶ δὲ τοῦ ἐν τῷ ἱππείῳ κολωνῷ τεθάφθαι τὸν οἰδίποδα ἐν ἄλλοις ἐξειργασάμεθα ἀκριβῶς. ἀλλ' ἄγε ὑπηρέτει τῷδε τῷ τυφλῷ πατρί. ἐπεὶ πρόθυμος εἶ κοινωνεῖν μου τῆς φυγῆς. Ἴθ' εἰς φυγάν.) διὰ μὲν τοῦ ἐγὼ σφε θάψω, ἐνδόσιμα τὰ τῆς σοφοκλέους ἀντιγόνης παρέσχε, διὰ δὲ τοῦ φθέγγειν, τῷ ἐπὶ κολωνῷ οἰδίποδι. Ναυσίπομπον.) ἄπιθι ὦ πάτερ γηραιὲ εἰς φυγὴν τάλαιναν. πάρεχε δὲ δὸς χεῖρα προσφιλῆ. ἔχων ἐμὲ πομπίμην καὶ ὁδηγὸν καθὰ πνοιὰν ναυσίπομπον. ἤτοι τὴν τὰς ναῦς διαπέμπουσαν. Ποδηγός.) ὁ δηγὸς ποδῶν.

Γενόμεσθα.) ἀττικὸν δὲ τὸ μετὰ τοῦ σ. τῶν θηβαίων παρθένων ἄθλιαι τυγχάνομεν. Πόθι γεραιόν.) ὅπου φησὶ μέλλω τὸ ἴχνος τιθέναι, ἐκεῖ χειραγώγει με. βάκτρα δὲ τὴν ὁδηγίαν. Τᾷδε τᾷδε.) ὧδε πορεύου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τι ὑπ' ἐμοῦ. τῇδε τῇδε τίθει ὦ πάτερ τὸν πόδα. ἔχων ἰσχὺν ὥς τι ὄνειρον σαθρὰν καὶ ἀνυπόστατον. Ὡστ' ὄνειρον.) ὀνείρῳ τὴν ἰσχὺν εἴκελον ἔχων. Ἰὼ ἰώ.) ἕνεκα τῆς δυστυχεστάτης φυγῆς καὶ ἐξορίας. ὦ κρέον δηλονότι ὁ ἐλαύνων καὶ διώκων τὸν γέροντα ἐμὲ δηλονότι ἐκ τῆς πατρίδος. ἰὼ ἐγὼ ὁ τλὰς καὶ ὑπομείνας δεινὰ καὶ χαλεπά. Ἐλαύνει.) λείπει τὸ, ὁ κρέων. φεῦ φεῦ ἐγὼ ὁ ὑπομείνας χαλεπά. τί τλάς. τί φησὶν ἀεὶ λέγεις ὅτι δεινὰ τλάς. ἡ γὰρ καὶ συνεχῶς αὐτὸ λέγεις. ὅμως ἡ δίκη τοὺς κακοὺς οὐχ' ὁρᾷ. οὐ δὲ μετέρχεται αὐτῶν τὰς ἀσελγείας. καὶ ἀσυνεσίας. Μοῦσαν οὐράνιον φησὶ, τὴν μεγάλην καὶ περίβλεπτον σοφίαν. Ὁ δ' εἰμί.) ἐγὼ εἰμὶ φησὶν ὃς ἔδοξα πάντας ὑπερβεβηκέναι σοφίᾳ. λύσας τὸ αἴνιγμα. Ὁ δ' εἰμί.) ἐγώ εἰμι ὃς ἦλθον ἐπὶ μοῦσαν καὶ σοφίαν μεγάλην. καλλίνικον καὶ νικηφόρον εὑρὼν τὸ αἴνιγμα τῆς παρθένου κόρης ἤγουν τῆς σφιγγὸς τὸ ἀσύνετον καὶ δυσνόητον. Σφιγγός.) τὸ ὄνειδος ἀντὶ τοῦ τὸ κλέος τῆς σφιγγὸς ἀναφέρεις καὶ ἀναμιμνήσκεις. ἅπαγε σαυτὸν δηλονότι αὐδῶν καὶ λέγων τὰ πάρος καὶ τὰ πρότερον εὐτυχήματα. τὰ δὲ τὰ μέλεα καὶ ἄθλια πάθη ἐπέμενεν. ἤτοι ἐξεδέχετο γενόμενον σὲ φυγάδα καὶ ἐξόριστον θανεῖν ὦ πάτερ μακρὰν τῆς πατρίδος. ποῦ. ἤτοι ἐν τίνι τόπῳ ποθεινὰ δάκρυα λιποῦσα παρὰ παρθένοις φίλαις. ἄπειμι καὶ ἀπέρχομαι ἀπόπρο. ἤτοι λίαν μακρὰν τῆς πατρίδος γαίης. ἀλωμένη ἀντὶ τοῦ πλανηθησομένη. ἀπαρθένευτα καὶ πολυπαρθένευτα. ἤτοι ἐπὶ πολὺ παρθενεύουσα. Ἀναφέρεις.) ἀναπολεῖς. κατ' ἐρώτησιν δὲ ὁ λόγος. καὶ νῦν δὲ τὸ ὄνειδος ἀντὶ τοῦ κλέους ἐστίν. Ἅπαγε τά.) διὰ τὸ μνήμην ποιήσασθαι τῆς κατὰ τὴν σφίγγα σοφίας, ἐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέχει φησὶ τοῦτον τὸν λόγον. ποθεινὸν γάρ φησι παρελθούσης ὁμιλίας μνημονεύειν. ἐπεὶ πλείων ἡ λύπη γίνεται. ἅπαξ γε οὖν πέπαυσο καὶ παράλιπε τὰ εὐτυχήματα. δυστυχημάτων παρόντων. Ποθεινά.) ποθεινὰ ποῖα καταλιποῦσα δάκρυα ταῖς παρθένοις. ἔξειμι ἃ πρὶν ἐδάκρυσα μετ' αὐτῶν. ἀφ' ὧν δακρύων εἰς πόθον καὶ εἰς μνήμην ἥξουσί μου μετὰ ταῦτα. Ἄλλως. Ἀντὶ τοῦ δακρύσασα μετὰ τῶν παρθένων, ἔξειμι τῆς πόλεως. ἀπαρθένευτα.) ἀντὶ τοῦ κακοπαρθενεύτως πλανωμένη. Φεῦ. τὸ χρήσιμον.) τινὲς καὶ τοῦτο τῆς ἀντιγόνης λέγουσιν. Φεῦ. θαυμαστόν.) τὸ χρήσιμον τῶν φρενῶν ἡλίκον ἐστὶ δηλονότι. ἤτοι μέγα. Εἰς πατρὸς γε συμφοράς.) δυστυχὴς ἐγώ φησιν. ὅτι ἐν καιρῷ συμφορᾶς τοῦ πατρὸς δόξαν ἀποίσομαι ὡς φρονίμη καὶ συνετή. συνετῆς γάρ τὸ καὶ δυστυχοῦντι τῷ πατρὶ αἱρεῖσθαι συνεῖναι. ὥστε ἔλεγεν ἐβουλόμην τὸ συνετόν μου τῶν φρενῶν ἐν εὐτυχίας καιρῷ ὑποδείξασθαι.

Ἄλλως. Εἰς τὰς συμφορὰς τοῦ πατρὸς ποιήσει ἐμὲ τὸ χρήσιμον τῶν φρενῶν εὔκλεα καὶ ἔνδοξον. τάλαινα ἐγὼ ἕνεκα τῶν ὑβρισμάτων τοῦ ἀδελφοῦ. ὃς οἴχεται ἐκ τῶν δόμων. ἤτοι ἐξερρίφη ἄθαπτος. μέλεος. ὃν εἰ καὶ ἀποκείμενόν ἐστι θανεῖν ἐμὲ ὦ πάτερ, καλύψω τῇ σκοτία. ἤτοι τάφῳ. Τάλαινα ἐγώ.) ἀθλία εἰμὶ ἕνεκα τῶν σῶν κακῶν. καὶ τῶν τοῦ ἀδελφοῦ πολυνείκους ὕβρεων. Πρὸς ἥλικας.) δίδυμος φησὶ συμβουλεύειν αὐτῇ τοῦτο ποιῆσαι. ἵνα δακρύσωσιν αὐτήν. ἔδει γὰρ λαμβάνειν ἐξιόντας ἐφόδιον. ἢ ἵνα συντάξηται αὐταῖς. Ἅλις ὀδυρμάτων ἐμῶν.) ἀρκούντως ὠδύραντο τὴν ἐμὴν δυστυχίαν αἱ ὁμήλικες. ἢ αὐτάρκειά μοι τῶν θρήνων ἐστί. Ἅλις ὀδυρμάτων.) ἀρκούντως ἔχει τὸ πρᾶγμα ἐμοί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἕνεκα τῶν ὀδυρμάτων. Σὺ δὲ ἄπελθε ἀμφὶ τὰς βωμίους λιτάς. ἤτοι εἰς τὰς λιτὰς τῶν βωμῶν. τουτέστιν εἰς τὸ προσεύξασθαι ἐν τοῖς βωμοῖς. Κόρον.) ἔχουσιν οἱ βωμοὶ δηλονότι τῶν ἐμῶν κακῶν. Σὺ δ' ἀμφὶ βωμίους.) ἀπὸ κοινοῦ τὸ φαίνηθι. ἵνα ἱκετεύσῃς τοὺς θεοὺς λῆξιν δοῦναι τῶν κακῶν. καὶ εὐμενεῖς πρὸς τὰ λοιπὰ γενέσθαι, παραπέμψαντας ἡμᾶς εἰς ἀθώωσιν. Ἵνα τε σηκός.) ὁ τάφος τῆς Σεμέλης. ὅπου ἐστὶν ἐν Κιθαιρῶνι. σηκὸς δὲ ὁ ναός. ἄβατος δὲ, δηλονότι τοῖς βεβήλοις. τοῖς τὰ διονυσιακὰ μὴ γινώσκουσι μυστήρια. ἐπὶ γοῦν τὸν Βρόμιον φησὶν ἴθι. ἄδηλον δὲ πρὸς τί ποτε φησὶν αὐτὴν τοὺς θεοὺς ἀξιοῦν. καὶ μάλιστα τὸν Διόνυσον. ὁ δὲ χορὸς ἀσυμπαθής. παρθένον οὕτως ἀτυχῶς φεύγουσαν μὴ οἰκτειρόμενος. Καδμείαν. εἰς τὸν ναὸν ἀπελεύσομαι δηλονότι ἐκείνου, ᾧ ἀντὶ τοῦ ἧς χάριν ποτὲ ἐγὼ Καδμείαν. ἤτοι θηβαϊκὴν νεβρίδα στολιδωσαμένη. καὶ ἐνδυσαμένη, ἀνεχόρευσα κατὰ τὸν ἐν ὄρεσιν ἱερὸν θίασον καὶ χορὸν τῆς Σεμέλης χάριν διδοῦσα εἰς θεοὺς ἀχάριστον. ἤτοι ἀντίχαριν μὴ ἔχουσαν. Καδμείαν.) ἀντὶ τοῦ ἐπιχωρίαν. καὶ ἣν ἐθίσμεθα ἡμεῖς οἱ Θηβαῖοι φορεῖν.

Ἄλλως. τούτῳ κελεύεις χορεῦσαι. ᾧ ποτε ἀνεχόρευσα ἐγὼ Καδμείαν νεβρίδα λυσαμένη. κατὰ τὸν ἐν ὄρεσι θίασον τῆς Σεμέλης. ἀλλ' ὅμως χάριν οὐκ ἐδεξάμην, ἀνθ' ὧν ἐχόρευσα. πῶς οὖν με κελεύεις καὶ νῦν αὐτῷ χορεῦσαι τῷ ἅπαξ καταφρονήσαντί μου. ἧς χάριν ἀμοιβὴν παρὰ τῶν θεῶν οὐκ ἔχον. ἀλλ' ὑπὸ τοῦ Οἰδίποδος τοιαῦτα πέπονθα. Ὦ πάτρας κλεινῆς.) ὦ πολῖται τῆς κλεινῆς πατρίδος, βλέπετε. ὅδε ὁ Οἰδίπους, ὃς ἐνόησε τὰ κλεινὰ αἰνίγματα. καὶ ὃς ἀνὴρ μέγιστος. ὃς μόνος κατέσχε τὰ κράτη καὶ τὰς νίκας τῆς μιαιφόνου σφιγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γος. νῦν αὐτὸς ἄτιμος οἰκτρὸς ἐξελαύνομαι. καὶ ἀποδιωκομαι τῆς χθονός. ἀλλὰ διατί ὀδύρομαι ταῦτα ματαίως. τὰς γὰρ ἐκ θεῶν ἀναγκαίας. ἤτοι τὰς ἀναγκαίας συμφορὰς, δεῖ φέρειν καὶ ὑπομένειν ὄντα θνητόν. Μιαιφόνου.) κάρα γὰρ καὶ κρατεῖ τὰ σοφίσματα. δι' ὧν ἐκράτει τῆς πόλεως. Ἡνύμην.) ὑπῆρχον. κατέσχον δὲ ἀντὶ τοῦ ἐνίκησα. ἢ ἔγνων. Ὃς μόνος σφιγγὸς.) ἱστορεῖ Πείσανδρος, ὅτι κατὰ χόλον τῆς ἥρας ἐπέμφθη ἡ σφίγξ τοῖς θηβαίοις ἀπὸ τῶν ἐσχάτων μερῶν τῆς αἰθιοπίας. ὅτι τὸν λάϊον ἀσεβήσαντα εἰς τὸν παράνομον ἔρωτα τοῦ χρυσίππου. ὃν ἥρπασεν ἀπὸ τῆς πίσης. οὐκ ἐτιμωρήσαντο. ἦν δὲ ἡ σφίγξ ὡς περιγράφεται τὴν οὐρὰν ἔχουσα δράκοντος. ἀναρπάζουσα δὲ μικροὺς καὶ μεγάλους κατήσθιεν. ἐν οἷς καὶ αἵμονα τὸν κρέοντος παῖδα. καὶ ἱππίον τοῦ εὐρυνόμου τοῦ τοῖς κενταύροις μαχεσαμένου. ἦσαν δὲ εὐρύνομος καὶ ἠϊονεὺς, υἱοὶ μάγνητος τοῦ αἰολίδου. καὶ φιλοδίκης. ὁ μὲν οὖν ἵππιος καὶ ξεῖνος ὢν ὑπὸ τῆς σφιγγὸς ἀνῃρέθη. ὁ δὲ ἠϊονεὺς ὑπὸ τοῦ οἰνομάου. ὃν τρόπον καὶ οἱ ἄλλοι μνηστῆρες. πρῶτος δὲ ὁ λάϊος τὸν ἀθέμιστον ἔρωτα τοῦτον ἔσχεν. ὁ δὲ χρύσιππος ὑπὸ αἰσχύνης ἑαυτὸν διεχρήσατο τῷ ξίφει. τότε μὲν οὖν ὁ τειρεσίας ὡς μάντις εἰδὼς ὅτι θεοστυγὴς ἦν ὁ λάϊος, ἀπέτρεπεν αὐτὸν τῆς πρὸς τὸν ἀπόλλωνα ὁδοῦ. τῇ δὲ ἥρα μᾶλλον, τῇ γαμοστόλῳ θεᾷ θύειν ἱερά. ὁ δὲ αὐτὸν ἐξεφαύλιζεν. ἀπελθὼν τοίνυν ἐφονεύθη ἐν τῇ σχιστῇ ὁδῷ αὐτὸς καὶ ὁ ἡνίοχος αὐτοῦ ἐπειδὴ ἔτυψε τῇ μάστιγι τὸν οἰδίποδα. κτείνας δὲ αὐτοὺς ἔθαψε παραυτίκα σὺν τοῖς ἱματίοις. ἀποσπάσας τὸν ζωστῆρα καὶ τὸ ξίφος τοῦ λαΐου καὶ φορῶν. τὸ δὲ ἅρμα ὑποστρέψας ἔδωκε τῷ πολύβῳ. εἶτα ἔγημε τὴν μητέρα λύσας τὸ αἴνιγμα. μετὰ ταῦτα δὲ

θυσίας τινὰς τελέσας ἐν τῷ κιθαιρῶνι κατήρχετο ἔχων καὶ τὴν ἰοκάστην σὺν τοῖς ὀχήμασι. καὶ γενομένων αὐτῶν περὶ τὸν τόπον ἐκεῖνον τῆς σχιστῆς ὁδοῦ. ὑπομνησθεὶς ἐδείκνυε τῇ ἰοκάστῃ τὸν τόπον. καὶ τὸ πρᾶγμα διηγήσατο, καὶ τὸν ζωστῆρα ἔδειξεν. ἡ δὲ δεινῶς φέρουσα, ὅμως ἐσιώπα. ἠγνόει γὰρ υἱὸν ὄντα. καὶ μετὰ ταῦτα ἦλθέ τις γέρων ἱπποβουκόλος ἀπὸ σικυῶνος. ὃς εἶπεν αὐτῷ τὸ πᾶν. ὅπως τε αὐτὸν εὗρε. καὶ ἀνείλετο. καὶ τῇ μερόπῃ δέδωκε. καὶ ἅμα τὰ σπάργανα αὐτῷ ἐδείκνυε. καὶ τὰ κέντρα. ἀπῄτει τε αὐτὸν τὰ ζωάγρια. καὶ οὕτως ἐγνώσθη τὸ ὅλον. φασὶ δὲ ὅτι μετὰ τὸν θάνατον τῆς ἰοκάστης, καὶ τὴν αὐτοῦ τύφλωσιν, ἔγημεν εὐρυγάνην παρθένον. ἐξ ἧς αὐτῷ γεγόνασι τέσσαρες παῖδες. ταῦτα φησὶ πείσανδρος. Ω μέγα σεμνή.) ὦ νίκη μεγάλως σεμνή. εἴθε κατέχοις τὸν ἐμὸν βίοτον καὶ τὴν ἐμὴν ζωήν. καὶ μὴ λήγοις καὶ παύσαιο στεφανοῦσα καὶ τιμῶσα ἐμὲ δηλονότι.

Τέλος τῶν εἰς τὰς φοινίσσας σχολίων.

## Ἀριστοφάνους γραμματικοῦ μηδείας ὑπόθεσις.

Μήδεια διὰ τὴν πρὸς ἰάσονα ἔχθραν, τῷ ἐκεῖνον γεγαμηκέναι τὴν κρέοντος θυγατέρα, ἀπέκτεινε μὲν γλαύκην καὶ κρέοντα. καὶ τοὺς ἰδίους υἱούς. ἐχωρίσθη δὲ ἰάσονος, αἰγεῖ συνοικήσουσα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

Η μὲν σκηνὴ τοῦ δράματος. ὑπόκειται ἐν κορίνθῳ. ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων.

Ἐδιδάχθη ἐπὶ πυθοδώρου ἄρχοντος, κατὰ τὴν εἰκοστὴν ἑβδόμην ὀλυμπιάδα. Πρῶτος Εὐφορίων. Δεύτερος Σοφοκλῆς. Τρίτος Εὐριπίδης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ιθ' ὤφελ' ἀργοῦς μὴ διαπτᾶσθαι σκάφος. Τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς
ε δέχονται· ὡς τὸ ὤφελε μηδ' ἐγένοντο βόαι νέες· ἵν' ᾖ παράλληλον τὸ σχῆμα· τῆς γραὸς συνεχέστερον ἀπευχομένης τῇ ἀφίξει τῆς ἀργοῦς. ὁ γὰρ ποιητὴς ῥῆμα αὐτὸ οἶδεν· οὐκ ὄφελον Τρώεσσι κοτεσσάμενος· μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα· ἐπαινεῖται δὲ ἡ εἰσβολὴ· διὰ τὸ περιπαθῶς ἄγαν ἔχειν· καὶ ταῖς ὑπερβολαῖς εὖ κεχρῆσθαι. Ἄλλως.) ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν. εὖ δὲ καὶ τὸ ταῖς ἐκβολαῖς κεχρῆσθαι· πολὺ τὸ τοιοῦτον γένος παρ' Ὁμήρῳ. ὁ γὰρ Τίμαρχος τὸν τρόπον τῆς ποιήσεως ἀγνοήσας ποιητικὸν ὄντα, τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι· ὡς καὶ Ὅμηρος· εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα· πρότερον γάρ φησιν εἶναι τὰ δένδρα, εἶθ' οὕτως κατασκευασθῆναι τὴν ἀργώ. Ἀργὼ δὲ,) ἀπὸ Ἄργου τοῦ ναυπηγήσαντος, ἢ διότι ἐταχυδρόμει· ἀργὸν γὰρ τὸ ταχύ. ἐντοῦθεν καὶ λήθαργος, ὁ τῇ λήθῃ ταχύς· καὶ πρῶτον γε αὐτὴν ναυπηγηθῆναι φασίν. ἄλλοι δὲ τὴν ὑπὸ Δαναοῦ γεγενημένην. ἔστι δὲ ὑπέρθεσις ὁ τρόπος· τὰ γὰρ δεύτερα τῇ τάξει, πρῶτα ὑπέθετο. Ἀργοῦς σκάφος.) περιφρασικῶς ἡ ἀργώ. οὐκ ὤφελεν ἡ ἀργὼ παρελθοῦσα τὰς συμπληγάδας εἰς Σκυθίαν ἐλθεῖν. τὸ δὲ. Εἴθε.) ἐπίρρημα εὐκτικόν· εἴθ' ὡς ἡβώοιμι· ἀεὶ δὲ προτάττεται τῆς συντάξεως. τὸ γὰρ ὤφελε ῥῆμα, εἰς ἀπαρέμφατον ἕπεται· ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός. τὸ δὲ διαπτᾶσθαι τροπικῶς. ὡς ἀπὸ ὀρνέου· ἔδει δὲ εἰπεῖν διαπλεῦσαι,

κόλχων ἐς αἶαν.) πόλις ἐν σκυθίᾳ οὕτω καλουμένη ὀνομαστικῶς. Κυανέας δὲ,) τὰς περὶ τὸ στόμα τοῦ πόντου λέγει. αἳ διὰ τὴν ἀπάτην τῆς ὄψεως δοκοῦσιν ἐνταῦθα κἀκεῖ φέρεσθαι. τὰς δὲ συμπληγάδας ὁ σιμωνίδης συνορμάδας φησίν. ἐρατοσθένης δὲ ἐν γεωγραφουμένοις, φησὶ τὸν πλοῦν στενὸν εἶναι καὶ σκολιόν. διὸ φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πετρῶν. Τμηθεῖσα πεύκη.) συνεκδοχή. ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ κοινοῦ δὲ τὸ ὤφελε μὴ ἐρετμῶσαι ἡ ἀργὼ τὰς τῶν ἀρίστων χεῖρας. Πάγχρυσον δέρας.) τὸ δέρμα. τοῦτο οἱ μὲν, ὁλόχρυσον εἶναι φασίν. οἱ δὲ, πορφυροῦν. καὶ σιμωνίδης δὲ ἐν τῷ εἰς τὸν ποσειδῶνα ὕμνῳ, ἀπὸ τῶν ἐν τῇ θαλάσσῃ πορφυρῶν κεχρῶσθαι αὐτὸ λέγει.

Σὺ δ᾽ ἂν κτανεῖν πείσασα.) πολυαΐκός τις λόγος φέρεται τῶν φιλοσόφων. ὃν καὶ παρμενίσκος ἐκτίθησιν. ὡς ἄρα πέντε τάλαντα λαβὼν παρὰ κορινθίων εὐριπίδης μετήγαγε τὴν σφαγὴν τῶν παίδων ἐπὶ τὴν μήδειαν. ἀποσφαγῆναι γὰρ τοὺς παῖδας μηδείας ὑπὸ κορινθίων. παροξυνθέντων ἐπὶ τῷ βασιλεύειν αὐτὴν θέλειν, διὰ τὸ τὴν κόρινθον πατρῴαν αὐτῆς κτῆσιν εἶναι. ὃν μετήγαγεν ἐπὶ μήδειαν. περὶ δὲ τῆς εἰς κόρινθον μετοικήσεως, ἱππεὺς ἐκτίθεται καὶ ἑλλάνικος. ὅτι δὲ βεβασίλευκε τῆς κορίνθου ἡ μήδεια, εὔμηλος ἱστορεῖ καὶ σιμωνίδης. ὅτι δὲ καὶ ἀθάνατος ἦν ἡ μήδεια, μουσαῖος ἐν τῷ περὶ ἰσθμίων ἱστορεῖ. ἅμα καὶ περὶ τῆς ἀκραίας ἥρας ἑορτῆς ἐκτιθείς. Πελιάδας.) τὰς πελίου θυγατέρας ἔπεισεν ἡ μήδεια τὸν πατέρα σφάξαι. καὶ ἑψῆσαι ὡς ἐσόμενον νεώτερον. ἑψήσασα πρότερον κριὸν. καὶ ποιήσασα ἄρνα διὰ φαρμάκων. Τὸ δὲ ἀνδάνουσα.) ὀρθῇ ἀντὶ δοτικῆς. ἀντὶ τοῦ ἀνδανούσῃ.

ἤρεσκε δὲ τοῖς Κορινθίοις· ἐπειδὴ λιμώττοντας αὐτοὺς
ἐπῳδαῖς τισιν ἰάσατο. καὶ αὐτὴ δὲ ἠρέσκετο τῇ Κορίν-
θῳ. ἐπεὶ λέγονται καὶ οἱ Κορίνθιοι φαρμακοὶ εἶναι. τὰ
δὲ ὅμοια τοῖς ὁμοίοις φίλα εἶναι. καὶ χαίρειν ἀλλήλοις
ἴσμεν. Αἰσυμνᾷ.) αἰσυμνᾶν ἐστὶ τὸ ἡγεῖσθαι καὶ ἄρ-
χειν. ἰδίως δὲ φησὶν Ἀριστοτέλης ὑπὸ Κυμαίων αἰσυμνή-
την τὸν ἄρχοντα λέγεσθαι. αἰσυμνῆται δὲ κριταὶ θ̄. τοὺς
ἄρχοντας τῶν ἀγώνων. φασὶ δὲ τινὲς μὲν Ἱππότου. οἱ
δὲ Κρέοντος παῖδα γαμῆσαι τὸν Ἰάσονα. περὶ δὲ τῆς Κρέον-
τος θυγατρὸς, οὐχ ὁμοφωνοῦσι τῷ Εὐριπίδῃ οἱ συγγρα-
φεῖς. Κλειτόδημος μὲν γὰρ Κρέουσαν φησὶ καλεῖσθαι.
γήμασθαι δὲ Ξούθῳ. Ἀναξικράτης δὲ Γλαύκην. Μήδεια
δ' ἠδύσλως.) Μήδειαν ὑπὸ Ἀκάστου ἐκπεσοῦσαν σὺν
Ἰάσονι, Ἱππότης ὑπεδέξατο Κρέοντος τοῦ Λυκαίθου. ὁ Λυ-
καῖθος δὲ, ἐπεὶ Βελλεροφόντης ᾤχετο, ἦρξεν ἔτη κζ̄. εἰ-
πεῖτα Κρέων λε̄. εἶτα Ἱππότης. ἐπεὶ δὲ Ἰάσων ἔγημε
τὴν Ἱππότου θυγατέρα, τότε δὴ κτείνασα τοὺς παῖ-
δας αὐτῆς, ἀπαλλάττεται πρὸς Αἰγέα. ὅτι δὲ καὶ ἐβα-
σίλευσε Κορίνθου ἱστοροῦσιν Εὔμηλος καὶ Σιμωνίδης, λέ-
γων οὕτω. οὐ δὲ κατ' εἰς Κόρινθον οὐ Μαγνησίαν ναίει.
ἀλόχῳ δὲ Κολχίδος συνάστεος. ἐξάνα Λεχαίου τ' ἄνακτι.
Δακρύοισι χρόνον.) ἀνενδότως δακρύει. ἀντὶ τοῦ συν-
τικομένη τὸν πάντα χρόνον. οἱ οἱ συνεχῶς κλαίοντα
αὐτὸν οὐ λαμβάνει. Ἐν μή ποτε στρέψασα.) τὸ δέρειν
ἐὰν μὲν μετὰ τοῦ ρ̄ ὀξυτόνως δερεῖν. εἰ δὲ χωρὶς τοῦ ρ̄
δέρειν. Ἀτιμάσας ἔχει.) ἀττικῶς ἀντὶ τοῦ ἠτίμη-
σε. καὶ Σοφοκλῆς. παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔ-
χει. καὶ πάλιν. εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω.
οἱ ὄν. λείπει τὸ ἄριστον. Ὅμηρος. οὐδὲν γλύκιον. Φάσκαι-
νεν δ' ἥπατος.) ὑπὸ τῶν παίδων ἀκουσίων. καὶ γὰρ φησὶ

συγ

στυγεῖ δὲ παῖδας. οὐδ' ὁρῶσ' εὐφραίνεται. δύναται δὲ καὶ ὑπ' αὐτῆς ἀκούεσθαι. ὁ δὲ εὐριπίδης τὰ μέλλοντα ἀναφωνεῖ. ὁμοία δὲ ἡ ἀμφιβολία καὶ παρ' ὁμήρῳ. δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ. καὶ τὸ διὰ τοῦ ἥπατος δὲ τῶν παίδων λέγει. ἔθος γάρ ἐστιν αὐτῷ ὡς εἴρηται προλέγειν τὰ μέλλοντα. Τυράννοις.) τὸν κρέοντα φησί. τὸ δὲ ἑξῆς ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ. δεινὴ γάρ. Συμφορὰν δὲ λάβῃ.) οἱονεὶ μείζονι κακῷ περιπέσῃ. πρὸς τῷ ἤδη μεμισῆσθαι ὑπὸ ἰάσονος. Ἐκ τρόχων.) βαρυτόνως. ὡς νόμων. ἀριστοφάνης. βαδίζει μοι τὸ μειράκιον ἐξ ἀποτρόχων. ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας. Θρεομένη.) συννοουμένη. ὁμιλοῦσα. εἴρηται δὲ ἀπὸ τοῦ θρόου. ὅμηρος. οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος. οὐδ' ἴα γῆρυς. ἢ διαλεγομένη παρὰ τὸν θροῦν. Νέα γὰρ φροντίς.) ἡ γὰρ τῶν νέων διάνοια πονεῖν ἢ λυπεῖσθαι οὐ φιλεῖ. οἱ γὰρ νέοι ἔξω πάσης φροντίδος καὶ κακίας εἰσί. Παλαιὸν οἴκων). ἀντὶ τοῦ παλαιὰ θεράπαινα. Ὥσθ' ἵμερος μ' ὑπῆλθε.) τὸ σχῆμα σολοικοφανὲς διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως. οὕτω δέ φησι πέπληγα τὴν ψυχὴν ὑπὸ τῶν κακῶν τῶν κατὰ μήδειαν. ὡς ἀφιέναι λόγους εἴς τε γῆν καὶ τὸν ἀέρα. ἀποδυρομένη τὰς ἐκείνης τύχας. οὐρανὸν γὰρ λέγει νῦν τὸν ἀέρα. οἱ δὲ στενοχωρούμενοι τῷ κακῷ, τῷ οὐρανῷ. ἢ τῷ ἡλίῳ. ἢ τινὶ ἄλλῳ θεῷ ὑφηγοῦνται τὰ καθ' ἑαυτοὺς πράγματα. Ἄλλως. μεμίμηται τοὺς ἐν μεγάλαις δυστυχίαις ἐξεταζομένους. οὗτοι γὰρ σιωπᾶν τὰς συμφορὰς μὴ δυνάμενοι καὶ λέγειν ἀνθρώποις φοβούμενοι, οὐρανῷ. ἢ ἡλίῳ. ἢ γῇ. ἢ θεοῖς ἄλλοις διηγοῦνται. Χρηστοῖσι δούλοις.) τοῖς χρηστοῖς δούλοις, τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα, συμφορὰν φέ-

ρει καὶ ὀδύρεσθαι, κακῶς ὑποπίπτοντα εἰς κακὸν ἀποβαίνοντα τὰ τῶν δεσποτῶν. Ζηλῶσε.) ἠθικῶς. ὡς ἂν εἶπεν, μακάριος εἶ τοιαύτην διάνοιαν ἔχων. Ἄλλως. θαυμάζω σε πῶς οὐκ ἔγνωκας. ἄρτι γὰρ ἀρχὴν εἴληφε τὸ κακόν. καὶ οὐδὲ εἰς μεσότητα προῆλθε. τοσοῦτον ἀπέχει τοῦ πεπαῦσθαι τὸ κακόν. ἐν ἤθει δὲ εἴρηται. οἷον μακάριος εἶ τοιαύτην ἔχων διάνοιαν. τὸ γὰρ κακόν, οὐ μόνον οὐ λήγει, ἀλλ' οὐδὲ μεσάζει. οἷον ἀκμάζει. τὸ δὲ μεσοῖ τρίτης συζυγίας. Ἤκουσά του.) ἤκουσα φησὶ τινὸς λέγοντος τῶν ὠτακουστῶν προσποιουμένω μὴ ἀκούειν. Πεσσοὺς προσελθεῖν.) ἐπεὶ ἀπὸ τῶν ἐν τοῖς τόποις ὠνόμαζον τοὺς τόπους. πεσσοὺς γὰρ νῦν τοὺς τόπους τῶν κυβευτῶν. ὡς ὄψον καὶ μύρα ἔνθα ταῦτα συνήθως ἐστίν. ὅπου φησὶν εἰθισμένοι εἰσὶ πεσσεύειν. προελθὼν ἤκουσα, ἀντὶ τοῦ προελθοῦσα. καὶ τὸ οὐ δοκῶν, ἀντὶ τοῦ οὐ δοκοῦσα. Κοὐκ ἔστιν ἐκεῖνος.) ὅμηρος ἀπὸ τῆς γυναικὸς ἔλαβε. κείνου βούλεται ὀφέλλειν οἶκον, ἐς κεν ὀπυίῃ. ἔξωθεν δὲ τὸ ἐστί. καὶ οὐκ ἔστιν ἐκεῖνος τοῖσδε φίλος δώμασι. Παλαιὰ καινῶν.) τὸ διὰ τὸν πελίου θάνατον ἐκβεβλῆσθαι ἐκ θεσσαλίας ὑπὸ ἀκάστου τοῦ παιδὸς πελίου. ἢ τὸ καταλειφθῆναι αὐτὴν ὑπὸ ἰάσονος. ὃ καὶ μᾶλλον. νέον ἐστὶ, τὸ ἐκβληθῆναι τῆς κορίνθου. τὸ δὲ ἐξηντληκέναι ἀντὶ τοῦ πεπαῦσθαι. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ἀντλούντων. Πειρήνης ὕδωρ.) πειρήνη κρήνη ἐν κορίνθῳ. ἣν ἀσωπὸς εὗρεν ὠκεανοῦ παῖς. χαριζόμενος σισύφῳ τῶν κορινθίων σπανιζόντων ὕδατος. ὅτι αὐτῷ αἰγίνης τῆς θυγατρὸς, τὴν ὑπὸ διὸς ἐμήνυσεν ἁρπαγήν. Τίς δ' οὐχὶ θνητῶν.) οὕτως ἀναγνωστέον. τίς δ' οὐχὶ θνητῶν. καὶ στικτέον. εἶτα ἀπὸ ἄλλης ἀρχῆς. ἄρτι γινώσκεις τόδε, διὸ καὶ μετὰ τοῦ στιγμῆς γραπτέον. οἷον τίς οὐκ ἔστι κα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κὸς εἰς φίλους. εἶτα τὸ ἄρτι γινώσκεις τόδε. οἷον ἄρτι ἔγνωκας ὅτι ἑαυτοὺς μᾶλλον φιλοῦσιν, ἢ τοὺς πέλας. οἱ δὲ ὑποκριταὶ τοῦτο ἀγνοήσαντες, τὸ τῆς ἀντιδιαστολῆς μετατεθείκασιν, εἰς τὸ, τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς. τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ἐν κρεσφόντῃ κέχρηται οὕτως. ἐκεῖνο γὰρ πέπονθα, ὅπερ ἅπαντες βροτοί· φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι. Οἱ μὲν δικαίως.) περισσὸς ὁ στίχος πρόσκειται. ὁ τὴν ἐπεξεργασίαν περιέχων. καὶ ὅτι προκειμένου ἑνικοῦ τοῦ τίς ἐπήνεγκε τὸ οἱ μέν. καὶ ὁ πρότερος δὲ σεσημείωται, ὅτι παροιμιώδης. Ἴτ' εὖ γὰρ ἔσται.) τὸ ἑξῆς ἴτε δωμάτων εἴσω τέκνα. τὸ δὲ εὖ γὰρ ἔσται, εὐχομένη λέγει. τουτέστιν ἐπὶ καλῷ δὲ ἀποβαίη εἰσελθεῖν ἡμᾶς. Ἐρημώσας ἔχε.) χωρίσας τῆς μητρὸς αὐτοὺς ἀπόκρυψον. Ταυρουμένην.) ἀγριουμένην. καὶ διὰ τοῦ βλέμματος τὸ ὀργίλον ὑποδεικνῦσαν. οἷον ὡς ταῦρος θυμικὸν καὶ φοβερὸν ὁρῶσαν ἄστοργον. καὶ οὐχὶ μητρικόν. Δρασείουσαν.) ἀντὶ τοῦ δράσουσαν. ἔστι δὲ ἀττικόν. καὶ σοφοκλῆς ἐν αἴαντι. ὦ δέσποτ' αἶας τί ποτε δρασείεις φρενί. Κατασκῆψαι δὲ.) ἀντὶ τοῦ βλάψαι. ἀπὸ τοῦ κεραυνοῦ τοῦ σκηπτοῦ. οἷον κεραυνῶσαι. Ἰώ μοί μοι.) ἀσύμφωνα ταῦτ' ἐστὶ τοῖς ὑπὸ τῆς πρεσβύτιδος εἰρημένοις. ὅτι ἄφωνος λέγεται καθῆσθαι. καὶ ἐν αὐτῷ δὲ τῷ προλόγῳ τὸ μαχόμενόν ἐστι. μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη βοᾷ μὲν ὅρκους καὶ τὰ ἑξῆς. κεῖται δ' ἄσιτος σῶμ' ἀφεῖσ' ἀλγηδόνι.) ταῦτα λέγει ἔνδοθεν. καὶ οὐκ ἐν φανερῷ. ἡ γὰρ φωνὴ μόνη ἐξάκουστος γίνεται. Δῆλον δ' ἐξ ἀρχῆς.) δῆλον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς οἰμωγῆς, ὅτι ἀνάψει· ἢ οὕτως. τοῦτο γὰρ τὸ ἐξ ἀρχῆς ἐξαιρόμενον νέφος τῆς οἰμωγῆς δηλοῖ ὅτι, τὸ δεινὸν ἐγκατασκήψαι τινί. καὶ

μέγα τι κακὸν κατεργάσασθαι. ἐὰν δὲ γράφεται ἀνάξει. οἷον ἐπὶ πολὺ ἀνάξει τὰ τῆς ὀργῆς. οἷον ἄνω ἄξει. εἰς ὕψος ἀνατείνει. ὅ ἐστιν αὐξήσει τὸν θυμόν. ἐξ οὗ πάλιν δῆλον ὡς αὐξανομένη ἐπὶ πολὺ ἡ ὀργή, πάντως δεινόν τι ἐργάσεται. Τί δέ σοι παῖδες.) τί τοὺς δὲ μισεῖς οὐκ ὄντας αἰτίους. λέγει δὲ τοὺς παῖδας, μέρμηρον καὶ φέρητον. Ὀλίγ' ἀρχόμενοι.) ἀντὶ τοῦ ἐξ ὀλίγου καὶ βραχέος ἀρχόμενοι τοῦ θυμοῦ. καὶ ἐπὶ πολὺ τούτου κρατοῦντες. τὸ γὰρ πολλὰ ἀντὶ τοῦ ἐπὶ πολύ. ἔχομεν δὲ καὶ τὴν ἔννοιαν παρ' ὁμήρῳ. εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ. καὶ θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων. δύναται δὲ τὸ ὀλίγ' ἀρχόμενοι, ἀντὶ τοῦ οὐδ' ὅλως ἀρχόμενοι. ἀλλ' εἰς τὸ ἐναντίον. αὐτοὶ πολλῶν κρατοῦντες. πέφυκε δ' ἐξουσία ἐπαίρειν ἀεὶ τοῖς ἀνθρώποις τὸν λογισμόν. Τὸ γὰρ εἰθίσθαι.) ὁ γὰρ ἀντὶ τοῦ δέ. τὸ δὲ ζῆν ἐπίσης, ἀντὶ τοῦ μετὰ ἰσότητος, καὶ μὴ τυραννίδι κρεῖσσον. ἔδει φησὶ πάντας ἀνθρώπους μηδένα μηδενὸς ὑπερέχειν, τῆς συμμετρίας. καὶ μὴ ἐπιθυμεῖν τοῦτο μέγιστον ἀνθρώποις καὶ λυσιτελέστατον. Τὸ γὰρ λῷστα.) ἀντὶ τοῦ λῷστον. ὅ ἐστι βέλτιστον, πληθυντικὸν ἀντὶ ἑνικοῦ. τὸ χρῆσθαι οὖν τῇ συμμετρίᾳ, εἰς ὅλον τὸν χρόνον βέλτιον. κἀγὼ οὖν φησὶ τῆς μεγάλης καὶ ὑπερβαλούσης εὐτυχίας, τὴν συμμετρίαν προκρίνω. ἐνταῦθα γὰρ τὸ εἰ μὴ μεγάλως, ἀντὶ τοῦ εἰ μὴ μεγάλῃ καὶ ὑπερβαλλούσῃ εὐτυχίᾳ τὸ ἀσφαλέστερον. Ὀχυρῶς τ' εἴη.) ἀντὶ τοῦ μετρίως καὶ ἀσφαλῶς, ὡς τῆς συμμετρίας τὸ ἀσφαλὲς τῆς παραμονῆς ἐχούσης. τῆς δὲ ὑπερβολῆς μεγάλας καὶ τὰς ἐκπτώσεις ἐχούσης. ὥστε πάγει. ἀμφότερα λέγεται καὶ ἰσχυρῶς. καὶ ὀχυρῶς. Ἄλλως αἱρετὸν μέν φησι τὸ εὐδαιμονεῖν. εἰ δὲ μὴ ἐνδέχεται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀεὶ καὶ μέχρι γήρως εὐτυχεῖν, κρεῖσσον τὸ ζῆν ἐπίσης· ὅ ἐστιν ἐν μεσότητι· τῇ ἴσην ἀπεχούσῃ εὐτυχίας καὶ ἀτυχίας· ὁ τοιοῦτος γὰρ βίος κρείσσων εἰ μόνιμος. Πρῶτα μέν.) αὐτὸ γάρ φησι καθ' ἑαυτὸ, τὸ τῆς συμμετρίας ὄνομα, καὶ τῇ προφορᾷ μόνῃ νικᾷ· καὶ εὐφημότερόν ἐστι· λέγει δὲ ὁ σοφὸς, πᾶν μέτρον ἄριστον· ἐπὶ δὲ ὑπερβολῆς μηδὲν ἄγαν. Τὰ δ' ὑπερβάλλοντ' οὐδένα.) αἱ δὲ ὑπερβολαὶ φησὶν ἀσθενεῖς· καὶ οὐ βέβαιοι τοῖς ἀνθρώποις· τῇ ἀρχαίᾳ μεταβολῇ· οὐδ' ἐγκεγόνασι τὴν ἀρχὴν νομιζόμεναι· ὁ γὰρ τὴν συμμετρίαν ἔχων· εἰ καὶ πέσοι ταύτης τρόπον τινά· οὐδεμίαν δοκεῖ πεπονθέναι παραλλαγήν· ἔπειτα τῷ μὲν ὑπερβολὴν ἔχοντι, φθόνος παρακολουθεῖ· τοῖς δ' οὐχί· διὸ ἐπὶ πολὺ παραμένει ἡ συμμετρία. τὸ δὲ ὅταν ὀργισθῇ εἰδικώτερον εἴρηκεν· ἔδει γὰρ εἰπεῖν, ὅταν χολωθῇ. Οὐδέπω ἤπιος.) ἔοικε φησὶν ἡ μήδεια μηδέπω πεπραΰνθαι. Ἀμφίπυλον.) τὸ ἔχον δύο πύλας· καὶ εἰσόδους· μίαν μὲν τὴν αὐθεντικήν· ἑτέραν δὲ ἣν ὅμηρος λέγει ὀρσοθύρην· ἐγὼ οὖν φησιν ἐπὶ τοῦ ἀμφιπύλου οὖσα, ἤκουσα φωνῆς ἔσω τοῦ μελάθρου. Ἐπεί μοι φίλον.) τὸ οἴκημα φησὶ τετέλεσται ἐμοὶ φίλον οἷον ὑπάρχει· οὐκ εἰσὶ δόμοι· οἷον ἀνατέτραπται ὁ οἶκος· ἢ ἠφάνισται· ἀπὸ δὲ ἀρσενικοῦ, εἰς οὐδέτερον μετέστη· φροῦδα γὰρ τάδε· τὰ οἰκήματα λέγει. Φλὸξ οὐρανία βαίη) οἷον κεραυνωθείην· κεραυνοβοληθείην· φλόγα γὰρ οὐρανίαν τὸν κεραυνὸν λέγει. Αἴες ὦ ζεῦ.) τὸ αἴεις ὁ δίδυμος ὡς πρὸς τὰς τοῦ χοροῦ φησὶ λέγεσθαι ἠκούσατε· καὶ οὐ πρὸς τὸν δία· ἐνήθει οὖν τὸ ζεῦ· καὶ γᾶ· καὶ φῶς· τοῦτο δὲ ἀπολλόδωρος τῆς μηδείας φησίν· ἀπὸ δὲ τοῦ ἰαχὰν τοῦ χοροῦ· ἵν' ἔχῃ λόγον, τὸ κατηβοᾶται θέμιν εὐκταίαν· ζῆνά τε· τοὺς δ' ὑποκριτὰς συγχέειν.

Τί σοί ποτε.) τὸ μέγεθος θαυμάζει τοῦ ἔρωτος. τίς ἄρα φησὶν οὗτος ὁ ἔρως, ὁ τῆς ἀπλήστου ταύτης κοίτης. ὃς σπεύδει θάνατον ἐπιπέμψαι. ἄπληστον δὲ λέγει τὴν κοίτην. ἐπεὶ δέον καταφρονητικῶς φέρειν, καὶ μισεῖν τὸν ἰάσονα συνελθόντα. ἡ δὲ καὶ οὕτως κνίζεται. ὅτι μὴ σύνεστιν αὐτῷ. Τὸ σπεύσει θανάτου τελευτάν.) ἀντὶ τοῦ ἐπάξει καὶ ἐμβαλεῖ σοι θάνατον. Μηδὲν τόδε λίσσου.) μὴ λίσσου φησὶν ὦ μήδεια τὸ θανεῖν. εἰ δὲ ὁ σὸς ἀνὴρ ἠθέτησε τοὺς ὅρκους, ἐκείνῳ γενέσθαι λίσσου τόδε. δηλονότι τὸ κεραυνωθῆναι καὶ ἀποθανεῖν. Κείνῳ τόδε.) τουτέστιν ἐκείνῳ τόδε τὸ ἁμάρτημα μὴ λογίζου. καὶ δι' ἐλπίδος ἔχε τοὺς θεοὺς ἀπαιτήσειν αὐτὸν τιμωρίαν. Μὴ λίαν τάκου.) σὺ φησὶ μὴ χαλέπαινε μηδὲ θυμοῦ. σοὶ δίκη δὲ, ἀντὶ τοῦ σοὶ τῷ δικαίῳ ἐπεξελεύσεται. Κτείνασα κάσιν.) Τιμαχίδας ἐπὶ τὰ πρόχειρα πᾶσιν ἐκχέας, τὸν ἄψυρτόν φησι λέγειν αὐτήν. τοῦ εὐριπίδου μήτε ἐνταῦθα, μήτε ἐν τῷ αἰγεῖ δηλώσαντος τὸν ἄψυρτον ὀνόματι. ὁ δὲ φερεκύδης διὰ τοῦ ε ὀνομάζειν αὐτόν. δικαιογένης δὲ ἐν τῇ μηδείᾳ μεταπόντιον αὐτὸν ὀνομάζει. ἀνῃρῆσθαι δὲ αὐτόν. οἱ μὲν, ὑπὸ μηδείας. οἱ δὲ ὑπὸ ἀργοναυτῶν. λέων δὲ ὁ ῥήτωρ οὐ σφαγῆναι, ἀλλὰ διαφθαρῆναι αὐτὸν φαρμάκοις.

Θέμιν εὐκταίαν.) τῶν διαβεβοημένων ἐστὶ ζητημάτων καὶ τοῦτο, πῶς ἡ μὲν μήδεια τὴν θέμιν καὶ τὴν ἄρτεμιν βοᾶται. ἡ δὲ πρεσβῦτις, ἀντὶ τῆς ἀρτέμιδος τὴν δία φησὶν αὐτὴν ἐπιμαρτύρασθαι. ἀπολλόδωρος μὲν οὖν φησὶν ὁ ταρσεὺς, τῆς ἀμφιβολίας αἰτίους εἶναι τοὺς ὑποκριτὰς συγχέοντας τὰ χορικὰ τοῖς ὑπὸ μηδείας λεγομένοις. δεῖ δὲ τὴν διαστολὴν γεγονέναι μὲν, ἐκ τοῦ τὴν μήδειαν ἅπαντα ταῦτα λέγειν. αἶ αἶ διά μου κεφαλῆς φλὸξ οὐρ-

ρανία βαίη, ἕως τοῦ αἶες ὦ ζεῦ. καὶ γᾶ. καὶ φῶς, τὰ δὲ
ἑξῆς τοῦ χοροῦ προσάψαι. οὕτω γὰρ ἐχούσης τῆς διασο-
λῆς, ὡς αὐτῆς φησὶ τῆς μηδείας διαῤῥήδην προσκαλεῖ-
σθαι τὸν δία, τὰ ἑξῆς τὸν χορὸν λέγειν. ἰαχὰν οἵαν ἁ
δύστανος μέλπει νύμφα. εἰ δὲ μὴ, γελοῖον δοκεῖ εἶναι τῆς
μηδείας καταρασαμένης ἑαυτῇ, τὸν χορὸν λέγειν, αἶες
ὦ ζεῦ. καὶ γᾶ. καὶ φῶς. λελύσθαι οὖν τὴν ἀπορίαν εἰκό-
τως. τὴν πρεσβύτιν ἔνδοθεν κατακοῦσθαι τῆς μηδεί-
ας, καὶ λέγειν. κλύετ᾽ οἷα λέγει. ὁ δὲ δίδυμός φησιν, ὅ-
τι διὰ τοῦ λέγειν διαμοῦ κεφαλᾶς φλὸξ οὐρανία βαίη,
ἐπικαλεῖται τὸν δία. τίς γὰρ εἶχεν αὐτῇ ἐπιπέμψαι τὸν
κεραυνὸν, εἰ μὴ ὁ ζεύς. εἰ καὶ ἡ πρεσβύτις μὴ πάντων ὧν
ἡ μήδεια ἀπεκαλέσατο ἐμνήσθη, οὐ παράδοξον. ἠρκέ-
σθη γὰρ τοῖς σεμνοτάτοις. οἱ δέ φασι λείπει, τὸ ὀμνυμέ-
ζῆνα καὶ θέμιν. Ευπιν σμικρῶ.) λείπει κακῶ. ἀλλὰ δῆ-
λον ὅτι μέγα καταπραξαμένη κακὸν, παύσεται τῆς ὀρ-
γῆς. Πῶς ἂν ἐς ὄψιν.) πῶς φησὶ συντυχοῦσα αὐτῇ
διαλεχθείην. καὶ πῶς τῶν παρ᾽ ἐμοῦ ῥηθησομένων λόγων τὴν
φωνὴν δέξαιτο. ὀμφὴν γὰρ νῦν τὴν φωνὴν λέγει. ἢ τὴν ὁμι-
λίαν. καὶ οὐχὶ τὴν κληδόνα. Μήτοι τό γ᾽ ἐμὸν.) ἡ ἐμὴ
παροῦσα προθυμία, μὴ ἐκτὸς τῶν φίλων ἀπέστω. Ατὰρ
φόβος εἰ πείσω.) ἀλλ᾽ εἰ φοβερὸν καὶ δυσχερὲς πεῖσαι τὴν
ἐμὴν δέσποιναν θυμουμένην ἐνταῦθα προσελθεῖν, ὅμως
ἐγὼ τήνδε σοι τὴν χάριν καταθήσω. καὶ εἰσελθοῦσα κα-
λέσω αὐτὴν, ὑπὲρ τοῦ μὴ μοχθεῖν καὶ ἀδημονεῖν σε ἑστῶ-
σαν καὶ προσδεχομένην. Μόχθου δὲ χάριν.)
ὑπὸ τοῦ μόχθου οὗ πολὺ ἡμᾶς ἔχεις. τὸ δὲ χάριν, κατὰ
κοινοῦ. Καίτοι τοκάδος.) λείπει τὸ ἔχουσα
καίτοι φησὶν ἡ δέσποινα δεινὸν ὁρᾷ, τοῖς τολμῶ-
σιν αὐτῇ πλησιάζειν, ἔχουσα λεαίνης τι τοκάδος τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βλέμμα. καὶ ὅμως οὕτως ἐχούσης αὐτῆς θυμοῦ, εἰς τὴν χάριν εἰσελεύσομαι. τοῦτο γὰρ ἀπὸ κοινοῦ.

Ἀποταυροῦται.) ἀντὶ τοῦ ταυρηδὸν σχηματίζεται τῷ προσώπῳ. ὡς σχῆμα μὲν ἔχειν λεαίνης. σχηματίζεται δὲ τὸ πρόσωπον, ὁμοίως ταύρῳ θυμουμένῳ.

Ἀποταυροῦται.) οὕτω φησὶν ἀποβλέπει εἰς ἡμᾶς ὀργίλως, ὡς λέαινα ὀργισθεῖσα τῶν τέκνων αὐτῆς. Στυγίους δὲ βροτῶν.) τὴν λύπην θεραπεύειν δι' ᾠδικῶν κέρδος ἐστὶ, καὶ ὠφέλεια, καίτοι τὸ ἀκεῖσθαι καὶ θεραπεύειν τὰς λύπας τῶν ἀνθρώπων, κέρδος ἐστὶν καὶ ὠφέλεια. τίς δὲ χρεία ἐν συμποσίῳ στρέφειν ὕμνους. ὅπου καὶ χωρὶς τῶν ὕμνων, αὐτὴ ἡ παρουσία τῶν συμποτῶν τέρψιν ἔχει.

Θαλίαις.) θυσίαις. εἰλαπίναις. ἑορταῖς. λέγει δὲ τὴν παροινίαν. Ἐξ ὧν θάνατοι.) ἐξ ὧν λυπῶν αἱ δειναὶ συμφοραὶ, πταίειν καὶ ἀποτυγχάνειν ποιοῦσι τοὺς δόμους.

Τί μάτην.) τίς γὰρ ἐκεῖ χρεία μουσικῆς αὐτῶν τῶν ἀπὸ θοίνης τερπόντων. τείνουσι δὲ βοὰν. ἀντὶ τοῦ ᾄδουσι μετὰ τόνου. καὶ γὰρ εὐωχία ἱκανὴ ἐστὶν εἰς τὸ τέρψαι τοὺς ἀνθρώπους. Λιγυρὰ δ' ἄχεα.) ἀντὶ τοῦ λιγυρῶς καὶ ὀξέως τὰ ἄχεα φησὶν ἡ μογερὰ μήδεια βοᾷ. Τὰν Ζηνὸς ὁρκίαν θέμιν.) ταῦτα τοῖς ἀξιοῦσιν ὑπὸ τῆς μηδείας διὰ τῆς θέμιδος προσειλῆφθαι τὸν δία, συμπράττει. οἱ γοῦν προσυπομνηματισάμενοι γράφουσιν οὕτως. δύναται τὸ λέγειν ζηνὸς ὁρκίαν θέμιν βοηθῆσαι τοῖς προκειμένοις. ὅτι διὰ τῆς θέμιδος τὸν δία ἐπεκαλεῖτο. διὰ τὸ εἶναι δίος τὴν θέμιν. λέγει οὖν ὅτι τῇ παρέδρῳ τῷ διῒ δικαιοσύνῃ. ἤγουν τοῖς ταύτης ὅρκοις πιστεύσασα, ἔπραξεν ἃ ἔπραξεν. ὁρκίαν δὲ αὐτὴν εἶπεν ὡς τῶν ὅρκων ἔφορον, καὶ συνθηκῶν πρύτανιν. ἥτις θέμις αὐτὴν τὴν μήδειαν καὶ διαβῆναι πεποίηκεν. εἰς τὴν ἑλλάδα, διὰ

τὴν ἀντίπορον τῆς σκυθίας. ἀντίπορον δὲ τὴν ἐναντίαν κατὰ τὸν πόρον. ἢ κατὰ τὸν τόπον. ἡ μὲν γὰρ ἐν τοῖς δυτικοῖς κεῖται ἡ ἑλλάς. ἡ δὲ σκυθία ἐν ταῖς ἀνατολαῖς. πῶς δὲ ἡ θέμις διαβιβάσαι ἐποίησε τὴν μήδειαν, ὅτι τοῖς ὅρκοις πεισθεῖσα, ἠκολούθησεν ἰάσονι. Δι' ἅλα νύχιον ἐφ' ἁλμυρίαν πόντου. ἀντὶ τοῦ δι' ἁλὸς ἁλμυρᾶς. περιττευούσης τῆς ἐπὶ προθέσεως. ἢ τὸ ἁλμυρᾶς, πρὸς τὸ ἑξῆς συναπτέον. τουτέστι διεβίβασεν αὐτὴν δι' ἁλὸς εἰς τὴν ἑλλάδα. ἐπὶ τὴν ἁλμυρὰν τοῦ πόντου κλῇδα. λέγει δὲ τὸ στενόν. ὅθεν καὶ κλεῖδα τὸ στενὸν ἐκεῖνο ὠνόμασεν. παρὰ τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου πόντου. ἀπὸ γὰρ τοῦ στενοῦ, ἐπὶ τὸν πόντον ἐξίασι. νύχιον δὲ λέγει τὴν θεόν, ὡς ἑξῆς ἐπάγει. ὥς τε καὶ ἄνω διὰ τῆς θέμιδος τὸν δία ἐπικαλεῖσθαι. ἡ θέμις δὲ αὐτὴν φησὶ διὰ νυκτὸς πεφυκέναι. Κορίνθιαι γυναῖκες.) χρὴ νοεῖν ὅτι κατὰ τὸ σιωπώμενον εἰσελθοῦσα ἡ γραῦς, παρεκάλεσε τὴν μήδειαν ἐξελθεῖν πρὸς τὰς ἀπὸ τοῦ χοροῦ. αὕτη οὖν ἐξελθοῦσα φησίν. ἐξῆλθον πρὸς ὑμᾶς ὦ γυναῖκες, ἵνα μή μοι τι μέμψησθε ὡς δι' ὑπερηφανίαν μὴ προελθούσῃ. Ἄλλως. Ὦ κορίνθιαι γυναῖκες, ἐξῆλθον ἐκ τῶν δόμων, ἵνα μὴ μέμψησθέ μοι. καίτοι ἐπίσταμαι πολλοὺς τῶν ἀνθρώπων σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο. τοὺς δ' ἐν θυραίοις. οἷον ὑπερηφάνους νομιζομένους. τοὺς μέν, ἀπὸ τοῦ χωρίζεσθαι καὶ ἄποθεν τῶν ὀμμάτων εἶναι. τοὺς δέ, διὰ τὸ προσέρχεσθαι. καὶ συνεχῶς ἐπιφέρεσθαι. ἐξ οὗ τὸ ἁπανταχόθεν ἐπίφθονον. καὶ εὐδιάβολον τῶν ἀνθρώπων σημαίνει. ὅτι εἰς μηδὲν ἀρέσκονται. εἶτα πάλιν κατὰ τούτων ἐπιφέρει. ὅτι καὶ οἱ ἀφ' ἡσύχου ποδὸς. καὶ ἐν ἐρημίᾳ τὰ ἑαυτῶν πράττοντες.

δύσκλειαν κτῶνται. καὶ ἀργίαν. οἷον γὰρ οὗτοι διαβάλλονται ὑπὸ τούτου. Δίκη γὰρ οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν.) φησὶ γὰρ ὅτι διὰ τοῦτο προσῆλθον πρὸς ὑμᾶς. καίτοι ὑπεσχημένη ὅτι καὶ τὸ ὑποφοιτᾶν ὑποκίνδυνόν ἐστιν. ὅμως δ' οὖν, ἵνα μὴ δι' ἔργων. καὶ ἐπ' αὐτῆς τῆς ἀγνοίας γνωρίσῃ τίς μὲν ἥτις εἰμί. οὐ γάρ φησιν ἐν ὀφθαλμοῖς ἀνθρώπων. καὶ ἐν τῇ ὄψει μόνῃ περί τινος δίκη καὶ κρίσις ἐστίν. ἢ ὅτι τὸ δίκαιον οὐκ ἀπὸ μόνης τῆς ὄψεως εὑρίσκεται. τὸ δὲ κατάλληλον ἔτι μᾶλλον σαφὲς γίνεται, ὅτι ἡ δίκη οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν. οὐ δὲ δίκαιος οὗτος ὃς πρὶν τὸ σπλάγχνον σαφῶς ἐκμαθεῖν τοῦ πέλας στυγεῖ ἀπὸ τῆς ὄψεως τινὰ οὐδὲν ἠδικημένος ὑπ' αὐτοῦ. οὕτως εἰρηναῖος. εἰς δὲ τὸ μή μοι τί μέμφησθε, προσληπτέον ἔξωθεν τὸ ὅπως. αἰτίαν γάρ φησι τοῦ ἐξεληλυθέναι, ὅπως μὴ ὑπὸ αἰτίαν πέσῃ. Σεμνοὺς γεγῶτας.) πολλοὶ γάρ φησι τῶν ἀνθρώπων, διὰ τὸ κεχωρίσθαι καὶ μὴ ὁμιλεῖν τισίν, ἀλαζόνες καὶ ὑπερήφανοι ἔδοξαν εἶναι. οἱ δὲ ἐκ τῶν ἐναντίων, συνεχῶς φαινόμενοι. Ὀμμάτων ἄπο.) ἀντὶ τοῦ κεχωρισμένους καὶ πόρρωθεν ὄντας. ἢ νοουμένους ἀπὸ τῆς τῶν ὀφθαλμῶν καταστάσεως. τοῦτο δὲ οὐκ οἰκεῖον τοῖς ὑποφερομένοις. Τοὺς δ' ἐν θυραίοις.) τοὺς ἐν τοῖς οἴκοις τῶν ἑτέρων συνεχῶς φαινομένους παρὰ τὸ ἰσοκρατικόν. τὰς ἐπιδείξεις μὴ ποιουμένους. Οἱ δ' ἀφ' ἡσύχου.) ἡσύχιον βίον ἐπανῃρημένοι. ἀντὶ τοῦ φαινόμενοι μηδὲν δὲ πράττοντες. ἀλλ' ἡσυχίαν ἄγοντες. ἄλλοι δὲ ὑπὸ ἡσυχίας ἰδιοπραγμονοῦντες, ὑπόνοιαν ἔχουσι δυσκολίας καὶ ἀργίας. ῥαθυμίαν γὰρ τὴν ἀργίαν. οἱ ἡσύχιον βίον ἐπανῃρημένοι δυσκλείας μὲν ἐνόμι-

θησαν πρᾶοι δὲ τὴν ψυχήν. Δίκη γὰρ οὐκ ἔνεστιν.) διὰ τοῦτο δὲ συμβαίνει τὸ ἄλλο τι ἄλλως τοὺς ἀνθρώπους τὰ ἀλλήλων δοξάζειν. διὰ τὸ μὴ δύνασθαι ἐξ ὀψέως δοκιμάζειν ἑκάστου τὸν τρόπον. ὅπερ πάσχουσιν οἱ πολλοί. ἢ πρὶν τὸν τρόπον σαφῶς κατανοῆσαι, ἁπλῶς ἐκ τῆς τῶν ὀφθαλμῶν προσβολῆς μισοῦσι τὸν δεῖνα. οὐδὲν ἠδικημένοι πρὸς αὐτοῦ. Χρὴ δὲ ξένον μέν.) προσήκει δὲ πάντα ξένον πρὸς τὰ τῆς πόλεως νόμιμα χαίρειν. καὶ ἁρμόζειν ἑαυτὸν τοῖς ἤθεσι τῶν πολιτῶν. ὅθεν κἀγὼ πρόσειμι πρὸς ὑμᾶς. τὸ πρέπον τοῖς ἐπιξένοις πράττουσα. Βίου χάριν.) τὴν ἐν τῷ βίῳ ἡδονήν. περιφραστικῶς αὐτὸ τὸ ζῆν.

Κατθανεῖν χρήζω.) τοῦτο ἐν ἤθει ἀναπεφώνηται. Κάκιστος ἀνδρῶν ἐν ᾧ ἦν μοι πάντα, κάκιστος ἀνδρῶν ἐκβέβηκεν. οἱ δ' ὑποκριταὶ οὐ συμπεριφερόμενοι τῷ τρόπῳ, λέγουσι γινώσκειν καλῶς. Χρημάτων ὑπερβολῶν.) χρημάτων λέγει τὴν εἰς τὴν φωνήν. τοῦτο δὲ ὁ εὐριπίδης ἀπὸ τῆς κατ' αὐτὸν συνηθείας λέγει. οἱ δὲ ἥρωες οὐχ οὕτως ἐποίουν τοὺς γάμους. ἀλλ' ἐκ τῶν ἐναντίων αὐτοὶ ἐδίδοσαν. καθάπερ καὶ αὐτὸς ἐν ἄλλοις παρίστησι. καὶ ὅμηρος. πρῶθ' ἑκατὸν βοῦς δῶκεν. ἔπειτα δὲ χίλια. ἔστι δὲ ἀναχρονισμός. οἱ γὰρ ἥρωες τὸ ἐναντίον παρεῖχον. Κακοῦ γάρ.) κακὸν μὲν τὸ χρημάτων ὑπερβολῇ πρίασθαι. ἀλγεινότερον δὲ κακόν, τὸ καὶ δεσπότην ἄντικρυς λαμβάνειν. Οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαί.) ὅτι καὶ κακὸν ἢ στέργειν δεῖ. οὐ γὰρ εὐκλεὲς γυναῖκα καταλιπεῖν τὸν οἰκεῖον ἄνδρα. ἀλλὰ ἀκλεές. Εἰς καινὰ δ' ἤθη.) τοῦτο πρῶτόν ἐστι τῇ τάξει τοῦ πράγματος τοῦ κατὰ νόμον τοῦ γάμου, πρότερον γάρ ἐστι τὸ τὴν παρθένον πρὸ τῶν πραγμάτων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπιέναι πρὸς τὸν νυμφίον. εἰ δ' οὕτως πειρᾶσθαι τοῦτο. εἴτε δεξιοῦ, εἴτε κακοῦ. καινὰ δ' ἤθη λέγει καὶ νόμους τοὺς περὶ τῷ ἀνδρὶ. νόμους δὲ λέγει τοὺς τῆς οἰκίας κανόνας. καὶ τόπους τὰ ἤθη καὶ τοὺς νόμους τῶν ἀνδρῶν. Βίᾳ φέρων.) μὴ βίαν ἡγούμενος μὴ δὲ ἀνάγκην τὴν συμβίωσιν. Ὅταν τοῖς ἔνδον.) προελθὼν που παρεμυθήσατο. Κἀμὴ ἐκεῖ λόγος.) οὐχὶ περὶ σοῦ ταῦτα λεχθέντα. οὐ γὰρ ὁμοίας ἔχεις ἐμοὶ τύχας. Μεθορμίσασθαι.) λείπει τὸ ὡς. ὥστε μεθορμίσασθαι. τὸ δὲ ἑξῆς, οὐ μητέρα οὐκ ἀδελφοῦ. οὐχὶ συγγενῆ ἔχουσαν πρὸς τὸ καταφυγοῦσαν, πρός τινα τούτων μεταβληθῆναι τῆς συμφορᾶς, ἡ μεταφορὰ ἀπὸ τῶν μεθορμιζόντων, εἰς τοὺς ἀδειπνοτέρους τόπους. Λελησμένη.) ἀντὶ τοῦ λεληισμένη. ἀπείληπται γάρ. καὶ ὥσπερ δεινοπαθοῦσα τοῦτο λέγει. ὡς προσδοκήσασα μὲν σύνοικον ἕξειν τὸν Ἰάσονα. δεινότερα δὲ αἰχμαλώτου πάσχουσα. Κακὴ δ' ἐς ἀλκὴν.) ἀντὶ τοῦ ἀσθενής. ὁ δὲ λόγος, πᾶσα μὲν γυνὴ δειλοτάτη ἐστίν. ἐν τοῖς ἄλλοις ἅπασι καὶ ἀσθενής. οὐδὲ ὅσον γυμνὸν ἰδεῖν ξίφος καρτεροῦσα. ὅταν δὲ εἰς κοίτην ἀδικηθῇ, τολμηροτάτη γίνεται. Πενθεῖν δ' οὔ σε θαυμάζω.) οὐ θαυμάζω σε ἐπὶ τῷ πενθεῖν τὰς τύχας. δικαίως γὰρ πενθεῖς. Διασάσω αὐτῇ τέκνα.) Παρμενίσκος γράφει κατὰ λέξιν οὕτως. ταῖς δὲ Κορινθίαις οὐ βουλομέναις ὑπὸ βαρβάρου καὶ φαρμακίδος γυναικὸς ἄρχεσθαι αὐτήν τε ἐπιβουλεῦσαι καὶ τὰ τέκνα αὐτῆς ἀνελεῖν. ἑπτὰ μὲν ἄρρενα. ἑπτὰ δὲ θήλεα. Εὐριπίδης δὲ δυσὶ μόνοις φησὶ αὐτὴν κεχρῆσθαι. ταῦτα δὲ διωκόμενα καταφυγεῖν εἰς τὸ τῆς Ἀκραίας Ἥρας ἱερόν. καὶ ἐπὶ τὸ ἱερὸν καθίσαι. Κορινθίους δὲ αὐτῶν οὐδὲ οὕτως ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεσθαι· ἀλλ' ἐπὶ τοῦ βωμοῦ πάντα ταῦτα ἀποσφάξαι· λοιμοῦ δὲ γενομένου εἰς τὴν πόλιν, πολλὰ σώματα ὑπὸ τῆς νόσου διαφθείρεσθαι· μαντευομένοις δὲ αὐτοῖς χρησμωδῆσαι τὸν θεὸν ἱλάσκεσθαι· τὸ τῆς μηδείας τέκνων ἄγος· ὅθεν κορινθίοις μέχρι τῶν καιρῶν τῶν καθ' ἡμᾶς καθ' ἕκαστον ἐνιαυτὸν ἑπτὰ κούρους καὶ ἑπτὰ κούρας τῶν ἐπισημοτάτων ἀνδρῶν ἐναπενιαυτίζειν τῷ τῆς θεᾶς τεμένει· καὶ μετὰ θυσιῶν ἱλάσκεσθαι τὴν ἐκείνων μῆνιν· καὶ τὴν δι' ἐκείνους γενομένην τῆς θεᾶς ὀργήν. δίδυμος δὲ ἐναντιοῦται· καὶ παρατίθεται τὰ κρεοφύλου ἔχοντα οὕτως· τὴν γὰρ μήδειαν λέγει διατρίβουσαν ἐν κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως κρέοντα ἀποκτεῖναι φαρμάκοις· δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς ἀθήνας· τοὺς δὲ υἱούς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν καθίσαι ἐπὶ τὸν βωμὸν τῆς ἀκραίας ἥρας· νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν· τοὺς δὲ κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγους ὅτι ἡ μήδεια, οὐ μόνον τὸν κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε· γεγονέναι δὲ παραπλήσιον μυθεύεται καὶ περὶ τὸν ἄδωνιν. Ἐχθροὶ γὰρ ἐξιᾶσι·) οἱ ἐχθροὶ οὐριοδρομοῦσι καθ' ἡμῶν καὶ ὁρμῶνται, πάντα τρόπον πρὸς ὑμᾶς· ἀπὸ μεταφορᾶς τῶν οὐριοδρομούντων καὶ χαλώντων πρὸς τὸ πνεῦμα τοῦ ἀρτέμωνος. Εὐπρόσοιστος·) εὐεπιβούλευτος· καὶ ῥαδία πρὸς τὸ διαφυγεῖν αὐτήν. Ἀποστέλλεις·) ἀπάγεις· ἐξεδέξαντο δὲ κατὰ ἀναστροφὴν ἀπὸ γῆς στέλλεις. Παραμπίσχειν·) κρύπτειν. Δέδοικας·) τὸ ἑξῆς δέδοικα μή μοι τι δράσῃς παῖδα. Παραμπίσχειν·) φυλάττεσθαι· ἤτοι φυλάσσειν· περιστέλλειν· ἀποκρύπτειν· καὶ τὸ μαλθαχθέντα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀντὶ τοῦ ἀμελῶς προσενεχθέντα, ἢ μαλθακισθέντα τοῖς λόγοις. Δράσειέν τι) κακοποιήσειεν. Ἔβλαψε δόξα) ἀντὶ τοῦ ἡ δόξα μου βλάπτει με· σὺ γὰρ νομίζων με φησὶν * ἀπελαύνεις με δεδοικώς. Ἧς ἔχουσιν ἀργίας) τὸ ἧς ἔχουσιν ἀργίας εἶπεν ὡς οὐχ ὡς τῷ ὄντι ἀργῶν ὄντων τῶν σοφῶν· προφανὲς γάρ ἐστιν ὅτι μέγιστος πόνος περὶ τὴν φιλοσοφίαν. καὶ ἡσίοδος· ,,τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν. ἀλλ' ὡς πολλῶν δοξαζόντων οὐκ ὀρθῶς, ἀργοὺς εἶναι τοὺς σοφούς· οἱ σοφοὶ οὖν φησὶν πρὸς τὸ δόξαν ἀργίας ἔχειν καὶ φθονοῦνται ὑπὸ τῶν ἄλλων ἀνθρώπων· ὅθεν φησὶ καλῶς ἔχειν κρίνω μὴ χρῆναι εἰς ἄκρον παιδεύσεως ἥκειν τινά· ἀλλὰ καὶ τούτων αὐτὸς εἶναι· τοῦτο δὲ οὐ δογματίζων ὁ ποιητὴς φησὶν· ἀλλ' ἁρμοζόμενος πρὸς τὸ ὑφεστηκὸς ἦθος· ἐπεὶ δοκεῖ ἡ μήδεια σοφίας ἔχουσα δύναμιν βλάπτεσθαι, σκαιοῖσι· ὁ σοφὸς φησὶ καθ' ἑκάτερον ἀδικεῖται· ὑπὸ μὲν γὰρ τῶν ἀπαιδεύτων οὐ σοφὸς εἶναι νομίζεται· τοῖς δὲ ἐλλογίμοις λυπηρὸς εἶναι καταφαίνεται. ὅταν τοῦτο κρείττων νομισθῇ. τὸ δὲ δοκούντων οὐκ ἐπὶ ἀμφιβόλῳ κεῖται, ἀλλ' ἐπὶ τῷ τῷ ὄντι ὑπαρχόντων· ἢ δοκούντων· ἢ καὶ πρὸς εἰς βουλὴν τῶν δοκούντων ἐλλογίμων· εἰ καὶ τῇ ἀληθείᾳ ἐλλόγιμοί εἰσι διὰ τὸ νοσεῖν τὸν φθόνον· ὃ οὐ πρὸς σοφοῦ. Ἀλφάνουσιν) εὑρίσκουσιν) ἀπὸ τοῦ ἄλφα, στοιχεῖ. Τῶν δ' αὖ δοκούντων) τῶν δοκούντων φησὶν εἰδέναι τι· κρείσσων νομισθεὶς ἐπαχθὴς ἔσῃ· ὅθεν συμβαίνει καὶ παρὰ τοῖς ἀπαιδεύτοις ἐπαχθῆ εἶναι· διὰ τὸ μὴ προσίεσθαι αὐτούς· καὶ παρὰ τοῖς συνετοῖς ὁμοίως ἕνεκα τοῦ διαφέρειν δοκεῖν αὐτῶν· ἐπίφθονον καὶ λυπηρὸν γίνεσθαι. Ἐπίφθονος) ζηλωτὴ τοῖς εἰδόσι φθονουμένη· ἡσυχαία δὲ καὶ ἀνοη-

τοῖς ἀχρήστοις. Θατέρου τρόπου.) ἢ πρὸς τὸ ἡσυχαῖα. ἵν' ἡ συνετή. ἢ πρὸς τὸ τοῖς μὲν, εἰμὶ ἐπίφθονος. ὅ ἐστιν ἐπίμεμπτος παρὰ τοῖς ἀπαιδεύτοις καὶ ἀμαθέσι νομίζομαι. Προσάντης.) ἐναντία εἰμὶ τοῖς ἀπαιδεύτοις καὶ οὐκ ἄγαν σοφή. Τοσῷ δὲ δ' ἧσσον.) τοσούτῳ δέ φησιν, ὅσῳ γλυκεῖα μὲν εἶ τῷ λόγῳ. ἀλλὰ δὲ φρονεῖς. τοσούτῳ μᾶλλον ἀπιστοτέρως τυγχάνω, ἢ πρὶν τῶν λόγων σου τούτων ἀκοῦσαι. Γυνὴ γὰρ ὀξύθυμος.) πᾶσα γάρ φησιν ὀξύθυμος γυνή. ὁμοίως δ' ἂν καὶ ἀνὴρ εὐμαρέστερον ἂν φυλαχθείη. ἢ ὁ κρύπτων τὴν ὀργήν. τούς τε γὰρ φανερῶς ὀργιζομένους εὐμαρῶς προορῶμεν φυλάττεσθαι. τοὺς δὲ ἐν ἀφανεῖ κρύπτοντας τὴν μῆνιν, οὐχ οἷοί τε διὰ τὸ ἀπρόοπτον. καὶ σὲ οὖν φησὶ σιωπηλὴν οὖσαν, οὐκ εὐμαρῶς φυλάξασθαι. Ῥᾴων φυλάττειν.) ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι. ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπὶ τὸ πλεῖστον τοῖς ἀττικοῖς. λέγει δὲ σιωπηλός. Ἄλλως. Ῥᾴων ἐστὶ φυλάττεσθαι φησὶν ὀξύθυμος ἀνήρ. ὡσαύτως δὲ καὶ γυνή. φανεροὶ γάρ εἰσι. καὶ πάντα ἐκχέουσιν ὀργιζόμενοι. ὁ δὲ σιωπηλὸς, δυσπαράτητός ἐστιν ἐν ἑαυτῷ κρύπτων καὶ καιροφυλακῶν τὴν ὀργήν. Μὴ πρὸς σέ.) μέμφονται τῷ εὐριπίδῃ ὅτι πεποίηκε τὴν μήδειαν ἔξω λέγειν τῷ κρέοντι ὡς ὑπούλως ἔχει πρὸς τὴν νύμφην. Ὅπως ἂν οἶμαι.) ἐπεὶ καθόλου ἡ μήδεια τὸν ἔρωτα κακὸν ἀπεφήνατο. ἐπεισήγαγεν ὁ κρέων τοῦτο αἰωρῶν. καὶ φησὶν ὁ ἔρως οὐκ ἀεὶ κακός. ἀλλ' ὡς ἂν ἄγηται ὑπὸ τῆς τύχης. πολλοὶ γὰρ ἐρασθέντες ἐπέτυχον. βλασφημεῖ δὲ τὸν ἔρωτα ἡ μήδεια. ἐπεὶ καὶ ἐρασθεῖσα τοῦ ἰάσονος ἐξέστη τῆς ἐλπίδος. οὗτος δέ φησι μὴ καταμέμφου τοὺς ἔρωτας. εἰώθ' ὅτε γὰρ ἀγαθόν τι ποιοῦσιν. εἰώθ' ὅτε δὲ κακὸν ὡς ἂν ἡ τύχη παραγίνοιτο.

Πονοῦμεν ἡμεῖς.) ἐπεὶ εἶπεν ὁ κρέων καί μ᾽ ἀπάλλαξον πόνων, φησί. ποίων πόνων. ἐγὼ γάρ εἰμι ἐν πόνοις οὖσα. καὶ οὐκ ὀφείλουσα ἄλλους πόνους ἀνέχεσθαι ἐφ᾽ οἷς ἔχω. ἀλλ᾽ οὐκ ἐν σπάνει κακῶν. σὺ γὰρ οὐ πονεῖς καὶ ἐν κακοῖς τυγχάνεις. ἐπεὶ δὲ εἶπεν ὁ κρέων καί μ᾽ ἀπάλλαξον πόνων, φησὶ ποίων πόνων. ἐγὼ γάρ εἰμι ἡ ἐν πόνοις οὖσα καὶ οὐκ ὀφείλω ἄλλους πόνους ἀναδέχεσθαι πόνους ἐφ᾽ οἷς ἔχω. ὥστε μή τε ἀπελαύνειν με τῆς κορινθίων καὶ τοῦτόν μοι προστιθεῖ τὸν πόνον ἐφ᾽ οἷς ἔχω. ἱκανῶς γὰρ ἔχω πόνων τῆς τε πατρίδος ἐστερημένη. καὶ νῦν τὸν ἄνδρα ἀπολέσασα διὰ τὴν σὴν θυγατέρα. ὥς τε τὸ πονοῦμεν ἡμεῖς διασαλτικῶς εἶπεν. οἷον ἐγὼ πονῶ. τοιαῦτα δεινὰ πεπονθυῖα. σὺ δὲ οὔ. μὴ δὲν χαλεπὸν ὑποστάς. Παισὶν τ᾽ ἀφορμήν.) τὴν ἡμεῖς προβολὴν καλοῦμεν εἰς τὸ ζῆν, οἱ ἀττικοὶ ἀφορμὴν καλοῦσιν. Εἰκὸς δ᾽ ἐστιν εὔνοιαν σ᾽ ἔχειν.) οὐδέν φησιν ἀπεικὸς πατέρα σε ὄντα εὔνοιαν καὶ στοργὴν ἔχειν. ἣν ἂν πρέπει πατρὶ πρὸς παῖδας. ὅθεν οἰκτείρουμε εἰδὼς αὐτὴν πεῖραν τὴν πρὸς τὰ φίλτατα διάθεσιν. Οὐ γὰρ τι δράσεις.) δίδυμος μετὰ τοῦτον φέρει τὸ σιγῇ δόμους εἰσβᾶσιν ἔστρωται λέχος. καὶ μέμφονται τοῖς ὑποκριταῖς ὡς ἀκαίρως αὐτὸν τάσσουσιν. Κακῶς πέπρακται πανταχῇ τίς ἀντιρεῖ.) ἀντὶ τοῦ οὕτω φανερῶς καὶ ἐναργῶς δυστυχοῦμεν. καὶ ἐν κακοῖς ἐσμὲν, ὡς μηδένα δύνασθαι ἀντιλέγειν. ὅτι οὐχ οὕτως ἔχομεν δυστυχίας. Ἀλλ᾽ οὔτι ταύτῃ ταῦτα.) ἀλλ᾽ οὐχὶ κατὰ τοῦτο τὸ μέρος φησὶ κακῶς ἔχει τὰ καθ᾽ ἡμᾶς καθὸ πειθεὶς ἡμῖν ἀπῆλθε κρέων. τὸ ταύτῃ οὖν ἀντὶ τοῦ κατὰ ταύτην τὴν ὁδόν. καὶ τοῦτον τὸν τρόπον ταῦτα καλῶς πέπρακται. ἢ τὸ ταῦτα ὀξυτόνως. τουτέστιν ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πειθεὶς

ἀπῆλθεν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπῆλθεν, οὐ ταῦτα τὰ πράγματα· ἀλλὰ κάλλιονα· ἀμφότερα δὲ εἰς ταυτὸ ἀναστρέφουσιν· Ἄλλως· τὸ ταῦτα μὲν τῇ μὲν πεδιασᾶται· τῇ δὲ ὀξύνεται· ὅ ἐστιν· ἀλλὰ κατὰ τοῦτο τὸ μέρος καθὸ πιεσθεὶς ἀπῆλθεν κρέων οὐ ταῦτα τὰ πράγματα ἐστιν, ἀλλὰ βελτίονα· Πόσιν τ' ἐμόν·) πῶς ἐπαγγειλαμένη ἀνελεῖν τὸν ἰάσονα οὐκ ἀνῄρει· ἢ τάχα ἐπεὶ ἐλθὼν ὁ ἄγγελος μετὰ θάνατον γλαύκης καὶ κρέοντος ἐθορύβησεν αὐτὴν λέγων χρῆναι τάχιστα φυγεῖν· ὅθεν καὶ φησὶ, μήδεια φεῦγε· ὅθεν οὐκ ἔσχε σχολὴν τοῦτο ἐργάσασθαι· εὐθὺς οὖν καὶ ὁ ἰάσων παραγίνεται πρὸς αὐτήν· Η θηκτὸν) ὧδε κακῶς κεῖται δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάττουσιν ἐπὶ τῶν β̄ τὸ σιγῇ δόμους εἰς βᾶσα· καύσω ἢ σφάξω αὐτούς· Εἰληφθήσομαι·) σοφοῦ ἐστι τὰ ἀντιπίπτοντα λύειν· Τεχνωμένη·) πρὸς τὸ ἐπελθεῖν αὐτοῖς κοιμωμένοις· Η πεφύκαμεν·) ἡ μηχανῇ σοφαὶ ἐσμέν· κράτιστον δέ φησι φαρμάκοις· αὐτοὺς κτανεῖν, κατὰ τὴν ὁδὸν ἐν ᾗ σοφαὶ πεφύκαμεν· μάλιστα δηλαδὴ τῇ τῶν φαρμάκων. Οὐκ ἔστι·) ἢ προπετῶς πρᾶξαί τι οὐκ ἔστιν· ἢ οὐκ ἔστι μοι φίλος οὐδεὶς ὁ μέλλων με ὑποδέχεσθαι καὶ κρύπτειν· Πύργος ἀσφαλής·) ἀντὶ τοῦ ὀχύρωμα σωτηρίας· καταχρηστικῶς δὲ τὴν σωτηρίαν πύργον ὠνόμασεν παρὰ τοὺς ὑποδεδραμηκότας ὑπὸ πύργου ἐν τῷ πολέμῳ σώζεσθαι· Ἄλλως· εἰ μὲν εὕρω ἔχυραν καταφυγὴν σιωπῇ μετέρχομαι φαρμάκοις τὸν φόνον· ἐὰν δὲ ἐλαύνῃ με ἡ ἐξορία, τό τι ξίφος λαβοῦσα κτενῶ σφε φανερῶς εἰ καὶ ἐμοὶ πρόσκειται συναπολέσθαι αὐτοῖς· Ἀμήχανος·) ὅ ἐστι μὴ παρέχουσα μηχανὴν πρὸς τὸ καταγωνίσασθαι αὐτοὺς τοὺς ἐχθρούς· Επίστασαι δέ·) ἐπίστασαι δὲ μηχανὰς μέν τινας δι' ὧν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοῖς φονεύσειας. εἰ δὲ μὴ ᾔδεις, εἶχεν αὐτὸ τὸ αἴτιον ταῖς
γυναιξὶν εὑρεσίκακον. Γυναῖκες ἐς μέν.) αἵτινες εἰς
μὲν τὰ ἀγαθὰ ἄποροι καὶ οὐχ ἱκαναὶ ἐξευρεῖν τι αἴτιον.
εἰς δὲ τὰ κακὰ εὔποροι καὶ ἱκαναὶ καὶ ἐξευρητικαί.
Ἄνω ποταμῶν.) θέλει εἰπεῖν ὅτι ἀντέστραπται ἡ φύσις.
οὐκέτι γὰρ δόλιαί εἰσιν αἱ γυναῖκες, ἀλλ' οἱ ἄνδρες. πα-
ροιμία δὲ τοῦτο, ἐπὶ τῶν εἰς τὸ ἐναντίον καὶ παρὰ τὸ προ-
σῆκον μεταβαλλομένων πραγμάτων. οἷον ἀντέστρα-
πται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους
φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας
καὶ δικαίας. λέγει δὲ ταῦτα διὰ τὸν Ἰάσονα. ἀντέστρα-
φη φησὶν ἡ τάξις. καὶ ἄνδρες μὲν δόλιοι καὶ ἄπιστοι γε-
γόνασιν, γυναῖκες δὲ αἱ πρότερον διαβαλλόμεναι ἔνδο-
ξοι καὶ πισταί. Τὰν δ' ἐμὰν.) τὸ ἑξῆς. τὰν δ' ἐμὰν βιο-
τὰν οὐδὲν ὡς ὁ λόγος ἀναστρέφεται. ὅτι ἄπιστοι μὲν οἱ
ἄνδρες, πισταὶ δὲ αἱ γυναῖκες. καὶ στρέφουσι πάντες τὸν ἐ-
μέτερον βίον τουτέστι τὴν γυναικείαν φύσιν εὐκλεεστέ-
ραν εἶναι. Τὰν δ' ἐμὰν εὔκλειαν.) ἐκ τῶν κατὰ τὴν
μηδείαν ἀδικημάτων, ἐπελεύσονται τιμαὶ τῷ γυναι-
κείῳ γένει. ἀνδρῶν ἀδίκων ἀποδειχθέντων. τῶν δὲ γυ-
ναικῶν ἔμπαλιν δικαίων. οὐκέτι γὰρ ῥηθήσεται τὸ οὐ-
δὲ πιστὸν ἐν γυναικί. καθόλου γὰρ λέγεται ὅτι ἀνέστρα-
πται τὰ πράγματα. διὰ τὸ δολίους μὲν καὶ ἐπιβούλους
φαίνεσθαι τοὺς ἄνδρας. τὰς δὲ γυναῖκας εὐγνώμονας
καὶ δικαίας. ταῦτα δὲ λέγει διὰ τὸν Ἰάσονα. Ὑμνεῦ-
σαι.) καὶ ἐπὶ κακοῦ τὸ ὑμνεῦσαι. λοιπὸν δέ φησιν αἱ
μοῦσαι, αἳ τοὺς παλαιγενεῖς ἄνδρας τοὺς σοφοὺς πα-
ρορμήσασαι διασύρειν τὸ γυναικεῖον ἔθνος λήξουσι τῶν
ἀοιδῶν τῶν καθ' ἡμᾶς ἐν αἷς ὡς ἄπιστοι διαβεβλήμεθα.
τουτέστιν οὐκέτι τοῖς ποιηταῖς ἐμποδίσουσι τὸ καθ' ἡμ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μῶν τι λέγειν. ἢ μοῦσαι παλαιγενέων τὰ ποιήματα τῶν πάλαι σοφῶν ποιητῶν. τουτέστι τὰ δὲ εἰρημένα τοῖς πάλαι σοφοῖς καθ' ἡμῶν. καὶ ἐν οἷς ποιήμασι διαβεβλήμεθα ταῦτα σχολάσει. καὶ λῆρος εἶναι νομισθήσεται. ἴν' ἢ τὸ λήξουσιν ἀντὶ τοῦ παύσουσι καὶ ἀφανισθήσονται. Οὐ γὰρ ἐν ἁμετέρα.) οὐ καθ' ἡμετέραν φησὶ γνώμην. οὐδὲ ὡς ἡμῖν ταῖς γυναιξὶν ἀρέσκει ἐδωρήσατο τοῖς ἀνδράσιν ἐξ ἀρχῆς ὁ ἀπόλλων τὸ δύνασθαι λέγειν. ἔδει γὰρ καὶ τῇ γυναικείᾳ φύσει τοῦτο δεδωρῆσθαι. καὶ τάχ' ἂν πολλαὶ ἢ ποιήτριαι γενόμεναι, ἑαυτὰς μὲν ὑμνήσαμεν τοὺς ἄνδρας δὲ ἐψέγομεν. καὶ τὸ ἐν ἡμετέρα γνώμη ἀντὶ τοῦ γυναικεία φύσει, οὐ δέδωκεν ὁ ἀπόλλων, ἤτοι ἡμῖν ταῖς γυναιξὶν τὸ δύνασθαι λέγειν. τὸ αὐτὸ δὲ δηλοῦται. Ἄλλως. οὐ γὰρ ἐν ἡμετέρα γνώμη τὴν τῆς λύρας θέσπιν ἀοιδὴν ἐδωρίσατο ἀπόλλων. οὐ δυναταί ἐσμεν ἡμεῖς αἱ γυναῖκες ποιήματα γράφειν. ἐπεὶ τάχα ἂν αἱ γυναῖκες ἀντικωμῴδουν τοὺς ἄνδρας. τὴν δὲ ἑαυτῶν φύσιν ἐπήνουν. κατὰ τὸν τοῦ λέοντος μῦθον. λέων γὰρ ἰδὼν λέοντα ὑπὸ ἀνδρὸς ἀγχόμενον ἐν γραφῇ εἶπεν. καὶ ἡμεῖς εἰ ᾔδειμεν γράφειν ἢ πλάσσειν, ἔμπαλιν ἂν οἱ ἄνθρωποι ἐτίθεντο, ἀρχόμενοι ὑπὸ λεόντων. Ἐπεὶ ἀντάχησεν.) ταῦτα καὶ εἰς τὰ ἡσιόδου καὶ ὁμήρου ὃς δὲ γυναιξὶ πέποιθε. καὶ ἐπεὶ οὐκ ἔτι πιστὰ γυναιξί. συμβήσεται δὲ τῷ μετὰ ταῦτα πολλῷ χρόνῳ τάς τε γυναῖκας κατειπεῖν τῶν ἀνδρῶν. καὶ τοὺς ἄνδρας κατὰ τῶν γυναικῶν. καὶ οὐκέτι μόναι γυναῖκες βλασφημηθήσονται. ἢ οὕτως. οἱ ὕμνοι τῶν μελῶν ἀντήχησαν ἂν πρὸς τοὺς ἄνδρας, ἀντικωμῳδήσαντο καὶ ἀντιδιέβαλλον ἄν, εἰ ὁ ἀπόλλων ἐδωρήσατο ταῖς γυναιξὶ τὸ λέγειν. Μοῖραν.) τὴν ὑμῶν μοῖραν καὶ τὴν

ἀνδρῶν. μοῖραν δὲ τὴν μερίδα. ἀντὶ τοῦ συμβαίνει κατ' ἀλλήλων εἰπεῖν ἄνδρας καὶ γυναῖκας τῷ χρόνῳ. Ὁρίσασα.) ἀντὶ τοῦ διαστείλασα καὶ διεξελθοῦσα τὰς συμπληγάδας. ἤτοι διαπλεύσασα καὶ διελθοῦσα. παρόσον δύο τινῶν ὑποκειμένων, ὁ μέσων γινόμενος ἑκάτερον ὁρίζει. καὶ ἡρόδοτος δείξει. δεξιὰ μὲν ὁρίζων. ἀεὶ γὰρ ὁ μέσων τινῶν γινόμενος, διορίζει τὸ μὲν, ἔνθεν. τὸ δὲ ἔνθεν. Κρατούντων.) κρατεῖ γὰρ γυναικὸς ὁ ἀνὴρ καὶ κατὰ τοῦτο κρείττων ἐστίν. ὑποτεταγμένην ἔχων τὴν γυναῖκα. κρειττόνων οὖν ἀντὶ τοῦ κρείττονος. πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ ἐπὶ αὐτοῦ τοῦ ἰάσωνος. Κἀμοὶ μέν.) κἀμοὶ μέν φησιν οὐδὲν μέλλει περὶ ὧν σὺ λέγεις κατ' ἐμοῦ. ὑπὲρ ὧν δὲ κατὰ τοῦ βασιλέως τετόλμηκας εἰπεῖν, ἀγάπα φυγῇ ζημιουμένη. καὶ μὴ μείζονι κακῷ περιπίπτουσα. οἷον ἐπὶ κέρδους ἡγοῦ, τὸ φυγῇ ζημιοῦσθαι μόνον. καὶ μὴ μείζονι περιπεσεῖν αἰκίᾳ. διὰ τὰ εἰς τοὺς τυράννους εἰρημένα σοι δύσφημα. Ὅμως δέ.) ὅμως δὲ καίπερ βλασφημησάσης με καὶ κακῶς διατεθεμένης τὰ περὶ ἐμὲ καὶ σὲ, καὶ μελλούσης ἐκβάλλεσθαι τῆς πόλεως οὐχ ὑπερηφανῶ. ἀλλ' ἦλθον πρὸς σέ. οὐ παντελῶς ἀπεγνωκὼς, τὴν πρὸς σὲ φιλίαν. Ὦ παγκάκιστε.) τοῦτο γάρ σ' εἰπεῖν ἔχω.) τοῦτο γὰρ εἰπεῖν ἔχω σοι μέγιστον κακὸν διὰ τὴν ἀσθένειαν τὴν ἐμήν. γυνὴ γάρ εἰμι καὶ ἀσθενὴς, μὴ δυναμένη χερσὶν ἐπιτιμωρήσασθαι. διὸ τῇ διὰ τοῦ στόματος κατηγορίᾳ κολάζω σε. ἡ εἰς ἀντὶ τοῦ διά. δι' ἀνανδρίαν. τοῦτο δέ φησιν, ὡς μὴ δυνηθέντος αὐτοῦ χωρὶς αὐτῆς ἀνύσαι τὴν ἆθλον. οὗτος γὰρ ὁ ἰάσων, ἀποσταλεὶς παρὰ τοῦ πελίου ἀνεῖλε τὸ χρυσοῦν δέρας ἀπὸ τῶν κόλχων διὰ φαρμάκων τινῶν τῆς μηδείας ὡς ἐρασθείσης αὐτοῦ. Εἰς ἀνανδρίας.) ἤτοι

ὡς θυμουμένη. ἄνανδρον αὐτὸν ἀποκαλεῖ, τῶν γὰρ λοιδορουμένων, οἰκεῖον καὶ τὰ μὴ προσόντα πολλάκις προφέρειν ὀνειδίζει δὲ αὐτῷ ἀσθένειαν, ὡς μὴ δυνηθέντι ἄνευ αὐτῆς ἀνύσαι τοὺς ἄθλους. Φίλους κακῶς.) κακῶς φίλους δράσαντα. ἐναντίον βλέπειν. τινὲς δὲ ὑπολαμβάνονται εὐριπίδου ὡς κακῶς. τὸ γὰρ θράσος ἔδει μᾶλλον εἰπεῖν θάρσος, διαφέρει δὲ ὡς ἀρετὴ κακίας. τὸ μὲν γὰρ ὑπὸ κακοῦ καὶ ῥιψοκινδύνου τάσσεται. τὸ δὲ ὑπὸ ἀγαθοῦ. ὅθεν οἱ ἀγαθοὶ αὐτὸ διόρισαν οὕτως. ὅτι θάρσος μὲν τὸ τῆς ψυχῆς παράστημα μετὰ λογισμοῦ. θράσος δὲ ἡ ἀλόγιστος τόλμη. Ἐκ τῶνδε πρώτων.) ἀπὸ τῶν πρώτων δὲ εὐεργεσιῶν προκατάρξομαι νῦν. πρῶται δὲ αἱ ὑπὸ σκυθία. ὅτι ἰάσων παρὰ τοῦ αἰήτου, ἐκπλεῦσαι τοῦτον τὴν ἆθλον κελευσθεὶς τὸ σιδηραῖς ζεύγλαις τοὺς πυριπνόους ζεῦξαι βόας. καὶ σπεῖραι τοὺς δρακοντείους ὀδόντας, δι' αὐτῆς τοῦτο ἐξετέλεσεν. Ἔσωσά σ' ὡς ἴσασιν.) πλεονάζει ὁ στίχος τῷ σ. ὅθεν καὶ ὁ πλάτων ἐν ταῖς ἑορταῖς φησιν ἔσωσας ἐκ τῶν σιγμάτων εὐριπίδου. καὶ εὔβουλος. ἐν δ' ἔσωσας ὡς ἴσασί σοι. καὶ παρθενεύσης ἐξεμοὶ χάριν καὶ τοῖς ἐμοῖσιν ἀγγελοῦσι πήμασι τὰ σίγμα συλλέξαντες ὡς αὐτοὶ σοφοί. Σὺν σοί. πρόθυμος μᾶλλον ἢ σοφωτέρα.) ἀντὶ τοῦ ἐρῶσα μᾶλλον τῷ πρὸς σὲ νικωμένη, ἢ μετὰ λογισμοῦ τι πράττουσα. Πάντα δ' ἐξεῖλον.) ἀντὶ τοῦ ἐπόρθησα. ἐὰν δὲ φόβον γὰρ ἐξεῖλον ἀντὶ τοῦ διέφθειρα καὶ ἠφάνισα. Δοκοῦσα μέντοι.) ἀντὶ τοῦ οὐδὲν προσδοκῶ σὲ πράξειν καλῶς. ταῦτα δὲ ἐν ἤθει προενεκτέον. φέρε δὴ ὡς φίλῳ σοι διαλεχθῶ. καίτοι προσδοκῶσα τι πράξειν καλὸν καὶ διαλεγομένη. καὶ οὐδὲν ὠφελήσοντί με, ὅμως ἐρωτήσω. οὕτω γὰρ ἂν πικροτέρως ἐλεγχθείης. οὐδὲν

ἔχων πρὸς ἔπος ἀποκρίνασθαι. διαστῆσαι δὲ δεῖ κατὰ ἀνάγνωσιν τὸ τί. ἐκ δὲ τῆς ὑποκρίσεως ἐμφαίνει τὸ οὐδέν τι. παθητικὴν δὲ ὑπόκρισιν δηλοῖ τὸ τί. καίτοι γέ τι δοκοῦσα πράξειν παρὰ σοῦ. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει.) ἡ δυσοιχία τοῦ χοροῦ ἐστι. κατὰ δὲ τούτους ἤδη τὰ τῶν χορῶν ἠμαύρωται. τὰ μὲν γὰρ ἀρχαῖα διὰ τῶν χορῶν ἐπετελεῖτο. ὅθεν ὁ εὔπολις φησί. τί χορὸς οὗτος. κλάειν εἴπωμεν πυράμουν. ἴσως ἢ κατὰ ταῦτα ἰαμβεῖα. Κρασπέδοις.) περιφραστικῶς εἶπεν ἀντὶ τοῦ παντὶ ἀρμένω. ὑπεκδραμεῖν δὲ, ἤγουν δεῖ μὲν ὑπεκδραμεῖν τὴν σὴν γλωσσαλγίαν. καθάπερ κυβερνήτης τοῖς κρασπέδοις τοῦ λαίφους χρώμενος ἐκφύγει. Κύπριν νομίζω τῆς ἐμῆς.) ἐγὼ νομίζω φησὶν ἀπὸ τῆς ἀφροδίτης σεσῶσθαι. ἣν μόνην φησὶ τῶν ἄλλων ἀνθρώπων καὶ θεῶν ἰσχύειν. τοῦτο γάρ ἐστιν. μόνην φησὶ τὴν ἀφροδίτην σεσωκέναι αὐτὸν. καὶ οὐδένα ἄνθρωπον οὐδὲ θεόν. τοῦτο δὲ ψευδές. φαίνεται γὰρ τὴν ἥραν προστάτιν ἐσχηκὼς, ἐξ αὐτῆς ὅλως καὶ ὑπὸ ταύτης παρορμηθεὶς ἐπὶ τὸν ἆθλον. ὑφ' ἧς εἰκὸς αὐτὸν σεσῶσθαι. ἵνα τὸν πελίαν φονεύσῃ ἐχθρὸν ὄντα τῆς ἥρας. ἔστι δὲ ἡ ἀθηνᾶ ἡ κινδυνεύουσαν τὴν ναῦν προσραγῆναι ταῖς πέτραις ἀντισώσατο. Λόγος διελθεῖν.) ἀντὶ τοῦ παρελθεῖν καὶ εἰπεῖν. Ἐπίφθονος.) ὑπὸ φθόνου κατεχόμενος. ὁ λόγος οὕτως. λέγει δὲ τὸν ἔρωτα σεσωκέναι με. ἐρασθεῖσα γὰρ αὐτοῦ ἡ μήδεια ἔσωσεν αὐτόν. δύναται δὲ καὶ οὕτως νοηθῆναι καὶ ἐπίφθονος ὁ λόγος ῥηθῆναι. τουτέστι κινεῖ μοι φθόνον ὁ λόγος. ἀλαζονεύσομαι φησὶν ὑπὲρ ἐμαυτοῦ. ὅτι ὁ ἔρως ὃν ἠράσθης μου σέσωκέ με. Ἄλλως. ἐμὸς λόγος φησὶ, λεπτὸς μὲν, ἐπίφθονος δὲ. τουτέστι φθονηθησόμενος μὲν, δυνάμενος δὲ διαδιᾶται παντὸς τοῦ ἰσχυροῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐὰν γὰρ τις ἀκριβῶς ἐξετάσῃ, ὁ ἔρως σε ἠνάγκασε τό-
ξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας. οἷον οὐκ εἰς χά-
ριν τὴν ἐμὴν. ἀλλὰ κατὰ ἀνάγκην ταῦτα ἔπραξας. καὶ
τῶν ἀφύκτων πόνων ἐξέσωσας τοὐμὸν σῶμα. ἢ οὕτως. καὶ
σὺ μέν φησι συνορᾷς ἅτε δὴ λεπτὸν καὶ ὀξὺν ἔχουσα τὸν
νοῦν. ὅτι ἡ ἀφροδίτη με ἔσωσεν. ἀλλ᾽ ὑπὸ φθόνου ὁ λό-
γος σοι ὑποφέρεται. ὅς ἐστιν ἀληθὴς, τὸ τὸν ἔρωτα σεσω-
κέ με. Ἀλλ᾽ οὐκ ἀκριβῶς.) ἀλλ᾽ οὐκ ἀκριβολογοῦμαι
περὶ τούτου. ἀλλὰ δίδωμί σοι τῷ λόγῳ ὠφεληκέναι.
κἀγὼ μὲν ὁμολογῶ, ὅτι ἔνθα με ὠφέλησας, καλῶς ἔ-
χει. Ἐπεὶ γ᾽ οὖν ὤνησας.) ἔνθα γάρ φησιν ὠφέλη-
σας οὐ κακῶς ἔχει. ἢ ὅτι οὐκ ὠφέλησας. ὅθεν μεθίημι
τὰς ἀποδείξεις τοῦ μηδὲν ὠφελῆσθαι παρὰ σοῦ. τοῦ
πράγματος οὐ καλῶς ἔχοντος. αἰσχῶ παρακρύπτειν.
πανουργεῖ. τολμᾷ. Εὐσχήμων φανῇ.) ἀντὶ τοῦ συ-
σχηματίζων τοὺς λόγους. πρὸς τὸ συναρπάζειν ἐμέ.
τουτέστι κοσμίως τὸ λέγειν. τὸ δὲ μὴ νῦν κατὰ ἀττικοὺς
παραπέμπεται. Οὐ τοῦτο ὃ σὺ ἀλγεῖς.) ἀντὶ τοῦ οὐ
ταύτην ἔχων τὴν διάνοιαν ἔγημας. οὐδὲ ἵνα τοῖς
ἐμοῖς παισὶ τὸ ἀνενδεὲς τῶν τροφῶν παράσχῃς. καὶ τῆς
ἐν τῇ πόλει οἰκήσεως τὸ ἀσφαλές. ἀλλ᾽ αἰσχυνόμενος
ἐπὶ τὸ βάρβαρον ἔχειν γυναῖκα. τοῦτο δὲ ἀποδέδωκε
πρὸς ἐκεῖνο. ἔνθα φησὶν ὁ ἰάσων, ἀλλ᾽ ὡς τὸ μὲν μέγι-
στον οἰκοῖμεν καλῶς. καὶ τὰ ἑξῆς. Οὐκ εὔδοξον.) οἷ-
ον ἀδοξίαν ἡγοῦ τὸ μέχρι γήρως βαρβάρῳ συνοικῆ-
σαι. καὶ ἐσπούδασας ἑλληνικοῖς γάμοις τὴν προτέραν
ἁμαρτίαν καλύψαι. τουτέστιν εἰ μοι μέχρι γήρως συ-
νῴκεις ἀδοξία σοι προσετρίβετο. οἷον αἰσχύνην ἡγήσω
διὰ τέλους ἀνὴρ βαρβάρου γυναικὸς καλεῖσθαι.
Λυπρὸς εὐδαίμων.) ἀντὶ τοῦ λυπηρὸς κατὰ ἐλλειψιν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ η, ὡς καὶ τὸ δοῦλος δύηλος ὢν παρὰ τὴν δύην ὃ σημαίνει τὴν ταλαιπωρίαν. Μή δ' ὄλβος ὅστις.) οὐκ ἂν φησιν εὐξαίμην τοιαύτην μοι εὐδαιμονίαν γενέσθαι δι' ἧς ἂν ἕτεροι λυπηθῶσιν. καθάπερ καὶ ὁ σὸς νῦν ὄλβος λυπεῖ τὴν ἐμὴν φρένα. οἷον οὐ βούλομαι εὐδαιμονίζεσθαι λυπουμένους κατὰ ψυχήν. τοῦτο δὲ εἴπε πρὸς τὸν ἰάσονος λόγον ἀντιτεινομένη. παρ' ὅσον αὐτὸς ἔλεγεν ἐπὶ τῷ συμφέροντι αὐτῆς τε καὶ τῶν παίδων. εἰς τὸν γάμον προεληλυθέναι κατὰ τῆς γλαύκης. Οἶσθ' ὡς μετεύξῃ.) τοῦτο κατ' ἐρώτησιν. οἶσθα φησὶν ὡς σε ἔδει με τεύξασθαι, ἵνα δόξῃς τὴν εὐχὴν φρονίμως ποιεῖσθαι. νῦν γὰρ εὐήθη λόγον εἴρηκας. ὥστε τὰ χρηστά σοι λυπηρὰ φαίνεσθαι. μὴ δὲ τὴν εὐτυχίαν νομίζεσθαι δυστυχίαν.

Ἄλλως. οἶσθ' ὡς μετεύξῃ καὶ τοῦτο ποιήσασα σοφωτέρα γένῃ. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος.) μέμφεται οὖν αὐτῆς τὴν εὐχήν. εἰ θέλεις φησὶ σοφωτέρα εἶναι, μετάθου τὴν προτέραν εὐχήν. καὶ εὔξαι μὴ δέ ποτε τὸ χρηστόν σοι λυπηρὸν φαίνεσθαι. Γαμοῦσα καὶ προδοῦσα.) σεσημείωται τὸ γαμοῦσα. ἔδει δὲ εἰπεῖν ἄρα τοιοῦτον ἔργον ποιήσασα. οὐ γὰρ ἐφ' ἑαυτῆς ἔλεγεν. ἐπεὶ εἶπεν ἂν γαμουμένη. ἀλλὰ τὸν ἰάσονος λόγον ἐφ' ἑαυτῆς μετέστρεψεν. γαμεῖ μὲν γὰρ ὁ ἀνήρ, γαμεῖται δὲ ἡ γυνή. Οὐ κρινοῦμαι.) ἀντὶ τοῦ οὐκ ἀποκρινοῦμαι περὶ τῶν τοιούτων οὐδὲν πρὸς σέ. μεθίημι δὲ τούτων τὰ πολλά. Σύμβολα,) οἱ ἐπιξενούμενοί τισιν, ἀστράγαλον κατατέμνοντες θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος. θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις. ἵνα εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἥμισυ ἀστραγάλιον, ἀνενεοῦντο τὴν ξενίαν. εὔβουλος ξουθῷ. τί ποτ' ἐστὶν ἅπαν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ διαπεπρισμένα ἡμίσεως· ἀκριβῶς περὶ εἰς τὰ σύμβολα. οὕτως ἑλλάδιος. Κακοῦ γὰρ ἀνδρὸς.) παροιμία ἐστίν· ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα. σοφοκλῆς ἐν αἴαντι μαστιγοφόρῳ. Ἀκόρεστά τε νείκη.) μὴ δὲ εἰς νείκη μὴ δὲ εἰς ὀργὰς καὶ εἰς φιλονείκους λόγους καὶ ὀργῆς κινητικούς. Νείκη.) τὰ νείκη κατ᾽ εὐθεῖαν πληθυντικὴν εἴρηται, τουτέστι τὰς μάχας καὶ τὰς φιλονεικίας ἀπαύστους. Αἰρῆ.) πορθῇ τῷ ἔρωτι. Ἐξώπιος.) ἀντὶ τοῦ ἐφεστηκὼς αὐτῆς· ἔξω τῶν ὀφθαλμῶν τῆς κόρης ὤν· ὥς τε σ᾽ ἀρνεῖσθαι· ὥστε μεταμεληθῆναί σε ἐπὶ τῷ γάμῳ. Ἔρωτες.) τοῦτο ὁ χορὸς λέγει περὶ τῆς μηδείας ἐρώσης τοῦ ἰάσονος. εὐχόμενος μὴ τοιοῦτον ἔχειν ἔρωτα. ἐκ γὰρ τῶν τοιούτων ἐρώτων, ταραχαὶ τοῖς ἀνθρώποις συμβαίνουσιν. Μὴ δ᾽ ἐπότ᾽ ὦ δέσποινα.) τὸ ἑξῆς. μηδέποτε ὦ δέσποινα ἐκ χρυσέων τόξων ἐπ᾽ ἐμοὶ ἐφίης ἄφυκτον ὀϊστὸν, ἱμέρῳ χρίσασα. μὴ ποιήσῃς τοιοῦτον ἔρωτα, ἐμπεσεῖν εἰς ἐμὲ ὦ ἀφροδίτη. οἷον καὶ εἰς τὴν μήδειαν. Ἀπτολέμους.) ἐν τῷ εἶναι, ἀπτόλεμος. σεβίζουσα δὲ, προκρίνασα. προτιμῶσα. Ἄλλως.) κρῖναι τὰ λέκτρα τῶν γυναικῶν. ἢ ὅτι σεβίζασα τὰς ἀπολέμους εὐνὰς ὅ ἐστι παρασκευάζουσα ἀπολέμους. ἤγουν ἀφιλονείκους. οἷον. τιμάτω δὲ ἡ ἀφροδίτη τὰς εὐνὰς τὰς ἀπολέμους. καὶ ἐάτω αὐτὰς στασιάζειν. ἢ ὀξύφρονα τὴν ἀφροδίτην φησίν· ἐπεὶ ὀξεῖς οἱ ἔρωτες αὐτῆς καὶ ὑπόπτεροι.

Μόχθων οὐκ ἄλλος.) τῶν μόχθων τῶν ἐν ἀνθρώποις οὐδεὶς ἄλλος μείζων, ἢ τὸ στέρεσθαι τῆς πατρίδος. μόχθων δὲ λέγει τῶν συμφορῶν. ὅμηρος ἐκ τοῦ ἐναντίου. ὡς οὐδὲν γλύκιον γῆς πατρίδος ἢ δὲ τοιούτων. τοῦτο δὲ αὐτὸ τὸ στέρεσθαι τῆς πατρίδος ὅτι πάνδεινόν ἐστιν

αὐταῖς ὄψεσιν ὁρῶμεν· ἀπὸ τῆς μηδείας καὶ οὐκ ἐξ ἀκοῆς
τοῦτο μανθάνομεν. Σοφοῦ πανδίονος.) εὐεπίφορός
ἐστιν ὁ εὐριπίδης εἰς τὸ λέγειν σοφὸς καὶ σοφὴ πρὸς μη-
δὲν χρήσιμον παραλαμβάνων τὸ ὄνομα. κατὰ τί γὰρ
σοφὸς ὁ πανδίων γίνεται· οὐ γὰρ δὴ ὠνόμασαι τοιοῦτον
αὐτοῦ τὸ ἔργον· ἀλλ' οὐ δὲ πανουργίας ἐχόμενον ὥστε
διὰ τοῦτο λέγεσθαι αὐτὸν σοφόν· ἀλλ' ὥσπερ παραπλη-
ρώματι χρῆται τῇ λέξει. Αἰγεῦ πόθεν.) λέγουσι τὸν
αἰγέα εἰς τροιζῆνα ἐληλυθέναι· διὰ τὸ δεδοικέναι πεζῇ
ποιεῖσθαι τὴν πορείαν. σίνιδος κατ' ἐκείνους τοὺς χρόνους
ἐπιπολάζοντος. νεόφρων δὲ εἰς κόρινθον τὸν αἰγέα φησὶ πα-
ραγενέσθαι πρὸς μήδειαν, ἕνεκα τοῦ σαφηνισθῆναι αὐ-
τῷ τὸν χρησμὸν ὑπ' αὐτῆς τῆς μηδείας γράφων οὕτως·
καὶ γάρ τιν' αὐτὸς ἦλθον λύσιν μαθεῖν σοῦ πρίν· θεῖαν γὰρ
ὄσαν ἣν ἔχρησέ μοι φοίβου πρόμαντις, συμβαλεῖν
ἀμηχάνως, οἱ δ' εἰς λόγους μολεῖν γὰρ ἤλπιζον μαθεῖν.
Δεῦρ' ἀεί.) ἀντὶ τοῦ μέχρι νῦν ἄπαις ὑπάρχεις. τὸ δὲ
ἀεὶ ἀντὶ τοῦ ἕως τοῦ νῦν· σεσημείωται δὲ ἐπεὶ τὸ δεῦρο
χρονικὸν εἶπεν· ἢ οὕτως· ἀντὶ τοῦ ἕως τοῦ χρόνου τούτου
ἄπαις τυγχάνεις; τὸ δὲ ἀεὶ εὐριπίδης ἐπὶ χρόνου τάσ-
σει· ἀντὶ τοῦ ἕως τοῦ δεῦρο· νῦν δὲ ἐπὶ χρόνου· καὶ ση-
μείωσαι. Τί δ' ὀμφαλὸν γῆς.) τὸ μέσον τῆς οἰκουμέ-
νης τὸ μαντικόν. ἐστάλης δέ. ἐπεδήμησας ἐνδημεῖς. οὐκ
ἐς μὲν εὐνῆς. πρώτην ἔγημε λίτην τὴν ὅπλητος. δευτέ-
ραν χαλκιόπην τὴν χαλκώδοντος. τρίτην τὴν μήδειαν.
Μάλις ἔπη τοι.) σοφωτέρας διανοίας χρείαν ἔχει τὰ
ἤδη λεγόμενα ῥήματα. Ἀσκοῦ με.) χρησμὸς δοθεὶς
τῷ αἰγεῖ οὗτός ἐστιν. ἀσκοῦ τὸν προύχοντα ποδεῶνα φίλ-
τατε λαῶν, μὴ λῦσαι, πρὶν γουνὸν ἀθηναίων ἀφικέσθαι
αὐτοῦ οὖν τῆς γαστρὸς. πόδα δὲ τὸ μόριον παρ' ὅσον ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ ποδεὼν τοῦ ἀσκοῦ προέχει. λέγει οὖν ὅτι ἔχρησέ μοι μὴ συνελθεῖν ἑτέρᾳ πρὶν ἀποβῆναι τῆς πατρίδος. τοῦτο γὰρ αἰνίττεται ὅπερ αὐτὸς οὐ συνίησιν. ἀσκὸν τοίνυν λέγει τὸν περὶ τὴν γαστέρα τόπον. ἀρχίλοχος. καὶ πεσεῖν δρηστὴν ἐπ' ἀσκόν. μηρούς τε. μηροῖς. δρηστὴν λέγων, οἷα δράσαντά τι. ποδεῶνα δὲ εἰώθασιν λέγειν τὸ τοῦ ἀνδρὸς αἰδοῖον. Τρίβων εἰς τὰ τοιάδε.) ἐν τριβῆς ὢν παρατετριμμένος τοῦ τὰ τοιαῦτα λέγειν. τουτέστι τοὺς χρησμούς. Δορυξένων.) οἱ κατὰ τὸν πόλεμον πρὸς ἀλλήλους φιλίαν πεποιηκότες. ὡς γλαῦκος καὶ διομήδης. Τί χρῆμα δράσασ'.) σεσημείωται ὁ στίχος. ὅτι καὶ ἐν πολιχάσιν ἐστίν. ὧν ἀρχημήδεια πρὸς μὲν δώμασι τυραννικοῖς. Καρτερεῖν.) ἀντὶ τοῦ κρατεῖν καὶ ἀντέχειν. καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. ἀρχίλοχος. ὁ δ' ἄσινής τε καρτερὸς μηλοτρόφος. φησὶν ὅτι τῷ λόγῳ μὲν προσποιεῖται. τῷ δὲ ἔργῳ οὐ θέλει κρατεῖν καὶ ἀντέχειν. Εἰς τοῦ γὰρ δὴ φροῦδός εἰμι.) κατὰ τοῦτο τὸ μέρος τῆς παιδοποιίας ἔρημός εἰμι. ἢ τὸ φροῦδον ἀντὶ τοῦ πρόθυμον καὶ ἀσχφήνιστον. οὕτως εἰς τὸ παῖδας ποιῆσαι. πάνυ ἐσπούδακα καὶ πρόθυμός εἰμι. ἔστι δὲ κυρίως ὁ προωδευκώς. Ἀναίτιος.) ἀνέγκλητος ἄμεμπτος. οὐ δὲ γὰρ βούλομαι φησὶ παρὰ τῶν περὶ τὸν κρέοντα ἀπαχθῆναι, ὡς ἑαυτός σε ἀπαγαγών. Πελίου δ' ἐχθρός.) κατὰ κοινοῦ τὸ ἐχθρός. ὁ δὲ νοῦς σοὶ μὲν θαρρῶ καὶ πεπίστευκα. ἀλλὰ φοβοῦμαι μὴ ἄρα ὁ τοῦ πελίου δόμος καὶ ὁ κρέων ἐχθροί μου ὄντες βιάσωνταί σε. καὶ παρὰ προαίρεσιν προέσθαι με ἐν αὐτοῖς. ὅθεν ὅρκωσε. τοῦτο βουλομένη πιστώσασθαι. ὡς οὐκ ἄν με προῇ. Τούτοις δ' ὁρκίοισι μέν.) ἐγκατειλημμένος ἐμπεπλησμένος. ἀντὶ τοῦ μετὰ

βίας ἄγουσιν· τὸ δὲ ἑξῆς τούτοις ἄγουσιν οὐ μεθεῖσο τούτοις δ᾽ ἐν ὅρκοις ζυγὰς, ἑνοῦς· τούτοις δὲ τοῖς ζυγεῖς ἄγουσί με καὶ βιαζομένοις, οὐκ ἂν ἐκδοίης ὅρκοις προκατειλημμένος· διὸ βούλομαί σε ὀμνύειν· ἐὰν γὰρ ὀμόσῃς μοι τοῖς περὶ τὸν κρέοντα βουλομένοις με ἄγειν, ἀπὸ τῆς ἀττικῆς οὐκ ἂν μεθείησοι ὃν ἐξαιτουμένοις με ἄγειν, οὐκ ἂν δοίης· μὴ ὀμόσας δὲ φίλος γένοιο αὐτοῖς διὰ τοῦ ἐπικηρυκεύματος· ἔμελλεν εἰπεῖν, ἀντὶ τοῦ ἐπικηρυκεύμασιν· λείπει δὲ ἡ διά· ἵν᾽ ᾖ πᾶς ὁ λόγος· πέποιθα μὲν ἐν οἷς λέγεις μοι· ὁ δὲ τοῦ πελίου δόμος καὶ ὁ τοῦ κρέοντος ἐχθροί εἰμοι σιν· τούτοις οὖν βουλομένοις ἐξαιτεῖσθαί με, οὐκ ἂν ἐκδοίης ὀμόσας· καὶ διὰ λόγων μόνων συνθοῖο, ἴσως ἂν ἐκείνων γένοιο φίλος· καὶ διὰ τὰ ἐπικηρυκεύματα ὅ ἐστι τὰς πρεσβείας ἐξαιτουμένοις με ἐκδοίης ἂν αὐτοῖς. Λόγοις δὲ συμβάς.) εἰ δὲ ἔλθοις εἰς τὴν σύμβασιν τῶν ἐμῶν λόγων· καὶ συνθήκας ἀνωμότας ποιήσαιο πρὸς ἐμέ· εὖ οἶδα ὅτι μοι φίλος γένοιο καὶ ἐπίκουρος ἀσφαλής· καὶ οὐκ ἂν τὴν πρὸς ἐκείνους φιλίαν προκρίναις· ἐπικηρυκεύματα γάρ εἰσι τὰ διὰ τῶν κηρυγμάτων γιγνόμενα πρὸς φιλίαν· κεῖται οὖν ἡ λέξις ἀντὶ τοῦ τῆς φιλίας· τῇ δὲ εὐθείᾳ ἀντὶ δοτικῆς κέχρηται· ἔδει γὰρ εἰπεῖν καὶ τοῖς ἐπικηρυκεύμασιν οὐκ ἂν πίθοιο· δίδυμος δέ φησιν ἐλλείπειν τὴν διά· διὰ τὰ ἐπικηρυκεύματα. Ἐμοί τε γάρ.) καὶ ἐμοί φησιν ἀσφαλές ἐστι πρὸς τὸ μηδεμίαν μέμψιν ἔχειν παρ᾽ αὐτῶν· τὸ τὴν σκῆψιν ταύτην προβάλλεσθαι, τὸ φθάσασ᾽ ὀμωμοκέναι μὴ προδοῦναί σε· καὶ τὸ σεσῶσθαί σε βεβαιότερον ἔσται τὸ σκῆψιν ταύτην προΐσχον τί μοι· σκῆψιν δὲ λέγει τὸ ὀμωμοκέναι αὐτῇ· τὸ δὲ ἐξηγοῦ θεοὺς ἀντὶ τοῦ ὀνόμαζε τοὺς θεοὺς οὓς βούλει με ὀμόσαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀλλά σ' ὁ Μαίας) ὁ χορὸς ἐπεύχεται Αἰγεῖ ἐπὶ τῇ ἐπαγγελίᾳ. πομπαῖον δὲ τὸν Ἑρμῆν λέγει ἐπεὶ παραπόμπιμος. καὶ εἰρηνικὸς ὁ θεός. οἱ δὲ ὁδεύοντες μάλιστα εἰρήνης δέονται. Ὦ Ζεῦ) τοῦτο μόνον ἡ Μήδεια αὐτὴ καθ' ἑαυτὴν ἀναφωνεῖ τῇ δικαιοσύνῃ καὶ τοῖς λοιποῖς θεοῖς ὡς εὐχαριστοῦσα. τὰ δὲ λοιπὰ πρὸς τὸν χορόν. Ἢ μάλιστ' ἐκάμνομεν) καθὸ μέρος ἐδυστύχουν ἀλλ' ἔχουσα πρὸς ὃν καταφύγω, νῦν προσώρμισα. Φίλαι) φίλας λέγει τὰς ἀπὸ τοῦ χοροῦ. πρὸς αὐτὰς γὰρ νῦν διαλέγεται. Εἰς ὁδὸν γὰρ) ἀντὶ τοῦ εἰς τὸ τῆς νίκης ἀρχὴν ἐληλύθαμεν. Ἐκ τοῦ δ' ἀνάψομεν) παυσόμεθα τῶν ταρασσόντων κακῶν. ὅταν γὰρ ἀπόγεια δεθῇ παύονται τῶν κυμάτων οἱ ναῦται. Λέξω δὲ μὴ πρὸς ἡδονήν) μὴ νομίσῃς φησὶν ἡδέα καὶ προσηνῆ εἶναι, τὰ μέλλοντά σοι ῥηθῆναι. ἔστι γὰρ ἡδέα μὲν εἰς ἀκοὴν ἐλθεῖν. ἀναγκαῖα δὲ ὅμως. ὡς εἰ ἔλεγεν οὐκ ὤφελον μὲν ὑμῖν τοιαῦτα ἐπαγγέλλειν. οὐδ' οὕτω πρᾶξαι καλῶς. ὅμως ἐπειδὴ εἰς τοῦτο τύχης ἤλθομεν, ἀκούσατε τὰ βεβουλευμένα, καίπερ ἀηδῆ ὄντα. αἰτήσομαι δέ φησιν αὐτὸν τοὺς παῖδας ἐᾶσαι ἐνταῦθα μένειν. καὶ αὐτούς φησι συγκατακτενῶ. ἀλλ' ἵνα πρότερον διακονήσωσί μοι πρὸς τὸν τῆς Γλαύκης θάνατον. Τὴν δὲ μὴ φυγεῖν χθόνα) γράφεται ἐνθένδ' ἦν. ἵν' ᾖ ἀντὶ τοῦ ὡς δή. ἐνταῦθα μέντοι. μέχρι μὲν τούτου ἀποτερματίζω σοι καὶ ἵστημι τὸν λόγον σιωπῶντα. Ἐπείπερ ἡμῖν) τὸ ἑξῆς ἐπείπερ ἡμῖν τόνδ' ἐκοινώνησας λόγον, δρᾶν σ' ἀπεννέπω τάδε. ἀπεννέπω δὲ καὶ σὲ ὠφελοῦσα καὶ τοῖς νόμοις βοηθοῦσα. Εἴπερ φρονεῖς γ' οὐδὲ δεσπότας) δεσποίνας ἑαυτὴν λέγει οὐχ ὡς θεραπαινῶν ὄντων τῶν ἀπὸ τοῦ χοροῦ. ὅπου κατ' ἀρχὴν τοῦ λόγου φίλας αὐτὰς ὀνομάζει. ἀλλὰ τὸ δεσπότας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀντὶ τοῦ τοῖς ἄρχουσι καὶ τοῖς κρατοῦσιν. τὸ δὲ πληθυν-
τικὸν ἀντὶ τοῦ ἑνικοῦ. θέλει γὰρ εἰπεῖν ἐμοὶ τῇ κρατούσῃ
καὶ γὰρ βασιλέως θυγάτηρ ἦν. καὶ γυνὴ βασιλέως τοῦ
ἰάσονος. καὶ σώζει τὸ εὐγενὲς φρόνημα. μὴ τοίνυν θαυ-
μάζωμεν εἰ κορίνθιαι οὖσαι, δέον τῷ τοῦ κρέοντος μέρει
προσθέσθαι, ταύτην αἱροῦνται συγκρύπτειν. ἐλεύθεραι γὰρ
οὖσαι τὸ παριστάμενον αὐταῖς δίκαιον προτιμῶσιν. ἔπει-
τα καὶ ἀεὶ ὁ χορὸς ἐν προσώπῳ τοῦ ποιητοῦ εἰσάγεται
τῷ δικαίῳ προστιθέμενος. Ερεχθεΐδαι τὸ παλαιόν.)
μακαρίζει αὐτοὺς ἀθηναίους ὡς εὐδαίμονας. καὶ σο-
φίας πάσης ἐπιστήμονας. ἱερούς τε καὶ μύστας. ὅτι μέλ-
λει τὰ κατὰ τὴν μήδειαν ἐπάγειν μιάσματα. τῇ γὰρ
παραθέσει βούλεται αὐτὴν ἀποτρέψασθαι τοῦ κατὰ
τῶν παίδων φόνου. οὕτω γὰρ ἐν τοῖς ἑξῆς ἐπάγει, ὅτι
οὐκ εἰκὸς τοὺς οὕτως ἱεροὺς καὶ σοφοὺς ἄνδρας, σὲ
μιαιφόνον γινομένην ὑποδέξασθαι. Ερεχθεΐδαι.)
ἱκανὸν ἐγκώμιον ὁ χορὸς καταβάλλεται τοὺς ἀθηναί-
ους δικαίους καὶ θεοσεβεῖς ἀποκαλῶν. ἀποτρέπων τῆς
πράξεως τὴν μήδειαν. καὶ οὐκ ἂν οἱ τοιοῦτοι τὴν τοιαῦ-
τα δράσασαν δέξαιντο. χώρας ἀπορθήτου. ἡ σύντα-
ξις ἀπὸ ἀπορθήτου χώρας. ἀπόρθητον δὲ αὐτὴν εἶπεν
διὰ τὰς θρυλλουμένας πολλὰς νίκας αὐτῶν. αὐτοὶ γὰρ
ἀπόρθητοι καὶ ἀήττητοι διετέλεσαν. τὸ δὲ φερβόμενοι
σοφίαν ἀντὶ τοῦ προσλαμβάνοντες. καὶ παιδευόμε-
νοι πᾶσαν σοφίαν. οὕτω δὲ εἶπεν ὡς ἀναγκαίας αὐ-
τῆς οὔσης τῆς παιδεύσεως, καθάπερ ἄλλης τροφῆς.
Ενθάποθ᾽ ἁγνάς.) ὅπου λέγεται ὑπὸ τῶν μουσῶν τὴν
ἐν μουσικῇ ἁρμονίαν γεγενῆσθαι. παρόσον οἱ σοφίας
ἐν τοῖς, καθαρώτερον τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς τὰ θεῖα
φαντάζονται. μονονουχὶ καὶ θεοῖς αὐτοῖς ὁμιλεῖν πι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στευόμενοι· ἢ ὡς τοῦ παρ' αὐτοῖς ἀέρος φύσιν ἔχοντος φέρειν ἀεὶ σοφοὺς ἄνδρας· τουτέστιν ἀεὶ βιοτεύειν τῇ παιδεύσει· ἁπλῶς καὶ εὐμαρῶς ταύτην μεταχειριζόμενοι. ἀπὸ δὲ τοῦ παρ' αὐτοῖς ἀέρος εἰς τοῦτο πεφυκότος. ἵνα τὸ μὲν βαίνοντας ἀντὶ τοῦ βιοτεύοντες· τὸ δὲ αἰθέρος, ἀντὶ τοῦ ἀέρος ἐκδεξώμεθα· ἔνιοι δὲ λέγουσιν Εὐριπίδην τὰς μούσας λέγειν ἁρμονίας θυγατέρας· ἀγνοήσαντες· οὐ γὰρ τοῦτο λέγει· ἀλλ' ὅτι αἱ μοῦσαι πρῶτον ἐς τὴν ἀττικὴν ἐλθοῦσαι ἁρμονίαν ᾖδον καὶ τὴν μελῳδίαν· διὰ γὰρ τοῦ φυτεῦσαι τοῦτο παρίστησιν νῦν· ποτὲ δὲ τοῦ τὰς μούσας ἐν τῇ ἀττικῇ ἱδρῦσθαι· ἀρκεῖ τὰ παλαιφάτου· ὁ δὲ λόγος ἔνθα φησὶν ἐν ταῖς ἀθήναις, λέγονται αἱ μοῦσαι γεννῆσαι καὶ καταστήσασθαι πάσης σοφίας ἁρμονίαν· λέγει δὲ τὴν παίδευσιν· παρὰ τὸ ἁρμόζεσθαι καὶ ἑνοῦσθαι τῇ ψυχῇ ταύτην· ἢ ὅτι συγκεχυμένας ψυχὰς, αὕτη ἐπεισελθοῦσα εἰς ἁρμονίαν καὶ εὐστάθειαν εἰσάγει, σωφρονεῖν παρέχουσα.

Τοῦ καλλινάου) νῦν τοῦ ἐν ἀττικῇ μνημονεύει· ἔστι γὰρ καὶ ἕτερος ὁμώνυμος ἐν Βοιωτίᾳ· εἰσὶ δὲ καὶ ἕτεροι καθά φησι πολέμων ἐν τῷ περὶ ποταμῶν· γράφων οὕτως· ἐν ἀθήνησί τε κηφισὸς· καὶ ἐν σικυῶνι καὶ ἐν ἄργει. Παρέδρους,) συνοίκους· κατὰ κοινοῦ τὸ κλήζουσι· τουτέστι λέγουσι δὲ τὴν ἀφροδίτην καὶ διηνεκῶς ἐνταῦθα ποιεῖν· παρατιθέναι δὲ τοῖς ἑαυτοῖς πλοκάμοις πολύν τινα κόσμον· καὶ οὕτως δὴ ἐρασμίαν ἑαυτὴν παρασκευάσασαν, ἐξαποστέλλειν τοὺς ὑπὸ πᾶσαν σοφίαν ὁδηγὸς ἔρωτας· ἐμφαίνει δὲ διὰ τούτων· ὡς ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οἱ ἀθηναῖοι εἰκότως τὸν κατὰ πάντων ἔχουσι τῆς παιδεύσεως στέφανον· οἷον ὡς εἰ ἔλεγεν· τοὺς δὲ ἔρωτας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχοντες πρὸς πᾶσαν σοφίαν περιτίθενται τὸν πολυανθῆ τῆς παιδεύσεως στέφανον, μόνοι πειθόμενοι πάντας νικᾶν τῇ παιδεύσει· ἀεὶ γὰρ λέγουσι τὴν ἀφροδίτην στεφανοῦσαν τούτους εὐώδει ῥοδίων πλόκῳ πέμπειν αὐτοὺς τῇ σοφίᾳ παρέδρους. Παρέδρους.) συνοίκους· παρ' ὅσον οὐκ ἐκτὸς εἰσὶν ἔρωτος, οἱ περὶ σοφίαν καὶ πᾶσαν ἀρετὴν διακείμενοι. πῶς οὖν ἱερῶν. ἢ μεταξὺ τῶν ἱερῶν κειμένοις ποταμῶν. τῷ προτέρῳ δὲ διαζευκτικῷ συνδέσμῳ τῷ ἢ. τὸ ἢ ἄρθρον ἔξωθεν προσδεκτέον· τουτέστιν ἢ ἡ πόλις. ἢ ἡ χώρα. ὁ δὲ νοῦς. πῶς ἂν οὖν σε δέξαιτο ἡ πόλις αὕτη. ἡ ἱεροὺς ἔχουσα ποταμούς. ἢ καθαροὺς παντὸς μολίσματος. ἢ ἡ τῶν κατ' αὐτὴν ἀνδρῶν προσφιλεστάτη ἡμῖν πόλις. παιδοκτόνον γενομένην καὶ ἀνοσίαν τῷ κατὰ τῶν φιλτάτων φόνῳ. Η φίλων.) ἀντὶ τοῦ προσφιλεστάτων καὶ φιλοξενωτάτων οὐκ εἰκῇ δὲ τοῦτο· ἀλλ' ἵνα ἐνδείξηται πρὸς ἀποτροπὴν καὶ ὑπερβάλλουσαν ἀνοσιότητα τοῦ φόνου, ὡς καίπερ φιλόξενοι πεφυκότες πρὸς σὲ τοιαύτην γινομένην ἀξενώτατοι γενήσονται. Πόμπιμος.) ἤγουν τὴν ἐκπεμφθεῖσαν ὑποδεχομένη οὐκ αὐτὴ πόμπιμος οὖσα. Πλαγάν.) τὴν πληγὴν φησὶ τῶν τέκνων καὶ τὸν φόνον, μὴ προπετῶς δράσῃς. ἀλλὰ πρότερον μεθ' ἡμῶν ἢ ἄλλων τινῶν σκέψαι εἰς τοῦτο δρᾶσαι σ' ἐχρῆν. Πόθεν θράσος.) τίνι λογισμῷ χρησαμένη· τουτέστι τίς σε ὁ τῶν πάντων πείσας τοσοῦτον θράσος ἐνθεῖναι τῇ σαυτῆς ψυχῇ. ἢ τῇ δεξιᾷ ὁπλιζομένη κατὰ τῶν φιλτάτων παίδων παρασκευάσαι. Καρδίᾳ τε λήψῃ.) ἀντὶ τοῦ κατὰ τὴν σαυτῆς καρδίαν καὶ τὸν λογισμὸν προσλήψῃ· χήσεις. Τέγξαι χέρα φόνῳ.) τὸ ἑξῆς φόνον χεῖρα φονίαν. εὖ οἱ δὲ φησὶ ὅπου καρ-

τερήσεις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κήσεις τῇ ἐργάσει τοῦ φόνου, τέγξαι μολῦναι τὴν χεῖρα αἵματι τῶν παίδων γονυπετούντων σε. Ἥκω κελευσθεὶς.) ἥκω φησὶν ὑπὸ σοῦ κελευσθεὶς. καὶ γὰρ οἶδα δυσμενής σε. ὅμως τούτου οὐκ ἂν ἁμάρτοις τοῦ ἐμὲ ἐλθεῖν. ἰδοὺ φησὶ καίπερ δυσμενῶς ἔχουσα πρὸς ἐμὲ τυγχάνεις τῆς ἐμῆς παρουσίας. καὶ κελευούσης οὐκ ἀπειθῆσα. Τὰς δ' ἐμὰς ὀργὰς φέρειν.) αἰτοῦμαι φησὶ ἃς πεποίημαι πρὸς σὲ μετ' ὀργῆς ὕβρεις. ῥαδίως φέρειν μὴ μνησικακεῖν ὑπομιμνησκόμενον τῆς πρότερον ἡμῶν φιλίας. καὶ ὧν ἐπράξαμεν πρὸς ἀλλήλους εὐεργεσιῶν. Οὐκ ἐστὶ μέν μοι.) ταῦτα φησὶ πρὸς ἐμαυτὴν διείλεγμαι ὦ ἴασον. ὅτι παῖδας ἔχω τοὺς ἐκ σοῦ. καὶ οὐ δεῖ με λυπεῖσθαι τῷ νυνὶ γάμῳ. εἶθ' ὅτι καὶ φυγάδες, ἐσμὲν ἐκβεβλημένοι τῆς θετταλίας. καὶ διὰ τοῦτό μοι δεήσει τὴν ἐνταῦθα διατριβὴν ἀσπάζεσθαι, ἐρήμους οὖσαν φίλων, ἐγὼ ἐμαυτῇ διὰ λόγων ἐπετίμησα ὑποκρίνεται δὲ νῦν καὶ μετ' εἰρωνείας ταῦτα λέγει. Παριέμεσθα.) παυόμεθα. παραπεμπόμεθα οἷον παραιτοῦμαι. συγχωρῶ. Λάβεσθε χερός.) τοῦτο ἠρέμα καὶ καθ' ἑαυτήν. ὡς ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ φόνου. φεῦ μοι φησὶ τῶν κακῶν. ὡς ἀλγῶν τὴν ψυχὴν ἐννοοῦσα τὸ κεκρυμμένον ἐν τῇ ἐμῇ ψυχῇ κακόν. ὅπου γε τοι ἀλγεῖ τὴν ἐμὴν ψυχὴν τῷ πάθει. ἀλλὰ διὰ τὸ προτεθυμεῖσθαι ἀμύνασθαι τὸν ἴασονα. δύναται δὲ καὶ εἰς ἐπήκοον τοῦ ἰάσονος λεγόμενον πρὸς τοῦτον. ὅτι ἀγωνιῶ καὶ πάνυ τετάραγμαι. ἐκεῖνο ἐνθυμουμένη τῶν κεκρυμμένων καὶ ἀδήλων ἀνθρώποις πραγμάτων εἰ ζήσονται οὗτοι σὺν ἡμῖν πολὺν χρόνον. ὡς ἕτερον μὲν αὐτὴν νοεῖν ὅπερ ἔμελλε δρᾶν ἑτέρως δὲ ἐκδέχεσθαι τὸν ἴασονα. ὅτι ἄρα ἄδηλα τὰ κατ' ἀνθρώπους κεκρυμμένα. Ὡς ἐννοοῦ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καί.) οὐκ ἀναγκαῖον ἦν ταῦτα λέγειν. φαντασίαν γὰρ
παρέχει τῷ ἰάσονι ὡς κακοτεχνοῦσα. ἀλλ' ἕνεκα τῶν κα-
κῶν ἀνθρώπων τὰ τοιαῦτα παρεγχωρεῖ λέγειν. Ἆρ' ὦ
τέκν' οὕτω καὶ πολὺν ζῶντες χρόνον.) καὶ τοῦτο κατὰ
διπλὴν ἔννοιαν. ἣν ὁ ἰάσων ὑπολαμβάνει οὐχ ὑγιῶς,
καὶ ἣν αὐτὴ κρύπτει ἀληθεύουσα. Ὡς ἀρτίδακρυς.)
ἀντὶ τοῦ προσφάτως δακρύουσα. χρὴ δὲ νοεῖν ὅτι ἐδά-
κρυσεν μὲν ἀλγοῦσα τὴν ψυχὴν ὅτι πρὸς τοῦτο τῆς τύ-
χης κατήντησε, καὶ νῦν ἀναγκάζεται δρᾶσαι. ὁ δὲ ἰάσων
ᾤετο αὐτὴν δακρύειν οἰκτείρουσαν τὰ παιδία ἐπὶ τῷ
τοῦ πατρὸς ἐστερῆσθαι. Χρόνῳ δὲ νεῖκος.) διὰ πολ-
λοῦ φησι χρόνου τῆς πρὸς τὸν πατέρα ὑμῶν φιλονεικί-
ας ἀποστᾶσα, καὶ νῦν διαλλαττομένης πλήρης γέγο-
να δακρύων. Τὰ πρῶτ' ἔσεσθαι.) πιθανῶς κέχρηται
τῇ τροπικῇ λέξει. ἐμφαίνων αὐτὸν κέρδους ἕνεκα καὶ τοῦ
τοὺς ἐκμηδείας παῖδας ὠφελῆσαι τοῦτον ὡς πραγμα-
τευσάμενον ἑαυτῷ τὸν γάμον. τὸ γὰρ παρεμπολᾶν ἀντὶ
τοῦ κερδαίνειν τίθεται. οἷον ἄλλα γάμοις χρωμένου πα-
ρὰ τοὺς ὑπάρχοντας. ἢ τὸ πόσει ἀντὶ τοῦ πόσιος. δοτι-
κὴ ἀντὶ γενικῆς. παρεμπολοῦντος δὲ ἀντὶ τοῦ ὠνουμέ-
νου. πέφυκε γάρ φησιν τὸ θῆλυ γένος δυσμενῶς ἔχειν
τῷ ἀνδρὶ, ἕτερον ὥσπερ εἰπεῖν ἐμπορευομένῳ καὶ προσποι-
ουμένῳ γάμον ἑαυτῷ οἷον ἄλλοις χρωμένῳ γάμοις
παρὰ τοὺς ὑπάρχοντας. ἰδίως οὖν εἶπε πόσει ἀντὶ τοῦ
πόσιος. οἱ δὲ ὑποκριταὶ ἀγνοήσαντες γράφουσιν ἀντὶ
τοῦ πόσει ἐμοῦ. ὅπερ οὐ δεῖ. Ἀλλὰ τῷ χρόνῳ βουλήν.)
ἀλλὰ νῦν ὥσπερ ἐκ μετανοίας τὸ κάλλιστον αὐτὴ βουλεύει
τὸ δὲ ἑξῆς. ἔγνως δὲ τῷ χρόνῳ τὴν νικῶσαν βουλήν. ὁ δὲ
ἀλλὰ ἀντὶ τοῦ καὶ τουτέστι καὶ τὴν νικῶσαν βουλὴν
ἔγνως τῷ χρόνῳ. λέγει δὲ πεπαῦσθαι αὐτὴν τῆς πρὸς αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ὀργῆς. Τὰ πρῶτ᾽ ἔσεσθαι.) τὰ πρωτεῖα ἀπενέγκασθαι καὶ βασιλεύειν Κορίνθου ἅμα τοῖς ἐκ Γλαύκης τικτομένοις ὑμῖν ἀδελφοῖς. τὸ δὲ ἔτι κατ᾽ ἐπίτασιν. οἷον ἔτι μᾶλλον ὑμᾶς διαπρέψειν, συναπτομένους βασιλικῷ γένει. ἢ ὅσης ὑμῖν ἀξίας μετῆν ἐξ ἐμοῦ μόνου. Αὕτη τε χλωροῖς.) πάλιν εἰς τὴν αὐτὴν ἔννοιαν. ἔδει δὲ αὐτὴν μὴ δὲ κλαίουσαν εἰσάγεσθαι. οἰκεῖον τῷ προσώπῳ τούτῳ. ἀλλ᾽ ἐκφέρεσθαι τῇ ὀχλικῇ φαντασίᾳ. ποιήσας κλαίουσαν καὶ συμπάσχουσαν. ἀπιθάνως γὰρ τὴν τοιαύτην διαχειριζομένην τὰ τέκνα εἰσάγει. ἄμεινον δὲ Ὅμηρος. ὀφθαλμοὶ δ᾽ ὡσεὶ κέρα ἕστασαν. Οὐδὲν τέκνων τ᾽ ἔστι) δι᾽ οὐδέν, φησι δακρύω ἕτερον. ἐννοουμένη δὲ πῶς ἕξουσι τύχης οἱ παῖδες ἀναχωρησάσης ἐμοῦ. Γυνὴ δὲ θῆλυ κἀπί.) ἀσθενές φησι τὸ γυναικεῖον πέφυκε γένος πρὸς τὰς καταλαμβανούσας συμφοράς, ὡς ἕτοιμον εἰς δάκρυα. ἔτικτον αὐτούς. σύγγνωθί μοι φησὶ δακρυούσῃ. Ἔτικτον αὐτούς.) νῦν δὲ ὅτε ἐθάρρουν τοὺς παῖδας τὸ ἀσφαλὲς ἔχειν τοῦ ζῆν εἰς τοῦτο παρελθόντας ἡλικίας καὶ τῆς ἐν βρέφεσιν ἐπισφαλοῦς ἀνατροφῆς ἀπηλλαγέντας. καὶ λοιπὸν ἐσεμνυνόμην παῖδας ἡβῶντας ἔχειν, τότε δι᾽ ἕτερον ἀγωνιῶ, εἰ τὸ ἀσφαλὲς αὐτοῖς τῆς σωτηρίας ὑπάρξει, ὑπὸ μητρυιᾶς γινομένοις. τοῦτο γὰρ ἐμφαίνει. Εἰσῆλθέ μ᾽ οἶκτος.) ἐν γὰρ τῇ βραχείᾳ ἡλικίᾳ ἐν πλείονι ἀδείᾳ ζωῆς εἰσὶν οἱ ἄνθρωποι. Κἀμοὶ τάδ᾽ ἐστὶ λῷστα.) ἀντὶ τοῦ καλῶς ἔχειν κρίνω. μετὰ γνώμης ὑμνῶ σοῦ τε καὶ τοῦ Κρέοντος καὶ τῆς τούτου θυγατρὸς οἰκεῖν τὴν Κόρινθον. ἢ οὕτως. κἀμοὶ αὐτῇ συναρέσκει. Σὺ δ᾽ ἀλλὰ σήν.) τὸ ἑξῆς. ἀλλὰ τὴν γυναῖκα κέλευσον αἰτήσασθαι τοῦτο παρὰ τοῦ πατρός. τὸ τοὺς παῖδας μὴ ἀπελαθῆναι τῆς Κορίνθου. Εἴπερ γυναῖκα.) ἀντὶ τοῦ

φιλάνδρων. οἷον εἴπερ φίλανδρός ἐστι ταῦτά σοι παιδεύσεται. Α καλλιστεύεται.) ἅπερ προτιμᾶται καὶ κάλλιστα νομίζεται τῶν νῦν δώρων παρὰ τοῖς ἀνθρώποις. τὸ δὲ πολὺ πρός τι καλλιστεύεται. ἢ πολὺ ἀντὶ τοῦ πάνυ. Παῖδας φέροντας.) ἀλλ' ὅσον οὐδέπω φησὶ δεήσει τῶν θεραπόντων τινὰ ἅμα τοῖς παιδίοις ἀποκομίζειν τὰ δῶρα τῇ γλαύκῃ. Πατρὸς πατρὶ δίδωσι ἐκγόνοισιν οἷς.) ἤτοι ἀντὶ τοῦ γονεῦσιν. ἢ τοῖς ἑαυτοῦ μὲν ἐγγόνοις, τουτέστι παισίν, ἵνα τοῦτο λέγῃ. Φερνὴ τῆς.) ἢ προικὸς. λάβετε φησὶ τὴν ἐμὴν φερνὴν, ἣν ἐπενεγκάμην τῷ πατρὶ ὑμῶν καὶ ἀποκομίζεται τὴν νύμφην. Οὔτοι δῶρα.) τοῦτο διπλῆν ἔχει τὴν ἔννοιαν μίαν μὲν ἣν ὁ ἰάσων ἐκδέχεται. ὅτι οὐκ ἀποβλητέα αὐτῇ τὰ δῶρα. ἀλλὰ θαυμαστά. ἑτέραν δὲ ἣν αὐτὴ κρύπτει. ἀντὶ τοῦ οὐ κλάσει τὸ δῶρον ὡς ἀσθενές. ἀναιρήσει γὰρ αὐτήν. Εἴπερ γὰρ ἡμᾶς.) εἴπερ φησὶ τῷ ὄντι πᾶσα γυνή. ἡμᾶς τοὺς ἄνδρας ἀξιοῖ λόγου τινὸς κρίνειν. προτιμήσει καὶ χρημάτων τὸ πείθεσθαι τῷ ἀνδρί. ἢ ἰδίᾳ νοητέον καὶ ἀπὸ τῆς γλαύκης. εἴπερ μὲν τῷ ὄντι στοργικὴ γυνή, καὶ ἄνευ τοῦ λαβεῖν τὰ δῶρα πεισθήσεται. Κείνης ὁ δαίμων.) ἀντὶ τοῦ ἡ εὐδαιμονία. τουτέστιν ἐκείνῃ καιρὸς εὐδαιμονεῖν. Νέα τυραννεῖ.) ἀντὶ τοῦ ἡ γλαύκη φησὶ νέα οὖσα τὴν ἡλικίαν ἄρχει καὶ κρατεῖ. ἐπιπληκτικῶς δὲ τοῦτο. ὡς τοῦ ἰάσονος διὰ τὸ νέον τῆς ἡλικίας προτετιμηκότος τὴν γλαύκην. Ψυχῆς ἂν ἀλλάξαιμ'.) ἀντὶ τοῦ ἑλοίμην ἂν καὶ ἀποθανεῖν, ὑπὲρ τοῦ μὴ τοὺς παῖδας ἀποκτείναιμι. καὶ τοῦτο κατ' εἰρωνίαν. Κόσμον διδόντες.) καὶ τοῦτο πιθανὸν τὸ παρεγγυᾶσθαι τοῖς παισὶν ἐντελλομένην ἐκείνῃ αὐτῇ διδόναι ὑπόληψιν ἔχουσα φαρμακίδος. Θήσει τὸν ἀΐδα.) θάνατον φησὶ μᾶλλον περιθήσεται ἢ κόσμον. Αὐτὰ πέπλων.)

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ἑξῆς αὐτὰ χάρις ἀμβρόσιος πέπλων. πείσει παι
ραχθῆναι χροῒ χρυσότευκτον στέφανον. Νερτέροις.)
ἀντὶ τοῦ παρὰ τοῖς νερτέροις καὶ τοῖς κατοιχομένοις
αὐτὴν κοσμήσει ταῦτα τὰ δῶρα. Νυμφοκοσμῆσαι
δέ ἐστι τὸ τὴν νύμφην κοσμῆσαι. νυμφοκοσμήσει δὲ ἀν
τὶ τοῦ νυμφευθήσεται. Σὺ δ' ὦ τάλαν. τοῦτο πρὸς
ἰάσονα ἀποτείνει. Κηδεμών.) δὲ παρὰ τὸ κῆδος. ἀν
τὶ τοῦ γαμβρέ. σὺ δέ φησιν ὦ ἐπ' ὀλέθρῳ γινόμενε νυμ
φίε τῆς γλαύκης. καὶ τὴν γαμβρείαν οὐκ εὐτυχῆ ταύτην
πρὸς τοὺς βασιλεῖς ἐσχηκώς, ὄλεθρον τοῖς αὐτοῦ παισὶ
καὶ τῇ νύμφῃ κατασκευάζεις οὐ συνιεὶς τὸ ἐπ' ὀλέθρῳ μη
χάνημα. Βιοτὰν δὲ παισίν.) ἀντὶ τοῦ τῇ βιοτῇ τῶν
παίδων. Δύστανε μοίρας.) τουτέστι τοῦ πρέποντος
καὶ τοῦτο πρὸς ἰάσονα ἀποτείνει. τί δὲ πρὸς τὴν μηδεί
αν ἵνα φονεύσῃ τέκνα σου. Τὸ δὲ παροίχῃ.) παρελ
θεῖν πεποίηκας ὦ ἰάσον. πολὺ μέρος τῆς θανατηφόρου
μοίρας. ὡς ἐγγὺς εἶναι τὸν θάνατον αὐτῆς, ἀφ' οὗ τὸν καιρὸν,
τοῦ θανάτου τῇ γλαύκῃ συνήγαγες καὶ πλησίον εἶναι
πεποίηκας. συγχωρήσας ὑπ' αἰδοίας ἀποκομισθῆναι
τὰ δῶρα. Μοίρας. δὲ τῆς θανατηφόρου φησίν. τὸ δὲ
ὅσον ἀντὶ τοῦ πολύ. Μεταστένομαι.) ἡ μετὰ ἀντὶ τοῦ
σὺν τουτέστι στένω δὲ καὶ σὺν σοὶ ἄλγος ἔχω. μεθίσαμαι
δὲ καὶ σὺν τὸ σὸν ἄλγος. καὶ στένω τὴν σὴν τύχην. ἐφ' ἣ τῆς
ψυχῆς ἀλγεῖς. λέγει δὲ τὸ διημαρτηκέναι τοῦ ἰάσο
νος. Μῶν τιν' ἀγγέλω τύχην.) ἡ μὲν μήδεια ἐννοοῦ
σα τὸ ὅσον οὐδέπω μέλλοντα δι' αὐτὸν ἔσεσθαι φόνον,
ἑστήκει κατεσυγνασμένη. ὁ δὲ παιδαγωγὸς ἐνόμιζεν
αὐτὴν ἐφ' οἷς ἐπήγγελε λυπεῖσθαι. ἆρ' οὖν φησι μὴ οὐ
χρηστά σοι ἀπήγγειλα καὶ ἴσα ἄλλως, νομίσας εὐαγγε
λίσασθαι πρός σε ταῦτα. Πολλή μ' ἀνάγκη.) ὡς μὲν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς τὸν πρεσβύτην ὅτι καταλείψει αὐτόν. ὡς δὲ πρὸς ἀλήθειαν ὅτι φονεύσει αὐτά. τὸ δὲ τὸ ὀδύρεσθαι. ἀνάγκη φησὶ τοῖς παροῦσι κακοῖς κλαίειν. ὁπότε γὰρ τῆς ἐμῆς ἀνοίας καὶ τοῦ παρὰ τῶν θεῶν χόλου τὰ κατ' ἐμὲ κακῶς διάκειται, ταῦτα δὲ λέγει προπετείας ἑαυτῆς κατηγοροῦσα ἐπὶ τῇ τῶν δώρων ἀποστολῇ. ἀνάγκη γὰρ εἰ ἔμελλεν ἡ γλαύκη ἀπόλλυσθαι καὶ αὐτῆς τὰ τέκνα ὑπ' αὐτῆς ἀναιρεῖσθαι. ἵνα μὴ ὑπὸ ἄλλου τοῦτο γένηται. αὕτη μὲν οὖν ἐπὶ τοῦτο μετανοεῖ. αὐτὸς δὲ ᾤετο αὐτὴν ὀδύρεσθαι ὅτι ἔμελλε γενέσθαι φυγάς. Θάρσει.) ἔτι θαρσεῖν ὀφείλεις. καὶ γὰρ εἰ καὶ φεύγειν μέλλεις τῇ τῶν παίδων ὑποστάσει καὶ ζωῇ ὅμως ἰσχὺν ἔχει τὰ κατὰ σέ. καὶ εὔελπις εἶ τούτοις πρὸς τὸ μέλλον συμβιῶναι. τὸ δὲ ἔτι καὶ ἐπὶ τοῦ μέλλοντος κεῖται. τὸ οὖν κρατεῖς ἀντὶ τοῦ νενίκηκας. καὶ εὐτύχηκας τὸ ὅσον ἐπὶ τοῖς τέκνοις. ὡς εὔελπις εἶ πρὸς τὸ μέλλον. Ἄλλους κατάξω.) τὸν ἐσόμενον τῶν παίδων φόνον, πάλιν προοδύρεται. ἀσήμως δὲ ὑπὸ τοῦ μὴ συνιέναι τὸν παιδαγωγόν, τὸ μὲν οὖν ἄλλους, ἀντὶ τοῦ τούτους. τὸ δὲ κατάξω ἀντὶ τοῦ πέμψω εἰς τὸν ᾅδην. Οὔτοι μόνη σύ.) ἡ μὲν ἔλεγεν ὅτι πρὶν εὐτυχῆσαι ἐπ' αὐτῶν, ἀλλοτρίους μου γενομένους τοὺς παῖδας, πέμψει εἰς τὸν ᾅδην. ὁ δὲ παιδαγωγός, τὸ κατάξω νοεῖ ἀντὶ τοῦ ἀποπέμψω πρὸς Ἰάσονα, ἠλλοτριωμένους μου τοὺς παῖδας. ἴσως ἢ τὸ ἄλλους, ἀντὶ τοῦ ἀλλοτρίους. Σφῶν μὲν ἐστιν.) τοῦ σφῶν πλῆρες τὸ σφῶιν. τουτέστιν ὑμῶν τῶν δύο. τὴν μὲν πόλιν φησὶν τήνδε οἰκήσετε ὦ τέκνα, καὶ τὸν οἶκον τοῦτον δι' αἰῶνος. λέγει δὲ ἀσήμως τὸν ᾅδην. καὶ πάντα τὰ ἑξῆς αἰνιγματωδῶς ὁμιλεῖ. ὥσπερ τοῦ μὴ αἰσθέσθαι τὸν παιδαγωγόν. τὸ δὲ ἐν ᾧ πρὸς τὸ οἰκήσετε συναπτέον. τουτέστιν ἐν τῷ ᾅδῃ οἰκή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι ἀπολιπόντες ἐμέ. Εὐνὰς ἀγῆλαι.) φρύνιχος ἀ-
γῆλαι ἀντὶ δέξασθαι. καὶ παρὰ ἀριστοφάνει. διὰ παντὸς
ὦ δέσποιν' ἀγηλοῦμεν ἡμεῖς σ' ἀεί, καὶ ἕρμιππος ἀρτο-
πώλισιν φρενῶν ἀγήλω τοὺς θεοὺς ἰοῦσ' ἔσω. Ἀπο-
στάντες βίου.) ἄλλου βίου λέγει τοῦ κατὰ τὸν ᾅδην ὡς
καὶ τοῖς κατοιχομένοις οὔσης τινὸς ἑτέρας πολιτείας.
Γυναῖκες ὄμμασιν.) πρὸς τὰς τοῦ χοροῦ λέγει. θέλει δὲ
εἰπεῖν ὅτι τὸν φόνον οὐκέτι μοι ἡ ψυχὴ τολμᾷ. ἀλλὰ λύο-
μαι ταῖς τῶν ὀφθαλμῶν χάρισιν ἀναπνεόντων εἰς ἐμὲ
τῶν φιλτάτων. Χαιρέτω βουλεύματα.) διὰ τὸ σφάξαι
τὰ τέκνα. καὶ ἐλθέτω φησὶν ὁ ὑπὸ τῷ σφάξαι μου τὰ τέ-
κνα κρατήσας λογισμός. Τί δεῖ με πατέρα.) ἀφίστα-
μαι φησὶ τοῦ φόνου τῶν παίδων. οὐ γὰρ ἵνα τὸν πατέρα
τούτων νικήσω τῷ θανάτῳ αὐτῶν, ὀφείλω ἐμαυτῇ δι-
πλασίονα τὰ κακά, λέγει δὲ τὴν λύπην τὴν ὑπὸ τοῖς παι-
σίν. ἢ οὕτως. σαφῶς εὐήθης ἐστὶν ἐργαζομένη μὲν τὸν φό-
νον τοῖς φιλτάτοις, ὑπὸ τῷ τὸν πατέρα λυπῆσαι, αὐτὴν
διπλασίαν λύπην κτήσασθαι διὰ τῆς τούτων τελευτῆς
δοκοῦσι γὰρ αἱ μητέρες περιπαθέστεραι εἶναι ἐν ταῖς τῶν
παίδων συμφοραῖς. θαυμάσαι δ' ἔστι τὸν ὑπερβάλλοντα
θυμὸν ὃν ἔχει κατὰ τοῦ ἰάσονος ἡ μήδεια. ὅτι καίπερ
προσδοκῶσα μειζόνως λυπηθήσεσθαι ὅμως ὑπὲρ τοῦ λυ-
πῆσαι τὸν ἰάσονα αἱρεῖται τούτους φονεύειν. Οὐδῆτ' ἔ-
γωγ'.) ὅτι μετάνοιά ἐστιν. οὐκ ἂν ἐγὼ φονεύσαιμι. ἀλλὰ
μεθέσθω μοι ὁ κρατήσας τοῦ φόνου λογισμός. γράφεται
δὲ καὶ πάνται βουλευμάτων. Καίτοι τί πάσχω.) ἐν-
ταῦθα ὥσπερ ἀναζωπυροῦσα τῷ κατὰ ἰάσονος θυμῷ
καὶ λαμβάνεται ἑαυτῆς. καί φησι τί δὴ πέπονθα εἰς οἶ-
κτον ἐκπεσοῦσα τῶν παίδων. οὐ γὰρ ἐμὸν καταισχύνειν
ἑαυτήν, ἀφεῖσαν ἀτιμωρήτους τοὺς πάντων ἐμοὶ πολε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μισῶ τὸν ἰάσονα. ἐξὸν φονεύουσαν, τούτους μόνον. ἐχ-
θροὺς οὖν λέγει ἀντὶ τοῦ ἐχθρὸν τὸν ἰάσονα. τοιοῦτον δὲ
καὶ τὸ παρ' ὁμήρῳ, ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο.
Οὕτω δὲ μή.) οὕτω δέ φησιν οὐκ εὐσεβὲς φαίνεται παρα-
γαι τῷ φόνῳ τούτῳ καὶ δέχεσθαι τοιαύτας θυσίας, οὕτως
ἀπίστῳ. τοῦτο δὲ εἶπεν ὡς ὄντων θεῶν τινῶν χαιρόντων
ἀνδροφονίᾳ. οἷον ἐνυνύων. ἄρεως καὶ τινῶν ἑτέρων. ὅ-
μηρος. ἄρες. ἄρες. βροτολοιγέ. τῷ δὲ αὐτῷ μελήσει. συν-
ναπτέον τὸ μὴ παρεῖναι. Χεῖρα δ' οὐ διαφθερῶ.) πά-
λιν ἐνταῦθα λύεται. πρὸς οἶκτον. ἔστι γὰρ μίμνησις μη-
τρὸς, οὐ προαιρέσει. ἀνάγκη δὲ τῷ τοὺς ἐχθροὺς ἀμύνα-
σθαι τολμώσης φόνον κατὰ τῶν φιλτάτων. οὐκ ἂν φη-
σὶν ἐγὼ μολύναιμι τῷ ἐξ ἐμοῦ παίδων αἵματι τὴν ἐ-
μαυτῆς χεῖρα. Μὰ τοὺς παρ' ἅδῃ.) τοὺς κατα-
χθονίους. Ἀλάστορας δὲ.) οὓς οὐκ ἔστι λαθεῖν. ἐπειδὴ
δὲ συνεχῶς ὁρᾷ ἑαυτὴν νικωμένην τῷ πρὸς τοὺς παῖ-
δας οἴκτῳ. ὅρκῳ φρικωδεστάτῳ κατακλείει ἑαυτήν.
πρὸς τὸ μηδὲν ἕτερον ἢ τὸν φόνον τῶν παίδων ἐξ ἅπαν-
τος δράσαι. καὶ οὐκ ἂν ἐγώ φησι καταλείψαιμι τοὺς
ἐμοὺς παῖδας ὑπὸ τῶν ἐχθρῶν καθυβρίζεσθαι. λέγει
ὑπὸ τῶν πρὸς γένους τῇ γλαύκῃ. Καθυβρίσαι δὲ λέ-
γεται.) τὸ μετὰ αἰκίας τινὸς ἀνελεῖν. καὶ ἐγώ φησι μὴ
φονεύσω τούτους. ἀλλ' οἱ ἐχθροὶ πάντως ἀναιρήσουσιν.
εἰ δὲ ἅπαξ χρὴ τούτοις ἀποθανεῖν. κάλλιον ὑφ' ἡμῶν ἀ-
ναιρεῖσθαι. ἵνα μὴ δοκοῖεν οἱ ἐχθροὶ, τιμωρίαν ταύτην
λαμβάνειν ἐξ ἡμῶν. Καὶ δὴ ἐπὶ κρατί.) ταῦτα ἐκ
τοῦ χρόνου ἀναλογιζομένη πρὸς ἐμαυτὴν λέγω. καὶ δὴ
φησὶν ἡ μὲν γλαύκη ὡς εἰκὸς ἔχει τὸν στέφανον. καὶ λοιπὸν
ἐγγύς ἐστι τοῦ θανάτου. Ἀλλ' εἶμι.) μὴ μέλλωμεν ἤ-
κειν ἐπὶ τὴν δυσχερεστάτην ὁδὸν τοῦ φόνου. Τάδ' ἐπὶ

θάδε.) τὰ ἐν τοῖς ζῶσιν· τουτέστιν ὁ πατὴρ αἴτιος τοῦ μὴ σώζεσθαι ἡμᾶς· προσβολὴ δὲ περίπτυξις· ἢ ἀντὶ τοῦ πρώτιστα· ἐν τῷ περιπτύσσεσθαι γὰρ καὶ καταφιλεῖν ταῦτα λέγει. Πολλάκις ἤδη.) πολλάκις φησὶ κατ᾽ ἐμαυτὴν ἐλογισάμην· καὶ διακριβέστερον λογισμῶν προῆλθον αὐτὴ πρὸς ἐμαυτὴν λογιζομένη· καὶ ζητοῦσα εἰ δυνατὸν καὶ τῇ γυναικείᾳ φύσει εἰδέναι τὰ τοῦ βίου πράγματα· καὶ εἰδέναι τί μὲν ἀνθρώποις καλὸν, τί δ᾽ οὔ, καὶ λογισαμένη, εὗρον· ὅτι μέτεστι μὲν ταῖς γυναιξὶ σοφίας καὶ τῆς τῶν ἀνθρώπων πραγμάτων καταλήψεως· οὐ πάσαις· ἀλλ᾽ ὀλίγαις· ὧν οὐδεμία καὶ αὐτὴ τυγχάνω· καὶ λογίζομαι τῶν ἀνθρώπων τοὺς ἀπείρους παιδοποιΐας, πολλῷ προφέρειν καὶ ὑπερβάλλειν εὐτυχίᾳ τοὺς γεννήσαντας· ὅσοι μὲν οὖν τῶν κατὰ τὴν παιδοποιΐαν μόχθων ἐκ τοσούτων εἴτε καλὸν, οἱ παῖδες οὐκ ἴσασιν· οἱ δὲ ἔχοντες, ἀνάγκη τῇ περὶ τοὺς παῖδας ἐπιμελείᾳ κατατρυχόμενοι διατελοῦσιν· πρῶτον μὲν ὅπως ἀναγάγωσι τοὺς παῖδας κοσμίως σπουδάζοντες· δεύτερον δὲ καὶ πόθεν τούτοις χρημάτων πόρον καταλείψειαν· τρίτον ἐπὶ τούτοις οὐκ εἰδότες πότερον χρηστοῖς οὖσι τοῖς παισὶν ἢ πονηροῖς· τοῦτον δὲ τὸν τρόπον μοχθοῦσι τὸν χρόνον ἅπαντα, οὐ γὰρ εὐμαρέστατον εἶναι τρόπον ἀνθρώπου· ὅπου γε τοὺς νομιζομένους εἶναι χρηστοὺς, πονηροὺς πολλάκις ἐξαίφνης εὑρίσκομεν· ἓν δὲ πάντων τῶν κακῶν τελευταῖον βούλομαι πᾶσιν ἀνθρώποις ἐξειπεῖν· δῶμεν γὰρ ὅτι καὶ βίον αὐτάρκη τοῖς παισὶ κέκτηνται καὶ εἰς ἀκμὴν ἡλικίας ἦλθον οἱ παῖδες καλοί τε κἀγαθοὶ τὸν τρόπον ἐκβεβήκασιν· εἰ δὲ δὴ τούτων οὕτως ἐχόντων φθάσας ὁ δαίμων πρὶν ὄνασθαι τῶν ἀγαθῶν τούτους ἁρπάσει, πῶς λυσιτελεῖ πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παῖδας εὔχεσθαι τοὺς θεοὺς παρασχεῖν λύπην ἄντικρυς ὄντας. Μοῦσα καὶ ἡμῖν.) ἀντὶ τοῦ φρόνησις παίδευσις πρὸς τὸ δύνασθαι διακρίνειν τὰ ἀντία. καὶ ἡμῖν οὖν φησὶ μοῦσα προσομιλεῖ σοφίαν χαριζομένη. πρὸς τὸ ἡμᾶς ἀποφαίνεσθαι περὶ τῶν τοιούτων. Ὀρθῶ μελέτη.) τούτους φησὶν ὀρθῶ τῇ περὶ τοὺς παῖδας συνεχεῖ καταπονουμένους μελέτῃ. τουτέστι τῇ καθημερινῇ ἐπιμελείᾳ. Δαίμων οὗτος.) τὸ δαίμων τῷ θανάτῳ συναπτέον. δαίμονα γὰρ τὸν θάνατον ὠνόμασεν. φροῦδος ἐστὶν ἐπεὶ ἄδηλος ἀνθρώποις ὁ θάνατος. Λιποῦσ' ἀπήνην.) καταχρηστικῶς νῦν τὴν ναῦν ἀπήνην ὠνόμασεν. ἀπήνη γὰρ κυρίως ἡ ἅμαξα. ὄχον δὲ λέγει τὸ ὄχημα. ὁ δὲ νοῦς εἴτε διὰ νεώς. εἴτε δι' ὀχήματος, εἴθ' ὁπωσοῦν φεῦγε. Τί φῄς. φρονεῖς μέν.) πῶς φησὶν εἶπας τοῦτο. ὅτι μὲν γὰρ κατὰ φύσιν φρονεῖς καὶ οὐκ ἐξέστησας δῆλον. θαυμάζω δὲ πῶς οὐ καὶ ἀγωνιᾷς ἀκούσασα τὸν βασιλικὸν οἶκον διεφθάρθαι ὑπὸ τῶν σῶν φαρμάκων. ἢ κατ' ἐρώτησιν διενεκτέον τὸν λόγον. πῶς εἶπας τοῦτο. πῶς οὐχὶ μαίνεσθαί σε καὶ παραφρονεῖν αὐτίς νομίσειε. οὐκ ἀγωνιῶσα ἐπὶ τούτῳ. ἵνα ὁ μὲν παρέλκει. Ἔχω τι κἀγώ.) κἀγώ φησιν ἔχω πρὸς τὰς ἐπενεχθείσας μοι μέμψεις παρὰ σοῦ πρόφασιν εὔλογον προσάγειν. δι' ἣν εὐλόγως δοκῶ μοι χαίρειν ἐφ' οἷς ἀπήγγειλας. ἀλλὰ τέως μὴ σπεῦδε καὶ ἐπιχείρειν. αἰνίττεται δὲ τὸ αὐτῆς πρότερον ἀδικεῖσθαι ὑπὸ τοῦ ἰάσονος. Ἐπεὶ τέκνων σῶν.) ὡς εἴδομεν φησὶ τοὺς σοὺς παῖδας τὰ δῶρα προσφέροντας. ἐχάρημεν ἡμεῖς οἱ θεράποντες. οἵτινες ἐλυπούμεθα πρὸ τούτου, ἐννοοῦντες τὴν σὴν σκαιὰν τύχην. λέγει δὲ τὸ ἀπεζεῦχθαι τοῦ ἰάσονος. ὡς οὖν φησιν εἴδομεν τὰ δῶρα κομιζόμενα ὑπὸ σοῦ εὐφράνθημεν. ἐλπίσαντες ὑμᾶς πεπαῦσθαι τῆς ἔχθρας ἐπεὶ καὶ πολὺς

τοῦ λόγου κατὰ τὴν οἰκίαν διαλελύσθαι ὑμᾶς· καὶ τὴν προτέραν φιλονεικίαν εἰς φιλίαν μεταβεβληκέναι. Στέγας γυναικῶν.) τοὺς οἴκους ἔνθα αἱ γυναῖκες διέτριβον αἱ ταλασιουργοῦσαι· μεθ' ὧν ἦν καὶ γλαύκη ἐπισκοποῦσα τὴν ἐργασίαν. κἀγὼ οὖν φησὶν ὑπὸ πολλῆς χαρᾶς συνῆλθον τοῖς σοῖς τέκνοις. λείπει δὲ ἡ εἰς· ἵν' ἡ τέκνα. Πρόθυμον εἶχ' ὀφθαλμόν.) ἀντὶ τοῦ προθύμως καὶ ἥδιστα ἑώρα τὸν ἰάσονα· ὡς δὲ εἶδε τούτους παρόντας ἀπεστράφη τὸν ἰάσονα· τὸ μητρυιῆς μῖσος εἰς τοὺς προγόνους νοσήσασα. ὀργὰς δὲ ἀφήρει ἀντὶ τοῦ μὴ ὀργίζεσθαι τοῖς παισὶ παρῄνει αὐτῇ μὴ βδελύττεσθαι τούτους. Λέγων τάδε.) αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς κεῖνται· τουτέστι μὴ δυσμενὴς τοῖς φίλοις ἔσο· ἀλλὰ παῦσαι θυμοῦ καὶ ἐπίστρεψον πρὸς αὐτοὺς τὰς ὄψεις. Οὐκ ἠνέσχετο.) ἀντὶ τοῦ οὐκ ἠνέσχετο ἐν τοιαύτῃ καταστάσει μεῖναι· ἀλλὰ μετεβλήθη τῆς ἀγριότητος τοῦ θυμοῦ. μακρὰν ἀπεῖναι.) οὕτω δὲ περιχαρὴς γέγονε τὸν κόσμον ἰδοῦσα· καὶ ἑρμαῖον ἡγήσατο τὸ δῶρον· ὡς μὴ ἀναμεῖναι τὴν ἀπουσίαν τοῦ ἰάσονος· ἀλλ' ἔτι πλησίον ὄντος τοῦ πατρὸς καὶ τῶν παίδων εὐθὺς λαβοῦσα περιέθετο τὸν κόσμον· ἴσμεν δὲ ὅτι αἱ γυναῖκες οὐκ ἐπὶ παρουσίᾳ τῶν ἀνδρῶν κοσμοῦνται· αὕτη οὖν φησιν ὑπερησθεῖσα τῷ δώρῳ οὐ παρῃτήσατο καὶ παρόντος τοῦ ἰάσονος περιθέσθαι τὸν κόσμον. Ἄψυχον εἰκώ.) γράφεται προσβλέπουσα σώματος· ἄψυχον εἰκόνα φησὶ τὴν ἐν τῷ κατόπτρῳ φαινομένην μορφήν. Σώματος.) δὲ λέγει τῆς τῷ ὄντι ὄψεως· τὸ δὲ ἑξῆς πρὸς τὴν ἄψυχον εἰκόνα τοῦ σώματος γελῶσα· τουτέστι χαίρουσα ἐπὶ τῇ ὑποπιπτούσῃ αὐτῷ κατόπτρῳ εὐμορφίᾳ. Ἄψυχον οὖν εἰκώ.) τὴν εἰς τὸ ἔσοπτρον φαινομένην. Ἢ πανὸς ὀργάς.) ἐξαίφνης καταπίπτοντας ᾤοντο τὸ παλαιὸν αὐτοὶ ὑπὸ πανὸς

μάλιστα καὶ ἑκάτης κατεπεπλῆχθαι τὸν νοῦν. ὁ δὲ νοῦς. καὶ
τις τῶν θεραπαινῶν γεραιὰ πρότερον ἑωρακυῖα κατὰ στό-
μα προϊόντα τὸν ἀφρόν, ἐκστρέφουσάν τε τοὺς ὀφθαλμούς.
καὶ νενεκρωμένον λιπὼν τὸ σῶμα, νομίσασα θεοῦ τινος εἶναι
χόλον, ηὔξατο ὠλολύξαι αὐτῇ. εἶτα ὡς εὐχομένης ἐπέτει-
νε τὸ κακόν, θρῆνον ἠφίει. ὡς λοιπὸν ἀπολλυμένης αὐτῆς.
Ἤδη δ' ἀνέλκων.) ἤδη δὲ καὶ ταχὺς βαδιστὴς τὸ ὑπέρμε-
τρον ἑαυτῶ κῶλον ἀνέλκων, τῶν τερμόνων τοῦ δρόμου
ἀνθήπτετο. ὡς ταχὺς βαδιστὴς ἵππος τουτέστιν ἤδη
ἡ ταχεῖα νόσος ὀξὺ καὶ ὑπέρμετρον ὑπερβαίνουσα τῶν
μυελῶν αὐτῆς ἀνθήπτετο. ὁ δὲ νοῦς. ἤδη δὲ καὶ τὸ πῦρ τῶν
ὀστῶν ἀνθήπτετο. ὡς ταχὺς βαδιστὴς ἵππος ταχέως ἀ-
φίκηται εἰς τὸν καμπτῆρα. τέλος δὲ σώματος τὰ ὀστᾶ.
Ἄλλως. Ἐκ παραδείγματος ἔλαβε τὴν ἔννοιαν. δηλῶσαι
βουλόμενος τὴν ὀξύτητα τοῦ κακοῦ. οὕτω δὲ ταχέως ἐ-
νέμετο αὐτῆς τὸ πῦρ. καὶ οὕτως ὀξέως τῶν ὀστῶν αὐτῆς ἀνθή-
πτετο, ὡσὰν ὀξύτατος ἵππος ἀνακουφίζων ἑαυτοῦ τὸν
πόδα. τουτέστι μεγάλοις καὶ ταχέσι πηδήμασι χρώμε-
νος. ἵνα πρὸς τὸ τέλος ἀφίκοιτο τοῦ δρόμου. τουτέστι τὸν
καμπτῆρα. τοῦ γὰρ σώματος τὸ τέλος τὰ ὀστᾶ εἰσιν. ὡς
τοῦ δρόμου ὁ καμπτήρ. πλέθρον δέ ἐστιν μέτρον γῆς. ἔκπλε-
θρον δὲ μέγα πήδημα καὶ ὑπερβαῖνον πλέθρου μέτρον.
Ταχὺς. βαδιστής. τὸ διάστημα λέγει τὸ γινόμενον ἐξ οὗ ἄ-
ναυδος ἦν. μέχρις οὗ ἐφθέγγετο. ὅσον γὰρ δύναται τρε-
πὼ καιροῦ ἔχειν ταχὺς δρομεὺς ἀπὸ βαλβῖδος ἀφε-
θεὶς μέχρι καμπτοῦ, τοσοῦτον καὶ αὐτὴ ἄναυδος ἦν. Ἀν-
τίμολπον.) ἀντίφθογγον. ἐναντίον τῇ εὐχῇ. οὐ γὰρ ταυ-
τὸν μολπὴ καὶ θρῆνος. εὐθὺς δ' ἡ μέν. ἡ μὲν τῶν θεραπαινῶν
πρὸς τὸν πατέρα ὥρμησεν τῆς γλαύκης. ἀπαγγέλουσα
τὸ συμβάν. οἱ δὲ πρὸς τὸν ἰάσονα. Πανὰς ὀργάς.) τὰ

πανικὰ δείματα. οἱ μὲν τῶν αἰφνιδίων φόβων καὶ ταραχῶν αἰτίαν τῷ πανὶ ἀνατιθέασιν. Πλὴν τῷ τεκόντι.) διὰ τὸ πᾶσι. τουτέστι πᾶσιν ἄλλοις σφόδρα δυσεπίγνωστος ἦν πλὴν τῷ τεκόντι. μόνος γὰρ οὗτος ἐπεγίνωσκε τὴν γλαύκην. ἐπεί τοι ἐξώτερον κατιδόντι τὴν κόρην. τὸ γὰρ οἰκεῖον πιέζει πανταχοῦ ὁμῶς. εὐθὺς δ' ἀπήμων κῆδος εἰς ἀλλότριον. πίνδαρος γναθμοῖς ἀδήλοις. αἱ δὲ σάρκες φησὶ τῶν γναθμῶν κατέρρεον, ὑπὸ τῶν ἀδηλοποιῶν φαρμάκων δοτικῇ δὲ ἀντὶ τοῦ γενικῆς κέχρηται. Τύχην γὰρ εἴχομεν.) ἀντὶ τοῦ ἡ δυστυχία τῆς γλαύκης καὶ τὸ περὶ ταύτην πάθος ἐπαίδευεν ἡμᾶς καὶ ἀπέτρεπεν. συμφορᾶς δὲ ἀγνωσία ἤτοι ἀγνοῶν ἐκ φαρμακείας εἶναι τὸ πάθος καὶ τὴν ἀμετάδοτον αὐτοῦ φύσιν. Τίς τὸν γέροντα.) Τίς τὸν γέροντα.) τὸν πλησίον θανάτου ὄντα. τύμβους δὲ καλοῦσι τοὺς γέροντας παρόσον πλησίον εἰσὶ τοῦ θανάτου καὶ τοῦ τάφου. Προσείχεθ' ὥσπερ κισσός.) προσεκεκόλλητο. περιεπλέκετο τοῖς πέπλοις αὐτοῖς ὥσπερ ὁ κισσὸς περιπλέκεται τοῖς περὶ αὐτὸν τυγχάνουσιν ὄρνεσιν. Ἡ δ' ἀντελάζυτ'.) ἡ δ' ἀντελαμβάνετο. ὡς δὴ προσδοκῶσα ἀπαλλαγῆναι τοῦ κακοῦ. εἰ δὲ πρὸς βίαν ἄγοι. ὅτε δέ φησιν αὐτὸς ἑαυτὸν ἐβούλετο ἀναστῆσαι βίᾳ ὁμοῦ καὶ τὰς σάρκας ἀπέσπα. Πέλας ποθεινή,) οἱ οὖν συμφορὰ ὄντες ποθεινὴ πρὸς δάκρυα καὶ θρῆνον κεῖνται. ἀντὶ τοῦ ἀξιοδάκρυτος συμφορά. οὓς ἄν τις ἰδὼν ποθήσῃ. δακρύσῃ. ἐλεεινοὺς ὄντας τῷ θεάματι καί μοι τὸ μὲν σόν. Τὸ σὸν ἀντὶ τοῦ σύ.) αὐτή φησιν ἀφ' οὗ ἤκουσας χρτίου λόγου. ἐκ ποδῶν γενοῦ καὶ φύγε. περαθήσῃ γὰρ αὐτὴ τιμωρίας. τοῦ οὖν λόγου καὶ τῶν σοι ἀπήγγειλα φείδῃ γίνου. ζημίας δὲ ἀποστροφὴν τὴν ἀντανάκλασιν τῆς συμφορᾶς ἧς δέδρακε καταλήψο

μένουσι. ὁ δὲ πᾶς νοῦς οὕτως· καὶ σὺ μὲν αὐτὴ ὑπὸ τοῦ ἐμοῦ λόγου πεισθεῖσα φύγῃ. εἰ γὰρ μὴ φύγῃς, τῇ πείρᾳ γνώσῃ καὶ ἐπαναστρεφομένην εἰς σὲ τὴν ζημίαν καὶ τὴν συμφοράν. ἢ οὕτως. τὸ κατὰ σὲ ἔξω τοῦ λόγου μοι ἔσω. ὅ ἐστι τὸ κατὰ σὲ οὐκ ἐξεργάσομαι τῷ λόγῳ αὐτὴ γὰρ γνώσῃ τὰ λοιπὰ ἐκ τῆς εἰς σὲ ἀνακυκλουμένης ζημίας. Γνώσῃ γὰρ αὐτή.) γράφεται καὶ γλώσσῃ. ἵν᾽ ᾖ τῇ ἑαυτῆς γλώσσῃ καὶ φλυαρίᾳ, ὅτι, ὅσον οὐδέπω τῆς καταληψομένης σε τιμωρίας εἰ μὴ συντόμως φύγῃς. Τὰ θνητὰ δ᾽ οὐ νῶ.) τοῦτο εἶπεν ἐπεὶ τινὲς τῶν σοφῶν μεγάλα δύνασθαι τοὺς ἀνθρώπους παρέθεντο. καὶ λογισμῷ δευτέρους εἶναι θεῶν. ὅμηρος μὲν γὰρ ὀδυσσέα καλεῖ διὶ μῆτιν ἀτάλαντον. πίνδαρος δέ φησιν οὕτως· ἀλλά τι προσφέρομεν ἔμπαν φυὰν ἢ μέγαν νόον θνητοῖς. ἐγὼ οὖν φησὶ καὶ εἰ πᾶσιν ἔδοξε τῶν σοφῶν ἐπᾶραι τὸ ἀνθρώπινον γένος οὐ παραιτήσομαι σκιὰν ἀποφαίνειν τὰ κατὰ τοὺς ἀνθρώπους πράγματα. Εὐδαίμων ἀνήρ.) ἀδαίμονα ἐστὶ καλεῖ τὸν ἄχρι τέλους ἀπείρατον κακῶν. Σχολὴν ἄγουσαν.) διατριβήν. βραδυτῆτα. πάλιν δὲ τῷ συνήθει σχήματι ἐχρήσατο. καὶ ἐστιν ἀντὶ τοῦ ἀλοῦσι. Πρὸς βαλβῖδα.) βαλβὶς κυρίως ἡ τῶν δρωμένων ἄφεσις. ἄγε δὴ ὦ μήδεια πρὸς ἄφεσιν ὅρμα καὶ ἀρχὴν δυστυχοῦς βίου καὶ πράξεως ἐκ τόπου. λέγει δὲ τοῦ φόνου τῶν παίδων. Ἰὼ γᾶ τε καὶ παμφαής.) ὡς εἶδεν ὁ χορὸς ὅτι πάντως ἔδοξε τῇ μηδείᾳ φονεῦσαι τὰ τέκνα καὶ ὥρμησε πρὸς τὴν πρᾶξιν. καὶ ὅτι δυσχερὲς ἦν αὐτῷ τὸ κωλῦσαι τοῦτο τὸ ἐγχείρημα, θεῷ δὲ μόνον τοῦτο, ἐπικαλεῖται τοὺς θεοὺς παρακλητικοῖς λόγοις εἰς τὸ κωλῦσαι αὐτὴν τῆς τοιαύτης τόλμης. καὶ ἥλιον μὲν ἐπικαλεῖται ὡς πρόγονον μηδείας. καὶ ὅτι πάντ᾽ ἐπακούει. τὴν δὲ γῆν ὡς μέλλουσαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰσδέχεσθαι ταῖς μιαιφονίαις τὸ αἷμα. Κατείδετε.) κατοικτείρατε καὶ ἐλεήσατε ἀποβλέψαντες. καὶ προνοήσασθε δι' οὗ τρόπου δυνατὸν αὐτὴν ἀπέχεσθαι τοῦ φόνου τῶν παίδων. Γονᾶς ἔβλασεν.) ἀντὶ τοῦ ἐβλάστησαν, ἔφυσαν. ἐπεὶ ἡ μήδεια μὲν ἔκγονος ἡλίου. οὗτοι δὲ ἐκ μηδείας θεῶν δ' αἷμα. γένος. ἐπεὶ οὖν φόβος ἐστὶ τὸ θεῖον αἷμα ὑπὸ ἀνθρώπων πεσεῖν καὶ σὺ αὐτὴν τιμωρήσαι ἔξελ' οἴκων. τὸ ἑξῆς. ὑπέξελε τῶν οἴκων τὴν φονίαν ἐριννὺν ἐπὶ ἀλαστόρων. τάλαιναν δὲ ἐριννὺν αὐτήν φησι τὴν μήδειαν. δαίμονα. οὐ τὴν μήδειαν. ὑπείληφαι γὰρ τῶν τοιούτων κακῶν αἰτία εἶναι ἐριννῦς. τάλαιναν γὰρ τὴν ταλαίνας ποιοῦσαν. μάταν μόχθων. μάτην φησὶν ὑπὸ δαιμόνων πονηρῶν ἀπόλλυται τὰ τέκνα μηδὲν πεποιηκότα. μόχθος δὲ τέκνων ὁ μοχθηρὸς βίος τῶν τέκνων. λέγει δὲ περιφραστικῶς τὰ κακὰ παθεῖν καὶ μοχθηρὰ τέκνα.
Πετρᾶν ἀξενωτάτων.) περιφραστικῶς τὴν προποντίδα. παρ' ὅσον οἱ προσβάλλοντες τῷ τόπῳ σαφῶς διατίθενται. Αὐτοφόνταις.) τοῖς αὐτοχειρίοις. τούτοις σύμφωνα καὶ ἄξια τοῦ τολμήματος κακὰ παρὰ τῶν θεῶν ἐστὶ προσπίπτον. θέλει γὰρ εἰπεῖν ὅτι ἀξίως οἱ θεοὶ τούτους κολάζουσιν. ὁ δὲ νοῦς χαλεποὶ οἱ φόνοι τοῖς αὐτοχειρίοις. τουτέστι χαλεπὸν μίασμα καὶ δυσέκνιπτον ὁ φόνος ὁ κατὰ τῶν ὁμογενῶν τοῖς τολμῶσιν αὐτόν. γράφεται δέ. Καὶ συνῳδὰ οἷσι τὸ ἑξῆς ξυνῳδὰ θεόθεν ἐπὶ δόμοις πιτνοῦντ' ἄχη. χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματα ἐπὶ γαῖαν αὐτοφόνταις. Ακούεις βοάν.) τοῦτο πρὸς ἀλλήλας αἱ ἀπὸ τοῦ χοροῦ φασὶν πρὸς ἐρώτησιν. τὸ δὲ ὦ κακοτυχὲς γύναι ἰδίως πρὸς τὴν μήδειαν ἀναπεφώνηται. τὸ δέ.
Παρέλθω δόμους.) πάλιν πρὸς ἀλλήλας τὸ δὲ ἀρῆξαι φόνον δοκεῖ μοι τέκνοις κατὰ ἀπόφασιν. Α τις τέκ-

νον.) ἥτις τὸν ἄριστον τῶν τέκνων ὧν ἔτεκεν αὐτοχειρὶ θανάτῳ κτενεῖς. Ἰνὼ μανεῖσαν.) Ἰνὼ κατὰ χόλον τῆς Ἥρας μανεῖσαν, ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν. ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα. διότι παρ' αὐτοῖς ἐτέχθη ὁ Διόνυσος. καὶ αὐτὸς δὲ ὁ Διόνυσος ἐξέμηνε τὰς τούτων γυναῖκας μὴ προσιεμένων αὐτὸν ὕστερον τῶν Θηβαίων. ἴσως δὲ καὶ τοῦτο τῆς Ἥρας ἐργασαμένης. οἱ μὲν οὖν ἱστοροῦσι τῷ παιδὶ συγκατενεχθῆναι τὴν Ἰνὼ εἰς τὴν θάλασσαν. Εὐριπίδης δέ φησιν αὐτόχειρα τῶν δύο παίδων γενομένην Λεάρχου καὶ Μελικέρτου. αὐτὴν ὕστερον εἰς τὴν θάλασσαν ῥῖψαι. φασὶ δὲ αὐτοὺς εἰς Κόρινθον ἐκβρασθέντας Ἰνὼ καὶ Μελικέρτην ἀναληφθῆναι. προσάξει Σισύφου ὡς καὶ ἀγῶνα Ἴσθμιον ἐπὶ Μελικέρτῃ κατὰ χρησμὸν θεῖναι τοῦτο ἑωρακότος. Δεῖ γάρ νιν.) δεῖ γὰρ αὐτὴν ἢ καταταρταρωθῆναι ἢ ἀναπτῆναι. εἰ μὴ ἄρα πέποιθε μὴ δώσειν δίκην τῶν τολμηθέντων. Μανεῖσαν.) κατὰ χόλον τῆς Ἥρας Ἀθάμας κατετόξευσε Λέαρχον τὸν ἐξ Ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ Ἰνὼ μανεῖσα ὑπὸ τῆς Ἥρας. ὠργίζετο γὰρ αὐτῇ ὅτι ἐτεθηλάκει τὸν Διόνυσον. τὸν ἕτερον ἑαυτῆς παῖδα ἀποσφάξασα Μελικέρτην. ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν, Εὐριπίδης δέ φησιν αὐτὴν αὐτόχειρα γενομένην Λεάρχου καὶ Μελικέρτου ὕστερον εἰς τὴν θάλασσαν ἁλέσθαι. Ἀθῷος ἀντὶ τοῦ φεύξεται ἀτιμώρητος. τὸν τῆς μητρὸς φόνον εἰσπράσσοντες αὐτούς. ἀντὶ τοῦ δίκην ἀπαιτοῦντες, ὑπὲρ οὗ εἰργάσατο φόνου, ἡ τούτων μήτηρ. τὸ ἑξῆς παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χερί. ἄνω ἐπὶ τοῦ πύργου ἑστῶσα ταῦτα λέγει. ἀντὶ τοῦ οὐ δυνήσῃ κατασχεῖν ἡμᾶς. οὐδὲ καταλαβεῖν. ἔχομεν γὰρ ὄχημα πρὸς ἀποφυγὴν τῶν πολεμίων.

λειμίων. ἀπὸ ὕψους γὰρ περιφαίνεται ἡ μήδεια. ὀχουμέ/
νη δρακοντίνοις ἅρμασιν καὶ βαστάζουσα τοὺς παῖδας.
Παρέσιον παρὰ τὴν ἑστίαν καὶ τὸν βωμὸν ἀνεῖλεν ὡς
ἄψυρτον. ἢ ἀπὸ τῷ βωμῷ τῆς ἀρτέμιδος ὡς ἀπολλώ/
νιος φησί. ἢ ἔποικον ἐν τῇ πατρίδι ὡς καλλίμαχος.
Τῆς τυρσηνίδος.) τῆς σικελικῆς. τυρσηνῶν γὰρ πελά/
γος σικελίας. ἐκ τούτων φανερός ἐστιν εὐριπίδης τὴν
ὀδυσσέως πλάνην περὶ ἰταλίαν καὶ σικελίαν ὑπειληφὼς
γεγενῆσθαι. Ἐρρ' αἰσχροποιέ.) ὅτι δοκεῖ τὸν στίχον τοῦ/
τον ἐπῶν εὐριπίδης ἐκβεβλῆσθαι. διὸ καὶ κεχίασται.
Ἡ μακρὰν. μακρὰ ἂν ἐξέτεινα ῥήματα ἐναντία τούτοις
τοῖς λόγοις. Λύει δ' ἄλγος.) λυσιτελεῖ δέ μοι τὸ ἄλ
γος ἕως σὺ μὴ ἤγγειλας. Ὡς ὤλεσθε κακία.) ἤτοι λα
γνεία. καὶ ἀκρασία τοῦ πατρὸς ἀπώλεσθε. Ἥτις γυ
σώφρων.) ναί φησιν ἐκείνω. ἥτις σώφρων γυνὴ οὐδὲν
ἠδικῆσθαι νομίζει τοῦ ἀνδρὸς ἐφ' ἕτερον λέχος τραπέν
τος. Φόρους τ' ἐς ἥρας.) ἥραια πένθιμος ἑορτὴ παρὰ κο
ρινθίοις. ἀκραία εἴρηται παρὰ τὸ ἐν ἀκροπόλει ἱδρῦ/
σθαι. τέλη δὲ λέγει τὰ μυστήρια καὶ τὰς τελετάς. ἐγὼ
δέ φησι περιποιήσω αὐτοῖς πάνδημον ἑορτήν. ἐν ᾗ πα
νηγυρίσουσι πάντες οἱ δημόται θυσίας ἐπιτελοῦντες
αὐτοῖς. θύουσι δὲ αὐτοῖς καὶ ἀργεῖοι κατὰ χρησμόν. Ἀρ
γοῦς κάρα σὸν λειψάνῳ.) ἱστορεῖται ἰάσων τέλει τοιού
τῳ χρήσασθαι. κοιμώμενον γὰρ αὐτὸν ὑπὸ τὴν ἀργὼ
κατασαπεῖσαν ὑπὸ πολλοῦ χρόνου, μέρος τι ταύτης
ἐκπεσὸν κατὰ τῆς κεφαλῆς ἔκρουσεν. ἀργοῦς οὖν λει/
ψάνῳ λέγει ἀντὶ τοῦ μέρει τινὶ τῆς ἀργοῦς. Ἄλλως.
οἱ μὲν λέγουσι κατὰ μηδείας χόλον ἢ κέλευσιν ὑπὸ τῇ
πρύμνῃ τῆς ἀργοῦς καταδαρθέντα τὸν ἰάσονα τελευ/
τῆσαι ἐμπεσόντος αὐτῷ ξύλου. νεόφρων ξενικώτως τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παράγραφος πρὸς αὐτὸν εἰποῦσαν τέλος γὰρ αὐτόχθονι σῷ μόρῳ φέρεις·

„ βροτὸν ἀγχόνης ὑποπάσασ' ἔρη·
„ τοῖα τι μοῖρα σῶν κακῶν ἔργων μένει·
„ διδάξεις τοὺς ἄλλους μυρίους ἐφημέρους
„ θεῶν ὕπερθε μὴ ποθ' αἱρεῖσθαι βροτούς·

## Ὑπόθεσις ἱππολύτου στεφανιφόρου·

Θησεὺς μὲν ἦν αἴθρας υἱὸς καὶ ποσειδῶνος· βασιλεὺς ἀθηναίων· γήμας δὲ μίαν τῶν ἀμαζονίδων ἀντιόπην ἱππόλυτον ἐγέννησεν· κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα· ἐπεὶ δὲ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο κρητικὴν γυναῖκα τὴν μίνωος τοῦ κρητῶν βασιλέως θυγατέρα φαίδραν· ὁ δὲ θησεὺς πάλλαντα ἕνα τῶν συγγενῶν φονεύσας, φεύγει εἰς τροιζῆνα μετὰ τῶν συγγενῶν· οὗ συνέβαινε τὸν ἱππόλυτον παρὰ πιτθεῖ τρέφεσθαι· θεασαμένη δὲ τὸν νεανίσκον ἡ φαίδρα, εἰς ἐπιθυμίαν ὤλισθεν οὐκ ἀκόλαστος οὖσα· πληροῦσα δὲ ἀφροδίτης μῆνιν ἢ τὸν ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα, τέλος τοῖς προτεθεῖσιν εἴκει· στέργουσα δὲ τὴν νόσον, χρόνῳ πρὸς τὴν τροφὸν δηλῶσαι ἠναγκάσθη· καὶ κατεπηγγελμένη αὐτῇ βοηθῆσαι· ἥτις κατὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ· τραχυνόμενον δὲ αὐτὸν ἡ φαίδρα καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν, αὐτὴν δὲ ἀνήρτησεν· καθ' ὃν καιρὸν φανεὶς θησεύς, καθελεῖν σπεύδων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην βίβλον· δι' ἧς ἱππολύτου φθορὰν κατηγόρει καὶ ἐπιβουλήν· πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν ἱππόλυτον ἐπέταξε φεύγειν· αὐτὸς δὲ τῷ ποσειδῶνι ἀ

ρὰς ἔθετο· ὧν ἐπακούσας ὁ θεὸς τὸν ἱππόλυτον διέφθει
ρεν. ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστον διασαφήσασα
θησεῖ, τὴν μὲν φαίδραν οὐκ ἀπεμέμψατο. τοῦτον δὲ
παρεμυθήσατο υἱοῦ καὶ γυναικὸς στερηθέντα. τῷ δὲ ἱππολύ
τῳ τιμὰς ἔφη γῆς ἐγκαταστήσασθαι. ἡ σκηνὴ τοῦ δρά-
ματος ὑπόκειται ἐν θήβαις ἐπὶ ἀμείνονος ἄρχοντος ὀ-
λυμπιάδι πζ' ἔτει δ'. πρῶτος εὐριπίδης. δεύτερος
ἰοφῶν. τρίτος ἴων. ἔστι δὲ οὗτος ὁ ἱππόλυτος δεύ-
τερος. καὶ στεφανίας προσαγορευόμενος.
ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος
τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορί-
ας ἄξιον ἐν τούτῳ διώρθω-
ται τῷ δράματι. τὸ δὲ
δρᾶμα τῶν πρώ
των.

# ΕΥΡΙΠΙΔΟΥ ΙΠΠΟΛΥΤΟΣ ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος.) δυνατὴ θαυμαστὴ μεγίστη. ὅμηρος. πολλὸς γάρ τις ἔκειτο παρήορος. πάσαις δὲ ταῖς ἀπὸ ἡλίου εἰκότως διάκειται ἡ ἀφροδίτη διὰ τὸν ἔλεγχον τῆς μοιχείας ἄρεος. ἡ δὲ διάνοια ἐμφαντικώτερον πέφρασται. ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἀπολαμβάνουσα. Τερμόνων.) εἰς τὸ ἔσχατον. ἵνα καὶ τοῖς στοιχείοις ἀφροδίτην γινώσκεσθαι δι' ὧν φύεται. οἷον καὶ τὰ ἔσω τοῦ πόντου φυόμενα ἀφροδίτην. οἱ δὲ τῇ φύσει. τοὺς ἐν τοῖς πέρασι τῶν στοιχείων τούτων κατοικοῦντας θηριώδεις ἀνθρώπους λέγει. ὃ καὶ βέλτιον. Ὅσοι τε πόντου τερμόνων.) ἐπὶ μέγιστον ηὔξησε τὸ κατηγόρημα τοῦ νεανίσκου. εἰ γὰρ ἐκεῖνοι θηριώδεις ὄντες τὴν φύσιν καὶ νόμων καὶ γραφῶν ἄπειροι, σέβουσιν ὅμως τὴν θεὸν τὴν φύσιν δεξάμενοι διδάσκαλον, πάσης καταγνώσεως ὁ ἐν μέσῃ τῇ ἑλλάδι τραφεὶς. καὶ μέγιστον ἐπὶ φιλοσοφίᾳ φρονήσας. εἰ δὲ καὶ σωφρονεῖν ἀπὸ γάμων ἤθελεν. οὐδὲν ἧττον ἔδει πάλαι αὐτὸν σέβειν τὴν δαίμονα. προεστῶσαν τῶν ἀγαθῶν ἐπιθυμιῶν. πάντες γὰρ οἱ φιλόσοφοι, τιμῶσι τὴν θεὸν πρὸς τὸ μὴ πρὸς ταύτην ἁμαρτάνοντες τὰ ἐναντία τῆς γνώμης δυστυχεῖν. τερμόνων δὲ ἀτλαντικῶν περὶ τὸ ἀτλαντικὸν πέλαγος ἤκουσαν. ἔνιοι δὲ τὰ γάδειρα ἔνθα ἐστὶν ὄρος ὁ ἄτλας ὅπερ ἐστὶ δυτικόν. ὁ δὲ πόντος ἀνατολικόν. Τοὺς μὲν σέβοντας.) τὸ ἑξῆς τῆς διανοίας. προαποδει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χθέντος τοῦ μεγάλως με τινὰ καὶ ἐπισήμονα παρὰ τοῖς ἀνθρώποις, τοιαύτη τίς εἰμι τὴν φύσιν· ὡς τοὺς μὲν σέβοντας τιμᾶν· τοὺς δὲ ἀποσειομένους τὴν εἰς ἐμὲ εὐσέβειαν καταβάλλειν· ἀντὶ τοῦ πολλή τις οὖσα, τοὺς μὲν τιμῶ, τοὺς δὲ σφάλλω· πρεσβεύω δὲ τὸ ὑπερτιμῶ· οὕτως ἀττικοί· πρεσβεύειν γὰρ τὸ τιμᾶν. Σφάλλω.) βλάπτω. Εἰς ἡμᾶς.) καθ' ἡμῶν. Ἔνεστι δὴ γὰρ δή.) ἔνεστι δὲ ἐν τοῖς θεοῖς τὸ χαίρειν ταῖς τιμαῖς· ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρώπων· καὶ διὰ τοῦ καὶ ἔδειξεν ὅτι ὁμολογεῖται πᾶσιν ἀνθρώποις. Δείξω δὲ.) ἔξεστί μοι τοῦτο καὶ ἐπὶ τῶν καθόλου προειρημένων νοημάτων λαβεῖν· ἐξαιρέτως δὲ ἐπὶ τοῦ τοὺς μὲν σέβοντας τιμῶ τοὺς δὲ βλασφημοῦντας με σφάλλω. Ὁ γάρ με θησέως.) ὅτι γὰρ μετὰ ἡρακλέους ὁ θησεὺς ταῖς ἀμαζόσιν ἐπολέμησε διὰ τὴν ζωστῆρα, καὶ ἤνυσαν, ἔλαβεν αἰχμάλωτον καὶ ἤγαγεν εἰς τὴν ἑλλάδα· καὶ συμμιγεὶς αὐτῇ ἐποίησεν υἱὸν ὁμώνυμον τῇ ἱππολύτῃ. Ἁγνοῦ πιτθέως.) ἁγνοῦ πιτθέα· ὡς καὶ ἐν μηδείᾳ φησί· παῖς ὡς λέγουσι πέλοπος εὐσεβέστατος· παρὰ πιτθεῖ τῷ πάππῳ τῆς αἴθρας, τῆς μητρὸς θησέως ἐπαιδεύετο ὁ ἱππόλυτος· ἦν δὲ ὁ πιτθεὺς σοφὸς καὶ χρησμολόγος καὶ ἱερὸς θεοῖς· ὃς καὶ ἔλυσε τὸν χρησμὸν τῷ αἰγεῖ· καὶ τὴν θυγατέρα ἔδωκεν· εἰδὼς τῇ σοφίᾳ οἷος ἔσται ὁ τεχθησόμενος· παρ' αὐτῷ δέ φησιν ὁ θησεὺς ἐπαιδεύετο ὡς καὶ καλλίμαχος μαρτυρεῖ. Πεφυκέναι.) ὑπάρχειν· καὶ τί φησιν ἐλύπει αὐτὴν τὸ τῆς φιλοσοφίας· καὶ λεκτέον ὅτι ὡς αὐτὸν ἀτιμάζων, καὶ τοῦτο ἐποίει, ὡς καὶ αὐτῇ μὴ ποιεῖν τὰ πρέποντα· ἀγνοῶν ὅτι καὶ σωφροσύνης ἔρωτας αὐτὴ ἀποστέλλει· ὡς αὐτὴ ἐν τῇ διηγήσει λέγει·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἄλλως. καὶ τί φησιν αὐτὴν ἐλόπει τοῦτο. ἀλλ' οὕτως αὐτὸ εἶπεν ὡς ἐκείνου πρὸς κνισμὸν αὐτῆς τοῦτο ποιοῦντος. Ἐξαίρει.) ἐκ μέσου αἴρει. ἀφανίζει. Προσπεσὼν ὁμιλίας.) ἐντυχών. δυστυχήσας τῆς ἐπιμιξίας τῆς δαίμονος πλέον ἢ ὡς δεῖ ἀξιούσας ἀνθρώπου φιλίας θεοῦ. οἷον μείζονι τῆς ἀνθρωπίνης ὁμιλίας ἐντυχὼν τῆς ἀρτέμιδος. Τούτοισιν.) ἕνεκεν τούτων. Τί γάρ με δεῖ.) οὐ δεῖ γάρ με φθονεῖν. Πάλαι προκόψασα). ἀρχαϊσμός ἐστι τοῦτο. οὐ σολοικισμός. Πάλαι προκόψασ' οὐ πόνου.) τοῦτο ἐσολοίκισεν. οὕτω γὰρ ἔδει εἰπεῖν. τὰ πολλὰ δὲ πάλαι προκόψασα οὐκέτι πολλοῦ ἔχω πόνου. Προκόψασα.) προκατασκευάσασα. ἐπαυξήσασα τὴν ἐπίνοιαν. ὥσπερ ἂν εἴ τις εἴποι προοικονομήσασα, ὀλίγου χρείαν ἔχω πόνου. γέγονε δὲ σολοικισμὸς πρὸς τὸ ἀκατάλληλον τῆς πτώσεως. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. προανυσάσῃ μοι τὰ πρὸς ἔρωτα τοιῷδε τρόπῳ ὀλίγα λείπεται πρὸς τὴν τιμωρίαν. Ἐλθόντα γάρ νιν.) ἐν τῇ ἀττικῇ ἔτι οὖσα ἡ φαίδρα πρὶν μετοικῆσαι εἰς τροιζῆνα ἰδοῦσα τὸν ἱππόλυτον ἐλθόντα ἐπὶ μύησιν τῶν ἐλευσινίων, ἤρα. καὶ πρὶν εἰς τροιζῆνα ἐλθεῖν. ὥστε καὶ ἐκ τῆς συνεχοῦς θέας δυνατὸν γενέσθαι τὸν ἔρωτα. ὡς πολὺς ἦν. ὅτι καὶ ἐξ αἰφνιδίου θέας τηλικοῦτον ἴσχυσε. Σεμνῶν ἐς ὄψιν.) μεγάλων. σεπτῶν. ἔοικε δὲ λέγειν τὴν ἐλευσινίων. ὄψιν δὲ λέγει τὴν θέαν. τέλη δὲ τὴν τελετήν. καὶ πρὶν μὲν ἐλθεῖν. τὸ ἐξαίρετον τοῦ ἔρωτος δηλοῖ. ὅτι καὶ πρὸ τοῦ ἐλθεῖν εἰς τροιζῆνα οὕτως ἤρα, ὡς καὶ ἀφροδίτης ἱερὸν ἱδρύσασθαι, ἐν τῇ ἀττικῇ, ἐξιλεουμένους τὸν ἔρωτα. καὶ μὴ παρόντος ἐρῶσα τοῦ ἱππολύτου. ὥστε καὶ ἐπ' αὐτῷ ἱδρύσασθαι τὸ ἱερόν, ἐπὶ πέτρας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν ἔρωτα ἐν τῇ ἀττικῇ· ἀφ᾽ ἧς ἀποβλέπεσθαι τὴν τροιζῆνα, ἀφροδίτης ναὸν ἱδρύσασθαι τὴν φαίδραν φασί· ἐκάλεσε δὲ ἀφροδίτην ἐφ᾽ ἱππολύτῳ· ἣν καὶ ἱππολυτίαν καλοῦσι. ὅτι ἡ τροιζὴν τὸ τέλος ἐστὶ τῆς πελοπονήσου ἀντικειμένη τῇ ἀττικῇ καὶ τῷ γλαυκώπει ὄρει τῆς ἀττικῆς. τὸ θύνιον. οἱ δὲ ἀττικῶς λεγόμενον ὑπὸ τροιζῆνος λαμβάνουσιν. ἐπειδὴ καὶ ἐν αὐτῇ ὑφέστηκε τὰ πράγματα. βέλτιον δὲ ἐπακολουθοῦντα τοῖς προτέροις πρὸς τὸν ἀττικὸν πανδίονα αὐτήν. καὶ τ᾽ ἄλλα ὡς προειρημένα αὐτὸ λαμβάνειν. Παλλάδος κατόψιον.) ἀντὶ τοῦ τοῦ κατὰ τὸ ἀντικείμενον. τοῦτο δὲ τὸ κατόψιον πιθανώτερον ἐξηγούμενοι, ἤκουσαν τὸ ὄρος τὸ ἀντικείμενον τῷ γλαυκωπείῳ τῆς γῆς τῆσδε. ὅ ἐστι τροιζῆνος. Ἄλλως. κατόψιον τὸ ὑψηλόν. παρόσον τὰ ὑψηλὰ κατοπτεύουσι πάντα τὰ ὑποκείμενα. πέτραν δὲ παλλάδος τὸ γλαυκώπιον ὄρος. Ἐγκαθίσατο.) ἔκτισεν. Ἱππολύτῳ δ᾽ ἔπι.) ἐπ᾽ αὐτῷ τῷ ἱππολύτῳ. Τολοιπόν.) εἰς τὸ μετὰ ταῦτα. Ἱδρῦσθαι θεάν.) ἐν γὰρ τῇ ἀκροπόλει ἱδρύσατο ἀφροδίτης ἱερὸν ὑπὸ κακῶν ἱππολύτου.

Κεκροπίαν.) τὴν ἀττικήν. Μίασμα φόνων.) τοὺς παλλαντίδας ὑπὸ θησέως ἀνῃρῆσθαι φιλόχορος ἱστορεῖ, οὕτω πάλλαντος ὑποθεῖναι ταῖς ἀθήναις διανοουμένου, καὶ τὴν σφηττίαν ὁδὸν προφανῶς διαπορθουμένου ὑπὸ τὸ ἄστυ μετὰ τῆς δυνάμεως αὐτοῦ. οἱ τούτου παῖδες κατὰ βούλησιν τοῦ πατρὸς βαρβίτου ἐγκαθίζουσι μετὰ τῶν ἡλικιωτῶν ἵν᾽ ὅταν ἐπεξέλθωσι τοῖς ἀθηναίοις καὶ ὁ πάλλας συμβάλῃ, ἐξ ἐφόδου προσπεσόντες λάβωσι τὴν πόλιν. ἀνὴρ δέ τις ὃς ἐκηρύκευσε τῷ πάλλαντι ἀπαγγέλλει τῷ θησεῖ τὸ γινόμενον. ὁ δὲ προσπεσὼν

μετὰ τὴν ἡλικιωτῶν αὐτοὺς ἀναιρεῖ. ἡ δὲ ἱστορία, οὕτως ἔχει. νῖσος, καὶ πάλλας καὶ αἰγεὺς τρεῖς ἀδελφοὶ ἐκ πανδίονος. καὶ ὁ μὲν νῖσος τὰ μέγαρα ᾤκει. αἰγεὺς δὲ καὶ πάλλας δήμων τινῶν ἦρχον. τῆς ἀττικῆς οὔπω συνῳκισμένης εἰς ἕν. λόγος οὖν τὸν θησέα ἀντίον ὄντα τῶν παλλαντιδῶν παίδων, ἕνα αὐτὸν ἀντιποιούμενον τῆς βασιλείας ἀνελεῖν. ὁ δὲ οὕτως ἱστόρησαν. φασὶ γὰρ τοὺς παλλαντίδας παῖδας ἀνελεῖν τὸν θησέα λοχῶντας ἵνα εἰσπέσωσι τῇ πόλει. ὅτ' ἂν ὁ πατὴρ αὐτῶν πάλλας ἐγγὺς γένηται. ὁ δὲ θησεῖ μηνύσας τὴν ἔφοδον αὐτῶν, ἀνὴρ ἦν ὃς πάλλαντι ἐκηρύκευσε. ὡς οὖν βοὴν τῷ πάλλαντι τοὺς παῖδας αὐτοῦ καταλύοντας ἀνεῖλεν ὁ θησεύς. ἐπεὶ δὲ νόμος ἦν τοὺς ἐμφύλιον καὶ συγγενικὸν φόνον ποιήσαντας ἑκουσίᾳ φυγῇ ζημιοῦσθαι τὸ μίασμα, ἔξορον αὐτὸν ἐποίησε. καὶ τὴν γυναῖκα πλησιάζουσαν ὡς τοὺς συγγενεῖς μετήνεγκεν εἰς ἑαυτὸν ἐκ ταύτης. καὶ πάσης τῆς πελοποννήσου ἀφώρισεν. ἔθος γὰρ τοῖς ἐφ' αἵματι φεύγουσιν ἐνιαυτὸν ποιεῖν ἐκτὸς τῆς πατρίδος. Ναυσολεῖ.) μεθίστασθαι. ἐς τὴν ἀττικὴν ἦλθε πλεύσας ὅπως ἐνιαυτὸν ποιήσῃ. Αἰνέσασ' εὐαρεστήσασ.) συγκατατιθέμενος. Δεῖ πεσεῖν.) ἀνενέργητον γενέσθαι. Πρᾶγμα.) τὸν ἔρωτα. Ἡ δ' εὐκλεὴς μέν.) μίνωος γάρ ἐστι θυγάτηρ. καὶ θησέως γυνή. ὅτι ἐρῶσα καρτερῶ. διὰ τὸ θησέως μὲν εἶναι γυνή. μίνω δὲ θυγάτηρ, εὐκλεής ἐστι. τὸ δὲ ἀπόλλυται. ἀντὶ τοῦ ἀπολεῖται. καίπερ οὖσα εὐκλεής. τὸ δὲ αἴτιον ὅτι πάσαις ταῖς ἀφ' ἡλίου γενομέναις ἐμήνισεν ἀφροδίτη διὰ τὴν μηνυθεῖσαν αὐτοῖς ὑφ' ἡλίου μοιχείαν. τὴν οὖν πασιφάην οὐ μόνον τοῦ ταύρου, ἀλλὰ καὶ τοῦ μίνωος ἐρασθῆναι φασὶν ὡς ἱστορεῖ σωκράτης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰκότως δὲ ἡ ἀφροδίτη τὴν παρ' ἀμφοῖν εἰσπράττεται τιμωρίαν· παρὰ μὲν φαίδρας ὅτι ἀφ' ἡλίου· παρὰ δὲ ἱππολύτου ὅτι οὐκ εἶχε τὰ κατ' αὐτὴν ἐν τιμῇ ἅπαξ· τὴν δὲ τὴν πρὸς τὰς γυναῖκας ὁμιλίαν. Τὸ τῆς δ' οὐ προτιμήσω.) οὐ τὸ ταύτης κακὸν ἔμπροσθεν θήσομαι μὴ τιμωρήσασθαι τοὺς ἐχθροὺς ἀντὶ τοῦ μὴ φροντίσω τῆς ἀπωλείας αὐτῆς. Τὸ μὴ οὐ παρασχεῖν.) τοὺς ἐμοὺς ἐχθροὺς δίκην· ὕστερον θήσομαι. Ἄλλως. Οὐκ ἂν προτιμήσαιμι τὴν ταύτης ἀπώλειαν· καὶ τὸ μὴ τιμωρήσασθαι τοὺς ἐμοὺς ἐχθροὺς, ἐν ὑστέρῳ θήσομαι. καὶ πάλλας πολύπαις ὢν ὡς ἄπαιδα τὸν αἰγέα κατεπόνει. ἕως ἡβήσας ὁ θησεὺς ἠμύνατο τοὺς παλλαντίδας. βαλὼν γὰρ ἐν κυνηγίῳ κατὰ συὸς τινὰ τῶν πάλλαντος παίδων ἀπέκτεινεν. Θήσομαι δόμων.) γράφεται τόπων. Ὀπισθόπους.) ὁ ἑπόμενος χορός. Λέλακεν.) βοᾷ. ὑμνεῖ. Οὐ γὰρ οἶδ' ἀνεῳγμένας πύλας.) οὐκ ἐπίσταται φησὶν ὅτι ἕτοιμος αὐτῷ ὁ θάνατος. Ἐπῳδ' ἄδοντες.) τὸ ἄγαλμα τῆς ἀρτέμιδος, οἱ μὲν δικτάμνῳ· οἱ δὲ ἐχίνῳ· οἱ δὲ λωτῷ στέφεσθαι φασί· δίκταμνον φασὶν ἐν κρήτῃ μόνῃ· τοῦτο δὲ καὶ ὠκυτόκιον εἶναι· διὸ καὶ ταῖς δυστοκούσαις δίδοσθαι χάριν τοῦ ταχέως τίκτειν. Εὐπατέρειαν.) τὴν καλλίστην τοῦ πατρὸς διὸς αὐλήν. Ἐπῳδ' ἄδοντες.) τοῦτο ἔνιοι τὸν ἱππόλυτον φασὶν ᾄδειν· ἄμεινον δὲ τοὺς ἑπομένους τῷ ἱππολύτῳ ἀπὸ τῶν κυνηγεσίων ταῦτα λέγειν· ἕτεροι δὲ εἰσὶ τοῦ χοροῦ καθάπερ ἐν τῷ ἀλεξάνδρῳ ποιμένων. ἐνταῦθα μὲν οὖν δύναται προσαποχρήσασθαι τοῖς ἀπὸ τοῦ χοροῦ· ἐκεῖ δὲ συνεστῶτος τοῦ χοροῦ ἐπεισάγει τοῦτο τὸ ἄθροισμα. Ἄλλως. Ὁ ἱππόλυτος

ὑμνεῖν παρακελεύεται. ἢ ἀλλήλους προτρέπονται οἱ ἀπὸ τοῦ χοροῦ. ἢ γὰρ οἱ συνεπόμενοι τῷ ἱππολύτῳ κυνηγέται. ἄλλοι δὲ τινές εἰσι παρὰ τὸν χορόν. ὁ γὰρ χορὸς ὡς εἴρηται ἐκ τροιζηνίων γυναικῶν. Σοὶ τόνδε πλεκτόν.) διαβεβόηται τοῦτο τὸ ζήτημα. καὶ οἱ μὲν ὑπέλαβον τὸν ἱππόλυτον στέφειν τὴν ἄρτεμιν ἀνθινῷ στεφάνῳ. ὁ δὲ φιλόχορος τὴν ἐν ἄγραις ἄρτεμιν. τῷ μὲν λόγῳ στέφεσθαι φησίν. ἀφ᾽ ἑαυτοῦ δὲ τὸν ἱππόλυτον ταῦτα λέγειν. ὅτι ἐμαυτὸν σοὶ ἀνατίθημι ὦ θεὰ στέφανον. τουτέστι κόσμον ἀνθηρότατον. κόσμον γὰρ εἶναι τῇ παρθένῳ τὸ μετὰ τοῦ σωφρονεστάτου τῶν νέων διημερεύειν. ἄλλοι δὲ φασὶ μηδὲν αἰνίττεσθαι τὸν ποιητήν, μηδὲ ἀλληγορεῖν. ἀλλὰ κυρίως λέγειν. καὶ τῷ ὄντι στέφανον φέρειν τὸν ἱππόλυτον. τοῦτον δὲ ἐκ τοιούτου λειμῶνος καθ᾽ ὃν οὐκ ἔστιν ἡμῖν ὅσιον, οὐδὲ δρέπεσθαι τῶν ἀνθέων. τὸ γὰρ οὐκ ἦλθέ πω σίδηρος εἰς τοῦτο καταστρέφει, ὅτι οὐδὲ δρέπεσθαι ὑπό τινος. οὐδὲ ἐργάζεσθαι. ἄλλοι δέ φασι τὸν εὐριπίδην, τροπικώτερον τὸν ἐπὶ τῇ ἀρτέμιδι ὕμνον, στέφανον λέγειν. καὶ γὰρ δὴ παράλογον εἶναι καὶ πολλὴν ἀτοπίαν ἔχον. καὶ δοκεῖν ἄνθιμον λειμῶνα εἶναι. ὅθεν ἐκλήθη τὰ ἄνθη. καὶ τοιοῦτον εἰς ὃν οἱ εἰπόντες ἐξετάζονται. καὶ πότερον διδακτὴν ἔχουσι τὴν σωφροσύνην ἢ ἐκ φύσεως. καὶ κατηρτίσθαι αὐτόν. φιλόχορος δέ φησι τῷ μὲν ξοάνῳ πλεκτὸν στέφανον προσφέρειν. τῇ δὲ θεῷ τὸν ὕμνον. ἐξ ἀκηράτου δὲ τῆς ἀδόλου καὶ ἀφθάρτου διανοίας.

Ἄλλως.) ποιητικῶς οἱ ποιηταὶ τὰς μὲν ἰδίας φύσεις λειμῶσιν ἢ ποταμοῖς ἢ μελίσσαις εἰκάζουσιν. τὴν δὲ ποίησιν στεφάνοις. διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστάντες. διὰ δὲ τῶν ἀνθῶν τὴν πλη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θὴν καὶ τὴν εἰς τὸ ποιεῖν ὁρμήν. διὰ δὲ τῶν μελισσῶν τὸ μελιχρὸν. διὰ δὲ τῶν στεφάνων τὸν κόσμον τῶν ὑμνουμένων. ταῦτα δὴ πάντα συνελὼν ὁ ποιητὴς ἐφαίδρυνε τῆς ἀλληγορίας τὸν τρόπον. τὸ δὲ ἐξ ἀκηράτου λειμῶνος ὅτι δεῖ πάντως τὸν μετιόντα μουσικὴν καθαρὰν καὶ ἀκήρατον ἔχειν τὴν ψυχὴν πάντοτε καὶ ἄχραντον ἀπὸ κακοῦ. καὶ μάλιστα τῆς αἰδοῦς μεμοιραμένην, διὰ γὰρ τὸ αἰδέσιμον καὶ παρθένους ὑποτίθεται τὰς μούσας γονιμωτάτας οὔσας. Ἄλλως.) καθόλου μὲν ἐστὶ τῆς διανοίας καὶ στέφανον αὐτὸν προσφέροντα ἅτε δὴ σοφόν. τῷ μὲν γὰρ ξοάνῳ τὸν χειροποίητον στέφανον προσφέρειν. τῇ θεῷ δὲ τὸν ὕμνον. πλεκτὸν τοίνυν στέφανον λέγει τὸν ὕμνον. δίκην πλοκῆς συντεθέντας τοὺς λόγους ἀποτελεῖν τὸν ὕμνον. ἀκήρατον δὲ λειμῶνα ἀνθοφορεῖ τὸν ἐξ ἀνθέων πεπλεγμένον στέφανον τῇ παρθένῳ καὶ ἄδολον ἔννοιαν, ἐν ᾧ λειμῶνι οὐδὲ ποιμὴν ἄξιον νενόμικε τὰ ποίμνια ἄγειν. τὰ γοῦν ἄνθη τούτου τοῦ λειμῶνος σοφίας εἶναι καὶ ἀρετῆς ἀποτελέσματα. ἀλλὰ μὴν οὐδὲ σίδηρος εἰς τμῆσιν ἦλθε τοῦ λειμῶνος. καὶ αὐτοῦ τὰ ἄνθη περιέκειρε. σίδηρον δὲ λέγει ἤτοι τὸν πανοῦργον. φιλοπραγμονίαν καὶ κακουργίαν. ἢ τὴν τῶν αἰσχρῶν ἡδονῶν φθοράν. ἵνα αὐτὰς τὸ παρθένιον καὶ ἄδηλον δηλοῖ. Βοτὰ δὲ λέγει τὰ ποίμνια. μέλισσαν δὲ ἀλληγορικῶς αὐτὴν τὴν ψυχήν. καθαρὸν γάρ τι ζῶον ἡ μέλισσα. ἔνθεν τὰς ἱερείας μελίσσας καλοῦσιν οἱ ποιηταί. ἐαρινὴν δὲ αὐτὴν λέγει ἤτοι ὅτι μέλισσα ἥδεται τῷ ἔαρι διὰ τὰ ἄνθη ἢ ὅτι αἱ καθαραὶ ψυχαὶ ἀεὶ ἐν ἄνθεσι εἰσί. τὸ γὰρ ἀνθέων γεννητικόν. Αἰδὼς δὲ ποταμίαισιν.) ἡ αἰδώς φησι τοῦτον τὸν λειμῶνα γεωργεῖ. καὶ

αὐτὸν τοῖς ὕδασι τοῖς ποταμίοις κηπεύει καὶ ποτίζει· καὶ γεωργεῖ· τοῦτο δὲ λέγει ἐπεὶ πλεῖστον μέρος τῆς σωφροσύνης ἡ αἰδὼς ἔλαχεν· καὶ τοῖς ἀγαθοῖς ἀνδράσι καὶ σοφοῖς ἔνεστι τὸ αἰδημονικὸν, ὅσοις οὖν μηδὲν ἐκ μιᾶς φύσεως ἔγνωσαι, ἀλλὰ φύσει τὴν σωφροσύνην ἐγνώκασι, τούτοις ἐκ τούτου τοῦ λειμῶνος μόνοις δρέπεσθαι· καὶ καρποῦσθαι τοιαύτης ψυχῆς καὶ σοφίας ἀπολαύει· Ἄλλως·) ταῦτα οὐκ ἔστιν ἐπινοῆσαι εἰ κυρίως τὶς βούλεται ἀπὸ τῶν κηπευμάτων ἐκδέχεσθαι τὸν λόγον· ἀλληγορεῖται οὖν τὰ προκείμενα· οἱ γὰρ ποιηταὶ ἐπεικῶς τὰς ἰδίας φύσεις μελίσσαις καὶ ποταμοῖς καὶ λειμῶσι προσομοιοῦσιν· αὐτὴν δὲ τὴν ποίησιν στεφάνοις διὰ μὲν τῶν ἀνθέων ὡς εἴρηται τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῶν παριστάντες· διὰ δὲ τῶν ποταμῶν τὸ πλῆθος καὶ τὴν ἐπὶ τὰ ποία ὁρμήν· διὰ δὲ τῶν μελισσῶν τὸ ἐπιμελὲς καὶ τὸ συντεταγμένον, ἅμα καὶ τὸ μελιχρὸν τῶν ποιημάτων· τοὺς στεφάνους ἕνεκα τοῦ λαμπρύνεσθαι δι' αὐτῶν τοὺς ἐπαινουμένους· ταῦτα δὲ πάντα συλλαβὼν ὁ εὐριπίδης ἐφαίδρυνε τὴν ἀλληγορίαν· δι' ἧς τὸν εἰς τὴν ἄρτεμιν ὕμνον ἠβουλήθη παραστῆσαι· τῶν ἄλλων ποιητῶν σποράδην τοῖς τρόποις χρησαμένων· τὸ δὲ ἐξ ἀκηράτου λειμῶνος δρέπεσθαι διὰ τὸ δεῖν τὴν ποιητικὴν ψυχὴν καθαράν τε καὶ ἀκήρατον εἶναι· καὶ παντὸς κακοῦ ἄχραντον· δεῖ γὰρ τοὺς ποιητὰς προσήκειν αὐξέμεν μοιρᾶσθαι πάντων· διὸ καὶ τὰς μούσας παρθένους εἶπον ἔνιοι· Ὅσοις διδακτὸν·) διδακτόν ἐστιν τὸ μὴ ἐκ φύσεως πλεονέκτημα· ἀλλ' ἐκ συνεχοῦς μελέτης ἀνυόμενον· καὶ οἱ φιλόσοφοι διδακτὰ λέγουσι τὰ κακά· φυσικὰ δὲ τὰ ἀγαθά· δηλονότι οὖν τὸ ἐκ βίας φύσεως

μάθημα ἢ συνεχὴς μελέτη. Χρυσέαν) τοῦτο πάλιν πρὸς τὸν χειροποίητον στέφανον. ὃν ἔφερε τῷ ξοάνῳ. τινὲς μέντοι καὶ τοῦτο ἀπὸ τῆς αὐτῆς ἀλληγορίας ἀκούουσι. λέγοντες. τὸν ὕμνον κόσμον εἰρῆσθαι αὐτῶν. τοῦτον οὖν λέγεις τὸν ὕμνον δεικτικῶς πρὸς τὸ εἰρημένον πότνια. Ἄναξ.) ἀπὸ τοῦ ἔχειν τὴν ἄνω ἀξίαν. Ἄναξ.) κυρίως σωτήρ. τοὺς οὖν θεοὺς ἄνακτας καὶ σωτῆρας καλοῦμεν. καταχρηστικῶς δὲ καὶ τοὺς δεσπότας ἄνακτας καλοῦμεν. ὡς δευτέρους σωτῆρας. δηλοῖ δὲ τοῦτο μάλιστα ὅμηρος. ἀστυάναξ. οἶος γὰρ ἔρυτο ἴλιον ἕκτωρ. εἴρηται γὰρ οἷον ὁ τοῦ ἄστεος σωτήρ. ὦ οὖν ἄναξ. θεοὺς γὰρ καὶ σωτῆρας τοὺς δεσπότας καλεῖν χρή. δύναται δὲ τὸ μὲν ἄναξ ἀπὸ τοῦ ἱππολύτου. τὸ δὲ δεσπότας ἀπὸ τῶν θεῶν. εἰκὸς γὰρ καὶ αὐτὸν μέλλοντα πάσης ἀνθρωπίνης φύσεως ὑπερτιθέναι τὸ κρεῖττον. Καὶ κάρτα γε.) καὶ μάλιστα. τὸ δὲ κάρτα κατὰ ἐναλλαγὴν λέγεται στοιχείου. κράτα. οἷον κραταιῶς. ὡς ἀπὸ τοῦ σάφα σαφῶς. Καὶ κάρτα γ' ἢ γάρ.) εἰ γὰρ μὴ ἀπὸ τῶν ἡττόνων ἐνδεχόμεθα λόγους, οὐκ ἐσμὲν σοφοί. νόμος) τὸ γεγραμμένον διάταγμα. τὸ κρατοῦν καὶ γεγραμμένον. ἔθος δὲ τὸ μὴ γεγραμμένον. Ἦ κἀν θεοῖσι.) ἆρα οὖν καὶ αὐτὸ τοῖς θεοῖς ὑπονοεῖν χάριν ἔχεις τοῖς συνηγόροις. Οὐ προσεννέπεις). συναγορεύεις. Εἴπερ γε θνητοί.) ἐπεὶ παρὰ θεῶν ἔλεγον τοὺς νόμους ἀκηκοέναι οἱ νομοθέται. ὡς λυκοῦργος μὲν ὑπὸ ἀπόλλωνος μίνως δὲ ὑπὸ διός. ὅμηρος. ἐννέωρος βασίλευε διὸς μεγάλου ὀαριστής. Αλλως. τοῦτο εἶπεν ἐπεὶ ἐξ ἀρχῆς ῥαδάμανθυς καὶ μίνως παρὰ θεῶν τὰ νόμιμα διδασκόμενοι τοῖς ἀνθρώποις φανερὰ ταῦτα ἐποίησαν.

Ἄλλοισιν ἄλλος.) ὃ λέγει τοιοῦτόν ἐστιν· οὐ πάντες τοὺς αὐτοὺς θεοὺς σέβομεν· οὐδὲ τοὺς αὐτοὺς ἀνθρώπους ἀγαπῶμεν· ἀλλ' οἱ μὲν τόνδε· ὁμοίως δὲ τὴν ἄρτεμιν σέβω· ἄλλοι δὲ τὴν ἀφροδίτην. Σεμνή γε.) σεμνὸν τὸ ὑπερήφανον καὶ τὸ ἐπαχθές· δηλοῖ δὲ καὶ τὸ τίμιον ὡς παρὰ χαρίτων φησί· πῶς οὖν οὐ σεμνὴν δαίμονα οὐ προσεννέπεις· δηλοῖ δὲ καὶ τὴν πάνυ τιμίαν· σεμνή γε μέντοι τῆς προσηγορίας ὁ μόχθος βραχύς· δὲ αὐτῆς γὰρ πρᾶγμα εὑρίσκει. Εὐδαιμονοίης.) οὕτω φρονῶν περὶ τῶν θεῶν· μή τι ὑπὲρ τὸ καθῆκον φρονῶν μή τι ὑπὲρ ἄνθρωπον· ὅ ἐστιν· εἴπερ τῆς ἀρετῆς ἔχειν τὸ ἄκρον μὴ ὑπὲρ ἄνθρωπον φρονοῦντα. Ἄλλως.) εἴης εὐδαίμων τὰ καθήκοντα φρονῶν· λυποῦμαι γὰρ νῦν ὁρῶν σε ἀφρονοῦντα. Οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεός.) οἷον ἐστὶ θεὸς μυούμενος ἐννυκτὶ ἐμοὶ οὐκ ἀρέσκει διὰ τὸ τῆς νυκτὸς θαυμάζεσθαι. Τιμαῖσιν ὦ ταῦ.) χρὴ ταῖς τιμαῖς τῶν θεῶν προσέρχεσθαι· τουτέστι τιμᾶν τοὺς θεοὺς ταῖς νομιζομέναις τιμαῖς τῶν θεῶν· αἷς προσήκει χρῆσθαι τὰ πρόσφορα· ἤτοι τὰ ἕτοιμα· τὰ ἁρμόζοντα· τὰ καθήκοντα· τὰ σύμφορα. Ὡς πρέπει δούλοις λέγειν.) ὡς πρέπει δούλοις τὴν εὐχὴν ποιησόμεθα· ἀντὶ τοῦ οὐ μετὰ πολυτελοῦς θυσίας· ἀλλὰ ψιλὴν προσφώνησιν ποιησόμεθα. Ὑφ' ἥβης.) ὑπὸ προπετείας. Σοφωτέρους.) φιλανθρωποτέρους. Σίτων μέλεσθε· τερπνόν.) τερπνὸν γὰρ ἐκ κόπου καὶ ηγίας εὑρεῖν τράπεζαν γέμουσαν· καὶ κορεσθῆναι.

Ἄλλως. τράπεζα πλήρης προτεθεῖσα δηλονότι καὶ καθολικόν ἐστι τοῦ καμάτου εὐκτότερα ποιοῦντος τὰ σώματα τῇ κινήσει τοῦ θερμοῦ. Ὠκιάν οὔ τις.) ὁ χορὸς

ἥκειν ἐκ τροιζηνίων γυναικῶν συναχθεὶς εἰς ἐπίσκεψιν τῆς φαίδρας. καὶ πρῶτα μὲν διηγεῖται πόθεν αὐτῇ ἡ φήμη τῆς βασιλίσσης ἦλθεν. ἔπειτα δὲ καὶ ζητεῖ τίς ἂν εἴη ἡ πρόφασις τῆς νόσου. ὁ δὲ νοῦς· πέτρα τίς ἐστιν ὕδωρ ὠκεάνιον στάζουσα. οὐ διιπετὲς οὐδὲ ὕετιον. ἀλλ' αὐτομάτως βλύζον. πᾶν δὲ ὕδωρ ὠκεανὸς λέγεται. τοιοῦτον ὕδωρ ἔχουσα πηγαῖον, ὥστε βάπτειν ὑδρίαν. ὠκεανοῦ δὲ καθὸ γλυκὺ. καὶ πότιμον. Βαπτὰν κάλπισι.) οἷον ὥστε βαπτίζειν ἐν τῇ ἀνθρωπίνῃ τὴν ὑδρίαν κομίζειν. ἢ τὴν περιρρεομένην ὑπὸ τοῦ ὕδατος πηγήν. Ἄλλως.) ὡς κοτυλήρυτον αἷμα. τὸ τὴν κοτύλην ἀναβάψαι. ἢ ὅτι περὶ τὴν τροιζηνίαν τοιαύτη τίς ἐστι πέτρα ἐξ ἧς τὸ καταφερόμενον ὕδωρ βάπτει τὰς ὑδρίας ὡς διονυσόδωρος ἐν τῷ περὶ ποταμῶν λέγει. Ῥυτάν.) δυναμένην βάψαι κάλπιν. καὶ περαιτέρω. Προϊεῖσα κρημνῶν.) τὸ ὕδωρ κατὰ τῶν κρημνῶν ἐξ ὕψους καταχέουσα. Τέγγουσα.) βρέχουσα. πλύνουσα ἐπὶ τὰ νῶτα τῆς θερμαινομένης τοῦ ἡλίου βολαῖς πέτρας. ὅθι μοι φίλη τίς ἐνέτυχε. ἐνέκειτο. ἀπιθάνως δὲ κεῖται τὸ ἦν. ἔδει γὰρ λέγειν. ἔνθα μοι τίς συνέτυχε φίλη. Ἄλλως. ἐνταῦθα μοι τίς γυνὴ ἐπελθοῦσα πλύναι τὰ ἱμάτια καὶ ταῦτα ἐπὶ τῆς εὐηλίου πέτρας ἐπὶ ξηρασίαν καταβαλούσης, ἀκούσασα τῆς βασιλίσσης τὴν νόσον πρῶτον ἤγγειλεν ἐλθοῦσα. φιλοῦσι γὰρ ἐν ταῖς τοιαύταις συνόδοις ὁμιλίαι περὶ βασιλέως προσπίπτειν πρὸς παραμυθίαν τῶν καμάτων. ὥστε οὐκ ἀπεικότως πρὸς πλύνουσαν φίλην πυθέσθαι καὶ εἰπεῖν. Ὅθεν μοι πρῶτον.) ὅθεν ἐκ τῆς φίλης δηλονότι. πρῶτον ἔμαθον τὴν φαίδραν καμνουμένην ἔσω τῶν οἴκων ἐπὶ τῆς κλίνης εἶναι. δέμας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ἐντὸς ἔχει ἀντὶ τοῦ ἔσω τῆς κλίνης ἐν τοῖς μυχοῖς τοῦ οἴκου. τοῦτο δέ φησιν, ἐπεὶ καὶ σωφροσύνης ἕνεκα πολλάκις ἀπροϊτία γίνεται. λεπτὰ δὲ φάρεα. λεπτοῖς δὲ φάρεσι κατακαλύπτεται τὴν κεφαλήν. οὐ γὰρ ἀνέχεται βαρύτερα διὰ τὴν προσοῦσαν. Τριτάταν δέ νιν κλύω.) τὸ ἑξῆς τριτάταν δέ νιν κλύω τάνδ' ἁμέραν, κατέχειν. ἁγνὸν τὸ σῶμα τῆς δήμητρος αὐτῆς. οἷον λοιπόν, τρεῖς ἡμέρας ἔχω ἀκούων περὶ αὐτῆς. ὅτι ἀσθενεῖ καὶ οὐ μεταλαμβάνει βρώσεως ἐν τῷ σώματι αὐτῆς. τὸ δὲ κρυπτῷ πένθει ἀντὶ τοῦ περὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐκφαινομένῃ, πρὸς τὸ τέλος τοῦ θανάτου φέρεται ἀντὶ τοῦ ὑπὸ τῆς ἀλγηδόνος καὶ τῆς νόσου τῆς κρυπτῆς μέλλει ἀποθνήσκειν. θαυμασίως δὲ ὁ εὐριπίδης φησὶν οὔτε σῖτα διὰ δέρης ἐδέξατο. ὡς βουλομένου μὲν φαγεῖν μὴ δυναμένης δὲ καταπιεῖν ὑπ' ἀσθενείας. περὶ δὲ φαίδρας αὐτῆς βουλομένης θάνατον, τὸ σύνολον αὐτὴν μὴ δέχεσθαι εἰς τὸ σῶμα τροφήν. Δέμας ἁγνὸν ἴσχειν.) περιφραστικῶς μὴ ἐσθίειν τροφῆς τῆς γῆς. λέγει δὲ τὴν οἷον ἀγωγὴν καὶ κλάσιν τοῦ σίτου διὰ τὸ κατάγνυσθαι ἐν ἅλωνι. ἐν τῷ μύλωνι θραύεσθαι. Κέλσαι τὶ τέρμα.) περὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐμφαινομένῃ πρὸς τὸ τέρμα τοῦ θανάτου κέλσαι προσπελάσαι θέλει οἷον ἀκούω αὐτὴν ἀσιτεῖν καὶ ἀποθανεῖν σπουδάζουσαν διὰ μετάστασιν βίου. Ποτὶ τέρμα.) ἤτοι δύσανον τέρμα. ἢ αὐτὴν δύσιμον. Σὺ γὰρ ἔνθεος ὦ.) ἀπέτεινε λοιπὸν λόγον πρὸς τὴν φαίδραν, τῆς νόσου τὴν πρόφασιν ζητῶν. ἐκ τοῦ τῆς μανίας αἴτιον προστιθέμενος δαίμονα. δοκεῖ γὰρ καὶ μαίνεσθαι ἐνίοτε τῇ ὑπερβολῇ τοῦ ἔρωτος. μὴ καθεστάναι δοκοῦντα ῥήματα φθεγγομένη. οἵαν περ αὐτὴν εἰσάγει καὶ κυνηγεσίων ἐρῶσαν. καὶ

δίαισι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δι' αἰνιγμάτων τὰ τοῦ ἔρωτος φράζειν, δοκοῦσαν μαίνεσθαι. Ἄλλως. ἐμμανὴς σὺ σεαυτῇ μανιῶδές τι ἔχουσα. τὸ ἑξῆς ἔνθεος φοιτᾷς. ὥστε εἶναι τὸ ἑξῆς τοῖς διανοίας οὕτως. σὺ γὰρ ὦ κόρη φαίδρα ἔνθεος καὶ ἐμμανὴς φοιτᾷς καὶ ἐνθουσιᾷς ἔκ τινος θεῶν τοῦτο παθοῦσα. καὶ ἀπορούσῃ εἰπέ μοι. ἐκ παντὸς σὺ ἐμμανής. ἢ καὶ ἐκ τῆς ἥρας ἢ κορυβάντων τοῦτο νοσεῖς. καὶ ἐπὶ τούτων ἁμαρτήσασα τὴν ὀρείαν καὶ μανίας αἰτίαν. Ἔνθεος.) ἔνθεοι λέγονται οἱ ὑπὸ φάσματός τινος ἀφαιρεθέντες τὸν νοῦν. καὶ ὑπ' ἐκείνου τοῦ θεοῦ τοῦ φάσματος κατεχόμενοι καὶ τὰ δοκοῦντα ἐκείνῳ ποιοῦντες.

Δικτύνναν ἀμπλακίαις.) ἐνίων τὴν αὐτὴν εἶναι φασκόντων. τινὲς δὲ δικτύνναν τὴν ἄρτεμιν ἀπὸ τῆς κυνηγοῦ νύμφης ἐμπεσούσης εἰς δίκτυα κριτομάρτιδος, φευγούσης τὸν μίνωα. παρὰ δὲ καλλιμάχῳ ἐν ἀρτέμιδος ὕμνῳ ἡ ἱστορία. τινὲς δὲ τὴν αὐτὴν εἶναι τῇ ἑκάτῃ περὶ ἧς φησὶν ἡσίοδος. μοῖραν ἔχει γαίης καὶ ἀτρυγέτοιο θαλάσσης. ὁ δὲ νοῦς σὺ δὲ μὴ θύσασα τῇ ἀρτέμιδι τρύχῃ. ἢ διότι τῇ ἑκάτῃ οὐκ ἐτέλεσας θυσίαν. πέλανοι δὲ τὰ εἰς θυσίαν πέμματα. Ἄλλως. τῶν μὴ τεθυμένων πελάνων ἐκτὸς μείνασα. καὶ μὴ ἀνιερώσασα ἑαυτὴν διὰ τῶν θυμάτων τῇ θεῷ τρύχῃ. πελάνων δὲ τῶν πλακούντων καὶ πελάνων τῶν ἐπιθυομένων. Ἢ πόσιν τὸν ἐρεχθειδᾶν.) στοχαστικὸν τὸ ἦθος. ἤ φησιν εἰς οὐδένα τῶν θεῶν οὐκ ἥμαρτες. ἀλλὰ ἔρωτα νοσεῖς τινός σε μοιχευομένου. καὶ τὸν ἄνδρα σου καὶ τὸν ἀθηναίων βασιλέα βουκολεῖς καὶ ἐξαπατᾷς. ὑπὸ τῶν σῶν λεχέων κρυπτῇ χρωμένους κοίτῃ. δύναται δὲ καὶ ἀντιστραμμένως ὁ λόγος εἶναι. ἤ τις γυνὴ ἀπατᾷ σου τὸν ἄνδρα τῷ ἔρωτι τῷ αὐτῆς χρωμένῳ. καὶ ἐκ τῆς ζηλοτυπίας εἰς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νόσον καὶ μανίαν κατήχθης. Ἄλλως. ἢ φησὶν εἰς οὐδένα τῶν θεῶν ἥμαρτες. ἀλλὰ τάχα τὸ δεινὸν ἔρως ἐστὶ καὶ μοιχεία ἑτέρου. φόβῳ δὲ τοῦ ἀνδρὸς. καὶ ἔρωτι τοῦ μοιχοῦ κατεχομένη ἀγωνιᾷς. δύναται καὶ ὡς τοῦ θησέως ἔχοντος ἑτέραν γυναῖκα ἑτέρως ταῦτ' ἐξηγεῖσθαι. ἤτις γυνὴ ἀπατᾶ σου τὸν ἄνδρα τῇ ἑαυτῆς λαθραίᾳ συνουσίᾳ. σὺ δὲ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίαν κατέστης. ἀγνοεῖ γὰρ ὁ χορὸς ἔκδημον ὄντα τὸν θησέα. ὅπου γε καὶ ἐν τοῖς ἑξῆς φησίν. ὅδ' εἰς πρόσωπον οὐ τεκμαίρεται βλέπων. εἶτα ἡ τροφὸς ἔκδημος ὅ γε τῆς δὲ τυγχάνει χθονός. ἀγνοῶν γὰρ καὶ αὐτὸν ἐνόμιζε παρόντα συνορᾶν τὰ γινόμενα. Η ναυβάτας.) ἕτερος λογισμὸς νόσου. ἢ τάχα τίς ναύτης ἐκ κρήτης ὁρμήσας εἰς τροιζῆνα φήμην πένθους τῶν οἰκείων ἀπήγγειλεν αὐτῇ. Ἄλλως. τάχα τὶς ἦλθεν ἐκ τῆς πατρίδος αὐτῆς λυπηρὰν φήμην κομίζων. καὶ ἐκ τούτων δὲ τῶν παθῶν τῶν ἠγγελμένων. καὶ τῇ ὑπὲρ παθῶν εὐναίᾳ λύπῃ δέδεται τὴν ψυχήν. ὡς καὶ εἰς τηλικαύτην νόσον ἀποσκήψαι τῆς λύπης. εὐναίᾳ δὲ λύπῃ τῇ εἰς εὐνὴν κατακλινούσῃ διὰ τῆς νόσου. τουτέστιν οὕτω συνδέδεται ἡ φαίδρα τῇ εὐναίᾳ λύπῃ ὡς ὑπερβαλεῖν ἅπαν πάθος. γράφεται δὲ καὶ πρὸς εὐθείαν, ὑπὸ τῆς λύπης εὐναία ἡ φαίδρα δέδεται τὴν ψυχήν. Φιλεῖ δὲ) καθολικῶς τοῦτο λέγειν. εἰώθασιν αἱ γυναῖκες ὅτε ἐγγὺς τοῦ τίκτειν γένωνται, δυσχερεῖ τροφῇ χρῆσθαι. καθὸ καὶ δύστροπον αὐτῶν τὸ πνεῦμα τῶν ὠδίνων. Ἄλλως. πρὸς ἀνακεφαλαίωσιν τῶν εἰρημένων στοχασμὸν ἐπάγει τὸ γνωμικόν. τῆς γυναικείας φύσεως διαφόρους ἀμηχανιῶν ἐπάγειν αἰτίας ποτὲ μὲν διὰ ὠδίνων πόνων. ποτὲ μὲν διὰ πορνείας. ἤτοι αὐτῶν μοι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χνομένων καὶ ἐπὶ τῇ ἁλώσει ἀποροισῶν. ἢ τῶν ἀνδρῶν πρὸς ἄλλας ἐχόντων καὶ ἐπὶ τούτων ἀπορουσῶν τῇ ζηλοτυπίᾳ. Ἄλλως. μὴ ἄρα ἐν γαστρὶ ἔχει ἡ φαίδρα καὶ διὰ τοῦτο ἀσιτεῖ. φιλεῖ γὰρ ὁ τοῦ ἐγκυμονεῖν καιρὸς δυστροπίαν ταῖς γυναιξὶν ἐργάζεσθαι. καὶ ἀποτροπὴν τῶν σιτίων εὐφροσύνας δὲ παραφροσύνας. ἀνοίας. Ἐξ οὗ πορνείας.) ἄλλοι δὲ γράφουσι δυσφροσύνας. ὅ ἐστι κακοχυμίας τῶν τοκετῶν. θέλει δὲ λέγειν τὴν κατὰ τὰς ἀλγηδόνας γινομένην ἔκπληξιν ἐκ τῶν ὠδίνων. λείπει δὲ τὸ ἕνεκεν. Ἠξεν ποτε νηδία.) τὸ πνεῦμα φησὶ τῶν ὠδίνων καὶ ἡ αὔρα αὕτη ὥρμησεν ποτὲ διὰ τῆς ἐμῆς γαστρός. τουτέστι. καὶ αὐτὴ ποτὲ ὠδίνων πεῖραν ἔχον καὶ ἔπαθον τοῦτο. ἐγενόμην φησὶ κἀγὼ ποτὲ ἐν ἀμηχανίᾳ. Τήνδε κοσμίως) τοῦτο σεσημείωκεν ἀριστοφάνης. ὅτι κατὰ τὸ ἀκριβὲς τὸ ἔγκλημα τοιοῦτον ἐστὶ τῇ ὑποθέσει. ἐπὶ γὰρ τῆς σκηνῆς δείκνυται τὰ ἔνδον πραττόμενα. ὁ δὲ ἔξω προϊοῦσαν αὐτὴν ὑποτίθεται. Τί σ' ἐγὼ δράσω.) τὸ ἦθος ἀπειρηκυίας, τῆς θεραπαίνας. ὥστε κοινῇ τὸν βίον βλασφημεῖν προάγεσθαι. διὸ καὶ γνωμικὸν ἐπισάγεται ὅπερ σύνηθες τοῖς δυστυχοῦσιν ἔπεισιν. ἐκκομίσασα δὲ αὐτὴν πρὸ τῆς σκηνῆς. καὶ πάλιν ὁρῶσα αὐτὴν ἀχθομένην ἐπὶ τῇ ἐξόδῳ τὰ τοιαῦτα λέγει. Τὸ δέ σοι φέγγος.) δεικτικῶς ἅμα καὶ ἀναφορικῶς λέγει. ἤδη σοι τὰ δέμνια τῆς κοίτης ἔξω τῶν οἴκων εἰσίν. εἰ δὲ καὶ καθὼς ἐπεθύμεις ἀνάκλισίς σοι ὑπαίθριος παρεσκεύασαι. καὶ γὰρ ἐνταῦθα ἐλθεῖν πᾶς λόγος ἦν σοι. καὶ οὐ διέλιπες λέγουσα ἐθέλειν προελθεῖν. οἶδα μέντοι τοῦτο ὅτι ταχέως σπεύσεις πάλιν εἰς τοὺς οἴκους γενέσθαι. καὶ δίδωσί μοι ἐντεῦθεν στοχάζεσθαι τὸ παλίμβουλόν σου. καὶ δυσάρεστον τῆς νοσ

τῆς νόσου. Τὸ μὲν ἐστιν.) ἤγουν τὸ νοσεῖν. τὸ δὲ θερα-
πεύειν τινὰ διπλοῦν. ἐν αὐτῷ γάρ τις καὶ τῇ λύπῃ αἰσχ
ται διὰ τὸν κακούμενον. καὶ κάμνει περὶ αὐτὸν ἀτυχῶν,
καὶ ἐνεργῶν ἐν τῷ ὑπηρετεῖν. βέλτιον οὖν σιωπήμως κα-
κοῦσθαι ἢ κακουμένου ἀνέχεσθαι. Ἀλλ᾽ ὅτι τοῦ ζῆν.)
ὁ νοῦς. ἐγώ φησι προκρίνω μᾶλλον τὰ καθ᾽ ᾅδου. καὶ
πᾶς ἄνθρωπος προέκρινεν ἄν. εἰ κἀκεῖνα ὁρῶν συνέ-
κρινε τοῖς ἐνεχθεῖ. νυνὶ δὲ ἐπειδὴ τοῦτο μὲν θέλγει τῷ
ἰδίῳ φωτὶ τῆς θέαν. ἐκεῖνο δὲ κεκαλυμμένον ταῖς μυθοποιΐ-
αις φοβερὸν εἶναι νομίζεται τούτου χάριν δυσέρωτες
μὲν αὐτοῦ ὑπάρχομεν. σφοδρῶς δὲ ἐρῶντες τούτου.
τοῦτο δέ φησι παρόσον διάφορος δόξα παρὰ τοῖς φι-
λοσόφοις περὶ τῆς τοῦ ἡλίου δυνάμεως. οἱ μὲν γὰρ ἐδό-
ξασαν σῶμα εἶναι τὴν φωτιστικὴν αὐτοῦ δύναμιν. ὧν ἐ-
στὶ καὶ ἀριστοτέλης διὰ τὰς γινομένας ἀντανακλάσεις
τῶν ἀκτίνων. τὰ γὰρ ἀσώματα ἀνεμποδίστως προϊόν-
τα ἀνακλᾶσθαι οὐ δύνανται. ἔτι δὲ καὶ ἐγκατεσκεπα-
σμένοις οἴκοις μὴ εἰσδῦνον τὸ φῶς. δεικνύει ὅτι οὐκ ἔ-
στιν ἀσώματον. οἱ δὲ ἀσώματον αὐτὸν φάσκοντες ἐκ τῶν
χρονικῶν ἐλλάμψεων τῶν γινομένων ἐξ ἡλίου πιθανῶς
κατασκευάζουσι. Ἄλλως. ἐκ τοῦ ὀδυνηροῦ βίου
στοχάζεται βελτίονα εἶναι τὰ ἐν ᾅδου τῶν ἐν γῇ. ὡς καὶ
αὐτὸς ἐν πολυΐδῳ. τί δ᾽ οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθα-
νεῖν. τὸ κατθανεῖν δὲ ζῆν. τὸ ἑξῆς. ἀλλ᾽ ὅτι βέλτιον κέ-
κρυφεν ὁ σκότος ὑπὸ γῆν. καὶ βέλτιόν τι ἄλλο τοῦ ἐν-
ταῦθα εἶναι ὑπὸ γῆν σκότῳ κρυπτόμενον καὶ δυσέρω-
τες φαινόμεθα καὶ σφόδρα φιλοῦντες τοῦτον τὸν βίον
διὰ τὸ ἀπείρως ἔχειν τοῦ ἄλλου βίου. καὶ μὴ εἰδέναι βελ-
τίονα εἶναι τὰ ἐπὶ γῆν, μάτην τοῖς μύθοις πιστεύοντες
φαινόμεθα τοῖς ποιοῦσιν αὐτὰ φοβερά. Μύθοις δ᾽ ἄλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῶς.) ὁ δὲ ἀντὶ τοῦ γὰρ τοῖς γὰρ μύθοις ἀπατώμεθα.
καὶ ταῖς τούτων σκηνοποιίαις διδασκόμεθα ἀναπλατ-
τόντων αὐτὸν κωκυτόν. καὶ πυριφλεγέθοντα καὶ ἀχέρον-
τα ποταμοὺς ἅδου. καὶ κύνα κέρβερον. καὶ χάρωνα. καὶ
πορθμέα. καὶ τῷ φοβερῷ τῶν ὀνομάτων καταπληττόν-
των ἡμᾶς. Αἴρετέ μου.) ἐφύλαξε τὸ τῶν νοσούντων
ἦθος πρὸς τὴν τοῦ σώματος κηδεμονίαν καταγινομέ-
νην. μονονουχὶ αὐτὴν ἡμῖν ὑποστήσασα τὴν φαίδραν προς-
κομιζομένην καὶ τοῖς λόγοις καὶ τοῖς σχήμασι. ὁ δὲ νοῦς
ὑποθεῖναι τοῖς ἑαυτῶν ὤμοις τοὺς ἐμοὺς βραχίονας. καὶ
ταῖς χερσὶν ἀντερειδομέναι μου τοῦ αὐχένος οὕτως
με ἐπαίρετε. κομματικαὶ δὲ αἱ διάνοιαι. καὶ τῇ τῶν πό-
νων ὀλιγωρίᾳ τὸ σπουδαζόμενον συντόμως ἐξαιρούμε-
ναι. Βαρύ μοι κεφαλῆς.) βαρὺ μέν ἐστί φησι τὸ ἔ-
χειν τὸ κεφαλόδεσμον. ἄκρως οὖν τὴν ἐρωτικὴν ἐνέφη-
νε πύρωσιν. οὐ γὰρ τοῦ συνήθους ἀνεχομένη στολίσματος.
ἀφέλετε τοίνυν αὐτό. καὶ ἀναπέτασόν μοι τὸν πλόκα-
μον. Μετάβαλλε δέμας.) μὴ ὑπὸ χαλεπότητι καὶ
κακοῖς διάῤῥιπτε τὸ σῶμά σου. ῥᾷον γὰρ μᾶλλον οἴσεις
τὴν νόσον γενναιάζουσα. Ἄλλως.
μὴ ὑπὸ τὰ ἀσύμφορα διάῤῥιπτέ σου τὸ σῶμα μᾶλλον
γὰρ εὖ οἴσεις τὴν νόσον μετὰ γενναιότητος. Αἶ. αἶ.
πῶς.) ἐπαναβέβηκε λοιπὸν ὁ λόγος ὥσπερεὶ συναυ-
ξόμενος τῷ πάθει. καὶ λοιπὸν ἐσχηματισμένη τὰ τοῦ ἔ-
ρωτος αἰνίττεται. λέγει οὖν ὅτι ἠβουλόμην ψυχρῶν ὑδά-
των τυχεῖν. ἵνα τὴν ἐν ἐμοὶ τοῦ ἔρωτος φλόγα σβέσω.
ἀναπαύσασα ἑαυτὴν ὑπὸ αἰγείροις καὶ λειμῶσι κομῶ-
σι τοῖς ἄνθεσιν ἀνακλιθεῖσα. ταῦτα δὲ ἔξωθεν ἐσχημά-
τισται πρὸς τὸ ἦθος τῶν νοσούντων. Οὐ μὴ παρ' ὄχλῳ.)
ἀντὶ τοῦ οὐ μὴ φθέγξῃ ταῦτα μεταξὺ πλήθους, μα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νιώδεις λόγους ῥίπτουσα. ἔδοξε γὰρ αὐτὴ τὰ εἰρημένα ἀσχήμονα εἶναι καὶ οὐκ αὐτῇ ἄξια. τί γὰρ ἦν ὕδατος ἐρῶσαν ψυχροῦ καὶ κομῶντος λειμῶνος ἄνθη ποθεῖν τῆς βασιλείας ἐχούσης. εἰ μή τοι ἔλεγε πῶς μοι ἔρωτος γένοιτο σβέσαι τὸ πῦρ. ἢ τίς τοσαύτη τέρψις ἀνθέων ὡς ἀναπαῦσαι τὸν πόθον. μανίας δὲ ἔποχον ἤτοι ὑπὸ μανίας ὀχούμενον. ἐκμανῆ. κατεχόμενον ὑπὸ μανίας. παρ' ὀχλῶ δὲ ἀντὶ τοῦ παρὰ τοῦ χοροῦ. Πέμπετέ μ' εἰς. ἐπαναβέβηκεν ὁ λόγος ἐπὶ τὸ μανικώτερον ἅμα τῷ πάθει ὡς λοιπὸν σαφέστερον τὸν αἰνιγμὸν τοῦ ἔρωτος ἔξωθεν εἶναι σχηματισμοῦ. καὶ εἰς τὸ ὄρος βούλεται προπέμπεσθαι πρὸς θέαν τοῦ ἐρωμένου. καὶ εἰς κυνηγίαν. πρὸς συνομιλίαν τοῦ ποθουμένου. ἐνταῦθα δὲ δεῖ τὸν ὑποκρινόμενον κινῆσαι ἑαυτὸν καὶ σχήματι καὶ φωνῇ. καὶ ἐν τῷ εἶμι πρὸς ὕλας ἀναπηδᾶν ὡς αὐτῇ πορευομένῃ. τὸ δὲ ἑξῆς οὕτως. πέμπετέ με εἰς ὄρος πρὸς θεῶν. μᾶλλον δὲ δι' ἐμαυτῆς ἄπειμι πρὸς ὕλαν. καὶ πρὸς τὰς πεύκας. ὅπου εἰσὶ τὰ κυνηγέσια. καὶ ὅπου αἱ κύνες τρέχουσι ταῖς ἐλάφοις πρὸς τὸ ἐπιπηδᾶν προσπελάζουσαι. ἐπιθυμῶ κυνηγετικὴν τέχνην ἀναδέξασθαι. καὶ κυσὶ μὲν συρίζειν. ἐπὶ θῆρας δὲ ὁρμᾶν. καὶ τὸ ἀκόντιον πρὸς τὴν κεφαλὴν ἀνατεῖναι. τὸ δὲ σίδηρον αὐτοῦ ταῖς χερσὶ κατέχουσα. καὶ οὕτως ἀκοντίζειν. οἱ μὲν ἀκοντίζοντες τὴν χεῖρα ἄνω πρὸς τὴν κεφαλὴν ἀνατείνουσι. τὸ δὲ σίδηρον τοῦ ἀκοντίου πρὸς τὸν κρίκον τοῖς δυσὶ δακτύλοις τοῖς μέσοις κατέχοντες, οὕτω ῥίπτουσιν. ἄριστα δὲ τῷ λεπτομερεῖ τῆς φράσεως μιμεῖται τὸ τῶν ἐρώντων ἦθος. ὅτι τινὸς ἐρῶντες τέχνην ὑπογράφουσιν ὥσπερ ζωγράφοι τῇ λεπτολογίᾳ, ἐκείνην τὴν τέχνην καὶ τὰ αὐτῆς ὄργανα. καὶ ὥσπερ οἱ εἰς ἐπίδειξιν αὐτοῖς ἐρχόμενοι ἐρε

θίζουσι τῷ λεπτομερεῖ τῆς φράσεως τὸν ἐρῶντα. καθό/
λου δὲ τοῦτο ἐπὶ τῶν ἐρώντων συμβαίνει. Πρὸς θεῶν
ἔραμαι.) ἀντὶ τοῦ ἐρῶ. παθητικὸν ἀντὶ ἐνεργητικοῦ.
καὶ οἰκείως τῇ μεσότητι ἐχρήσατο. ἄκρως δὲ ἐρωτι/
κὸν ἦθος ἀπεμάξατο. τῇ λεπτομερεῖ τῆς ἐκφράσεως πε/
ριεργία. εἰς ὑπόμνησιν γὰρ ἐρχόμενοι τῶν ποθουμένων
καὶ μονονουχὶ ζωγραφοῦντες αὐτὰ τοῖς λόγοις, ἔτι μᾶλ/
λον τὴν ἐπιθυμίαν ἐγείρουσι. Θεσσαλὸν ὅρπακα.) θεσ/
σαλῶν γὰρ εὕρημα τὸ δόρυ. ἐπίλογχον δὲ βέλος αὐτὸ τὸ
πτερωτὸν σιδήρεον. ὅπερ ὁ κρίκος ἐμβεβλημένος ἐν τῷ
ξύλῳ συνέχει. διὰ τὸ ἐπὶ τῇ λόγχῃ κεῖσθαι ὅ ἐστι τῷ ξυ/
λῳ. οἱ γὰρ ἀκοντίζοντες τὸ σιδήρεον τοῦ ἀκοντίου πρὸς
τὸν κρίκον ἐνδυσὶ δακτύλοις κατέχοντες οὕτω ῥί/
πτουσι. Ἄλλως. ἐπίλογχον. ἐπεὶ βέλος πᾶν τὸ
βαλλόμενον, διέστειλεν εἰποῦσα ἐπίλογχον. ὅ ἐστι βέ/
λος ἔχουσα ἐν τῇ χειρὶ τὴν λόγχην ἔχον. ἵνα σημάνῃ
τὸ ἀκόντιον. Τί κυνηγεσίων καὶ σοὶ μελέτης.) ἀν/
τὶ τοῦ ἐπιμελείας τουτέστι τί σοι περὶ κυνηγεσίας μέ/
λει. τί φησιν ὦ τέκνον καὶ σοὶ καθάπερ τοῖς ἀνδράσι
μελετᾶται τὰ κυνηγέσια. τί δὲ καὶ τὸ τυχεῖν κρηναίων
ἐν ἔρωτι μεγάλῳ τίθεσαι. εἰ μὲν γὰρ ἀληθῶς ἐπιθυμεῖς
πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης, καὶ ὑψηλὴ πέτρα συ/
νεχὲς ὕδωρ στάζουσα. ὅθεν σοι ποτὸν ἂν γένοιτο. καὶ τὸν
πόθον ἐκπληρώσαις. εἰ δ' οὐ βούλει, τί καὶ τοῦτο ἐν ἐ/
ρωτος τάξει λέγεις. Πύργος συνεχής.) ἄφθο/
νος τοῖς ὕδασι. ὁ δὲ νοῦς. εἴπερ ὅλως ἐπιθυμεῖς
ὑδάτων πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης καὶ ὑψηλὴ πέ/
τρα κλιτύς. ὅ ἐστιν ἀνακεκλιμένη καὶ ὑψηλὴ πέτρα συ/
νεχὲς ὕδωρ στάζουσα. Δέσποινα ἁλίας.) λίμνη γυ/



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γυμνάσιον ἐν Τροιζῆνι· ὡς καὶ ἐν τοῖς ἑξῆς φησὶ τὸν ἀμ-
φὶ λίμνης δρόμον. ὁ δὲ νοῦς· ὦ δέσποινα, τῆς ἰσοπέδου
λίμνης καὶ τῶν ἐν αὐτῇ γυμνασίων τῶν ἱπποκρότων ἐ-
πεύχεται δὲ λοιπὸν τῇ οἰκείᾳ θεῷ τῶν κυνηγεσίων· ὥσ-
τε τὰ τοῦ δαμαζομένου ὑπὸ τῷ ἅρματι χρήσασθαι πρὸς τὸ
αὐτῷ συγκαταστρέφεσθαι καὶ συνδιατίθεσθαι. τῆς θαλάσ-
σης φησὶν αὐτὴν ἐπόψει ὡς καὶ Ἡσίοδος· μοῖραν ἔχει
γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης. ἢ ἐπεὶ λιμνῶτις ἡ
ἄμπελος. Πώλους ἐν ταῖς·) ταῦτα ἀνακεχρόνι-
σται, οὐδέπω γὰρ Ἕλληνες ἐχρῶντο ἵπποις. οἱ γὰρ Ἐνε-
τοὶ Παφλαγονίαν πρότερον οἰκοῦντες ὕστερον ὑπὸ τὴν ἀ-
δρίαν διέβησαν. Λέων δὲ πρῶτος Λακεδαιμόνιος ἐνίκη-
σεν Ἐνετοῖς ἵπποις· ὡς Πολέμων ἱστορεῖ. καὶ ἐπιγρά-
ψαι ἐν ἄκοντι· Λέων Λακεδαιμόνιος ἱπποισι νικῶν ἐνε-
τῶς Ἀντικλείδα πατήρ. Νῶ δὴ μὲν ὄρος βαίης·)
ἀρτίως μὲν ἦχες ἔρωτα εἰς ὄρος ἀπελθεῖν, καὶ ὑπὸ θηρασ-
τόθου ὁρμᾶσθαι, καὶ κυνηγεσίων. πάλιν δὲ καὶ ἐν σα-
δίοις, πώλους δρόμους ὑπερμετεῖς. καὶ ὑπὸ ταύτας ὀχεῖ-
σθαι γυμναστικῶς. τινὲς δὲ γράφουσι καὶ πόθον· δηλοῦν-
τες ὅτι τὸν πόθον εἰς θήρας καὶ κυνηγέσια ἀφίεις. ἐπ' ἀ-
κυμάντοις δὲ τοῖς μὴ θαλασσίως, ἀλλ' ἠπειρωτικοῖς·
τουτέστιν ἐν σταδίοις ἢ ἐν ἀνέμοις αἰγιαλοῖς. ἔνθα καὶ
στάδια πολλάκις ἐστίν. Ἀναστρέφει δὲ·) ἤτοι τοῦ
καλῶς ἔχοντος ἀνθέλκει καὶ ἀνακρούει. ἀπὸ μεταφο-
ρᾶς τῆς τῶν στερεῶν παρακρουομένων ἵππων, καὶ τοῦ
εὐθέος δρόμου παρεκβαλλομένων. Καὶ τὸ παρακόν-
πτει·) δὲ ἀντὶ τοῦ ἐλαττοῖ. ἀπὸ μεταφορᾶς τῆς παρα-
κοπτομένων τὰ πτερὰ ὀρνέων. ἅπερ ἅμα τῇ τῶν πτερῶν
τμήσει τὴν ἰσχὺν ἀποβάλλουσι, καὶ παντελῶς ἀσθενῆ γί-
νεται. Ποῖ παρεπλάγχθην·) πάλιν κατασιῶσα τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μανίας· καὶ ἔμφρων γινομένη, αἰσθάνεται ἑαυτὴν παρατρέψασαν, καὶ μανιώδη φθεγγομένην· τὸ γὰρ τοῦ ἔρωτος ἐνδιδόμενον τῇ ἡδονῇ τῶν λόγων, καὶ ἐρεθιζόμενον ὥσπερ εἰς θέαν τῶν ἐπιθυμουμένων τῇ λεπτολογίᾳ πρὸς ἔκφρασιν ἐξήρχετο· καὶ πάλιν εἰς ἔννοιαν καθισαμένη τῶν ῥηθέντων ἐσωφρόνει· καὶ ἐπὶ τοῖς ῥηθεῖσιν ὠδυνᾶτο. Τὸ γὰρ ὀρθοῦσθαι.) τὸ γὰρ μετὰ τὴν μανίαν ὀρθοῦσθαι τὴν γνώμην ὀδυνᾷ λυπουμένην· ἐπὶ τοῖς ἐν τῇ μανίᾳ ῥηθεῖσι· ὡς ἐν τῷ καθεστῶτι δίκας πρὸ αἰσθήσεως διδόναι. Τὸ δὲ μαινόμενον.) αὐτὸ δὲ τὸ μανιῶδες κακὸν μὲν, ὅτι ἃ μὴ βούλεται φθέγγεται· κρατεῖ δὲ καὶ ὑπερέχει τοῦ μετὰ συνειδήσεως ἀπολέσθαι· οὔτε γὰρ τῶν ἁμαρτημάτων ἐν τῇ μανίᾳ αἰσθάνεται· οὔτε τοῦ θανάτου τὴν ἀλγηδόνα λογίζεται· τῶν τοῦ βίου τερπνῶν ἀποστάς. Ἄλλως.) τὸ δὲ μαινόμενον· ἀντὶ τοῦ κακὸν μὲν τὸ μαίνεσθαι· ἀλλὰ κρατεῖ τουτέστι κρεῖττόν ἐστι καὶ ὑπερέχει· τοῦ μετὰ συνειδήσεως ἀποθανεῖν· ὡς εἴ τις λέγοι λυσιτελές ἐστι μὴ γινώσκοντα ἀπολέσθαι· ὡς κρείττονος ὄντος τοῦ τοιούτου βίου.

Κρύπτω τὸ δ' ἐμόν.) ἐγὼ μέν φησι τὴν σὴν κεφαλὴν αἰδουμένη ἐπὶ τοῖς εἰρημένοις κρύπτω καὶ σκεπάζω· πότε δὲ καὶ τὸ ἐμὸν σῶμα ὀδυνηρῶς ἔχει, πρὸς βίον ὁ θάνατος κρύψει. Χρῆν γὰρ μετρίας.) ἔδει φησὶ τοὺς ἀνθρώπους μεμετρημένως φιλεῖν· ὡς μὴ εἰς ἄκρον ἐξέρχεσθαι τοῦ στέργειν. Ἄλλως.) Τὸ δυσκόλως ἐκβάλλειν τὸ τῆς ὀρέξεως φίλτρον· καὶ πάλιν αὐξῆναι· ὥστε ποτὲ μὲν ἐλαττοῦν· ποτὲ δὲ αὔξειν τὰ τῆς ψυχῆς φίλτρα· οἱ γὰρ ἄγαν στέργοντες διπλασίως κάμνουσι· ὑπέρ τε τῆς ἑαυτῶν σωτηρίας καὶ τῆς τῶν φίλων φροντίζοντες· ἐχρῆν οὖν φησὶ τοὺς ἀνθρώπους συμμέτρως ἀλλήλους,

φιλεῖν καὶ μὴ ἐς ἄκρον· ὥστε καὶ σῶμα κατατήκειν καὶ μὴ δυνατὸν λύεσθαι τὴν φιλίαν·

Μυελὸν ψυχῆς·) οὐ γὰρ μόνη ἡ σοφία διδάσκει· ἀλλὰ καὶ ὁ πολὺς καὶ μακρὸς χρόνος καὶ ἡ πολυπειρία· τὸν ἐσώτατον τόπον· τροπικῶς δὲ εἶπεν· ὡς ἐπὶ σώματος καὶ ὀστέου τὸ βάθος τῆς ψυχῆς· παραινεῖ δὲ μὴ πρὸς ἄκρον ποιεῖσθαι τὰς φιλίας· ἵνα καὶ πρὸς ἀπόστασιν ἀλύτως ἔχωμεν· στέργηθρα· τὰς φιλίας τὰς ἀγάπας· Βιότου δ'·) τὸ δὲ περὶ κατὰ τὸν βίον τι πραγμάτων ἀκριβῶς ἐπιτηδεύειν, οὐκ ἀσφαλὲς ἀντὶ τοῦ ἐπιτηδεύειν τὶς πραγματοποιεῖν ὑπάρχειν· πάντως ἐπιλήψιμόν τι ἐν αὐτῷ εὑρίσκεται· ἐπιτηδεύσεις δέ φησι τὰς μελέτας· τὰς τῇ ὑποβολῇ τῆς συνηθείας ἀνενδεεῖς· καθόλου δὲ τὰς ἀληθεῖς καὶ εἰς ἄκρον ἐκβαινούσας τῆς ἀληθείας μελέτας· ἐπιτηδεύσει ὥς φασιν οἱ σοφοί· ἃς μὴ μόνον σφάλλειν· ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐμποδίζειν εἰρήκασι· ὡς εἴ τις ἐπιμελείᾳ διηνεκεῖ χρῷτο τῷ λόγῳ ὡς κατὰ μηδὲν ὑπείκειν, οὗτος εἰς ἄλλό τι ἐκπίπτει τῷ λόγῳ· καὶ εἴς τι μανιῶδες καὶ τὸ σῶμα εἰς νόσον κατακλίνεσθαι φασί· Οὕτω τὸ λίαν ἧσσον·) ἀντὶ τοῦ οὐδὲ ὅλως· οὕτω τὸ λίαν ἐπιτηδεύειν ἐπαινῶ, ὡς τὸ μηδὲν ἄγαν· τουτέστι τὸ μὴ λίαν ἐπιτηδεύειν· καὶ συγκαταθήσονταί μοι πάντες οἱ σοφοί· Ἄλλως·) οὕτω τὸ λίαν ἔλαττον ἐπαινῶ, τοῦ μηδὲν ἄγαν καὶ μεμετρημένου· καὶ μάρτυρες ἔσονται οἱ σοφοί, ἐπεὶ ἑνὸς τῶν σοφῶν ἐστιν ἀπόφθεγμα τὸ μηδὲν ἄγαν· ὅπερ χίλωνι ἀνατιθέασιν, ὡς κριτίας καὶ πίνδαρος· οἱ δὲ σωδάμῳ· ὡς τὸ ἐν τεγέᾳ

,, ἐπίγραμμα δηλοῖ· ταῦτ' ἔλεγεν σώδαμος ἐπηράτου·
,, ὅς μ' ἀνέθηκεν· μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι κα-
,, λά· ὁ δὲ θεόφραστος ὡς τὰ σισίφου λεγόμενα καὶ πιτθέως· οἷον μηδὲν ἄγαν· μὴ δὲ δίκαν δικάσῃς· Γυναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεραιά.) διὰ τούτου ἔδειξεν ὅτι ὤφειλε θαῤῥηθῆναι τὰ κατὰ τὴν φαίδραν γυναῖκα αὐτὴν ἀποκαλέσασα. γυναιξὶ γὰρ μᾶλλον αἱ γυναῖκες θαῤῥοῦσιν τὰ καθ' ἑαυτὰς ἄλλως τε καὶ γεραιὰν καὶ πιστὴν τροφόν. Ἄσημα δὲ.) ἀντὶ τοῦ ἄγνωστα. οὕτω δ' εἴωθε κεχρῆσθαι ἀττικῶς. ὡς καὶ θουκυδίδης ἀδυνάτα ἀντὶ τοῦ ἀδύνατον. Οὐκ εἶ δ' ἐλέγχουσα.) ἐρωτῶσα. ἐρευνῶσα. ἀνακρίνουσα. ὅπερ ἐστὶν ὑποβολή. τὴν γὰρ ἐπίμονον ἐρώτησιν ἔλεγχον ὠνόμασεν. Εἰς ταὐτόν.) ἐὰν μὲν ἥκει γάρ. πρὸς τὴν ἀρχὴν ἐστὶν ὁ λόγος. ὅ ἐστιν εἰς ταυτὸν ἥκει ἡ ἀρχὴ τῷ τέλει. ὥσπερ οὐχ ὁμολογεῖ οὕτως οὐδὲ τὴν ἀρχήν. εἰ δὲ ἥκεις πρὸς τὸν χορὸν ἐμοὶ εἰς ταὐτὸν τῆς ἀγνοίας ἥκεις. ἢ εἰς ταυτό μοι ἀγνοίας ἥκει. πάντα γὰρ σιγᾷ. ὅ ἐστιν οὐκ ἀποκρίνεται. οὔτε πρὸς ἀρχὴν οὔτε πρὸς τέλος.

Τὸ δ' ἀσθενεῖ τε καὶ κατέξανται δέμας.) ἀντὶ τοῦ κατατήκει τὸ σῶμα. πῶς δὲ οὐκ ὤφειλε κατατακῆναι τριταία οὖσα ἤτοι τρίτην ἡμέραν ἔχουσα ἄγευστος.

Ἀλλ' ὦ φίλη παῖ.) ἀπέτεινε τὸν λόγον πάλιν πρὸς τὴν φαίδραν ἄλλο ἦθος μετιοῦσα νουθεσίας. τὸ γὰρ παραινέσει πείθειν βέλτιον ἢ ἐπαχθέσι ῥήμασιν εἰπεῖν τὴν πρόφασιν. ἀλλ' ὦ φίλη παῖ ἀμφότεραι ὅπως ἐπιλανθώμεθα τῶν προειρημένων. καὶ σύ γε ἡδίων καὶ πρᾳοτέρα γενήσῃ εἰ δέξῃ τὴν παραίνεσιν. ἐγώ τε ὅπου εὖ δόξα τὸ πρὶν ἐπαχθής τις εἶναι ἕως τούτου τοῦ μέρους ἀποστᾶσα, ἐπ' ἄλλην πορεύσομαι κρείττω νουθεσίαν. Στυγνὴν ὀφρύν.) τὴν συγνὴν τῆς ἀφροσύνης. ὅπου οὐ καλῶς ἠκολούθουν σου τῇ παραινέσει. ἀποστᾶσα ἀπὸ τούτου τὴν νουθεσίαν πραεῖαν μετέρχομαι. τουτέστι τὴν συγνότητα τοῦ προσώπου ἄφελε. καὶ τῆς χαλεπῆς γνώμης ἐκείνης παῦσαι. Ἄλλως. ἐγὼ θ' ὅπῃ.) ἔπι φησὶ πρότερον ἐλύπουν σε τῷ συνεχεῖ τῆς ἐρωτή-

σεως. ταχὺ γὰρ ἐπὶ τὸ κολακεύειν σε τραπήσομαι.

Γυναῖκες αἵδε.) συμπράξουσι, συσσιγήσουσι. γυναῖκες γὰρ οὖσαι ἐν ταῖς τοιαύταις συμβάλλονται νόσοις. αἱ μὲν πειραθεῖσαι, αἱ δὲ προσδοκῶσαι πείσεσθαι. καὶ γὰρ εὐεπίβατον ἀεὶ εἰς τὰ τοιαῦτα τὸ τῶν γυναικῶν γένος. ἔοικε δὲ λέγειν διότι εἰ τοιοῦτον. συνδιοικήσουσιν οὖν ἀποκαταστήσουσιν. θεραπεύσουσι τὴν μοιχείαν. Εἰ δ' ἔκφορός σοι.) ἀντὶ τοῦ ἐξελεγχθῆναι καὶ ῥηθῆναι δυναμένη. τουτέστιν. εἰ δὲ δύνανται καὶ ἄρσενες ἀκοῦσαι τὰς συμφοράς. Δεῦρ' ἄθρησον.) δεῦρο εἰς με βλέψον. ἵνα καὶ διὰ τῆς ὄψεως αἰδεσθῇς με. εἶπε ὡς ἐκείνης μὴ ἐνατενιζούσης, μηδὲ πραυνομένης τῇ παραινέσει, φησὶ πρὸς τὸν χορόν. μάτην αἱ γυναῖκες μοχθοῦμεν πείθειν ταύτην πειρώμεναι, ἢ οὕτως. εἰς δὲ τὸ πείθειν ὁμοίως ἀπέσμεν τοῖς πρὶν ῥήμασιν. ὥσπερ γὰρ δι' ἐκείνου οὐδὲν ἠνύσαμεν, οὕτως οὐδὲ διὰ τούτων.

Ἀλλ' ἴσθι μέντοι.) λοιπὸν ἀπεγνωκυῖα τὴν κολακείαν κινητικοῖς αὐτὴν λόγοις ἐρεθίζει. φάσκουσα ὅτι ἐὰν θάνῃς, μὴ ἀξιώσασα λόγου τὸν σὸν ἄνδρα, προδώσεις τοὺς σοὺς παῖδας. ἐκβληθήσονται γὰρ τῶν οἴκων. λοιπὸν πλὴν ἀποπληρῶσαι τὸν λόγον διὰ μέσου φησί. πρὸς τοῦ δ' αὐθαδεστέρα γινοῦ θαλάσσης. Ἄλλως.) γίνωσκε προδιδοῦσα τοὺς σοὺς παῖδας εἰ θανῇ. Μὰ τὴν ἄνασσαν.) ἰστέον ὅτι ἠθικῶς ὀμνύομεν κατὰ τῶν ἐχθρῶν, οὐ σεμνῦναι αὐτοὺς βουλόμενοι, ἀλλ' εἰρωνευόμενοι. ἢ πρὸς πλείονα ὀνειδισμὸν κατ' ἐκείνης ὄμνυσιν. ἢ ἐπεὶ εἰώθασιν οἱ εἰρωνευόμενοι κατὰ τῶν ἐχθρῶν ὀμνύναι. ὡς καὶ σοφοκλῆς ἐν μυκήναις. μὰ τὴν ἐκείνου δειλίαν ᾗ βόσκεται. θῆλυς μὲν αὐτὸς ἄρρενας δ' ἐχθροὺς ἔχων. νόθον δὲ φρονοῦντα. καθὸ φιλοσοφίαν ἤσκει ὅπερ ἐστὶν

ἐλευθέρων. Οἶσθα νιν καλῶς.) τοῦτο προσέθηκε πρὸς πλείονα γὰρ ὀδύνην αὐτὴν ἐκίνησεν. οὐκ ἀμφίβολον αὐτῇ τὴν γνῶσιν τούτων εἶναι λέγουσα. θιγγάνει δὲ σέθεν τί δή. οἷον καθήψατό σου φησὶ τῆς ψυχῆς. καὶ λόγῳ μόνον εἰρημένον τοῦτο τὸ περὶ ὀρφανίας τῶν παίδων. οἶμαι ὅτι τοῦτον οὐκ ἐφόνευσας. διὰ τὸ εἰρηκέναι. ἀλλ᾽ ᾗ δ᾽ ἐν τύχῃ χειμάζομαι. μῶν ἐξ ἐπακτοῦ διὰ φαρμακείας γεγενημένην. ἐπακτὴ γὰρ ἡ τιμωρία ἡ ἔξωθεν ἐπαγομένη καταία παρὰ τῶν ἐχθρῶν. μή τις σοι φησὶ τῶν ἐχθρῶν ἐπάγει τι λύπης ἄξιον, ἄρα τινὸς ἐχθρὰν μηχανησαμένης σου. εἰώθασι γὰρ οἱ ἐχθροὶ ἐπαγωγάς τινων δαιμόνων ποιεῖσθαι ἐπὶ τὰς οἰκίας. ἢ οὕτως. μή τις σε τῶν ἐχθρῶν ἐφάρμαξε, λέγει δὲ διὰ τὸ εἰρηκέναι. Φρὴν δ᾽ ἔχει μίασμά τι. φίλος μ᾽ ἀπόλλυσι. ἐπειδὴ εἶπεν φίλος, λέγει. μή τι ἄρα ὁ θησεὺς εἰς σέ τι ἥμαρτεν. τὸ μὲν οὖν ἥμαρτεν. πρὸς ἀντιδιαστολὴν ἐχθροῦ τινος. τὸ δὲ οὐχ ἑκὼν, ἐπεὶ οὐκ ἐκ προνοίας αὐτοῦ ἦν ὁ ἔρως.

Ἐξαρτωμένη.) ἐξαρτηθήσομαί σου τῇ ἱκετίᾳ. ἢ ἐν σοὶ τὸν βίον λείψω. εἰ μὴ ἄρα φησὶ μετά τινος ἀνάγκης οὐ συγχωρήσω οὐδ᾽ ἀπολύσομαι. Κακά ὦ τάλαινα σοί.) ἤτοι πρὸς ἀποτροπὴν τοῦ πυθέσθαι, ἐπάγει δεύτερον τὸ κακά. κακὰ οὖν ἐστιν εἰ πεύσῃ τὰ σιωπώμενα κακά.

Ὀλῇ.) ἀπολῇ φησιν εἰ ἀναγκάσεις με λέγειν. ἐμοὶ δὲ τὸ σιωπᾶν τιμὴν φέρει. καθὸ οὐκ ἔκφορος εἰς πολλοὺς ἡ νόσος. ἀλλὰ συγκαταθάψω ἐμαυτῇ τὸ τῆς σωφροσύνης ὄνομα μέλλουσα ἐν σωφροσύνῃ τελευτᾶν. ἢ οὕτως. ἐὰν μή μοι εἴπῃς, ἀποθανῇ. τοῦ δὲ στερηθῆναί σου, μεῖζον οὐκ ἔστι μοι κακόν. εἶτα φησὶν ἀπολοῦμαι. τὸ δὲ ἀπολέσθαι μετὰ τιμῆς μοι φέρει. ἢ οὕτως. μὴ νοήσας τὸ πρᾶγμα φησί. εἰ τιμὴν σοι φέρει τὸ πρᾶγμα, διὰ τί μὴ λέ-

ζεις. κρύπτεις χρηστὰ ἂν μὴ ᾖ στιγμὴ εἰς τὸ χρηστά ἐστιν ὁ λόγος. κρύπτεις τὰ καλὰ ἐμοῦ παρακαλούσης σε λέγειν αὐτά. ὅ ἐστιν ἐμοὶ τὰ τιμῆς σοι αἴτια ἐσόμενα οὐκ ἀξιοῖς ἀνακοινώσασθαι. κρύπτεις μοι ἐμοῦ χρηστὰ ἱκετευούσης. καὶ χρησίμως ἀξιούσης ἀνακοινοῦσθαι μοι.

Ἐκ τῶν γὰρ) εἰκότως κρύπτω, ἃ ἀπαιτεῖς με λέγειν. μέλλω γὰρ ἐκ τούτων τῶν ἐσθλῶν δηλαδὴ τῆς ἐγκρατείας εἰς αἰσχρὰ μεταβαίνειν. ὅ ἐστι φονεύειν ἐμαυτήν. ἐὰν μέν τοι ἡ λέγουσα ἡ γραῦς, χρηστά μου ἀναγκαζούσης σε λέγειν κρύπτεις με. ἀναλόγως ἐπιφήσει ὅτι ἐκ γὰρ τῶν ἀγαθῶν τούτων ὧν λέγεις, ὅ ἐστι τοῦ φανερῶσαι τὸ πάθος. ἐγὼ εἰς αἰσχρὰν πεσοῦμαι φήμην. ἢ καὶ πορνεύειν ἀναγκασθήσομαι. ἐκ τῶν γὰρ αἰσχρῶν. ὅ ἐστι πειρῶμαι γὰρ ἀπὸ πορνείας ἐκφυγεῖν. εἰς σωφροσύνην δὲ πηδῆσαι. διὸ ἐν σιωπῇ βούλομαι ἀποθανεῖν. καὶ ἔστιν αὕτη ἡ γραφὴ ἁρμοζομένη τῷ ἑξῆς. εἰ δὲ κρύφα φησὶν ἐξ αἰσχρῶν μηχανήσασθαι βουλεύει, πόσῳ μᾶλλον θαυμασθήσῃ αὐτὴν τὴν βουλὴν δηλοῦσα σαφῶς. καθόλου γὰρ ἡ σαφὴς ἀπόδειξις ἐστὶν ἰσχυροτέρα. διὸ καὶ ἀπορρήσασα ἀντειπεῖν φησί. Ἄπελθε πρὸς θεῶν δεξιᾶς τ' ἐμῆς μέθες.) ὅμως ἡ πρώτη γραφὴ βελτίων. Τιμιωτέρα φανῇ.) σοφωτέρα ὡς φίλοις θρέουσα τὴν συμφοράν. καὶ μὴ κρύπτω πάθη πολιορκουμένη. κατὰ γὰρ Μένανδρον σοφῶν ἀνδρῶν ἐστι τὸ τοῖς φίλοις λέγειν τὰ ἀναγκαῖα. ἐν οἷς φησι λανθάνειν τὰ πράγματα. τοὺς λέγειν ἡμῶν ὀκνοῦντας τὰς ἀληθείας ἀεὶ τοῖς ἀναγκαίοις καὶ τὰ ἑξῆς. λέγει οὖν ὅτι σεβασμιωτέρα ἐμοὶ φανῇ τὰ οὕτως ἀπόρρητά μοι θρέουσα. Ὦ τλῆμον.) αἰνιγματωδῶς φράσαι θέλει τὸν ἔρωτα. πιθανώτατα δὲ ἅμα τῷ αἰνιγμῷ καὶ τὴν συγγνώμην ᾐτήσατο. ὡς προγονικὸν κεκτημένη τὸ πάθος. καὶ οὐκ ἰδίας φύσεως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἁμάρτημα. Ἐκεῖθεν ἡμεῖς.) ἐκ τῆς καταγωγῆς τοῦ κε-
νοῦ. δυστυχοῦμεν τὴν νόσον τοῦ ἔρωτος. ἀντὶ τοῦ προγονι-
κήν τινα δυστυχίαν δυστυχοῦντες τοῦτο πάσχομεν.
Οὐδέν τι μᾶλλον.) οὐδὲν πλεῖον σοῦ ἐπαινιζομένης ἔχω
γνῶναι ὃ βούλομαι ἀκοῦσαι. τοῖς πᾶσι προφάσει τῆς νόσου.
οὐδὲν μᾶλλον οἶδα ἀκούειν ὃ βούλομαι. Πῶς ἂν σύ μοι.)
ἐπεὶ παχυτέρα τὸν νοῦν οὖσαν ἡ γραῦς, οὐ συνῆκε τὸ λε-
γόμενον ὑπὸ τῆς φαίδρας, ἀγανακτοῦσα, ἡ φαίδρα
φησὶ πῶς ἂν δυνηθείης εἰπεῖν μοι ταῦτα ἃ ἔδει ἐμὲ ἀ-
ποκρίνασθαι. καὶ πῶς μοι λέγοις ἃ λέγειν μέλλω. ἐπεὶ οὖν
ὡς εἴρηται πολυμερῶς αἰνιξαμένη τὸ παχύτερον τῆς
γραὸς οὐκ ἐδυνήθη συμβαλεῖν, ἀποδειλιῶσα τὸ πάθος
ἐξειπεῖν, εἰς τοῦτο ἀπορίας ἦλθεν ὥστε ἐρωτᾶν αὐτὴν ἃ
παρ' αὐτῆς ἔδει λέγειν. τοῦτο δὲ καὶ τὸ αἰδεστικὸν τῆς γυναικὸς
τεκμαίρει. καὶ τὸ κομματικὸν τῶν νοσούντων. κεκωμῴδη-
ται δὲ ὁ στίχος οὗτος ὑπὸ ἀριστοφάνους. καὶ εἰς παροιμίαν
μετῆκται. Τί δῆθ' ὃ δή.) ἀγνοοῦσι δι' αἰνιγμῶν αὐτῇ
συμβάλλειν. αὐτὴ λοιπὸν ἐρωτᾷ τὴν ἔρωτος φύσιν. δη-
λοῦσα ὅτι ἔκ τινος θείας ὀργῆς τοῦτο νοσεῖ. Ὅς τις ποθ'
οὗτος.) πιθανώτατα παρέδραμε τὸ ὄνομα. ἤτοι αἰδου-
μένη. ἢ διὰ τούτου σημᾶναι θέλουσα. ὡς οὐκ ἐξ εἰδήσεως.
οὐ δὲ ἀπὸ τρυφῆς καὶ συνεχοῦς θέας αὐτοῦ ἐρᾷ. ἀλλὰ χό-
λῳ τῆς ἀφροδίτης. οὐ τῷ κάλλει τοῦ νέου. οἱ σώφρονες γὰρ
οὐχὶ θέλοντες κακῶν ἐρῶσιν. ἀλλ' ἀναγκαζόμενοι. Σοῦ τάδ'
οὐκ ἐμοῦ.) ἄριστα δὲ καὶ ἡ χρῆσις μετὰ τὴν ὁμολογίαν τὴν
σαφῆ. Οἴμοι τί λέξεις.) σαφῶς ἀκούσασα τοῦ ἔρωτος,
λοιπὸν σχετλιάζει τὴν ὑπερβολὴν τοῦ πάθους. κομματικὴ δὲ
ἡ διάνοια ὡς ἂν ἐκ πεπληγμένης τῷ θαύματι. Οὐκ ἄρ'
θεός.) θεὸν γὰρ κυρίως φησὶ τὸν μετὰ τοῦ δυνατοῦ καὶ τὸ
προνοητικὸν ἔχοντα τῶν δυναστευομένων. μείζονα οὖν αὐτῆ·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεῶ. καθὸ μόνον ἐνδέχεσθαι δύναμιν δύναται οὐ προνοεῖσθαι. Αἶ ἔς ὤ.) ἐκ πλαγίας ὁ χορὸς τὴν ὑπερβολὴν τοῦ πάθους σχετλιάζει οἰκτείρων ἅμα καὶ θρηνῶν τὸ συμβάν. καὶ τὸ σχετλιαστικὸν ὦ διὰ μέσου κείμενον οἰκείως ὡς λυπημένης, οὐκ εὐαπάρτιστον ἀποτελεῖ τὸ σχῆμα τοῦ λόγου. διαφόροις τε σχήμασιν αὐτὸ καταπάγει. τὸ τῶν λυπουμένων ἦθος μιμούμενος ὅσοι τὰ αὐτὰ καταπάγουσι πρὸς πλείονα ἐνθύμησιν τῶν ἑαυτῶν κακῶν. ὁ δὲ λέγει τοιοῦτόν ἐστι. ἤκουσας φησὶ τὰ ἀνήκουστα καὶ δυστυχῆ πάθη τῆς τυράννου θροούσης καὶ λεγούσης. πρὸς ἀλλήλας δέ φασι οὐχ ὡς ἀγνοούσας τὰ λεχθέντα ἀλλὰ πρὸς πλείονα σύγχυσιν καὶ ἐνθύμησιν τοῦ πάθους. οἰκειότητα δὲ μέσου καταπάγει τὸ σχετλιαστικόν. ὥσαν τῇ λύπῃ κωλυομένη ἀναρτῆσαι τὴν διάνοιαν.

Ανήκουστα δὲ.) τὰ μήτε ἀκοῆς ἄξια. τὰ ἄρρητα.

Τίς σε παναμέριος.) τίς ἄρα σε χρόνος ἐκ πασῶν τῶν ἡμερῶν οὗτος ἐξεδέχετο. ὦ τὰ τοῦ ἔρωτος νοήσασα ἐξαίφνης. παναμέριος δὲ ὁ ἐκ πασῶν τῶν ἡμερῶν εἰς ταύτην συναφθείς. ἢ οὕτως ἐκείνος ἄρα χρόνου. καὶ ποίας ἡμέρας αὕτη ἡ δυστυχὴς ἡμέρα ἐξεδέχετό σε.

Τροιζήνιαι γυναῖκες.) ἔσχατον γὰρ μέρος τῆς πελοποννήσου ἡ τροιζηνία περὶ θάλασσαν. κατ' ἀντικρὺ ταῖς ἀθήναις κειμένη. ἤδη δὲ λοιπὸν ἐγνωσμένου τοῦ πάθους ἀφειμένη τῶν ἐπ' αἰδοῦς αἰνιγματωδῶν διανοιῶν, ἀπολογεῖσθαι διαρρήδην ἄρχεται. ὡς κατὰ φύσιν νοήσασα τὸν ἔρωτα. καὶ βουλομένη ἐγκρατῶς ἑαυτὴν ἀνελεῖν. οἰκείως δὲ τοῖς ἀπολογουμένοις πολλῷ τῷ γνωμικῷ χρῆται. Προνώπιον.) δὲ πρόθυρον. κατὰ γὰρ τὴν πελοπόννησον ἐστὶν ἡ τροιζηνία πρὸς ἀνατολάς. Ἤδη ποτ' ἄλλως.) πολλάκις φησὶ διαγρυπνήσασα ἐν νυκτὶ ἐσκόπησα πῶς

διέφθαρται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διέφθαρται ὁ ἀνθρώπινος βίος. ἄρα ἐκ φύσεως ἐχόντων τῶν ἀνθρώπων τὸ ἁμαρτάνειν; ἢ ἐκ ῥαθυμίας; καὶ κρίνασα ἔγνων ὅτι οὐκ ἐκ φύσεως πρόσεστιν ἡμῖν ἡ κακία. καὶ ἐκ τούτου δῆλον ὅτι τὰ φυσικὰ πάντα πᾶσι παρέπεται. οἷον. τὸ γελαστικόν. τὸ ὑπνοῦν. καὶ τὰ ὅμοια. καὶ οὐκ ἄν τινα εὕροις χωρὶς τούτων. εἰ δὲ εὑρίσκεις τοῖς πολλοῖς ἀνθρώποις τὸ εὖ φρονεῖν καὶ δικαιοπραγεῖν, δηλονότι οὐ φύσει πρόσεστιν ἡμῖν τὸ φαῦλον. οὐ γὰρ ἂν εὑρίσκοντο πολλοὶ καὶ ἀγαθοί. Ἄλλως. Ἤδη ποτ' ἄλλως.) χωρὶς νόσου τυγχάνουσα, δηλονότι πιθανῶς ἐστὶν ἐν νυκτί φησιν ἐνθυμηθῆναι. ὁπότε πάσχει τῆς τῶν αἰσθήσεων ἀπηλλαγμένης αἰσθήσεως ἡ ψυχὴ φιλοσοφωτέροις ἐγκαταγίνεται ζητήμασι. πιθανῶς δὲ καὶ τὸ ἠρέμα νόσῳ ἐλαυνομένην αὐτὴν ἐνθυμεῖσθαι τοιαῦτα. τότε γὰρ γνωμικώτεροι γινόμεθα τῆς φύσεως ἡμᾶς διὰ τοῦ πάθους ἐκπαιδευούσης. Καί μοι δοκοῦσιν.) οὐκ ἀγνοίᾳ μοι δοκοῦσιν οἱ ἄνθρωποι ἐκπίπτειν εἰς τὰ ἁμαρτήματα. ὅπου γε πολλοὶ καὶ εὖ φρονοῦντες καὶ αἰσθανόμενοι κακῶν τε καὶ ἀγαθῶν, ἐκπίπτουσιν εἰς τὸ κακόν. ἐπειδὴ τοίνυν οὐκ ἀγνοίᾳ, ἀλλὰ γινώσκοντες ἁμαρτάνομεν, ταύτῃ σκοπητέον τοῦ βίου τὴν λύμην τί ἐστι. Γνώμης τῆς γνώσεως.) οὐχ ἁμαρτία δὲ τῆς γνωμικῆς φύσεως. ὅπου γε πολλοὶ αἰσθανόμενοι τὸ ἀγαθὸν προκρίνουσιν αὐτοῦ τὸ κακόν. Τὰ χρηστ' ἐπιστάμεθα.) δεῖξαι βούλεται ὅτι οὐκ ἀγνοίᾳ τοῦ κακοῦ τὸ κακὸν πράττομεν. ἅτινα μὲν οὖν χρηστὰ καὶ χρήσιμα τῷ βίῳ καθέστηκεν, ἴσμεν. ἐκπονεῖν δὲ αὐτὰ οὐ θέλομεν διαφόροις ἡδοναῖς ἡττώμενοι. ἀπό τινος γὰρ ἀργίας καὶ ὄκνου τοῦ ἐκπονεῖν τὰ καλά, τὰ κακὰ μετερχόμεθα. ὅσῳ γὰρ δυσάλωτός ἐστιν ἡ ἀρετή, τοσοῦτον ἡ κακία εὐάλωτος. καὶ Ἡσίοδος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„ Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἐστὶν ἑλέσθαι.
„ Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

Οἱ δ' ἡδονὴν προθέντες. Καλῶς τὰς αἰσχρὰς ἡδονὰς ἀπεσιώπησεν ὡς ἤδη διὰ τούτων κἀκείνας σημάνασα. αὗται γὰρ ἐκείνων εἰσὶ τικτικαί. σχολὴ δὲ καὶ ὁμιλία πονηρὰ πεφύκασιν εἰς ἀπορρήτους ἡδονὰς προκαλεῖσθαι τὴν φύσιν. οὐ γὰρ δὴ μία ἀλλὰ διάφοροι ἡδοναί εἰσιν. εἶτα μεταξὺ διηγεῖται τὰς ἀρχὰς τῶν κακῶν. Λέσχαι ὁμιλίαι.) καὶ σχολὴ ῥαθυμία. ἀργία. ἡ σχολή φησιν ἡ θεία μὲν τῇ ἀναπαύσει. ὑποβλαβὴς δὲ τῷ ὑποζημίῳ καὶ ἀργῷ τοῦ σώματος. διὸ καὶ τερπνὸν κακὸν εἶπεν. Αἰδώς.) ταῖς αἰσχραῖς ἡδοναῖς συγκατηρίθμησε τὴν αἰσχρὰν αἰδῶ. διαφθείρει γὰρ τοὺς κεκτημένους ὥσπερ κἀκεῖναι τοὺς ἐμπεσόντας αὐταῖς αὐτοὺς ἀπολύουσιν. Ἡ δ' ἄχθος οἴκων.) τί φὴς Εὐριπίδη. κακὴ ἡ αἰδώς. ναί φησιν ἔσθ' ὅτε κακή. δισσαὶ γάρ εἰσιν ὁδοί. εἰ δὲ ᾔδειμεν εὐκαίρως αἰδεῖσθαι, οὐκ ἂν δύο ἦσαν ἑνὶ ὀνόματι καλούμεναι, ἴσως δὲ τὸ ὁμηρικὸν ἀνέγνω Εὐριπίδης. Ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.) Ἄλλως. εἰ δ' ὁ καιρὸς ἦν σαφής. ἐπεὶ φησὶν ὁ Ὅμηρος μίαν μὲν εἶναι τὴν αἰδῶ. διττὴν δὲ δύναμιν ἔχειν. Αἰδὼς ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.) τὴν διαφωνίαν ἰώμενος φησίν. ὅτι τῆς αἰδοῦς ἡ ἄγνοια παρὰ τὴν ἡμετέραν γίνεται ἄνοιαν. ἡμεῖς γὰρ οὐ κατὰ καιρὸν αὐτῇ χρώμενοι διπλῆν ἡγούμεθα τὴν μίαν. ἤδη γὰρ τὴν εὐκαίρως γινομένην ὀνομάζειν αἰδῶ. τῷ δὲ ταὐτ' ἔχοντι γράμματα. οἱ οὖν ἑνὶ τόνῳ καὶ φθόγγῳ προσαγορευομένας. Ταῦτ' οὖν ἐπειδή.) ἐπειδὴ τοίνυν τὴν φύσιν ἑκάστου πράγματος ἐτύγχανον γινώσκουσα. καὶ πόθεν οἱ ἄνθρωποι τὸν βίον ἑαυτῶν διαφθείρουσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐνόμιζον τοῦτο. οὐ δὲ μία πρόφασις οὕτως ἰσχυρά, οὐδὲ δέλεαρ τοιοῦτον ὅπερ ἐκ τῶν φρενῶν καὶ τῆς τοσαύτης σωφροσύνης μεταστήσειέ με εἰς πορνείαν. οὐκ ἀπεικότως δὲ τοῦτο φησί. ἀλλὰ πρὸς πλείονα δεῖξιν τοῦ μὴ μόνον οὐ κατὰ φύσιν. ἀλλὰ καὶ παρ' ἐλπίδα νοσεῖν ἔρωτα. Ἐπεί μ' ἔρως ἔτρωσεν.) ὅτι λοιπὸν καταστατικώτερον αὐτὴν τὴν διοίκησιν τῆς νόσου διηγεῖται. ἤρξάμην μὲν οὖν φησιν ἐντεῦθεν σιγᾶν. ἵνα διὰ τῆς ἡσυχίας λήϊμοι γένηται. Γλώσσῃ γάρ.) ἔοικε τὸ συμβαῖνον ἐκ τῆς γλώττης δι' ἄλλων προστεθεικέναι. καθὸ πολλῶν τοῖς ἀκούουσιν ἀπίστων γινομένων. αὕτη τῆς προδοσίας αἰτία νομίζεται. ἄμεινον φησὶν ἡγησάμην τὸ σιωπᾶν. εὐλαβουμένη μὴ γλῶσσαν κτήσωμαι σύμβολον. λόγῳ μὲν ἐπινοοῦσα τὰς ἀρετάς. ἔργῳ δὲ ἀκόλαστον. δείκνυσι γὰρ τὸ παραινούμενον σύμβολον. ὅταν τις ἕτερον κεύθῃ ἐνὶ φρεσὶν ἄλλο δ' εἴπῃ. ἄνοιαν δὲ τὴν πορνείαν καλεῖ. ἐπεὶ καὶ τὸ ἐναντίον σωφροσύνη καλεῖται ἐν ᾗ σώζομεν τὰς φρένας. Τρίτον δ' ἐπειδή.) ἐπειδὴ τοῖς β΄ τρόποις οὐδὲν ἤνυον πρὸς ἐγκράτειαν τοῦ ἔρωτος, οὔτε τῇ σιωπῇ οὔτε τῇ σωφροσύνῃ, ἔδοξέ μοι ἀποθανεῖν. καὶ οὐδεὶς ἀντιλέξει τοῖς βουλευθεῖσιν. ὡς οὐ καλῶς ἐσκεψάμην. ἢ σιωπᾶν. καὶ σωφρονεῖν. ἢ ἀποθανεῖν. Γυνὴ δέ.) τὸ ἑξῆς. τοῖς δὲ οὖσα γυνὴ προσῄδειν τὴν νόσον ταύτην δυσκλεᾶ. καὶ τὸ ἔργον τῆς πορνείας. μίσημα ὂν παρὰ πᾶσι. τὸ δὲ γυνὴ οὖσα. ἐπειδὴ μάλιστα αἱ γυναῖκες μισεῖν ὀφείλουσι τὴν πορνείαν. αἱ μὲν δι' αὐτὴν μεμισημέναι ἀνδράσι τε καὶ γυναιξίν. αἱ δὲ φεύγουσαι τὴν ἐξ αὐτῆς αἰσχύνην. Ἄλλως. καὶ τοῦτο οὐχ ἁπλῇ γνώσει ἐξέθεν ἠπιστάμην. ἀλλὰ καὶ γυνὴ πεφυκυῖα ἀκριβῶς ἀν-

χον τοῦ μίσους τούτου τὴν γνῶσιν· ὥστε καὶ μέχρι τοῦ νῦν ἤτοι μέχρι τοῦ νοσῆσαι καὶ νικηθῆναι τῷ πάθει, ἡδέως ἂν κατηρασάμην τῇ πρώτῃ πορνευσάσῃ. Ἄλλως· μίσημα πᾶσι· ἀκριβῶς ἔγνω ὁ Εὐριπίδης τὴν ῥίζαν τῆς πορνείας ἄνωθεν ἐξ ἐνδόξων συστᾶσαν τὸ ἐξ ἁπλοῦ ἐλθεῖν εἰς πολὺ τὸ κακόν· εἰ γὰρ ἐβεβλαστήκει ἐξ εὐτελῶν, ταχέως ἂν ἐξεκέκοπτο καὶ οὐκ ἐζηλοῦτο. Ἥ τις πρὸς ἄνδρα· Ἡρωδιανὸς ἐν τῷ μονοβίβλῳ τῷ περὶ κυρίων καὶ ἐπιθέτων καὶ προσηγορικῶν, λέγει εἶναι τὰς πρῶτον πορνευσάσας θυγατέρας Εὐριπίδου, οὐ τοῦ Κῴου· ἀλλὰ ἄλλου τινός· ἔστι δὲ τὰ ὀνόματα αὐτῶν Μορφὴ καὶ Κλυτή· ὡς φιλόσοφος δὲ συμβάλλει τοῦτο· ὅτι εὐγενεῖς καὶ πλούσιαι κατήρξαντο τῆς πορνείας· οὐ μόνον ἐκ τοῦ ὑπερτρυφᾶν· ὅπερ τὸν ἔρωτα προκαλεῖται· ἀλλὰ καὶ ἐκ τοῦ ἀποζηλωθῆναι τὸ ἁμάρτημα ἐξ εὐτελοῦς τινὸς γινόμενον. Ὅταν γὰρ αἰσχρὰ·) ἐστοχάσατο τὸ τοιοῦτον οὐ μόνον ἀπὸ τῆς κολακείας· ἀλλὰ καὶ ἐκ τῆς τῶν ἁμαρτανόντων ἀξιοπιστίας· ὅταν γὰρ αἰσχρὰ ποιῶσιν οἱ βέλτιστοι, πάντως οἱ εὐτελεῖς μιμοῦνται καὶ ἀκολουθοῦσιν ἐκείνοις· εἰ γὰρ τοῖς ἀγαθοῖς τὰ αἰσχρὰ νομίζεται καλά, πολλῷ μᾶλλον τοῖς κακοῖς. Αἵτινες ἄρα·) πῶς οὐχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων τὸν παρὰ φύσιν ἔλεγχον δεδοίκασι. πῶς τολμῶσιν ὁρᾶν τοὺς ἄνδρας μονονουχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων παρὰ φύσιν ἔχειν· δεδοικυίας τὴν νύκτα· θεὸς γὰρ οὖσα θεοῖς ἀνάκειται· μόνον δὲ τοῦτο· ὁ βίος ἥδεται τοῖς πονηροῖς ὡς Μένανδρος. πράττει δ' ὁ κόλαξ ἄριστα πάντων· δεύτερος συκοφάντης· ὁ κακοήθης τρίτατος. παλαίει οὖν τῷ βίῳ καὶ ἁμιλλᾶται ὅς τις βούλοιτο καὶ ἁμιλλᾶται· ὅς τις βούλοιτο δικαιοπραγεῖν, τῷ διαφωνεῖν πρὸς τὴν κοινὴν πολιτείαν, ἢ ἐπειδὴ οἱ φαῦλοι ὅταν

τοῦ δικαιοπραγοῦς τινος ἀκούσωσι ζητοῦσι παντὶ τρό-
πῳ ὑποσκελίσαι αὐτόν. παλαίει οὖν τοῖς φαύλοις ὁ ἀ-
γαθός. Ἄλλως. μόνον τοῦτο νικᾷ φησὶ τὸν βίον,
οὐ καλύπτεται ὑπ' αὐτοῦ. ἀλλὰ μετὰ θάνατον λάμπει
τὸ τῆς σωφροσύνης. τοὺς γὰρ ἀκολάστους ἐλέγχει καὶ δειγ-
ματίζει ὁ χρόνος. ὡς καὶ παρθένον κάτοπτρον. ὥστε δεῖ
με μὴ τοῦ παρόντος μόνον ἀντιποιήσασθαι. ἀλλὰ καὶ
τοῦ μετ' αὐτόν. Μόνον δὲ τοῦτο.) τὸ κεκτῆσθαι διά-
νοιαν ἀγαθήν. ὡς εἰ ἔλεγεν. ὅτι ἀθάνατόν τι ἐστὶ καὶ ὡς
ὅλον τὸν βίον μνημονεύεται. δεῖ μὲν οὖν μὴ τοῦ παρόν-
τος. ἀλλὰ καὶ τοῦ μέλλοντος προνοήσασθαι. εἰδυῖα ὅτι
ὥσπερ τοὺς ἀγαθοὺς τῶν βεβαιοῖ, οὕτω καὶ τοὺς πονη-
ροὺς ἐλέγχει ὁ χρόνος. κατόπτρῳ δὲ παρείκασε τὰ ἐν τῷ
προϊόντι χρόνῳ φαινόμενα τεκμήρια τῶν πρὶν ἁμαρτη-
θέντων, καθὸ παρελθόντων τῶν ἔργων αὐτῶν ὥσπερ ἐν
κατόπτρῳ τεκμήρια καὶ σκιὰς τῶν παλαιῶν αὐτῶν ὁ-
ρῶμεν ἁμαρτημάτων. Ἄλλως. γνώμην δικαίαν.
θαυμασίως ἄγαν ἀπολύτως ἐχρήσατο. Οὕτω πα-
ρῆ.) οὐ διαστολὴν τῶν λεχομένου πλουσίου καὶ πένητος.
ἢ εὐγενοῦς καὶ εὐτελοῦς. ἀλλὰ καθολικωτέρου ὑπάρχον-
τος τῶν πάντων. Κακοὺς δὲ θνητῶν.) τινὲς οὕτως τὸ
ἑξῆς. τοὺς κακοὺς τῶν θνητῶν ἐλέγχει ὁ χρόνος. ὅταν τύ-
χῃ προθεὶς τὸ κάτοπτρον ὡς τῇ νέᾳ παρθένῳ. τουτέστιν
ὅταν τύχῃ αὐτοὺς ἐλέγχων, καὶ φανεροποιῶν. Δέ-
σποιν' ἐμοί τι.) ἐμοὶ φησὶν ἀρτίως ἡ σὴ συμφορὰ ἀγ-
γελθεῖσα δεινὸν φόβον ἐνέβαλεν. Ἄλλως. καλῶς
ἐμιμήσατο τὸ τῶν γραῶν παλίμβολον. ὑποφοβοῦνται
γὰρ καὶ θρασύνονται ταῖς συμφοραῖς. νῦν δ' εὐνοοῦμαι. εἰ
καὶ εὐτελής φησι τυγχάνω τὴν γνώμην, οὐκ ἀπ' ἐμαυ-
τῆς ὀφείλουσα στοχάζεσθαι ὅμως εὗρον ὅτι παρὰ πᾶσιν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνθρώποις ἀκριβέστεραί εἰσιν αἱ ἐπισκέψεις καὶ αἱ δεύτεραι γνῶμαι. Οὐ γὰρ περιττόν.) οὐδέν φησιν ἔπαθες περιττὸν ὧν πάσχουσι πάντες. τοῦτο δὲ πρὸς παραμυθίαν. ὡς μισούσης αὐτῆς ἐξ ἰδίας φύσεως τὸν ἔρωτα. μὴ οὖν φησι δυσχεράνῃς σαυτὴν. ἀλλὰ συγγίνωσκε τῷ πάθει βιαζομένη παρὰ τοῦ κρείσσονος. ἄλλως τε καὶ τῶν πολλῶν ἐκ φύσεως αὐτῶν νοσούντων. Οὔτ' ἄρ' οὐδὲ τοῖς ἐρῶσι.) τοῦτο ἐκ τοῦ καθολικωτέρου. οὕτως οὐ λυσιτελεῖ. οὐ χρὴ οὐ συμφέρει φησὶ τοῖς τῶν πλησίον ἐρῶσι καὶ ὅσοι μέλλουσιν ἐρᾶν, εἰ χρεὼν αὐτοῖς ἐστὶ τοῦ θανεῖν. Κύπρις γάρ.) δεῖ φέρειν πολλῷ ῥεύσασαν τὴν θεὸν ὑπείκοντα μᾶλλον. οὐ γὰρ ἀνθοπλιζόμενον. οἱ δὲ γὰρ ἄρα ὑποχωροῦσιν ὑπείκειν ἡ θεός.

Ἄλλως. οὐκ ἔστιν δυνατὸν βαστάσαι τὴν κύπριν μεγάλως ἐπερχομένην. ἀλλὰ χρὴ εἴκειν μᾶλλον τῇ ἀφροδίτῃ ἢ ἀντιμάχεσθαι αὐτῇ. πῶς δοκεῖς καθύβρισεν. ὅσῳ γὰρ αἰνεῖταί τις τοῦ θεοῦ τὴν δυναστείαν. τοσούτῳ μᾶλλον ἀποδείκνυται εἰς αὐτὸν τὴν ἀνδραγαθίαν. καὶ στοχάζουμαι τῆς τιμωρίας τὴν ὑπερβολήν. κρείττων γάρ ἐστι τῆς λόγου διηγήσεως, τοῦτο γὰρ δηλοῖ τὸ πῶς δοκεῖς. Φοιτᾷ δ' ἀν' αἰθέρα.) ἐντεῦθεν ἄρχεται τὸ τῆς ἀφροδίτης αὐξάνειν μέγεθος. ἐν θαλάσσῃ δὲ αὐτήν φησιν. ἢ ὅτι ἀφρογενής ἐστιν. ἢ ὅτι ἐπειδὴ καὶ τὰ ἐν θαλάσσῃ ἀφροδισιάζει. καὶ ἔοικεν ἐκ τοῦ παραδόξου σεσιωπηκέναι. φημὶ δὲ τὸ ἀπὸ γῆς εἶναι τὴν θεόν. Η καλλιφεγγής.) κέφαλος εἷς ἐστι τῶν ἐξ ἐνδυμίωνος. οὗτος γαμεῖ πρόκνην τὴν ἀθηναίαν ὅτι δὲ κέφαλον ἡ ἠὼς ἥρπασεν διὰ κάλλος καὶ ὅμηρος εἴρηκεν. ἦν δὲ ὁ κέφαλος δηιονέως παῖς. Ἔρωτος οὕνεκα.) ταύταν δυσω

τικῶς λέγει. ἤδη μὲν γὰρ ἐκ τῶν μειζόνων προκα/
τεσκεύασεν. εἰποῦσα καὶ θεοὺς ἐρᾶν. λοιπὸν δὲ καὶ τὸ
διάφορον. καὶ τὸ μωρὸν αὐτῆς ἐλέγχει. Ναίουσι κοὐ/
φεύγουσι.) οὐκ ἀφίσανται πρὸς τοὺς οἰκείους καὶ παρα
γίνονται. ἀλλὰ σὺν τοῖς θεοῖς διατρίβουσιν. ἢ ὑπὸ τῶν
ἐρώντων θεῶν. καὶ οὐ φεύγουσι τὴν δίαιταν τὴν μετὰ
τῶν ἄλλων θεῶν. αἰδούμενοι ὅτι ἐρῶσι. κοινὸν γὰρ κατὰ
πάντων συμβαίνει τὸ τοῦ ἔρωτος πάθος. Χρῆν σ'
ἐπὶ ῥητοῖς.) ὑπὸ συνθήκαις ἐχρῆν τὸν πατέρα σου γε
νῆσαι σε. ὑπὸ ὡρισμένοις. ἢ ἐπ' ἄλλοις δεσπόταις θεοῖς.
εἰ μὴ στέρξεις δὲ νόμους τῆς ἀφροδίτης φησὶ καὶ τοῦ ἔρω
τος. Πόσους δοκεῖς δή.) ἕως τὸ εὖ φρονεῖν. καὶ οὐχ
ὑπ' ἀγνοίας ἀνεξικακοῦντας, ἵνα μὴ τοῦτο ἀντιθῆς.
Νοσοῦνθ' ὁρῶντας.) μὴ δοκεῖν ὁρᾶν τὰ πλάσματα. τῇ
κοινῇ δυναστείᾳ τοῦ ἔρωτος συγγινώσκοντας. Πό/
σους δὲ παισὶ πατέρας.) πόσους δὲ οἴει πατέρας
τοῖς παισὶν ἡμαρτηκότας δι' ἔρωτα, συμβαστάζειν αὐ/
τοῖς παρὰ τῆς ἀφροδίτης τὴν νόσον. καὶ τοσοῦτον ἀπέ
χειν τοῦ μέμφεσθαι, ὥστε καὶ συγκάμνειν εἰς τοὺς ἔρω
τας αὐτοῖς. τὸ γὰρ ἐλέγχειν τὰ τοιαῦτα. οὐδὲν ἐστιν ἄλ/
λο, ἀλλ' ἢ συμφορὰν ὀνειδίζειν. Οὐδ' ἐκπονεῖν τοι
χρή.) οὐδ' ἐξακριβάζεσθαι. οὐ καταπονεῖσθαι δεῖ πάνυ
τοὺς ἀνθρώπους. ἀντέχοντας πρὸς τὸν ἔρωτα. οὐδὲ στέ/
γην γὰρ ὑφ' ἧς οἱ δόμοι κατηρεφεῖς γίνονται. ἀκριβώ/
σειαν. οἱ τέκτονες δηλονότι. καὶ τὸ μέτρον τοῦ διαστήμα
τος τῶν δόμων φυλάξειαν, ὡς μήτε ἐκείνην πολὺ ἀπέ/
χειν. μήτε τὴν ἄλλην πλησιάζειν. εἶτα πρὸς μὲν ξύλων
συνθέσεις, καὶ κανόνας εὖ συνθέτους, οὐκ ἐφίκετο τῆς
ἀκριβείας ἡ τέχνη. σὺ δὲ τηλικαύτην συμφορὰν,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπλαίστως βούλει παραδεξαμένη. Εἰς δὲ τὴν τύ-
χην.) εἰς δὲ πέλαγος ἄδηλον τῆς τύχης ἐκκο-
λυμβῆσαι οἰκειότητι δὲ τῇ λέξει κέχρηται ὡς τῶν πελά-
γους καὶ χειμῶνος. ἀκολούθως δὲ καὶ τῷ πεσοῦσα πρὸς
τὴν συμφορὰν ἐχρήσατο. ἐν γὰρ τοῖς σοφοῖς τῶν ἀν-
θρώπων τοῦτο ὑπάρχει. τὸ λανθάνειν ἑαυτὸν. καὶ προσ-
ποιεῖσθαι τῶν πλησίον τὰ μὴ καλὰ ἁμαρτήματα.
Ἀλλ' εἰ τὰ πλείω.) ἀλλ' ἐὰν ἔχῃς πλείονα καλά. βρα-
χύτερα δὲ κακὰ καλῶς ἂν πράξειας. Ἀλλ' ὦ φίλη
παῖ.) τῶν ὑπὲρ φύσιν φθεγγομένων φρενῶν καὶ ἐπ' ἔ-
ρωτι θάνατον μηχανωμένων. Λῆγε.) τὸ γὰρ ἀρχόμε-
νον τινὰ δυσφορεῖν, οὐδὲν ἕτερον ἐστὶν ἢ κρείσσονα ἑαυτὸν
νοεῖν τοῦ κρατοῦντος. καὶ τὴν δεσποτείαν ἄδικον εἶναι
καὶ λέγειν. κρείσσω δαιμόνων. ἢ καθὸ μὴ βούλεται ὑπο-
κεῖσθαι τῇ ἀφροδίτῃ. ἢ ἐπεὶ καὶ οἱ θεοὶ πολλάκις ἐρῶ-
σιν. ὡς καὶ ἡ γραῦς ἔφη. διὰ τοῦτο δὲ θεραπεύει τὴν ὑ-
πονοίαν τῆς ἀγριότητος εἰς θειοτέραν ἀνάγκην. τὸ ἀ-
κούσιον τῆς γνώμης ἀναφέρουσα. Νοσοῦσα δ' εὖ
πως.) καλῶς σαυτὴν διάθες. καὶ γενναίως φέρε αὐτήν.
οἷον μὴ ἡττῶ τῇ νόσῳ. ἀλλὰ γενναίως φέρε. καὶ τῶν πέ-
ρας ἄγε. Ἠ τἆρ' ἂν ὀψέ γ'.) βραδέως ἂν οἱ ἄν-
δρες διαμνηθεῖεν περί τινος. εἰ ἡμεῖς αἱ γυναῖκες μη-
χανὰς εὕροιμεν περί τινος. εἰ γὰρ αἱ γυναῖκες ἀπεστερήσο-
μεν πανουργιῶν πόσῳ μᾶλλον, οὐκ εἰς ἔσχατον ἀμη-
χανίας περιπεσοῦνται οἱ ἄνδρες. ὥσπερ γὰρ τὸ νοῦν
ἔχειν δέδοται τοῖς ἀνδράσιν. οὕτως τὸ πανουργεῖν καὶ
μηχανὰς ἐξευρίσκειν ταῖς γυναιξί. Φαίδρα λέγει.)
πρὸς μὲν τὴν παροῦσαν φησὶ συμφορὰν τοῦ ἔρωτος
χρησιμώτερα σου λέγει ἡ τροφός. εἰ ἢ σὺ μὲν ἐκβαλ-

χεῖς ταύτην ζωήν· ἡ δὲ τὸ σὴ νόσοι προσφωνεῖ. σὲ δέ φησιν ὅμως ἐπαινῶ τῆς σωφροσύνης· συγκριτικῶς δὲ εἶπε τὸ δυσχερέστερος. ὧν αἱ ἀμφοτέρων τῶν λόγων τε δυστυχεῖς κεκτημένων· τοῦ μὲν διὰ τὴν αἰσχύνην· τοῦ δὲ διὰ τὸν θάνατον· ἐμφαντικώτερον δὲ καὶ ἄλγιονα εἶπεν ἔπαινον· τὸν οὐχ ἡδονὴν προξενοῦντα κατὰ τοὺς ἄλλους ἐπαίνους τοῖς ἀκούουσιν· ἀλλὰ θάνατον· Ο δ' αἶνος.) οὗτος. ἴσθι μέν τοι τοῦτο ὅτι ὁ ἔπαινος τῆς σωφροσύνης ὁ παρ' ἐμοῦ λεγόμενος εἰ καὶ καλλίων ἐστὶ τῶν ταύτης λόγων, ἀλλ' οὖν γε δυσχερέστερός ἐστι· καθὸ θάνατόν σοι προξενεῖ· διὰ τοῦτο εἰ κόπως εἴη σοι λυπηρὸς ἀκούειν, εἰς ἀπώλειάν σε προτρεπόμενος. ἄλγιονα δὲ ἔφη τὸν ἔπαινον. ὥστ' ἂν μήτε ἔπαινον καθαρῶς ἔχοντα. οἱ γὰρ ἔπαινοι ἥδουσι τοὺς ἐπαινουμένους· Τοῦτ' ἔσθ' ὁ θνητῶν.) μάλιστα τὰς πολιτείας τοῦτο ἀπόλλυσι τὸ τὰ κεχαρισμένα τῷ δήμῳ λέγειν πρὸς τὴν ἰδίαν σύστασιν· ὅταν γὰρ ἁμαρτάνοντι μὴ πρὸς σωτηρίαν, ἀλλὰ πρὸς αὔξησιν τῆς ἁμαρτίας συμβουλεύῃ τις. οὕτως διὰ τῶν ἡδέων λόγων ἀπόλλυσι τὸν ἁμαρτήσαντα. οἱ ἡδεῖς γὰρ λόγοι καὶ πλανητικοὶ ἀπολλύουσι τὰς καλῶς οἰκουμένας πόλεις καὶ τοὺς δόμους· Διοιστέον.) διαγνωστέον. ὁ δὲ νοῦς· ἀλλὰ πειρατέον τῆς γνώμης τοῦ ἱππολύτου ποῖος ἐστι πρὸς τὰ λεγόμενα· Τὸν εὐθὺν.) ἐκ γὰρ τῆς σωτόμου ὁμιλίας ὀλέσειε τὸ τῆς φύσεως αἰφνίδιον νόσημα. καὶ οὐκ ἂν ἐκ τοῦ ποικίλου τῆς ἀπαγγελίας ὡς ἐθάδης τῆς νόσου μισήσειεν· Καὶ μή με ἐάσεις αὖθις.) ἀπειρηκυῖα τοῖς σοφίσμασι τῆς γραός, παρακαλεῖ μηκέτι περὶ τῶν τοιούτων γυμνάζειν· μὴ δὲ λέγειν ὅτι καλῶς καὶ μετρίως εἴρηκας αὐτὴν ὁ ἔρως. οὐ παράλογος. οὐ δὲ ἄξιος θανάτου· .. Αἰσχρ' ἀλλ' ἀμείνω.) παρὰ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑτέρῳ τινὶ μὴ ἐρῶντι αἰσχρὰ νομισθείη· παρὰ σοὶ δὲ βελτίω εἰσὶ τῶν παρὰ σοῦ καλῶς λεγομένων· καθὸ τὰ μὲν θάνατον, τὰ δὲ σωτηρίας σοι περιποιεῖ πρός· πλείονα δὲ πειθὼ, τὸ μὲν ἔργον· τὸ δὲ ὄνομα ἐκάλεσεν· ὡς τούτου μὲν τῇ ἀληθείᾳ σωτηρίαν ἔχοντος· τοῦ δὲ τὸ ἐπάγγελμα ἐν φήμῃ καὶ ἀμφιβολίᾳ τοῖς ἔξωθεν. Ἄλλως.

Τὰ δοκοῦντά σοι αἰσχρὰ εἶναι· τῶν καλῶν λόγων κρείττονά ἐστιν· ἢ αἰσχρὰ μὲν τὰ λεχθέντα τῷ προστυχόντι· σοὶ μὲν τῇ νοσούσῃ τὸν ἔρωτα βελτίονα.

Εὖ λέγεις γάρ.) καλῶς μὲν γὰρ λέγεις καὶ πιθανῶς. αἰσχρὰ δέ ἐστι τῇ φύσει τὰ λεγόμενα· καὶ μή γε πρὸς θεῶν πέρα προβῇς τι τῶν λόγων τούτων· μὴ δὲ σοφιζομένη λέγε ὅτι καλὸν ὑπείργασμαι καὶ ὑποθάλπομαι τὴν ψυχὴν καὶ καρτερῶ τῷ ἔρωτι· καὶ οὐδὲν ἡμᾶς ἔβλαψεν ἄξιον θανάτου. Αἰσχρὰ δ' ἢν λέγῃς.) ὅταν δὲ τὰ αἰσχρὰ λέγῃς πιθανῶς καλὰ τῇ δεινότητι, διαφθαρήσομαι ἐγώ· καὶ ἐμπέσω εἰς ὃ φεύγω· τουτέστι τὴν ὁμιλίαν καὶ συνουσίαν τοῦ ἔρωτος· δέδοικε γὰρ ἡ φαίδρα μὴ ληφθεῖσα ἁλῷ τῇ πιθανότητι. Εἴ τοι δοκεῖ σοι.) μὴ δυνηθεῖσα τοῖς σοφισμοῖς περιγενέσθαι δευτέραν εἰσηγεῖται γνώμην ἡ γραῦς· καὶ ὑπισχνεῖται ἀντιπτερώσειν κἀκεῖνον φαρμάκοις τισίν· ὡς ἂν θαρσαλεώτερον αὐτῷ τὸν ἔρωτα μηνύσωσιν ὡς πάντως πείσουσαι. εἰ τοίνυν φησὶ δοκεῖ σοι τὸ μὴ συνελθεῖν τῷ ἐρωμένῳ, ἔδει σε μὴ δὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐρασθεῖσαν· καὶ οὐ τὸ σωφρονεῖν σοι δέδοκται· ἔδει μὴ δ' ὅλως ἁλῶναι τῷ ἔρωτι· καὶ νῦν φησι· δευτέραν χάριν μοι δός· δευτέρῳ τρόπῳ· πεισθεῖσα τῷ τῶν φαρμάκων· ἔστι δέ μοι φησὶν ἐν τῇ οἰκίᾳ φάρμακα ἐρωτικά· ἃ δύναταί σου παῦσαι τὴν νόσον· καὶ πλῆσαι τὸν ἔρωτα· τρώσαντα δηλονότι τὸν ἐρώμενον. εἰ δὲ πάλιν

σὺ ἀπειθήσασα οὐκ ἐάσεις με τοῦτο ποιῆσαι, βλάβη σοι γενήσεται. Ἄλλως. τινὲς οὕτως· εἰ δοκεῖ σοι σωφρονεῖν ὠφελές, μηδέν μοι λέγειν· εἰ δὲ δοκεῖ τοῦτό σοι τὸ μὴ πεισθῆναι· κἂν δευτέραν καὶ ἥσσονά μοι χάριν δός· πάντως γὰρ κἀκείνου οὕτως ἐρῶντος, οὐκ ἂν ἀποτυχοῦσα τῆς κοινωνίας ἠπειθεῖς. Παύσει νόσου.) τὸν ἐρῶντα προσληπτέον ἅτινα φίλτρα ἤτοι φάρμακα τὰ θέλγοντα εἰς φιλίαν οὔτε δύσκλειαν πορνείας σοι θέντα. οὐ δὲ ἀπατήσαντά σε παύσει τῆς νόσου. ἐὰν σὺ μὴ γένῃ κακή· ἀντὶ τοῦ εἰ μὴ ἀπειθήσασα κωλύσεις με. Σημεῖον ἢ λόγον.) δεῖ φησιν αὐτῇ φαρμάξει σημεῖον ἐκ τοῦ ἱππολύτου τι λαβεῖν· ἢ λόγου μνημόνευμα· ἢ κρασπέδου ἀπόσπασμα. καὶ τῷ μὲν λόγῳ αὐτοῦ, τὸν λόγον τῆς φαίδρας συνάψαντας ἐπᾴδειν· τὸ δὲ ἀπόσπασμα ἐσθῆτος πάλιν ἐπαοιδῆς ἐπάσματος τῆς ἐσθῆτος φαίδρας συνάπτειν. ἵν' εἰ αὐτοῦ διὰ λόγου ἀποτύχωμεν τῷ δι' ἐσθῆτος χρησώμεθα. συνάψαντες γὰρ ἄμφω τοὺς λόγους ἢ τὰ ἀποσπάσματα τῶν ἱματίων, οὕτως ἐπᾴδουσιν. οἷον ἱππόλυτος ὁ τόδε εἰπὼν ἐρασθείη φαίδρας τῆς τόδε εἰπούσης. μαγικῶς δὲ καὶ τὸ φυσιολογικὸν μᾶλλον διήγημα. εἰπὼν συνάψαι τὴν ἐκ δυοῖν μίαν χάριν. διὰ γὰρ φυσιολογικῶν τινῶν, ἄμφω τὰς φύσεις εἰς ἕνα ξυνάγουσιν ἔρωτα. ἀρίστη δὲ καὶ ἐνταῦθα ἡ διοίκησις. τὸ μὲν ὅλως φαρμάξειν· οὐκ ἐπὶ σκηνῆς ἀλλ' ἔνδον ποιῆσαι μέλλουσα, πιθανῶς ἤδη τὸ κεφάλαιον ὑπέθετο τῆς φαρμάξεως. ἔδοξε γὰρ ἂν ἐνοχλεῖν διηγουμένη φανερῶς. Ὄνασθαι μὴ μᾶλλον.) διδάσκουσα πῶς δὴ τοῖς ἀναγκαίοις κεχρῆσθαι εἰς τὴν παραυτίκα μόνον ἀπαλλαγὴν τῶν κακῶν. οὐ γὰρ εἰς τὴν διηνεκῆ γνῶσιν. τὸ γὰρ τοιοῦτον πονηρίας ἐστὶν ἐπιθυμία. ἡ διηνεκὴς τῆς κακουργίας ἀπόλαυσις. δεῖ οὖν πρὸς τὸ λυσιτελοῦν ἀπολαύοντας τῶν τοιούτων καταρραθυμεῖν

τῶν διηνεκῶν ἡδήσεων· ὠφεληθῆναι φησὶ βούλου μόνον· ἀλλὰ μὴ μαθεῖν τῆς ὠφελείας τὴν φύσιν· τὸ δὲ ὄνασθαι· ὡς ἵσασθαι· τὸ θέμα· ὄνημι· Δέδοιχ' ὅπως.) δέδοικα φησὶ μὴ μετοῦσα τὴν φάρμαξιν, ἔργῳ δηλώσης τὴν νόσον· τὸ δὲ πάντ' ἂν φοβηθεῖσθαι· ἀντὶ τοῦ εἰ τὸ μηδὲν ἄξιον φόβου φοβῇ, πάντα ἂν φοβηθεῖσαν, γνώθισαι τήν· Φοβοῦμαι.) μὴ ἐπ' ἐμοὶ σφόδρα τίς πανοῦργος ἀποδειχθεῖσα μηνύσῃς τῷ ἱππολύτῳ τὸν πρὸς αὐτὴν ἀπ' ἐμοῦ ἔρωτα· Ἔασον ὦ παῖ.) οἰκονομικῶς ταῦτα οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀντέθηκεν, καί τοι αὐτὴ ἐρωτήσασα τὴν φαίδραν διατί φοβοῖτο· ἀλλὰ μόνον φησὶν ἐγὼ ταῦτα θήσω καλῶς· οὐ βουλομένη κατήγορος ἑαυτῆς ὕστερον φωρᾶσθαι· τὴν ἀφροδίτην δὲ ἐπικαλεῖται ὡς παραστατοῦσαν ταῖς τοιαύταις πρὸς ἐργασίαις· Τοῖς ἔνδον ἡμῖν.) φίλον ὀνομάζει τὸν ἱππόλυτον καθ' ἡδονὴν ἤγραις προλαμβάνουσα ταῖς ἐλπίσι· τὰ δὲ ἄλλα ἀφρονῶ· ἀρκέσει γὰρ ἔνδον διηγήσασθαι τοῖς ἔνδον φίλοις ὁ ποῖα ἐστί· καὶ μὴ ἐπὶ πάντων καὶ ἐπὶ τοῦ θεάτρου ταῦτα ἐκφέρειν· Ἄλλως· Οὐ βούλομαι παρρησιάζεσθαι τὰ τῆς γοητείας· ἀρκεσθήσομαι τοῖς ἔνδον· Ἔρως· ἔρως.) λοιπὸν ὁ χορὸς ἐκτείνεται πρὸς τὸν ἔρωτα λέγων· ὦ ἔρως ὅς τις διὰ τῶν ὀμμάτων τῶν ἀνθρώπων στάζεις τὸν πόθον διὰ τούτου εἰσάγων ταῖς ψυχαῖς καὶ τὴν γλυκεῖαν ἡδονήν· καθ' ὧν ἂν ψυχῶν ἐπιστρατεύσῃ τῷ ἐρωτικῷ τόξῳ καὶ ἔρωτα ποιήσας· τὸ δὲ ἑξῆς οὕτως· ὦ ἔρως ὃς κατὰ τῶν ὀμμάτων τῶν ἐρωμένων ἡδονὴν καὶ ἐπιθυμίαν ἐπιχέεις· διὰ τούτου γλυκεῖαν τινὰ ἡδονὴν εἰσάγων ταῖς ψυχαῖς ἐκείνων, καθ' ὧν ἂν ἐπιστρατεύσῃ τοῖς ἐρωτικοῖς βέλεσιν· ὁ δὲ λέγει τοιοῦτόν ἐστι· ὅτε ἐπαναγκάσῃς τινὰ ἐρᾶν τῷ ἐρωμένῳ γλυκεῖαν ἐπι-

θεὶς ταῖς ὄψεσιν ἡδονήν. ὅπως τοὺς ἐρῶντας αὐτοπροαιρέτως καθυποτάξῃς ἀνάγκῃ διὰ τῆς ἡδονῆς. τὸ δὲ ἑξῆς Ὦ ἔρως ἔρως.) ὃς κατ' ὀμμάτων στάζεις πόθον. μή μοι ποτὲ σὺν κακῷ φανείης. οὐ πάντῃ δὲ ἀπεύχεται τὸν ἔρωτα. ἀλλὰ τὸν σὺν τῷ κακῷ. εἰσὶ γὰρ καὶ ἀρετῶν ἔρωτες. Μὴ δ' ἄρρυθμος.) μηδὲ ἄμετρός τις καὶ ἄτακτος ἔλθοις. ῥυθμὸς γάρ ἐστιν ἡ μουσικὴ τάξις. πᾶς δέ τις ἔρως μεμετρημένος ἔχει μετὰ τῆς ἰάσεως τὸ χαρίεν ἅμα καὶ ἀβλαβές. Οὔτε γὰρ πυρὸς.) οὔτε γὰρ τὸ βέλος τοῦ πυρὸς; οὔτε τὸ ὑψηλόπτατον βέλος τῶν ἄστρων. τοιοῦτόν ἐστιν, οἷον ἵησιν ἐκ χειρὸς ὁ ἔρως ὁ διὸς παῖς. εἶτα ἵνα μὴ δόξῃ τὸ κοινὸν βέλος λέγειν, φησὶ τὸ τῆς ἀφροδίτης. ἀπὸ κοινοῦ δὲ τὸ βέλος τοῦ πυρὸς. καὶ τὸ βέλος τῶν ἄστρων. Ἄλλως. Ἡ μὲν τοῦ πυρὸς βολὴ τὸ δυνατόν. ἡ δὲ τῶν ἄστρων πρὸς τὸ ἐπιτευκτικόν. τὸ μὲν γὰρ ἀναλωτικὸν τῶν ἐμπιπτόντων. τὸ δὲ ὀξείας καὶ ἐξόχους ἔχον τὰς ἀφάς. ὥστε τὸ μὲν πρὸς τὴν ἰσχὺν τὸ δὲ πρὸς τὴν εὐστοχίαν. οὔτε γὰρ τοῦ πυρὸς. οὔτε τῶν ἄστρων, τῶν τὰς χειμασίας ἐμποιούντων τὸ βέλος, χεῖρόν ἐστι τοῦ σοῦ βέλους. Ἄλλως. Μάτην θύομεν διὶ ὀλυμπίῳ καὶ ἀπόλλωνι πυθίῳ. μὴ τιμῶντες τὸν ἔρωτα. τὸν ὄντα φύλακα μὲν ἀνθρώπων. φύλακα δὲ τῶν ἀφροδισίων θαλάμων. τὸν πορθμοῦντα καὶ ὀλοθρεύοντα τὸν τῶν ἀνθρώπων βίον. καὶ διὰ πάσης συμφορᾶς πόνους καὶ λύπας παρέχοντα. καὶ παντὸς κακοῦ πειραθῆναι ποιοῦντα. ὅτ' ἂν πρὸς αὐτοὺς ἔλθῃ. Τὸν τύραννον.) καλῶς οὐ βασιλέα ἀλλὰ τύραννον αὐτόν φησιν. ἐπειδὴ μὴ προνοεῖται τῆς τῶν ἀρχομένων ὠφελείας. πόνον δὲ λυσιτελοῦντα τῇ ἑαυτοῦ προαιρέσει κατεργάζηται. ἐπίδειξιν τῆς δυναστείας ποιούμενος. Κληδοῦχον οὐ σεβίζομεν.)

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν φύλακα τῶν οἴκων οὗ τιμῶμεν. φύλακα δὲ τῶν ἀφροδισίων αὐτὸν ἔφη θαλάμων. δι' ἔρωτος γὰρ ἀφροδισιάζομεν. καὶ τότε καθ' αὑτῶν ὁρῶμεν. ὁπότ' ἂν ἐκεῖνος τὴν ἐπιθυμίαν εἰς ἡμᾶς ἐπιπέμψῃ. Τὰν μὲν οἰχαλίαν.) περὶ τῆς ἰόλης ὁ λόγος. ὅτι ὁ ταύτης ἔρως τὴν οἰχαλίαν ἐπόρθησεν. ἔνιοι μὲν οὖν φασὶν ἀτιμασθέντα τὸν ἡρακλέα ὑπὸ εὐρύτου καὶ τῶν ἀδελφῶν αὐτοῦ. οὐ γὰρ ἐδίδωκεσαν αὐτῷ τὴν κόρην, πορθῆσαι τὴν οἰχαλίαν. ἡρόδοτος δέ φησιν ὅτι τοῦ τῆς ἰόλης γάμου προκειμένου τοξείας ἔπαθλον, ἡρακλέα νικήσαντα. ἀπαξιοῦσθαι τοῦ γάμου. διὸ καὶ κατὰ κράτος ἑλεῖν τὴν οἰχαλίαν καὶ τοὺς ἀδελφοὺς αὐτῆς ἀνελεῖν. εὔρυτον δὲ φυγεῖν εἰς εὔβοιαν. λυσίμαχος δέ φησιν ἐν τοῖς θηβαϊκοῖς παραδόξοις λ' ἀργυρίου τάλαντα ἀπαιτοῦντα ποινὴν ὑπὲρ ἰφίτου, οὕτως ἐπ' αὐτοὺς ἡρακλέα στρατεῦσαι. Πῶλον ἄζυγα.) παρθένον. ἄπειρον γάμου καθαράν. πώλῳ δὲ τὸ ἀκμαῖον αὐτῆς ἤκασεν. λέγει δὲ τὴν ἰόλην τὴν παῖδα τοῦ εὐρύτου. ἣν ἔλεγε διδόναι τῷ νικῶντι αὐτὴν κατὰ τὴν τοξικήν. ἐλέων γὰρ ὁ ἡρακλῆς ἐνίκησε τοῦτον. ὁ δὲ εὔρυτος παρῃτήσατο δοῦναι αὐτήν. καὶ ἕνεκα τῆς παραβάσεως, ὁ ἡρακλῆς ἐπόρθησε τὴν οἰχαλίαν. καὶ αὐτὴν ἔλαβε πρὸς γάμον. Ζεύξασ' ἀπειρεσίαν.) ἀποζεύξασα δὲ καὶ ἀποχωρίσασα τῶν οἴκων. ὁ δὲ νοῦς. τὴν μὲν δὴ ἐν οἰχαλίᾳ παρθένον, ἄνανδρον, ἄνυμφον οὖσαν τὸ πρότερον, τῶν νυμφικῶν οἴκων ἀποχωρίσασα ἡ ἀφροδίτη τῷ ἡρακλεῖ ἐπὶ συμφώνοις καὶ πορθήσεσι τῆς πατρίδος ἐπιδέδωκεν. Σὺν αἵματι.) παρόσον σὺν αἵματι καὶ καύσει τῆς πατρίδος αὐτῆς γέγονεν. ἤτοι παρόσον ὁ γάμος αὐτῆς πρόξενος τούτων ὅλων ἐγένετο. ὡς καὶ σοφοκλῆς ἐν τραχινίαις. τὸ ἑξῆς. νυμφίδα ἀλκμήνης τόκῳ κύπρις ἐδωκεν. ἀντὶ τοῦ νύμφην. δηλοῖ ἐξ ὑποθέτου. τὸ προσηγ-

ῥικόν. Ἀλκμήνας τόκῳ.) τὸ ἑξῆς ἤδη ἀλκμήνης τόκῳ κύπρις ἔδωκεν, ἀντὶ τοῦ νυμφίῳ. δηλοῖ ἐξ ἐπιθέτου τὸ προσηγορικόν. Βροντᾷ γάρ.) τῇ ἀφροδίτῃ ἀνατίθησι τὴν σεμέλης κεραύνωσιν. ἤτοι καθὸ ζεὺς ἀπρονοήτως γενόμενος τῷ ἔρωτι ἐπείσθη τῇ σεμέλῃ. τὸ τῶν ἐραστῶν ἀναδεξάμενος πάθος. ἢ καθὸ ἐν τῇ μίξει καὶ τῷ ἀφροδισιασμῷ ἀπώλετο. διαπέπλασται δὲ τὰ τοῦ μύθου. καθὸ ῥιζοβολεῖν ἀρχόμεναι πολλάκις ἄμπελοι πολλάκις τῇ καύσει τῶν νότων ἐκκόπτονται. Ἀμφιπύρῳ δέ.) τῇ πεπυρωμένῃ. ὡς εἰ ἔλεγε τῇ μετὰ ἀστραπῆς βροντῇ. τὴν γὰρ μητέρα τοῦ βάκχου σεμέλην συγκοιμηθεῖσαν ἐν τῷ διΐ ἀλλὰ πυρὶ ἀμφιπύρῳ, πότμῳ φονίῳ κατεύνασεν. ὅ ἐστι κατέπαυσεν κατεκοίμισεν εὐφήμως ἀντὶ τοῦ ἀνεῖλεν, ἡ ἀφροδίτη δηλονότι. Δεινὰ γὰρ πάντα.) ἀπὸ θαυμαστικοῦ ἀρξαμένη. καὶ εἰς θαυμαστικὸν κατέκλεισεν. ὥστε θαυμάζων ἄρχεται καὶ θαυμάζων παύεται. δεινὴ γὰρ ἡ ἀφροδίτη. καὶ πανταχόθεν δίκην μελίσσης περίσταται. τὰ κάλλιστα τῶν σωμάτων μαραίνουσα. Σιγήσατ' ὦ.) ἔξεισι ταραχώδης ἡ φαίδρα. τὴν ἀπάτην τῆς γραὸς αἰσθηθεῖσα. σιγὴν δὲ αἰτεῖ πρὸς ἀκρίβειαν πυθέσθαι βουλομένη. καὶ αὐτὰς ἀκοῦσαι προτρεπομένη τὰ λεγόμενα περὶ ἱππολύτου. Τί δ' ἐστι φαίδρα.) περὶ τὴν τῆς φαίδρας ἀγωνίαν καταγινόμενος ὁ χορὸς οὐκ ἐπαισθάνεται τῶν τοῦ ἱππολύτου λόγων. καὶ τοῦτο εἰκότως φυλάξαντος τοῦ τραγικοῦ. περὶ τὰ θέσ[illegible]α γάρ ἐστιν ὑπὸ φαίδρας λεγόμενα. Ἰώ μοι μοι. αἰαῖ.) πρὸς ὀλίγον ἐν τῇ σκηνῇ σιωπῆς γενομένης, ἀκούσασα τὰ λεγόμενα ἡ φαίδρα. καὶ μὴ ἐνεγκοῦσα τὸ πάθος ἀνέκραγεν. ἢ οἰκονομικῶς οὐκ ἐξέβαλεν ἱππολύτῳ. ἀλλὰ προτετραγῴδηκε τῆς φαίδρας τὴν ἀγωνίαν. Ἐννέπετε.) εἰπὲ γυναῖ ποῖος οὗτος

λόγος εἰσελθὼν εἰς τὰ ὦτά σου ἐπτόησέ σε. Η οὕτως.) εἰπέ μοι ποία φήμη, καὶ βοὴ ἀφορμήσασα ἐκ φόβου σου τὰς φρένας. στικτέον δὲ εἰς τὸ φρένας. ἢ συναπτέον αὐτὸ τῷ ἐπιόντος. ἑκατέρως γὰρ δύναται ὑποστίζεσθαι. παρὰ κλῆθρα. παρὰ τὰς πύλας. παραιτεῖται τὴν ἀκοὴν ἐπεὶ πολλάκις ἔμελλε διαδιδόναι αὐτῇ ἀκούσασα. καὶ ἐκ τούτου πρόξενος αὐτῇ τῆς λύπης γίνεσθαι. ὁ δὲ νοῦς. τὸν παρὰ κλῆθρα ἴσασο. σοὶ γὰρ ἐν φροντίδι ἐστὶν ἡ ἐκ τῶν οἴκων πεμπομένη φωνή. Ο τῆς φιλίππου.) ὁ τῆς ἀμαζόνος ἱππόλυτος αὐτόπτης παῖς τῆς φιλούσης τοὺς ἵππους. βοᾷ ὑβρίζων τὴν δούλην. ἢ τὴν τροφόν. Ιαχὰν μέν.) φωνὴν μὲν κλύω. αὐτὰ δὲ τὰ λεγόμενα οὐκ ἔχω σαφῶς εἰπεῖν. Τὸ δὲ ὄπα.) ἀντὶ τοῦ ὁ πόθεν καὶ ἔκπυστος εἴη. διὰ τὸ μὴ ἀκούειν οὖν τῶν λόγων οὐδὲ εἰπεῖν δύναται τίς ἡ βοή. παραιτεῖται δὲ πάλιν οὐ θέλουσα μαρτυρεῖν τῇ δυστυχίᾳ διὰ τῆς αἰσθήσεως τῶν λεγομένων. προμνήστριαν καὶ ἑρμηνεύτριαν. προξενήτριαν. Φίλως μέν.) καλῶς δ' οὔ. προσφιλῶς μὲν ἐμοὶ πρᾶξαι βουλομένη. καὶ παντὶ τρόπῳ τοῦτο σκοποῦσα οὐ μέντοι καλῶς. ἐπεὶ οὐκ ἐστοχάσατο τοῦ μέλλοντος τὸ τέλος. κατ' εὐνοίας μὲν φησὶ καὶ οὐκ ἐξ ἐπιβουλῆς. καὶ ἐστὶν ὁμοία τῇ παροιμίᾳ. εὔνοια ἄκαιρος οὐδὲν διαλλάττει ἔχθρας. Οὐκ οἶδα πλὴν ἕν.) τὸ ἑξῆς. οὐκ οἶδα τῶν νῦν παρόντων πημάτων ἄκος, πλὴν ἓν τὸ κατθανεῖν ὅσον τάχος. οὐκ οἶδα φησὶ τί πρακτέον μοι ἐν τοῖς νῦν κακοῖς. πλὴν ἕν μοι ἴαμα τὸ ἀποθανεῖν διὰ τάχους. Ω γαῖα μῆτερ.) ὡς φιλόσοφος τὸν ἥλιον καὶ τὴν γῆν ἐπικαλεῖται. προσμαρτυροῦντας χάριν τῶν εἰρημένων. ἤδη δὲ προτραγῳδήσας ἱκανῶς τὴν τὴν ὀργὴν ἱππολύτου καὶ τὴν ἱκεσίαν τῆς γραὸς ὑπερ-

ἐξεύχεται.

ἐξέρχεται· πρότερον ἀρξάμενος ὑπὸ τοῦ τραγικοῦ, δηλαδὴ τῆς ὀργῆς τοῦ ἱππολύτου· τὴν ἐξαρχῆς ἀδολεσχίαν τῆς γραὸς καὶ τὸν ὅρκον ἀποκρυψάμενος. ὡς φιλόσοφος δὲ γῆν καὶ ἥλιον ἐπιβοᾶ· ἐπεὶ ἀρχὴ πάντων εἰσί· γῆ μὲν πάντων μήτηρ κατὰ ἡσίοδον· ἥλιος δὲ ἐπεὶ πάντα ἐφορᾶ καὶ πάντ᾽ ἐπακούει. ἀναξαγόρας οὖν τὸν ἥλιον μύδρον ἔφη· καὶ ἐξ αὐτοῦ πάντα γίνεσθαι. ὁ ἀκολουθήσας εὐριπίδης· χρυσέην βῶλον αὐτὸν εἴρηκεν· ἡλίου δὲ ἀναπτυχαὶ, αἱ ἀκτῖνες. καθὸ τὸ σκότος ἀναπτύσσουσι καὶ ἡμῖν δηλοῦσι τὰ πάντα διὰ τοῦ φωτός.

Ἄῤῥητον.) οὐκ ἀξίαν τοῦ ῥηθῆναι καὶ ὀνομασθῆναι. ἣν οὐδὲ λόγῳ διεξιέναι καλόν. Ναὶ πρὸς σέ.) ναὶ σιγησον λισομαί σε. πρὸς τῆς σῆς δεξιᾶς τῆς καλὸν βραχίονα ἐχούσης. ἐνομίζετο γὰρ κατὰ τῆς δεξιᾶς ἱκετεύειν· ὡς κατὰ τῶν γονάτων. Μὴ προσοίσῃ χεῖρα.) ὡς μυσαττόμενος καὶ τὴν δεξιὰν αὐτῆς τοῦτο φησί. ἢ μᾶλλον φοβούμενος ἁλῶναι ταῖς ἱκεσίαις. Τί σ᾽ εἴπερ ὥς φησι.) τί δὲ ἐκ τῆς διανοίας σιωπῆσαί με θέλεις· εἴπερ οὐδὲν εἴρηκε κακόν. Ἕως.) ὅρα φησὶν ὅτι σκέπεις τῶν εἰρημένων τὴν κακίαν τῇ σιωπῇ. ἐπεὶ δὲ καλά ἐστι τί με κωλύεις βοῶντα· ἔστι δὲ ὁ λόγος ἐν ἤθει ἐκ τοῦ ἀντικειμένου· εἰ δὲ μηδὲν εἴρηκας κακὸν οὐδέν σοι ποιῶ κακὸν, κἂν εἴπω. Ὁ μῦθος ὦ παῖ.) παραλογίζεται τὸν νεανίσκον τῇ μεταθέσει τῶν ὀνομάτων. κλέπτουσα τὴν ἀκρόασιν· δέον γὰρ εἰπεῖν οὐ κακὸν, φησὶν οὐ κοινὸς· οὐ πᾶσιν ὀφείλων ἀνακοινωθῆναι. εἶναι γὰρ μέχρι τινὸς καὶ καλὰ σιωπώμενα. Ἄλλως. ὁ περὶ γάμων μῦθος οὐκ ὀφείλει λεχθῆναι πᾶσι. Τοῦτο καλ᾽ ἐν πόλει.) δεινότερον αὐτῆς ἀνεῖλε τὴν ἐκ τῶν ὀνει-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μάτων ἀπάτην. εἰ γὰρ ἦ κοινά. δῆλον, ὡς οὐδὲ τὰ καλὰ.
τῷ γὰρ δημοτικὰ τῆς ἐπιδείξεως πλέον δοξάζεται τὸ
χρηστόν. Η γλῶσσ' ὀμώμοκεν.) οἷον οὐκ εἰδὼς ὤμοσα.
οὐ γὰρ γνοὺς περί τινος ὀμνύω, ὤμοσα. τὰ δὲ κατὰ ἀ
γνοιαν τῶν ὅρκων γινόμενα συγγνώμης τυγχάνει παρὰ
θεοῦ. οὐ καθολικῶς δὲ τὸ τοιοῦτον. ἀλλὰ νῦν. ἐπεί περ ἡ
γραῦς πρὶν εἰπεῖν τὸ πάθος αὐτῷ. καὶ πρὶν εἰς ἔννοιαν
ἐλθεῖν αὐτὸν τοῦ ῥηθησομένου. ὅρκον ᾔτησεν τῆς σιωπῆς
καὶ τῆς διανοίας. ὁ δὲ μὴ προειδὼς ἐφ' ᾧ ὤμοσεν, ὤμο
σε. φησὶν ἡ γλῶσσα προπετέστερον καὶ παρὰ γνώμην
τῆς φρενὸς ὀμώμοκεν, ἀριστοφάνης καθολικώτερον
νοήσας φησὶ τὸν εὐριπίδην ὑβρίζειν τῆς γλώττης τὴν
διάνοιαν. ὡς ἂν μὴ τὰ δόξαντα τῇ κρίσει τῆς διανοί
ας φθεγγομένης. ἄλλως τε φωνὴ διὰ τῶν ἑξῆς τὸ εὐσεβὲς
αὐτῆς φυλάττων. φησὶ εἰ μὴ λόγοις θεῶν ἄφρακτος εὑρέ
θην. ὥστε μήτε δόκησιν αὐτῷ ἐπιορκίας πλάττειν.
Συγγνωθ' ἁμαρτάνειν.) σύγγνωθι φησὶν ἐπὶ τῇ ἁμαρτία
τοῦ λόγου. εἰκὸς γὰρ ἀνθρώπους οὕτως ἁμαρτάνειν. καὶ
πέφυκε τοῦτο τῆς θνητῆς φύσεως ἁλίσκεσθαι τοῖς ἁ
μαρτήμασιν. Αλλως.) διὰ τῆς κοινῆς προστασίας
ἀπολύεται τῶν ἰδίων πλημμελημάτων τὴν ἀκολασίαν.
Ω ζεῦ, τί δή.) λοιπὸν παραστατικώτερον τὴν γυναι
κείαν διαβάλλει φύσιν. ἀναφέρων τὸ προοίμιον ἐπὶ
τὴν τοῦ κρείσσονος νόσον. φιλοσοφώτερον δὲ τὴν ἀντί
θεσιν λέγει. τὴν ἀρχὴν ἀξιῶν μὴ ὑπὸ ἀφροδισίας μοῦ
παῖδας γίνεσθαι. ὁ δὲ νοῦς. διατί φησιν εἰς τὸ φῶς τοῦ
ἡλίου ἀδόκιμον κακὸν τοῖς ἀνθρώποις κατῴκισας.
κίβδηλον δὲ τὸ μὴ τῆς δοκιμασίας δεόμενον. ἀλλὰ προ
φανὲς δεινόν. Εἰ γὰρ βρότειον.) εἰ γὰρ ἤθελες εἶναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γένος τοῖς ἀνθρώποις, ὤφελες ποιῆσαι μὴ ἀπὸ γυναικῶν αὐτὸ εἶναι· ἀλλ' ἕκαστον διδόναι· ἢ χρυσὸν ἢ χαλκὸν ἐν τοῖς ναοῖς οὕτως ἀγοράζειν· τὸ δὲ ἀντιθέντας ἤτοι ἀνατιθέντας ἢ ἀντὶ τῶν παίδων τιθέντας εἰς σημεῖον τοῦ γενέσθαι τὴν αἴτησιν· ἀτόπως ἐστὶ ταῦτα· οἱ γὰρ πένητες οὐκ ἂν ἐκτήσαντο παῖδας. Τῆς ἀξίας ἕκαστον.) ἄμεινον τὴν ἀξίαν ἀπὸ τῆς φύσεως ἀκούειν· καὶ πάλιν τοὐναντίον· ἵνα τὸ μὲν ἀνάθημα τῆς αἰτήσεως ἕνεκα διδῶτο· τὸ δὲ βρέφος πρὸς τὴν φύσιν τοῦ αἰτοῦντος· τινὲς δὲ ἀπὸ τῆς ἀξίας τοῦ ἀναθήματος· καὶ τιμήματος· βέλτιον δὲ τὸ πρῶτον, οἷον ἐάν τις ᾖ ἀγαθὸς τοῖς τρόποις καὶ τοῖς ἐπιτηδεύμασιν· ἵνα καὶ τοῦ υἱοῦ ἀξίως τὸ ἔργον καὶ ὁμοίως μεταλάβοι· καὶ πάλιν τοὐναντίον ἐὰν ὑπάρχῃ χείρων ἀξίου καὶ τοῦ παιδὸς τύχῃ. Νῦν δ' ἐς δόμους· ἕδνα παρέχοντες, δαπάνην ἀγοράζομεν· ἕδνα ὑπὲρ τῆς μνηστείας καὶ πρὸ τῆς πείρας τοῦ κακοῦ κατατιθέμεθα· ὥσπερ αὐθαίρετον τὸ κακὸν ἐπισπώμενοι· δύναται δὲ τὸ πρῶτον καὶ ὡς ἐν τάξει διηγήσεως λαμβάνεσθαι· πρῶτον μὲν τὴν θυσίαν ὑπὲρ τοῦ κακοῦ δίδομεν· καὶ τὰ ἑξῆς· προκατασκευάσας οὖν λογισμὸν οἰκειότατα τῷ προσώπῳ, λοιπὸν κατατρέχει καὶ ἐπὶ τὴν διαβολὴν τῆς γυναικείας φύσεως· ἔδει γὰρ πρῶτον λογισμῷ τινι ἀναιρῆσαι τὸ εἶναι αὐτὰς εἶθ' οὕτως ἄρξασθαι τῆς διαβολῆς· τὸ δὲ ἑξῆς ἄριστα ὡς ἐκ συγκρίσεως ἐπιφέρεται. Προθεὶς γάρ.) ὁ δὲ τεκὼν αὐτὴν καὶ ἀναθρέψας προσδίδωσι πρᾶγμα ὥστε ἀπαλλαγῆναι αὐτὴν τοῦ κακοῦ· καὶ οὔτε τὴν φύσιν τῆς παιδοποιίας σώζει ὁ πατὴρ εἰς αὐτὴν τὴν ἀπαλλαγήν· ἀντὶ τῆς φιλοστοργίας τῆς παιδὸς ἀντικαταλ-

λαζόμενος. ἄγαλμα δὲ ἐφ' ᾧ τις ἀγάλλεται. δὲ καὶ ὁ πατὴρ ὑπὲρ τοῦ γάμου. ὡς ἀνδριάντι τι ἀναθέντω τιμὰς περιάπτων. λείπει δὲ τὸ ὡς ἀγάλματι.

Καλὸν κακίστῳ) τουτέστι τὸν χρηστὸν τῷ κακίστῳ. γυναικείῳ φυτῷ προστιθεὶς, ὡς ἀγάλματι, χαίρει. Ἔχει δ' ἀνάγκην) ταῦτα διεξέρχεται. πάντῃ τὸ πρὸς τὴν γυναῖκα μοχθηρὸν ἀποδεικνὺς, ὡς μὴ μόνον τὸ πρὸς ταύτην σκοπεῖν, ἀλλὰ καὶ τοὺς γάμους εἰ καλῶς ἔχοιεν. διπλῆ δέ ἐστι πρὸς τὴν στιγμὴν ἡ ἀνάγνωσις. τινὲς γὰρ οὕτως. εἰ δὲ καλὸν λάβοι τὸ λέχος, γαμβροὺς δὲ χρηστοὺς, ἀναγκάζεται στέργειν, τὰ κεχαρισμένα κείνων πράττειν θέλοι. τινὲς δὲ οὕτως στίζουσιν εἰς τὸ ἔχει δ' ἀνάγκην. ἵν' ᾖ ὅτι πάντῃ τε καὶ πάντως ἐλεύθερος ὁ γαμήσας εἶναι οὐ δύναται. ἀλλὰ τὸ ἀναγκαῖον ἀκαταδουλοῦν αὐτὸν ἔχει. ἐὰν μὲν γὰρ καλῆς τύχῃ γυναικὸς, ἀναγκάζεται στέργειν αὐτὴν τῶν γάμων ἕνεκα καλῶν ὄντων. ἢ δι' ἐκείνην ἀναγκάζεται ἀπολαύσειν γαμβρῶν ἀχρήστων. τὸ σώζεται δὲ πικρὸν λέχος ἀντὶ τοῦ σῴζει. καὶ γαμβροῖς τοῖς πενθεροῖς λέγει. συγχέων τῆς ὀνομασίας τὸ ἀκριβές. ἐν μέντοι τῷ πενθεροῖσιν δ' ἀνωφελῆς ὑγιῶς κέχρηται. Ῥᾷστον δ' ὅτῳ) βέλτιον δὲ μήτε πενθερὸν μήτε γυναῖκα χρηστὸν ἔχειν. Ἄλλως. ὠφελιμώτερόν ἐστιν, ὦ τινί φησι, τὸ μηδὲν οὖσα πρὸς σύνεσιν γυνή. ἀλλ' ἀνωφελὴς τῇ εὐηθείᾳ ἵδρυται. ὡς ἐπὶ ἀνδριάντος δὲ τὸ ἵδρυται. οὐκ ἔργοις. ἀλλὰ θέα τέρποντος τὸν κεκτημένον. Τὸ γὰρ πανοῦργον) τὸ γὰρ πανοῦργον καὶ φιλάργυρον πρὸς πορνείαν ἐν ταῖς σοφαῖς γυναιξὶ πλέον ἡ Κύπρις ἐμφύει. αἱ γὰρ μεγαλόφρονες πολύτολμοι γενόμεναι, εὐέμπτωτοι διὰ τὸ

βραχὺ τῆς γνώμης καὶ ἄδολον ἐστὶν εἰς τὸ ἁμαρτάνειν. ἡ δὲ ἀποροῦσα καὶ αἰόντος, τὴν πορνείαν ἀφῄρηται τοῦ πίστι οὐχ ἁμαρτάνει. Ἄλλως.) μωρίαν ἀφαιρεῖν. τοῦ πίστι τῆς ἁμαρτίας ἀπεστερήθη. ἤτοι τῆς πορνείας. Μωρίαν. γὰρ τὴν πορνείαν, ὥσπερ καὶ συνάμωρος ὁ πόρνος. αὕτη γὰρ σκέπη οὐκ ἔχουσα τὸ πλημμέλημα προφάσει κερδαίνει τὴν σωφροσύνην. Χρὴ δ᾽ εἰς γυ-ναῖκας. διεξελθὼν ὡς εἰσὶν αἱ γυναῖκες πάντων πρό-ξενοι τῶν κακῶν. λοιπὸν ἐπὶ τὴν διήγησιν καὶ χρῆσιν αὐτῶν μεταβαίνει πῶς ἔδει τὴν κακουργίαν αὐτῶν νικᾶν τοὺς ἄνδρας. ἔδει φησὶ τοὺς ἄνδρας ἀντὶ διακόνων θηρία αὐτοῖς συνοικίζειν. ἵνα κἂν τῇ ἀπορίᾳ τῆς δια-κονίας, νικῶσι τὴν κακίαν τῆς φύσεως. τοῦτο δὲ μά-λιστα πρὸς τὸ παράφρον εἴρηκεν. Δάκη.) ἢ περιφρα-στικῶς τὰ θηρία. ἢ γένη ζῴων. Νῦν δ᾽ αἱ μὲν ἔνδον.) αἱ μὲν δέσποιναι αὐτῶν ἔνδον μηχανῶνται τὰ κακά. αἱ δὲ δοῦλαι σημαίνουσι τοῖς φίλοις αὐτῶν. Ὡς καὶ σύ γ᾽ ἡμῖν.) ὁπότε καὶ σὺ κάρα κακὸν τῶν ἀθίκτων λέ-κτρων τοῦ πατρὸς εἰς συναλλαγὰς ἦλθες. ἅπερ ἤτοι τὰ εἰρημένα ἐγὼ ἀποκαθαρθήσομαι ῥυσικοῖς ὕδασι. ταῦτα γὰρ μάλιστα τῶν ἱσταμένων διαυγέστερα τυγχάνει. Εἰς ὦτα κλύζων.) εἰς κλύζομαι τὰ ὦτα δι᾽ ὧν μετέ-λαβον τῆς ἀνομίας τῶν λόγων. πῶς οὖν μέλλων ἐξαμαρ-τεῖν πεισθεῖσαν. Εὖ δ᾽ ἴσθι τοὐμόν.) οὐκ ἔστι φορ-τικὸς ὁ λόγος. ἀλλὰ μᾶλλον τῆς ὑποψίας τοῦ ἁμαρτή-ματος θεραπευτικός. ἢ τάχα προστραγωδεῖ τὸ πάθος τοιοῦτον μικρὸν ὕστερον ἐπὶ κατὰ γνώσει μοιχείας ποιῶν κατηγορούμενος. Εἰ μὴ γὰρ ὅρκοις.) ἀντὶ τοῦ ἐλή-φθην καὶ εὑρέθην ἀπαραφύλακτος εἰς τὴν κατὰ σοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κόλασιν. Τὸ δὲ μὴ καὶ.) οὐ μίαν κατάθεσιν ποιοῦ-
σι. ὥστε τὸ σὲ ἐξήρκει εἰπεῖν. Νῦν δ' ἐκ δόμων
μολών.) ἤτοι διὰ τὸ μὴ μεταχεῖν τοῦ μίσους αὐτῆς. ἢ
διὰ τὸ δεδοικέναι τινὰ ἐξ αὐτῆς ἐπιβουλήν. ἄλλως τε
καὶ ὁ ποιητὴς οἰκονομικῶς τοῦτο ἐξεργάζεται. διὰ τῆς
τοῦ ἱππολύτου ἀπουσίας ἐξουσίαν διδοὺς τῇ φαίδρᾳ
ἐργάσασθαι τὴν ἀγχόνην. καὶ τὴν διαβολὴν αὐτοῦ τὴν
διὰ τῶν γραμμάτων. ἵνα ἡ δέλτος καὶ ἡ τοῦ ἱππολύ-
του ἐρημία πιστῶται τὴν κατηγορίαν τῆς μοιχείας.
Θεάσομαι δὲ.) συνεπιστὰς δὲ τῷ πατρὶ θεάσομαι ποί-
οις ὄμμασιν αὐτὴν προσβλέψετε. ὑπὸ τῆς συνειδήσε-
ως μὴ καταπληττόμεναι. Τῆς σῆς δὲ.) καὶ πάντως
τότε τὸ ἀναιδές σου καὶ τολμηρὸν διαγνώσομαι. πε-
πειραμένος αὐτῆς ἤδη καὶ διὰ τῶν παρόντων. Μι-
σῶν δ' οὔποτ' ἐμπλησθήσομαι.) οὐδαμῶς χορτασθήσομαι
κακῶς λέγων τὰς γυναῖκας. ταῦτα δὲ λοιπὸν ὡς τε-
χνίτης ῥήτωρ. Οὐδ' εἴ φησι.) οὐδ' εἰ λέγοι μέ τις εἶ-
ναι κατὰ φύσιν φιλαπεχθήμονα. πρὸς αὐτάς. οὐ γὰρ
ἐκ παρέργου φησὶ τὰς κατηγορίας. τῷ συνεχεῖ δὲ τῶν
πλημμελημάτων ὑπόθεσις γίνονται τοῖς κατηγόροις.
Τάλαινες.) ἀπὸ κοινοῦ πάλιν ἀτυχήματος πειρᾶται
παραμυθεῖσθαι τὸ πταῖσμα. ὁ δὲ λόγος. τίνα νῦν ἢ τέ-
χνην ἢ τύχην ἢ λόγον ἔχομεν πορίσασθαι. δι' οὗ δυ-
νησόμεθα σφαλεῖσαι τῆς ἐλπίδος τὸν δεσμὸν τῶν ἐγ-
κλημάτων ἀπολύσασθαι τὸν δὲ θησόμενον καθ' ἡμῶν
ὑπὸ τοῦ ἱππολύτου ὅταν ἔλθῃ ὁ θησεύς. Τίνα νῦν. τοῦτέ-
στι πῶς καθέκαστον δεσμὸν κατηγορίας ἀπολυσόμεθα
τὰ ἐγκλήματα τοῦ ἱππολύτου. σφαλεῖσαι τῆς ἐλπί-
δος δίκης προσεδοκῶμεν πεῖσαι αὐτὸν ἐπὶ τὴν ἁμαρ-

τίαν. καθ᾽ ἅμμα λύσιν. παρὰ τὴν παροιμίαν. ἥ τις ἐστὶν
Οὐχ ἅμμα λύσις.) εἴρηται δὲ ἀπὸ τοιαύτης αἰτίας. τοῖς
Φρυξὶ λόγος ἐδόθη. ἐκεῖνον βασιλεῦσαι τῆς ἀσίας. ὃς ἂν
τῆς ἀπήνης λῦσαι τὸν δεσμὸν δυνηθείη τῆς κομισάσης
μίδαν εἰς φρυγίαν. ὃς ἦν ἀμπέλινος. ᾧ συνεδέδετο ὁ
ζυγὸς καὶ ὁ ῥυμός. λόγος δὲ ἀλέξανδρον διαλῦσαι. ἐξε-
λόντα τὸν ἔμβολον. ᾧ κατείχετο ὁ ῥυμός. ἢ τῷ ἐγχει-
ριδίῳ. ἀποτεμόντα. μετὰ τὴν ἐπὶ γρανικῷ μάχην. γέγο-
νε δὲ ὁ ἀλέξανδρος κατὰ τοὺς εὐριπίδου χρόνους. πα-
ροιμιῶδες οὖν ἐστιν ἐπὶ τῶν δυσλύτων τὴν ἐπιχειρούντων
λύσιν. μαρσύας δὲ ὁ νεώτερος ἐν τῇ πρώτῃ τῶν μακε-
δόνων ἱστοριῶν φησὶν οὕτως. τῆς δὲ ἁμάξης λέγεται τὸν
ζυγὸν τῷ ῥυμῷ δεδέσθαι κλήματι ἀμπελίνῳ. ἔστι δὲ λό-
γιον ὃς ἂν τὸν δεσμὸν τοῦτον λύσῃ βασιλεύσει τῆς
ἀσίας. ἀλέξανδρον δέ φασι τὸν μακεδόνων βασι-
λέα λῦσαι αὐτόν. ὃς διαβὰς τινὰ μαύτην ἐπὶ γρανι-
κῷ μάχῃ, ἐνίκησε καὶ παρεγένετο ἐπὶ τὸν τόπον. ὡς
δὲ οὐκ ἠδύνατο εὑρεῖν τὴν ἀρχὴν τοῦ δεσμοῦ ποῦ κατέ-
κειτο, οἱ μὲν λέγουσι τῷ ἐγχειριδίῳ κόψαι αὐτὸν τὸν
δεσμόν. καὶ ταύτην εἶναι τὴν λύσιν. οἱ δὲ ὡς τὸν ἔμβο-
λον ἐξέλοι ᾧ συνείχετο ὁ ζυγὸς πρὸς τῷ ῥυμῷ. περιει-
λημμένον δὲ εἶναι καὶ τοῦτο κλήματος. τούτου δὲ ἐξαι-
ρεθέντος καὶ τοῦ δεσμοῦ χαλάσαντος οὕτως λυθῆναι
τὸν δεσμὸν τοῦ ῥυμοῦ. Ἐτύχομεν δίκαι.) μετά-
γεται πάλιν ἡ σκηνὴ ἐπὶ θάτερον μέρος. τουτέστιν ἐπὶ
τὴν τῆς φαίδρας ἀγωνίαν. καὶ τὴν τοῦ χοροῦ συμπάθειαν
τραγικώτατα εἰς ἄλλον οἶκτον βελτίονα πάλιν τοῦ ποι-
ητοῦ τρέψαντος. ἄριστα δὲ τὴν ὑπερβολὴν τῆς συμφορᾶς
μιμεῖται αὐτὸ τὸ πάθος δεξιῶν. ὥσπερ εἰώθασι πολλά-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κις ποιεῖν οἱ ἀξίων ἀπορῶντες θρήνων. δικαίως γὰρ ἐπλημμελήκαμεν καὶ τῆς ἀξίας δίκης παρὰ θεοῦ ἐτύχομεν. πάλιν δὲ τὴν γῆν καὶ τὸ φῶς ἐπικαλεῖται ὡς ἀναιτιώτατα στοιχεῖα. καθὼς καὶ ἐκεῖνό φησι· ὦ γαῖα μῆτερ ἡλίου τ' αἰθέρος πτυχαί. Πάρον δυσεκπέρατον.) ἡ ἐν ὑπερβατῷ. ἤγουν οὕτως. τὸ γὰρ παρόν μοι δυστύχημα τοῦ βίου δυσεκπέρατόν ἐστι. ἢ οὕτως. τὸ γὰρ νῦν πάθος παρὸν παντὸς τοῦ βίου καὶ τῶν ἐν αὐτῷ δυσφορῶν δυσεκφευκτότατον καθέστηκεν. ἢ οὕτως. τὸ γὰρ παρὸν πάθος δυσκόλως ἄν μοι περάσαι τὸν βίον. καὶ δυσκόλως αὐτὸ φύγοιμι. Φεῦ φεῦ.) προϊούσης τῆς τροφοῦ κατηφοῦς ὁ χορός φησι. πάλιν δὲ κομματικός ἐστιν ὁ λόγος. τὸ γὰρ τοῦ πέπρακται δεῖ στίζειν. οὕτως γὰρ ἁρμόσει τοῖς ἑξῆς. τὸ δὲ καὶ οὐ κατώρθωται τύχῃ ἀντὶ τοῦ οὐδὲν τοῦ πράγματος κατώρθωσαν αἱ τέχναι τῆς δούλης. ἀλλὰ κατέστρεψαν. Ζεὺς ὁ γεννήτωρ.) Εὐρώπης γὰρ καὶ Διὸς ὁ Μίνως. ὁ Ζεύς σε φησίν. Ἐκτρίψει καὶ παντελῶς ἀπολέσειεν οὐτάσας πυρί. ἀντὶ τοῦ βαλὼν τῷ κεραυνῷ. οἱ δὲ νεώτεροι οὐκ ἴσασι τὴν διαφορὰν τοῦ οὐτάσαι καὶ βαλεῖν. Ὅμηρος δὲ οὐτάσαι μὲν τὸ ἐκ χειρὸς καὶ ἐκ τοῦ σύνεγγυς τρῶσαι. βαλεῖν δὲ τὸ πόρρωθεν.

Οὐκ ἀποσιγῶν.) ἐλεγκτικὸν τὸ ἦθος. τὸ δὲ ἑξῆς οὕτως. οὐκ ἀποσιγῶν ἐφ' οἷς κακῶς διάκειμαι. ἢ δ' ἀλγῶ καὶ νοσηλεύομαι. τουτέστι τὸν ἔρωτα. ὁ δὲ νοῦς, οὐχὶ τὸ προπετὲς τῆς διανοίας προνοουμένη, ἐκέλευσά σοι σιωπᾶν καὶ μὴ ἐκφαίνειν τὴν ἐμὴν ἐρωτικὴν κάκωσιν.

Ὄλοιο καὶ σύ.) γνωμικώτερόν πως ἐπάγει τὴν κατάραν. ἀπόλοιο φησὶ παρὰ γνώμην μου εὐεργετήσασά με θελήσασα καὶ πᾶς ἄλλως ταὐτά σοι δρῶν. καὶ προθυμούμενος ἄκοντας τοὺς φίλους μὴ καλῶς εὐεργ

κτεῖν ἄντικρυς ἐλέγχων τὸ ψευδώνυμον τῆς τοι-
αύτης δυσχρηστίας, μὴ καλῶς προστέθηκεν. οὐ γὰρ οἶδε
φύσις δυσχερήματος ἀνάγκην ὑποδέχεσθαι. εἴ τι τὰς
χρείας καταθυμίους δεῖ ποιεῖσθαι. Δέσπο. νῦν ἔχεις
μέν.) καταδέχεται τὴν ἐξ αὐτῆς μέμψιν. ἵνα οὕτως
καὶ αὕτη τὴν τοῦ σφάλματος ἀπολογίαν καταδέξη-
ται. ἑξῆς δὲ πάλιν εἰς ἔννοιαν αὐτὴν προάγειν βούλε-
ται. τὸν σκοπὸν τῆς μηνύσεως καθ' ὃν κεκίνηται, λέγου-
σα. τὸ δὲ ἑξῆς οὕτως. ἔχεις μὲν δικαίως τὰ ἐμὰ πται-
σματα μέμψασθαι. παραιτεῖται γάρ σου τὸ λογιστικὸν
ἡ λύπη. καὶ τὴν αἰτίαν τοῦ πταίσματος γινώσκειν οὐ συγ-
χωρεῖ σοι. αἰτία γὰρ ἐγώ εἰμι τῆς συμφορᾶς. ὁ δὲ νοῦς
ἔχει οὕτως. ἔχεις μὲν μέμψασθαι τὰ ἐμὰ κακὰ ὦ δέ-
σποινα. τὸ γὰρ λυποῦν σε κρατεῖ. ὅθεν καὶ μέμφῃ μοι. εἰ
γὰρ μὴ ἐγένετο οὐκ ἂν ἐμέμφου. ἀλλ' ἐπῄνεις. ὅθεν ὑποφέ-
ρει. πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα. ἡ μὲν
κατασκευὴ τοῦ λογισμοῦ τῆς ἐννοίας ἀπόδειξις. ἡ δὲ
τῆς ἀποτυχίας δυσφορία τῆς τύχης κατηγόρημα.
Εἰ δ' εὖ γ' ἔπραττον.) εἰ καλῶς φησὶν ἔπραττον καὶ μὴ ἐ-
σφάλην τῆς ἐλπίδος ἐθαυμάζετό μου τὸ βούλημα. οὐκ
ἄρα ἡ ἐμή σε βουλὴ ἠδίκησεν. ἀλλ' ἡ τύχη. εἰ γὰρ καλῶς
ἀπέβη τὸ πρᾶγμα ἔλεγες ἂν ὅτι οὐκ ἔστιν ἄλλη κρείττων
τῆς τροφοῦ. Η γὰρ δίκη ταῦτα.) ὀργίζεται καλῶς
ἐπὶ τῷ καὶ ἀπολογίαν ἐθέλειν σοφίσασθαι. ἆρα οὖν φη-
σὶ δίκαιόν ἐστι τοῦτο, καὶ οὐχὶ φανερῶς ἄτοπόν τι καὶ ἐθέ-
λειν σε ἰσολογεῖν μοι. καὶ ἐκ τίνων ἀμφισβητεῖν τρώ-
σασάν με. ἐξαρκοῦντα δέ μοι ἐστὶν ἱκανὰ πρὸς θερα-
πείαν τῆς βλάβης. Μακρηγοροῦμεν.) ἀντὶ τοῦ μά-
την φλυαροῦμεν καὶ ἐπεκτείνομεν τὸν λόγον ἐπὶ τοῖς
ἤδη πραχθεῖσιν. οὐκ ἐσωφρόνουν ἐγώ. ὁμολογεῖ ἡμαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πηκέναι ἐπεὶ εἶδεν αὐτὴν πρὸς τὴν ἀπολογίαν δυσχεραίνουσαν· ὁμολογῶ φησὶ τὸ πρότερον πταῖσμα οὐκ ἐκ τύχης· ἀλλ' ἐξ ἐμῆς ἀνοίας γενόμενον. Ὑμεῖς δὲ παῖδες.) μεταστρέφεται νῦν πρὸς τὰς γυναῖκας τοῦ χοροῦ· αἱ δὲ ὀμνύουσιν οἰκονομικῶς· καὶ σιωπᾶν ἐπαγγέλλονται· λύοιτο γὰρ ἂν τὰ τῆς ὑποθέσεως. Ἓν δὲ προτρέπουσα.) ἀντὶ τοῦ ζητοῦσα καὶ ἐξερευνῶσα· μετατρέπουσα φησὶ καὶ πολλὰ δοκιμάζουσα καὶ εἰς πολλὰ μεταφέρουσά μου τὴν γνώμην· ἓν μόνον ἴαμα τῆς συμφορᾶς εὗρον. Οὐ γάρ ποτ' αἰσχυνῶ.) ὅτι μίνως βασιλεὺς ἐγένετο τῶν κρητῶν ὁ πατὴρ αὐτῆς· καὶ διὰ τοῦτο κρησίους δόμους λέγει. Οὕνεκα ψυχῆς μιᾶς.) ἐγὼ γὰρ τῆς μιᾶς μου ψυχῆς καταφρονήσασα πολλὰς ἑτέρας διασώσω τὰς τῶν οἰκείων δηλονότι· ῥυσαμένη τῆς αἰσχύνης· οὐχ ὑπὲρ τιμῆς οὖν τὴν μίαν ψυχὴν τῆς αἰσχύνης τῶν πολλῶν. Καὶ σύ γ' εὖ με νουθέτει.) ἀπειλητικώτερον εἴρηται ὁ λόγος· ὡς εἰ ἔλεγε· μὴ καὶ σὺ ζήλου τὸν τρόπον τῆς παραινέσεως· μηδὲ τὰ αὐτὰ ἐκείνῃ νουθετήσῃς με· ἃ ἐστὶν ἐπιζήμια καὶ φαῦλα· ἀλλὰ πρὸς τὸ χρηστὸν εὖ με νουθέτει. Ἀτὰρ κακόν γε.) καὶ δὴ ἀποθανοῦσα κακὸν γενήσομαι καὶ ἄλλῳ· ἀντὶ τοῦ τῷ ἱππολύτῳ διὰ τῆς κατηγορίας· ἵν' εἰδῇ κοινῇ ταύτης μοι μετασχὼν τῆς νόσου, μετριάζειν καὶ μὴ ὑψηλοφρονεῖν ταῖς ἑτέρων δυστυχίαις. Ἠλιβάτοις.) ἀντὶ τοῦ βαθυτάτοις· ἠλίβατον γὰρ οὐ μόνον τὸ ὑψηλόν· ἀλλὰ καὶ τὸ βαθύ· ὅ ἐστιν ἀλιτεῖν τῆς βάσεως· κευθμῶσι δὲ τοῖς ἐρήμοις καὶ κεκρυμμένοις τόποις καὶ πάσης ξυντυχίας ἀνθρώπων χωρίς· τὸ ἑξῆς οὕτως. Πτεροῦσσαν δέ μ' ὄρνιν θείη θεός· ἵνα γενοίμην ἐν ἠλιβάτοις κευθμῶσι· καὶ πλεῖστον ἄπωθεν εἴην τοῦ ἀνθρωπείου γένους· ἀφανισμὸν δὲ καὶ μεταβολὴν τῆς φύσεως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπεύχεται ἑαυτῷ ὁ χορὸς· ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ· ἤτοι πρὸς τὸ ἄπειρος γενέσθαι τῶν ἐπικαταληψομένων συμφορῶν· ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι τῇ φαίδρας τῆς κατὰ τοῦ ἱππολύτου διαβολῆς· καὶ τηλικαύτην ἁμαρτίαν εἰς ἑαυτὸν ἐπισπᾶσθαι· ψευδομαρτυρεῖν ἀναγκασθεῖσα κατ' αὐτοῦ· πρὶν οὖν ἐκεῖνον ὑποστῆναι αὐτῷ τὸν καιρὸν ἀπαλλαγῆναι τῆς φύσεως εὔχεται· ἢ ὀδυράμενον καταγνοῦσα τῆς ἀνθρωπίνης φύσεως· καὶ διὰ τῶν παρόντων κακῶν, χείριστα παιδευθεῖσα, ὄρνις εὔχεται εἶναι πρὸς τὸ μὴ τῆς δυστυχίας ἢ θέας ἀπολαύειν ἀνθρώπων, τοῦτο γὰρ τὸ ζῶον καθαρώτατόν ἐστι παρὰ πάντα· διὸ καὶ ἕκαστον αὐτῶν θεοῖς ἀνάκειται· καὶ τῇ πτήσει μᾶλλον τῶν ἄλλων ζώων ἐκπτίζεσθαι τῶν ἀνθρώπων δύναται· ὡς καὶ ἐν ἐρημίᾳ ἀνθρώπου ὑποστάντος ἀνίπτασθαι· καὶ νικᾶν τῇ φύσει τὴν τούτου θέαν· πρὸς τὴν ἀδρίαν δὲ καὶ τὴν κελτικὴν ἀφικέσθαι εὔχεται οἰκείως τοῖς πεπραγμένοις· καὶ ὡς μάλιστα τῶν τόπων τούτων λύπας ἀναδειξαμένων· ἐν γὰρ τῷ ἀδρίᾳ ἡ ἰὼ εἰς βοῦν μεταβληθεῖσα διαβούλησιν ἥρας, διεπέρασε τὸ ἀπ' αὐτῆς ἰόνιον πέλαγος κληθέν· αἱ δὲ ἡλιάδες κόραι ἐν ἠριδανῷ δακρύουσαι τὸν φαέθοντα εἰς αἰγείρους μετεβλήθησαν·

Κῦμα τᾶς ἀδρίας·) τὸ πόντιον κῦμα ἀντὶ δια σαλπικὸν ἐστὶ τοῦ ῥεύματος τοῦ ἠριδανοῦ· ὁ δὲ ἀδρίας πέλαγός ἐστι μέγιστον πρὸς τῇ ἰταλίᾳ· ὁ δὲ ἠριδανὸς ποταμὸς, κελτικὸς ἐν τούτοις δὲ ἀρχ εὔχεται μάλιστα τοῖς τόποις εἶναι ὡς παραχθεῖσι συμφορῶν· ὁ μὲν γὰρ ἀδρίας συνέπαθε τῇ βοῒ ὁ δὲ ἠριδανὸς τῷ φαέθοντι· ὅπως ἂν πρόσφασιν ἔχουσα τὸν τόπον ἀκαταπαύστως θρηνοίη τοὺς ἀνθρώπους· ἢ ὀδυράμενον εὔχεται μεταβολὴν τῆς φύσεως εἰς τοὺς τόπους ἐκείνους γενέσθαι· οἱ τινὲς μάλιστα

πτέραν μετεμψυχώσεως ἐδέξαντο. ἐν μὲν γὰρ τῷ ἀδρίᾳ ἡ ἰὼ ἐπλανήθη εἰς βοῦν μεταμορφωθεῖσα. ἐν δὲ τῷ ἠριδανῷ εἰς αἰγείρους αἱ ἡλιάδες μετεβλήθησαν. Ἔνθα πορφύρεον.) εἰς πορφυροῦν οἶδμα τοῦ ἠριδανοῦ. αἱ τοῦ πατρὸς ἡλίου ἄθλιαι κόραι ἡλιάδες τῷ οἴκτῳ τοῦ φαέθοντος εἰς δένδρα μεταβληθεῖσαι δακρύουσι. τοῦτο τὸ δάκρυον ὅπερ πηγνύμενον ἐν τῇ ψυχρότητι τοῦ ὕδατος ἀποτελεῖ τὸ ἤλεκτρον. πατέρα δὲ αὐτῶν τὸν ἠριδανόν φησι παρόσον τρέφονται ἀπὸ τῷ ὕδατι αἴγειροι οὖσαι. Ἄλλως. κόραι φαέθοντος.) ἡλίου γὰρ βούλεται ὁ μῦθος αὐτὰς εἶναι. διὰ τὸ καὶ τὸ δάκρυον αὐτῶν φωτεινοειδὲς λέγεσθαι εἶναι ἤλεκτρον ὀνομαζόμενον. ἐπεὶ καὶ ἠλέκτωρ ὁ ἥλιος λέγεται. Ἑσπερίδων δ' ἐπὶ μῆλα.) ἔνθα τὰ χρύσεια μῆλα ἑσπεχρῆται. φερεκύδης δὲ διὸς καὶ θέμιδος φησὶν αὐτάς. ἔνιοι δὲ τὰς αὐτὰς ταῖς ἀτλαντίσιν. ἑσπερίδες δὲ ὀνομάζονται διὰ τὸ ἐν τῇ ἑσπέρα τουτέστιν ἐν τῇ δύσει κεῖσθαι. ὁ δὲ λόγος ἀνύσαιμι καὶ ἔλθοιμι ἐπὶ τὴν ἀκτὴν τὴν ἑσπερίδων νυμφῶν τῶν ἀοιδῶν. ἔνθα εἰσὶ χρύσεα μῆλα σπαρέντα. πάλιν δὲ ἀκολούθως τοῖς προειρημένοις καὶ ἐνταῦθα εὔχεται γενέσθαι. ἐπειδὴ καὶ αὗται νῦν ἐν θρήνοις εἰσί. θρηνοῦσι τὸν δράκοντα τὸν μηλοφύλακα. τὸν νεωστὶ ὑφ' ἡρακλέους φονευθέντα. διὰ τοῦτο γὰρ ἀοιδοὺς αὐτὰς λέγει. διὰ τὸ ἐπὶ θρήνοις εἶναι.

Ἵν' ὁ ποντομέδων.) ὅπου ὁ ποσειδῶν οὐκ ἔτι δίδωσι τοῖς ναύταις δίεξοδον προσεγγίζειν εἰς τὸν ὠκεανόν. τέρμονα γὰρ οὐρανοῦ τὸν ὠκεανόν φησι. εἰς ὃν δοκεῖ τῇ θέᾳ τῇ ἀνθρωπίνῃ ἀποπερατίζεσθαι καὶ καταπίπτειν ὁ οὐρανός. πάλιν δὲ πρὸς τὴν διήγησιν ἐτράπη τῶν τόπων. ἔνθα ὁ ποσειδῶν τὸν πλοῦν τῆς θαλάσσης τοῖς ναύταις οὐ δίδωσιν ἔτι. καθὰ καὶ πίνδαρος καὶ ἕτεροι. τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς ζόφον οὐ περατόν. Τὸν ἄτλαντ' ἔχει.) τὸν ἄ-
τλαντα οἱ μὲν, ὄρος εἰρήκασι μυθευόμενοι τὸν οὐρανὸν
βαστάζειν. ἐπειδὴ πάνυ ὑψηλὸν ὑπάρχει. καὶ δοκεῖ ὑπο-
κεῖσθαι αὐτῷ ὁ οὐρανός. ὅθεν καὶ ἄτλαντ' εἴρηται, διὰ τὸ
ἄτλητον ποιήσασθαι τὴν εἰς αὐτὸν ἀνάβασιν. τινὲς δὲ
ἄτλαντα εἰρήκασιν αὐτὸν τὸν ἄξονα τοῦ οὐρανοῦ. δι' οὗ
,, ἡ τοῦ παντὸς κίνησις γίνεται. δηλοῖ δὲ καὶ ὅμηρος. ἔχει
,, δέ τε κίονας αὐτὸς, μακράς. αἳ γαῖαν τε καὶ οὐρανὸν
ἀμφὶς ἔχουσι. εἰρῆσθαι δὲ ἄτλαντα οἱονεὶ πολύτλαν.
διὰ τὸ αὐτὸν πάντα βαστάζειν. Κρῆναι τ' ἀμβρόσιαι.) αἱ τοῦ
νέκταρος κρῆναι καθὸ ἡ ἀμβροσία καὶ τὸ νέκταρ ἐκεῖ
σεφύονται. Ἄλλως. Ὑποτίθεται τὴν τῶν φαιάκων γῆν
εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμότητος, καὶ ἐκ τοῦ ὑποκει-
μένου πυρὸς τρίτον τοῦ ἐνιαυτοῦ τὸν σῖτον καὶ τὰ ἄλ-
λα κάρπιμα φέρειν λέγεται. τὸ δὲ ἑξῆς. καὶ ἔλθοιμι ἐν ἐ-
κείνῳ τῷ τόπῳ ὅθεν ἐκ τῶν κοιτῶν τῶν οἴκων τοῦ διὸς χέον-
ται αἱ πηγαί. αἱ τὸ ζῆν τοῖς θεοῖς δωρούμεναι. Ἵν' ὀλ-
βιόδωρος αὔξει.) πρὸς τῷ πυρίνῳ κύκλῳ. καὶ τῇ ζώνῃ τοῦ
πυρός. ἑτέραν γὰρ ἐμύθευσαν εἶναι γῆν ἐκ γὰρ τῆς πολ-
λῆς θερμασίας τρίτον τοῦ ἐνιαυτοῦ συμβαίνει τὰ καρ-
πιμα φύεσθαι καὶ τὸ νέκταρ. φησὶ γοῦν κρήνας μὲν ἀμ-
βροσίας τὰς τοῦ νέκταρος. εὐδαιμονίαν δὲ τὴν ἀμβρο-
σίαν καὶ ἀφθαρσίαν. Κὺμ μακαρίκτυπον.) ἑτέρα μετ-
αχορική. ἡ δὴ καὶ τὰ παρόντα θρηνεῖ ἄνωθεν ἐκ τῆς
ἀποδημίας ὀλοφυρομένη τὴν φαίδραν. ὤμοι φησὶ προοί-
μιον τῶν θρήνων ὦ πορθμίς, ἐπεὶ καὶ τῶν συμφορῶν ὑπό-
θεσις γεγένηται. Ἢ γὰρ ἀπ' ἀμφοτέρων.) ὄντως γὰρ
ἀπὸ τῶν δύο ἀπό τε τῆς κρήτης καὶ τῆς ἀττικῆς κακὰ
σημεῖα ἐφάνησαν αὐτῇ. τὸ δὲ ἀμφοτέρων ἀκούουσιν
ἔκ τε μητρὸς καὶ πατρός. ἵν' οὕτως. ὑπὸ κακοῖς γὰρ συν-

μέροις ἐκδοθεῖσα τῶν γονέων ἦλθες εἰς ἀττικὴν ἀπὸ τῆς κρήτης. ἐπεὶ δὲ καὶ δύσορνιν αὐτὴν ἔφη, εἶπε τὸ ἐπλάτου ἀντὶ τοῦ ἦλθεν. μουνύχιος δὲ λιμὴν ἀττικῆς ὁ τηνικαδέ φησιν ἐν τῷ μουνυχίῳ λιμένι τῆς ἀττικῆς παρέβαλον τὰς ἀρχὰς τῶν σχοινίων. καὶ ἔδησαν ἐν αὐτῷ καὶ ἐξέβησαν ἐν τῇ γῇ. τὸ τηνικαῦτα ἡ ἀφροδίτη, κακὸν ἔρωτα ἔπεμψε τῇ ἐμῇ δεσποίνῃ. Ὑπέραντλος.) ἐκ μεταφορᾶς τῶν ἐν τῇ νηὶ μηκέτι τῆς ἀντλίας ὑπερέχειν δυναμένων. ἀδυνατοῦσα φησὶ πρὸς τὴν συμφορὰν. καὶ ὑπερβαρηνοσήσασα τὴν ἀγχόνην ἐβουλεύσατο. Ἰού.) τινὲς βούλονται ταῦτα τὴν τροφὸν ἔξωθεν λέγειν. ἔνιοι δὲ ἐξαγγέλων φασί. ἐξάγγελος δὲ ἐστὶ τὰ πεπραγμένα ἔνδον τῆς σκηνῆς τῷ χορῷ ἀγγέλλων. βοηδρομεῖν δέ ἐστι τὸ μετὰ βοῆς τρέχειν. ἵνα διὰ τῆς βοῆς. καὶ ἄλλους πρὸς ἐπικουρίαν κινήσωσι. Ἀμφιδέξιον σίδηρον) ἀντὶ τοῦ δίστομον. ᾧ ἄν τις πρὸς ἀμφότερα τὰ μέρη δεξιῶς χρήσαιτο. ἐδόκουν γὰρ μετέχειν τοῦ μιάσματος, ὅσοι μὴ ἔκοπτον τὰς ἀγχόνας τῶν ἠγχονισμένων. ὦμμα δὲ δεσμὸς σχοινίων. καὶ τὸ ἐξ ἐπισπαστῶν βρόχων ἀντὶ τοῦ τῶν δεδεμένων βρόχων. Τὸ πολλὰ πράττειν.) οὐκ ἔστιν ἀσφαλὴς ὁ βίος τῶν ἐκβαλόντων ἑαυτοὺς εἰς πολλὰ πράγματα. Ὀρθῶς ἄτ' ἐκ.) ἀπορθώσατε φησὶν αὐτῆς τὰ μέλη. καὶ κατ' ὀρθὸν σχηματίσατε τὸν νεκρὸν τὸ πικρὸν οἰκούρημα τῶν ἐμῶν δεσποτῶν. ὅ ἐστι τὴν ἀτυχῆ οἰκουρόν. Γυναῖκες ἴστε τίς.) τὸ ἑξῆς. ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο. Ἴστε τίς ποτ' ἐν δόμοις βοή.) ἴστε φησὶ τίς ἡ βοὴ ἡ ἐν τοῖς οἴκοις ὦ γυναῖκες. ἠχὼ γὰρ βαρεῖα πρός με ἀφίκετο. Οὐ γάρ τι μ' ὡς θεωρόν.) ἀντὶ τοῦ ἀπὸ μαντείας. ἔθος γὰρ εἶχον οἱ ἀρχαῖοι τοῦτο. ὅτι ἤρχοντο ἀπὸ μαντείας ἐστεφανωμένοι ἤρχοντο. καὶ πάντες τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἴκου προσεκύνουν αὐτούς. τὸ δὲ ἑξῆς οὐκ ἔτι μοι ὡς θεωρόν με ἀξιοῖ προσκυνεῖν. ἀλλ' ἔχω ἀφελέσθαι τὸν στέφανον διὰ τὴν βοήν. θεωροὶ δὲ καλοῦνται πάντες οἱ ἐκ θεοῦ στελλόμενοι. ἢ ὕστερον ὑποστρέφονται. Πρόσω μὲν ἤδη.) οἷον πόρρω. μακρός. ἀντὶ τοῦ προβέβηκε τῇ ἡλικίᾳ. ἤτοι γέρων μέν ἐστιν. ἀλλ' ὅμως λυπηρὸς ἡμῖν γενήσεται ἀποθανεῖν. Οἴμοι τέκνων μοι.) μὴ ἄρα τῶν τέκνων μου ἡ ζωὴ κλέπτεται. ἀντὶ τοῦ ἀπέθανον. Λύπη παχνωθεῖσα.) ἀντὶ τοῦ κακωθεῖσα. ἁπάντων γὰρ τῶν φυτῶν, φθαρτική ἐστιν ἡ πάχνη. οἰκονομικῶς δὲ ψεύδεται τὰ λοιπὰ μὴ εἰδέναι ὁ χορός. Αἰ αἰ τί δῆτα.) ἔθος γὰρ ἦν τοὺς ἐξ ἱερῶν στελλομένους στέφεσθαι. πλεκτοῖς δὲ φύλλοις ἀντὶ τοῦ πλεκτοῖς στεφάνοις. Χαλᾶτε κλῇθρα.) ἀντὶ τοῦ ἀνοίγετε τὰς θύρας.

Ἔπαθες εἰργάσω.) πέπονθας τὸ τῆς ἀγχόνης κακόν. εἰργάσω εἰς σαυτὴν τὸν δι' ἀγχόνης θάνατον. τὸ δὲ αἰαῖ τόλμας,) διὰ μέσου ἀναπεφώνηται. καὶ οὕτως τὸ ἑξῆς ἵσταται. Πάλαισμα μελέας.) τὸ παράπτωμα τῆς ἀγχόνης. ἀπὸ μεταφορᾶς τῶν παλαιόντων. οἳ οἱονεὶ πνίγουσιν ἑαυτοὺς ἐν τῷ τραχήλῳ παίζοντες. Τίς ἄρα.) λείπει τὸ δαιμόνων, τίς ἄρα δαιμόνων ἀμαυροῖ ἤτοι ἀφανῆ καθιστᾷ τὴν σὴν ζωήν. Κηλὶς ἄφραστος.) ῥυπαρία μελαίνουσα. αἰσχύνη. Ἄφραστος. δὲ ἀντὶ τοῦ ἀπροόρατος. ἀδόκητος. ῥύπος καὶ αἰσχύνη. Κατακονᾶ μὲν οὖν.) ἀντὶ τοῦ καταφορά. λείπει δὲ τὸ κατέλαβέ με. ὁ δὲ νοῦς. καταφορὰ ζωῆς ἀβιωτοποιὸς κατέλαβέ με. κακῶν δὲ ὦ τάλας πέλαγος εἰσορῶ. γράφεται δὲ καὶ τὸ κατακονᾶ ῥῆμα. ἵν' ᾖ οὕτως. μαραίνει με ἡ δυστυχία τοῦ βίου. γράφεται καὶ κατακονᾶ μὲν οὖν. ἀντὶ τοῦ καταναλίσκει.

Μὴ δ' ἐκπερᾶσαι κῦμα.) ἀντὶ τοῦ ἐκκολυμβῆσαι ἐπεὶ καὶ πέλαγος προείρηται. ἐνέμεινε δὲ τῇ μεταφορᾷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὄρνις γὰρ ὥς τις.) ὥσπερ ὄρνις κρατουμένη ὑπό τινος ἀφα-
νὴς γίνεται· οὕτω καὶ σύ· ταχέως εἰς τῷ ᾅδη πηδήσασα.
Πρόσωθεν δὲ πόθεν.) πόθεν συνέβη μοι αὕτη ἡ συμ-
φορά· μὴ ἄρα ἕνεκεν τῶν πρόσθεν ἡμαρτημένων μοι;
ἢ πρός τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων. Ἄλλως.
Ἀμπλακίαισι τῶν πάροιθεν.) ὅ ἐστιν οὐδ᾽ ἐμὸν ἁμάρ-
τημα τιμωροῦμαι· ἀλλὰ λείπει προγονικόν. Ἄλλως.
μὴ διὰ τὰς ἁμαρτίας τῶν προτέρων μου ἤτοι ἀρχαίων
προγόνων· ἀναλαμβάνω τοιαύτην δυστυχίαν παρὰ
θεῶν. Οὔ σοι τί δ᾽ ὦναξ.) καὶ αὐτῇ ἀλκήστιδι· οὐ
γάρ τοι πρῶτος οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς
ἤμαρτες. Τίνος κλύω.) λείπει ἡ παρά, παρὰ τίνος
ἀκούσω καὶ μαθήσομαι τὸ συμβάν σοι· ἄπου ὅθεν ἀ-
πώλου· τίς ἂν εἴποι τὸ γενόμενον· ἢ ὄντως τὸ δῶμα
μάτην ἔχει θεραπόντων ὄχλον. Οὐ τλητὸν οὐδὲ ῥη-
τόν.) ὃ οὔτε σιωπᾶν δύναμαι· μέγα γάρ ἐστιν· οὔτε λέ-
γειν· αἰσχύνην γάρ μοι φέρει τὸ παράδοξον τοῦ θανά-
του. Νυκτὸς ἀστερωπός.) καὶ ἡ διανυκτὸς λαμπρὰ
σελήνη· ὡς πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου· ἐκεῖνος γὰρ
κρύπτει πάντων τῶν ἄστρων τὸ φῶς. Τὸ ἔλιπες ἔλι-
πες ὦ φίλη.) ἀντὶ τοῦ ἀπέθανες· ἔλιπες τὸ ζῆν· καὶ
τὸ ἰὼ τάλας ἀντὶ τοῦ τάλαινα· καὶ γὰρ ταῦτα τοῦ χο-
ροῦ φασι. Τὸ δ᾽ ἐπὶ τῷδε.) διὰ τί γὰρ κακῶς ἀπήγ-
ξω ποθὲ οὐ φοβοῦμαι· μὴ καὶ ἕτερόν τι πάθω κακόν.
Ἔγραψεν ἡ δύς.) μᾶλλον ἔγραψε παρακλήσεις ἵνα
μὴ ἄλλῳ μνηστεύσωμαι ἢ διὰ τὰ τέκνα. Θάρσει τά-
λαν.) γελοῖον πρὸς νεκρὸν τὸ θάρσει· συγγνωστέος δὲ
διὰ τὴν παρακειμένην συμφοράν. σφενδόνην λέγει τὴν
δέσιν· τὸν δεσμόν· τύποι δὲ τὴν ἐπικειμένην σφραγῖδα
τῶν δεσμῶν· προσαίνουσί με δὲ ἀντὶ τοῦ ἡδύνουσι· προ-
τρέπονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρέπονται· κολακεύουσι· αὐτῆς γάρ εἰσι· φέρε δὴ οὖν
ἀποκόψω τὸν δεσμὸν τῆς σφραγῖδος τοῦ δακτυλίου·
καὶ τὰς περιπλοκὰς ἀναλύσασ', ἴδω τί βούλεται ση-
μῆναι ἡ δέλτος. Φεῦ φεῦ.) κατὰ διαδοχὴν νέα κα-
κὰ ὁ θεὸς ἐπεισφέρει τούτοις τοῖς τόποις. Ἀβίωτος βίου
τύχα.) τύχη ἀβιωτοποιὸς τῆς ζωῆς· ἀντὶ τοῦ ἡ τύχη
τοῦ βίου πρὸς τὸ συμβὰν ἀβίωτός ἐστι· πρὸς τὸ κραν-
θὲν γὰρ νῷ ἀντὶ τοῦ πρὸς τὸ συμβάν. Ὀλομένους
γάρ.) τὸ ἑξῆς ὀλουμένους δόμους τῶν ἐμῶν δεσποτῶν·
οὐκ ἔτ' ὄντας λέγω. Τὸ δὲ φεῦ φεῦ.) διὰ μέσου·
πρὸς γάρ τινος· ἡ πρὸς ἀντὶ τοῦ ἀπό· ἵν' ᾖ οὕτως· ἀ-
πό τινος τύχης. Κακῶν ἀρχηγόν.) ἀντὶ τοῦ κακοῦ
λόγου ἀρχὴν λέγεις· τὸ ἑξῆς τόδε μὲν δυσεκπέρατον
ὀλοὸν κακόν· οὐκ ἔτι σιωπήσω· στόματος δὲ πύλαις πε-
ριφραστικῶς ἐν τῷ στόματι· ὅμοιον δὲ τοῦτο τῷ ὁμηρικῷ·
ἕρκος ὀδόντων. Δυσεκπέρατον δέ.) δυσαπάλλα-
κτον· δυσεπίληπτον. Ζηνὸς ὅμμ' ἀτιμάσας, ἀντὶ τοῦ
πρῶτον διαϋβρίσας. Ἀλλ' ὦ πάτερ Πόσειδον.)
μιᾷ τούτων τῶν κατάρων κατέργασαι τὸν ἐμὸν παῖδα
ποίων δέ· ἃς ἐμοὶ ὑπέσχου· τὸ ἀνελθεῖν ἐξ ᾅδου· τὸ ἀ-
ποστρέψαι ἀπὸ τοῦ λαβυρίνθου· τὸ πεμφθῆναι τῷ υἱῷ αὐ-
τοῦ θάνατον. Γνώσῃ γὰρ αὖθις.) ἔχει γὰρ γνώναι ὅτι
ἥμαρτες· καὶ ἐνκλήσεσι· οὐ γὰρ πρῶτος οὐδὲ λοίσθιος
βροτῶν· γυναικὸς ἐσθλῆς ἤμπλακες. Καὶ πρός γ' ἐ-
ξελῶ.) αὖθις ἐπαναλαβὼν· ἀντὶ τοῦ οὐδαμῶς· ἀλλὰ
πρὸς τούτοις ἐκβαλῶ αὐτὸν ἐκ ταύτης τῆς γῆς. Δυοῖν
δὲ μοίραιν.) θατέρᾳ μιᾷ τῶν δύο μοιρῶν πληγήσεται.
Οὔπω χρόνου.) οὐ πρὸ πολλοῦ χρόνου ἀλλ' ἔναγχος· ἀν-
τὶ τοῦ ἣν ἀρτίως κατέλιπον τὸ φῶς ὁρῶσαν, ἄρτι ἀπο-
θανεῖν. Σιωπῆς δὲ οὐδὲν ἔργον.) τὸ τέλειον οὕτως·

ἐν τοῖς κακοῖς οὐδεὶς ὀφέλει σιγᾶν. οὐδὲν ὄφελος φησὶν οὐδὲ κέρδος ἐν τοῖς κακοῖς ἡ σιωπή. Ἡ γὰρ ποθοῦσα.) ἡ γὰρ καρδία ἐπιζητοῦσα πάντα ἀκούειν, δαπανᾶται. λίχνος δὲ, ἤτοι ἐπιθυμητική. περίεργος.

Κρύπτειν δίκαιον.) οὐ γὰρ ὀφείλεις κρύπτειν τὰς σὰς δυστυχίας τοὺς φίλους σου. ὦ πόλλ' ἁμαρτάνοντες. ὦ ἄνθρωποι πολλὰ ἐπιστάμενοι. καὶ διδάσκοντες τοὺς ἀνθρώπους πλὴν τούτου. τοῦ διδάσκειν συνετοὺς τοὺς ἀξυνέτους. φρονεῖν διδάσκουσαι ποτ' ἆρα οὖν φησὶν αἱ παραινέσεις καὶ συμβουλίαι τοῦ ποιητοῦ. οὐχὶ τὰ δέοντα φρονεῖν διδάσκουσι τοῖς ἀνθρώποις αὗται. λέγομεν δὲ ὅτι τῇ προθήκῃ τὴν ἀπορίαν ἔλυσεν. εἰπὼν οἷς ἐστιν οὐκ ἔστι νοῦς. εἰς γὰρ νοῦν ἔχοντα ἄνδρα καταβαλλομένη παραίνεσις καρπὸν φέρει. εἰ δὲ ἄνουν. μάτην ἐκρίπτεται. Δεινὸν σοφιστήν.) λογιστήν. ἐξεταστὴν διδάσκαλον. ὁ νοῦς τοιοῦτος ἀληθῶς καλὸν διδάσκαλον εἶπας τὸν δυνάμενον διδάξαι φρονεῖν τοὺς μὴ φρονοῦντας.

Δέδοικα μή σου.) φοβοῦμαι μὴ ἐν τοῖς κακοῖς ὑπερβάλουσά σου ἡ γλῶττα, ἄνουν καὶ παράφρονα ποιήσῃ. Ὅστις τἀληθές.) τῶν μὲν τῶν ἄλλων πραγμάτων εὑρίσκομεν διάκρισιν. εἴτε καλόν ἐστιν εἴτε κακόν. ὥσπερ τὸ τοῦ χρυσοῦ. δοκιμαζόμενος γὰρ φαίνεται εἰ καλός ἐστιν ἢ κακός. τῶν δὲ τοὺς ἀνθρώπους οὐχ εὑρίσκομεν. ἐχρῆν οὖν καὶ τοὺς ἀνθρώπους δύο φωνὰς ἔχειν δικαίαν τε καὶ ἄδικον. ἵνα ἐὰν ἡ ἄδικος φωνὴ ἠθέλησε ψεύσασθαι. ἠλέγχετο ὑπὸ τῆς δικαίας. ἵνα μηδεὶς ἀπατηθῇ. Ἀλλ' εἴ τις εἰς σὸν οὖς.) μὴ ἄρα τίς με διέβαλεν εἰς τὸ σὸν οὖς ἀπὸ τῶν φίλων.

Ἐκ τοι πέπληγμαι.) ξένους λόγους ἀκούων παρὰ σοῦ

ἐκπλήττομαι. οἱ γὰρ σοὶ λόγοι ἐξεδροποιοὶ τῶν φρενῶν μου· ὥστε μαινόμενοι, ἐξεστηκότες, ἄδικοι παραλογιστικοί· μὴ καλῶς λεγόμενοι· ἀλλ' ἔξω τῆς διανοίας ὄντες. Τί τέρμα τόλμης.) τί ἔσται τὸ τέλος τοῦ θράσους τὸ θράσος δηλονότι. Εἰ γὰρ κατ' ἀνδρός.) εἰ γὰρ ἐπαρθήσεται ἐπὶ ἑκάστου ἀνδρὸς ὁ βίος, καὶ ἐπιγινόμενος χείρων ἔσται τοῦ πρὸ αὐτοῦ· ὀφείλομεν δεήσεις τοῖς θεοῖς ἀνενεγκεῖν· ἵνα ἄλλην γῆν τινα ἀπομερίσῃ, ἥτις τοὺς κακοὺς χωρήσει· ἐκ τούτου διαβάλλει τὸν τρόπον τοῦ ἱππολύτου. Ἄλλως. Εἰ γὰρ κατὰ ζωὴν ἑκάστου ἀνδρὸς ἡ κακουργία αὐξάνεται, ἵνα ὁ μεταγενέστερος τοῦ προβεβηκότος πανουργότερός ἐστιν· ἐχρῆν τοὺς θεοὺς ἄλλην πόλιν κτίσαι εἰς τὸ χωρῆσαι τοὺς πανούργους. Θεοῖσι.) εἰσὶ φύσεις ζώων πρὸς ἑτέραν φύσιν ζώων ἐναντίως ἔχουσαι· οἷον οἱ τῶν λεόντων πρὸς τὴν τῶν ἀνθρώπων· ἡ τῶν λύκων πρὸς τὴν τῶν προβάτων· καὶ ὅμηρος· ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά· οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα· καὶ τοῖς μὲν θηρίοις δέδοται πρὸς οἴκησιν ἡ ἐρημία· τοῖς δὲ ἀνθρώποις ἡ ἡμετέρα τῶν χωρίων· ὅταν φησὶν πρὸς ἄκρον κακίας προκόψῃ ἡ τῶν ἀνθρώπων φύσις, ἀπορήσουσιν οἱ θεοὶ, ποῖ τοὺς πονηροὺς κατοικήσουσιν· εἰς τοὺς ἐρήμους· ἀλλ' ἐκεῖ θῆρες εἰσί· εἰς τὰ ἡμέτερα χωρία, ἀλλ' ἐκεῖ δίκαιοι ἄνθρωποι· λοιπὸν ἀνάγκη ἑτέρας δεῖσθαι γῆς. Σκέψασθε δ' εἰς τόνδε.) ἀποβλέψατε φησὶ πρὸς τὸν ἐμὸν υἱὸν· ὅς τις ἠθέλησε μιᾶναι τὴν ἐμὴν κοίτην καὶ ἐλέγχεται ὑπὸ τῆς ἀποθανούσης. Σοὶ δὴ θεοῖσι.) σὺ δὲ εἶ ὁ ὑπὲρ πάντας σοφὸς ὢν καὶ σώφρων, καὶ ἀκούων ἀμίαντ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τος τῶν κακῶν· οὐδαμῶς ἐγὼ πείθομαι τοῖς σοῖς ψεύσμασι. Σίτοις καπήλευε.) ἀντὶ τοῦ χλεύαζε ἀποπλάνα τοὺς ἀνθρώπους· ὥς τε πορίζειν τροφάς· ἢ ἐν λόγοις ἐμπορεύου· καθάπερ οἱ λεγόμενοι λογέμποροι· καὶ μὴ κατὰ φύσιν φιλοσοφοῦντες· ἀλλ' οἱ τοὺς λόγους καπηλεύοντες· καὶ τοῖς σιτίοις τοῖς δι' ἀψύχου βορᾶς ἁπλῶς· ἀντὶ τοῦ ἁγνεύετε ὡς οἱ φιλόσοφοι μηδὲν κατὰ τῶν ἐσθιομένων ζώων ἢ ἑτέρων ἐσθίοντες· ἀλλὰ σῖτον μόνον· καὶ ἔχοντες τὸν ὀρφέα βασιλέα ὡς σώφρονα· ἐπεὶ γὰρ ἔνδοξος ἦν ὁ πυθαγόρας· ἤδη καὶ πολλοὶ ἀψύχων ἀπείχοντο· ἀνάγει δὲ τοὺς χρόνους· τούτῳ γὰρ αὐτοῦ ἀντιξέσασθαι βούλεται ὁ εὐριπίδης· τοιοῦτος δέ ἐστιν ἀεὶ τὰ ἡρωικὰ πρόσωπα εἰσάγων. Φιλοσοφοῦντα.) βάκχευε πολλῶν γραμμάτων τιμησάμενος· τὸ γὰρ ληφθῆναί σε σκαιὰν ἐποίησέ σου τὴν ἄσκησιν. Τέθνηκεν ἥδε.) εἰ δὲ νομίζεις φησὶν ἐκφυγεῖν ταύτης ἀποθανούσης οὐδαμῶς ἔσται τοῦτο· ἐπεὶ ἔχεις εἰς ἔλεγχον τὰ γράμματα. Μισεῖν σε φήσεις τήνδε.) ἀλλ' ἔχεις εἰπεῖν ὅτι ἐμίσησε ὡς νόθον ὄντα· ἐπειδὴ οἱ γνήσιοι πολέμιοι εἰσὶ τοῖς νόθοις. Κακὴν ἄρ' αὐτήν.) οἱ ἔμποροι τὰ μὲν παρέχουσι· τὰ δὲ λαμβάνουσι· καὶ τοῦτο ἐπ' ὠφελείᾳ ποιοῦσι· εἰ οὖν αὕτη τὴν ψυχὴν αὐτῆς ἔδωκεν ἵνα μεμισητὸν τῷ πατρὶ καταστήσῃ, ἄφρων ἄρα καθέστηκε· τοιαύτην ὁδὸν ἐμπορευομένη· οἱ γὰρ ἔμποροι τῶν κερδῶν πραγματεύονται· θέλεις φησὶν εἰπεῖν ὅτι ἐπραγματεύσατο θέλουσά σε φονεῦσαι· διὰ τὸ τὰ τέκνα αὐτῆς κρατῆσαι τῆς πόλεως ταύτης· ἔμπορος δὲ ἰδίοι κἠτρία· προνοητικὴ πραγματική. Οἱ δ' ἐγὼ νέους.) οἱ δ' αἱ ἐγὼ νεωτέρους ὅτι ὁπηνίκα αὐτοὺς ἡ κύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὶς ταράξει· μωρότεροι γίνονται τῶν γυναικῶν.
Τὸ δ' ἄρσεν αὐτοὺς.) συγγνώμην αὐτοῖς παρέχει τὸ εἶναι ἄνδρασιν. ταῖς γυναιξὶ δὲ οὔ. ἢ καλεῖσθαι ἄρχοντας. ἐπεὶ οὐκ αἰσχύνονται ἐρῶντες. ἢ τὸ θρασὺ καὶ ἀναιδές.
Νῶ οὖν σοι ταῦτα.) ἐναντιούμενος οὖν ἐγὼ νῶ τοῖς σοῖς ταῦτα λέγω. ἔχειν καὶ σοφὴν μάρτυραν νεκρόν.
Ἐξεργειγάσασ.) φθείρου ἐκ ταύτης τῆς γῆς φυγὰς γεγονώς. καὶ μή τι εἰς τὴν πόλιν ταύτην εἰσέλθῃς τὴν ὑπὸ ἀνθρώπων ᾠκοδομημένην, οὐ γὰρ ὑπὸ θεῶν ἠτειχίσθησαν.
Εἰ γὰρ παθὼν γε.) εἰ μὴ τιμωρήσομαί σε. οὐ δὲ ἄπειρίν κατόρθωκα ἐμὰ νομισθήσεται. ἀλλὰ μάτην ἂν ἐπαινοίμην ἐπ' αὐτοῖς. Οὐ μαρτυρήσει.) ἰσθμοί. σίνις ἐγένετο. ὅς τις εἶχε κράββατον ἀνὰ μέσον τῆς ὁδοῦ. καὶ κρατῶν τοὺς παριόντας προσεμέτρει τῷ κραββάτῳ. καὶ εἰ μὲν ἦν μακρὸς ἀπέκοπτεν ἐκ τῶν ποδῶν αὐτοῦ ἵνα ἐξισωθῇ τῷ κραββάτῳ. τοῦτον ἐφόνευσεν ὁ θησεὺς μόνος. λέγει οὖν ὅτι ἐὰν ὑπὸ σοῦ ἠδικήσομαι, οὐ μὴ πιστεύσῃ ἐκεῖνος ὁ ἴσθμιος ὅτι αὐτὸν ἐφόνευσα. ἦν δὲ οὗτος ὁ σίνις υἱὸς τῆς μονος περὶ τὸν ἰσθμὸν ξενοκτονῶν. ὁ καὶ πιτυοκάμπτης. Σκειρωνίδες.) ὁ σκείρων ἐν μεγάροις ἦν τύραννος ξένος. ὃν τῇ χελώνῃ ἔρριψαν ὁ θησεύς. σκειρωνίδες δὲ πέτραι καλοῦνται, ἀπὸ τοῦ σκίρωνος ὃς τὴν χελώνην ἔτρεφεν. οὗ μέμνηται καλλίμαχος. οὗτος ἠνάγκαζε τοὺς παριόντας, νίπτειν τοὺς πόδας. καὶ λακτιζομένους ὑπ' αὐτοῦ. βρῶμα ἐποίει γίνεσθαι χελώνης. θησεὺς δὲ τοῦτον ὑπεράνω τῆς κεφαλῆς ῥίψαι εἰς τὴν θάλασσαν. ἐποίησε βρωθῆναι ὑπὸ τῆς χελώνης. Πατρῷ μέν γ' ὁ μέν.) τὰ περὶ μὲν δύναμίς σου. μεγάλη ἐστὶ καὶ ἡ διάνοια τῶν σοφῶν

φρενῶν· ἀλλ᾽ ὅμως ἐάν τις συνιήσει τὸ πρᾶγμα τοῦτο, οὐ καλόν ἐστι· λέγει δὲ ταῦτα διὰ τὸ νοῆσαι ἐκεῖνον ὅτι φαίδρα αὐτοῦ ἠράσθη καὶ οὐκ αὐτὸς ἐκείνης·

Τὸ μέντοι πρᾶγμα τοῦτο·) τὸ πρᾶγμα ἐν ὅσῳ μὲν σοι ἄδηλόν ἐστιν ὦ πάτερ δοκεῖ δικαίους ἔχειν κατ᾽ ἐμοῦ λόγους· εἰ δέ τις αὐτὸ ἐξετάσαι οὐκ ἔχει κατ᾽ ἐμοῦ δικαίαν τὴν μέμψιν· Ἐγὼ δ᾽ ἄκομψος·) ἐγὼ δὲ ἐν τοῖς μωροῖς ἀνεπιτήδειός εἰμι· διὰ τὸ μὴ εἰδέναι αὐτούς τι ἀκούουσι· ἐν δὲ τοῖς σοφοῖς λέξω καὶ νικήσω· ἀναιδῶν γάρ ἐστιν ἐν ὄχλῳ δημηγορεῖν· εἰς ἥλικας ἤτοι εἰς ὁμήλικας καὶ σοφούς· Ἔχει δὲ καὶ τόδε·) ἔχει δὲ καὶ τοῦτο λόγον· ὅ ἐστιν οὐκ ἀλόγως τοῦτο εἶπον· ὅτι ἄκομψος μὲν εἰς λόγον εἰμί· εἰς ἥλικας δὲ σοφώτερος· καὶ τοὐναντίον· φησὶν οἱ παρ᾽ ὄχλῳ φαῦλοι ἐκ σοφῶν μουσικώτεροι λέγειν· Ὅθεν μ᾽ ὑπῆλθες·) ὅθεν κατέβαλες πρῶτα· ὡς διαφθερῶν ἄνθρωπον ἀπολογίαν οὐκ ἔχοντα· ὅθεν με φησὶ διαφθεῖραι ἐδόξας· ὡς ἀπολογίαν μὴ ἔχοντα πρὸς τὰ ἐγκληθέντα·

Ἄλλως·) Ὁρᾷς με ὅτι οὐκ ἀναβλέπω πρὸς σέ· καὶ ἀντιλέγω τοῖς ὑπὸ σοῦ εἰρημένοις· καὶ διανοῇ ὅτι ἐγὼ αὐτὴν διέφθειρα· Ἐπίσταμαι γάρ·) ἀντὶ τοῦ φίλος εἰμὶ τῶν δικαίων ἀνθρώπων· μήτε ἀνταποδιδόναι κακὰ τοῖς χρωμένοις ἐν αὐτοῖς· ὅ ἐστι τοῖς μὴ ἀμυνομένοις τοὺς προαδικοῦντας· Ἄλλως· Ἐπίσταμαι δὲ κτᾶσθαι φίλους τοιούτους· τοὺς μὴ ἐπιχειροῦντας μὴ δὲ ἐθέλοντας ἀδικεῖν· Ἀλλ᾽ οἷσιν αἰδὼς ἀλλ᾽ ἐν οἷς πρόσεστιν·) ἡ αἰσχύνη καὶ μὴ ὁμιλοῦσι κακά· μὴ δὲ ἀντὶ κακοῦ ἀποδιδοῦσι· μὴ δὲ συμπράττειν τοῖς αἰσχροῖς· καὶ τοῖς ταῦτα βουλομένοις·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐκ ἐγγελαστής.) οἷον οὐχ ἕνεκα τοῦ ἐπεγγελᾶν φίλος εἰμὶ ἀλλ' ἀρετῆς χάριν. Ἄλλως. ὡς οὐδὲ προσπελῶν τοῖς φίλοις μου, ἀλλὰ καὶ τοῖς πρὸς ἐμὲ οὖσι καὶ τοῖς ἄποθεν μου οὖσιν ὁ αὐτός εἰμι. καὶ τὴν αὐτὴν διάθεσιν ἔχω πρὸς ἀμφοτέρους. Ἄλλως. Οὐκ ἐγώ εἰμι ἐγγελαστής. οἷον οὐκ ἐγγελῶ τοῖς περὶ τὰ τοιαῦτα ἔχουσιν. ἀλλὰ μόνον οὐ συνίημι αὐτοῖς. Ἑνὸς δ' ἄθικτος.) ἑνὸς δὲ πράγματος εἰμὶ ἀμίαντος. ἐν ᾧ καὶ νομίζεις με ληφθῆναι. μέχρι γὰρ ταύτης τῆς ἡμέρας ἀμίαντος λέχους εἰμὶ καὶ τοῦ λέχους οὐκ οἶδα πρᾶξιν. γραφῇ τε λευσάτων. καὶ ἐν τοῖς ἀναγνώσμασιν ὁρῶ, καὶ ὅμως οὐδὲ ἐκεῖνο κατασκοπῶ καλῶς. οὕτως ἀμίαντός εἰμι. Ἔγκληρον εὐνήν.) πρὸς τοῖς οἴκοις λαβών. καὶ τὴν εὔπορόν σου κοίτην. Ἄλλως. Μονοκληρονόμον εἰ προσεδόκησα πατρὸς γυναῖκα λαμβάνειν.

Μάταιος ἄρ' ἦν.) οὐδαμοῦ φησι συνέσεως ἦν ἐγὼ τοιαῦτα ἐννοούμενος, ἀλλ' ὡς τυραννεῖν. οὐδαμῶς σώφρων ἐπιθυμεῖ βασιλεύειν. εἰ μὴ ἐκστῇ τῶν φρενῶν. τὸ δὲ ἑξῆς. εἰ μὴ τὰς φρένας διέφθειρε τῶν θνητῶν ἡ μοναρχία. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ μοναρχία. Ἐγὼ δ' ἀγῶνας μέν.) ἐγὼ πρῶτος θέλω εἶναι τῇ κυνηγεσίᾳ. καὶ ἐν τῇ φιλοσοφίᾳ. ἐν δὲ τῇ πόλει δεύτερος. Πράσσειν γὰρ εὖ.) ὁ γὰρ ἐν ἀγῶσι τοιοῦτος ὢν καλῶς πράττει καὶ ἀκινδύνως ἐστίν. ὁ δὲ πόλεως πρῶτος ὤν, κίνδυνον ἔχει. οἱ γὰρ βασιλεύοντες κινδύνοις διάγουσιν.

Εἰ μὲν γὰρ ἦν μοι.) εἰ γάρ φησι καὶ ἕτερος ἦν τὰ αὐτά μοι ἔλεγε καὶ ἐμαρτύρει. τοῦτο γὰρ δηλοῖ τὸ οἷος εἰμὶ ἐγώ. καὶ ἦν ὁ ἀγὼν ζώσης αὐτῆς. Ἄλλως. εἴπερ ἦν μοι μάρτυς δίκαιος οἷος εἰμὶ ἐγώ. ὅ ἐστιν εἰ εὐπόρησα μάρτυρος ἀληθοῦς, ὁμοίου τοῖς ἡμετέροις τρό-

ποιεῖ· μὴ δ' ἀνθελκῦσαι· μὴ δὲ εἰς ἔννοιαν ἐλθεῖν ποτὲ τοῦ μιγῆναι τῇ σῇ κοίτῃ· οὐχ ὅτι λέγεις με καὶ φθεῖραι αὐτήν. Η τἄρ' ὀλοίμην.) διαζευκτικὸς ὁ ἤ· ἢ ὀλοίμην εἰ κακῶς φανήσομαι. Εσωφρόνησεν.) δυνατὸν ἐνδρωτήσει ἴσως οὕτως· ἡ φαίδρα ὡς σὺ φὴς ἐσωφρόνησεν· καίτοι μὴ φύσει ὑπάρχουσα τοιαύτη· ἐγὼ δὲ ὁ ἔχων οὐκ ἐσωφρόνησα· ἀλλ' ἐβουλήθην αὐτῇ μιγῆναι αὐτῆς μὴ βουλομένης. Ημεῖς δ' ἔχοντες.) ἡμεῖς δὲ σιωπήσαντες οὐ καλῶς ἐποιήσαμεν· τὸ γὰρ ἔχοντες ἀντὶ τοῦ σιωπήσαντες· ἢ τὴν σωφροσύνην φυλάξαντες. Αρκοῦσαν εἶπας.) ἀπολογίαν ἀρκοῦσαν εἶπας τοῦ μὴ φονεῦσαι τὴν φαίδραν.

Επωδός.) ἀντὶ τοῦ ἀπατεών· φαρμάκων ἔμπειρος· εὐορκησίᾳ δὲ πραότητι· βαθύτητι· οὕτως ἀττικῶς· τινὲς δὲ εὐήθειαν· ἀντὶ τοῦ εὐήθης εἶναι ὑποκρινόμενος.

Καὶ σοῦ γε κάρτα.) θαυμάζω σε ὦ πάτερ εἰ ταῦτα καρτερεῖς· εἰ γὰρ ἐγὼ πατὴρ ἦν σὸς, οὐδαμῶς ἐφυγάδευον· ἀλλ' ἐφόνευον ἄν σε· εἰ ὑπελάμβανον τὴν γυναῖκα μου διαφθείροντα. Ταχὺς γὰρ ἅδης.) ῥᾷστος· ἀντὶ τοῦ ἥδιστος· ταχὺς δὲ ἀντὶ τοῦ ὀξύς· οἱ γὰρ ἄδικοι ταχὺ τὸν θάνατον λαμβάνοντες χαίρουσι· διὰ τὸ μὴ κρίνεσθαι αὐτοὺς πολλάκις. Οὐ δὲ μηνυτὴν χρόνον.) οὐ γὰρ περιμένεις ὀλίγον χρόνον ἵνα μάθῃς τὸ ἀσφαλές· ἀλλ' οὕτως με διώκεις; Η δέλτος ἥδε.) αὕτη ἡ δέλτος οὐκ ἔστιν ἀπὸ μαντείας κατεσκευασμένη ἀλλὰ κατηγορεῖ σου· ἥνπερ ἐγὼ δέχομαι καὶ ταύτῃ πιστεύω· τοὺς γὰρ μάντεις πολλάκις ἐγὼ χαίρειν λέγω ἀντὶ τοῦ οἰμώζειν· οὐ παρὰ μάντεως φησὶ μαθοῦσα· ἀλλ' αὐτὴ παθοῦσα· καὶ πλέον ἄλλων εἰδυῖα· κλῆρος δέ ἐστι τὸ σημεῖον τὸ

διδόμενον τοῖς μαντευομένοις ἀφ' ὧν οἱ μάντεις ὁρμώμενοι προφητεύουσι περὶ τινὸς μελλόντων. τῶν δὲ τῶν μάντεων ὄρνισι προσέχουσιν. οἱ δὲ κλήροις. κλῆρον οὖν τὴν μαντείαν. εἰσὶ γάρ τινες κλήρῳ μαντευόμενοι οἷοί εἰσι λαχμοῖς.

Οὐ δῆτα πάντων.) οὐ δῆτα πάντων. ὑφ' ἓν ἀναγνωστέον. καὶ περιττὴ ἡ μία ἄρνησις. Οὐ δῆτα.) ἀντὶ τοῦ οὐδαμῶς λύσω τὸν ὅρκον. ἐγχωρεῖ μὴ πεῖσαί με. καὶ μάτην λύσω τὸν ὅρκον. ὃν ὤμοσα τῇ τροφῷ μηδὲν εἰπεῖν. Ἄλλως.

Πολλάκις φησὶν ἂν εἴπω οὐ πείθω τι καὶ τοὺς ὅρκους παραβαίνω. Οὐκ εἶ πατρῴας.) τὸ εἶμι τὸ πορεύομαι. καὶ τὸ εἰμὶ τὸ ὑπάρχω. ἐν τῇ συνηθείᾳ κατὰ τὸ δεύτερον πρόσωπον ἀποβολὴν πάσχουσι τοῦ σ. περὶ λόγους. φασὶ γὰρ ποῖ ἄπει καὶ ποῦ εἶ. Τίνος ξένων.) τῶν ξένων εἰς τοὺς οἴκους πορεύσομαι. διὰ τοιαύτην αἰτίαν φυγόντα τίς με ἐν οἴκῳ εἰσδέξεται. Ὅστις λυμεῶνας.) ὅστις ἤδει κομίζων τοὺς ξένους λυμεῶνας τῶν γυναικῶν. καὶ ξυνδράστας τῶν κακῶν. Ὦ δώματ' εἴθε.) εἴθε φωνὴν ἀφίετε. καὶ ἐμαρτυρήσατέ μοι εἰ τοιοῦτος ἀνὴρ γέγονα.

Εἰς τοὺς ἀφώνους.) γράφεται καὶ σοφῶς. ἵν' ᾖ σοφιστικῶς καὶ τεχνικῶς. εἰς τὸ φθέγγεσθαι ὑποστικτέον. τὸ δὲ λοιπὸν κατὰ ἀπόφασιν εἰς τοὺς ἀφώνους μάρτυρας ἀποκαλεῖ. τὸ δὲ κατὰ Φαίδραν πρᾶγμα μὴ φθεγγόμενον σαφῶς μηνύει τὸ κακόν. Εἴθ' ἦν ἐμαυτόν.) εἴθε δυνατὸν ἦν ἐμαυτὸν ἄλλον γενόμενον προσβλέψαι δακρύοντα καὶ κατιδεῖν ἐν ὁποίοις κακοῖς εἰμι. τοῦτο δὲ λέγει διὰ τὸ μὴ τὸν Θησέα προσβλέποντα αὐτὸν οἰκτείρειν.

Πολλῷ γε μᾶλλον.) σαυτὸν ἐμελέτησας μᾶλλον σέβειν ὑπὲρ τοὺς τεκόντας. ἢ καλῶς ποιεῖν ὢν δίκαιος ὡς αὐτὸς λέγεις. μᾶλλον σεαυτὸν ἤσκησας σέβειν. Πάλαι

ξενοῦσθαι.) ἐπὶ ξένης γῆς διατρίβειν. ξένος ἀντὶ πολίτου γίνεσθαι. ἔστι δὲ ἀττικόν. Κλαίων τις.) οὐχ ὡς ἀντειπεῖν λέγει. ἀλλ' ὡς ἐξ ἐλευθερίας χειρὸς ὠθεῖσθαι βουλόμενος. οὕτως ἐάν με τις διώξῃ ἐκ δούλων κλαίων ἀναχωρήσει. ἐὰν δὲ θέλῃς σὺ διῶξαι με ἐκ τῆς γῆς ταύτης. Φευξούμεθα δέ.) εἰς ἀττικὴν φασὶ φεύγειν. ὅτι ὑπὸ μίαν βασιλείαν ἦσαν ἀττική τε καὶ τροιζὼν καὶ ἑτέραν λέγων ἑκατέραν ὠνόμασεν. καὶ ἐρεχθεὺς δὲ τὸ αὐτὸ λέγει. ἐρεχθεὺς γὰρ ἐβασίλευσεν εἰς τὰς ἀθήνας. ἐγκαθηβᾶν δὲ ἐνέχεσθαι. ἢ ἡβητὰς τρέφειν. διὰ τὸ ἔχειν τόπους πρὸς τὸ ἡβᾶν ἐπιτηδείους. ὅθεν καὶ ἡβητήρια τὰ γυμνάσια. Οὐχ ἕλξετ' αὐτόν.) οὐ διώκετε αὐτὸν ἐκ ταύτης τῆς γῆς. οὐκ ἐκ πολλοῦ χρόνου εἶπον ὑμῖν. Ἦ μέγα μοι τὰ θεῶν.) γυναικῶν μέν ἐστιν αἱ τοῦ χοροῦ. μεταφέρει δὲ τὸ πρόσωπον ἐφ' ἑαυτοῦ ὁ ποιητής. καταλιπὼν τὰ χωρικὰ πρόσωπα. μετοχαῖς γὰρ ἀρσενικαῖς κέχρηται. τὸ δὲ μοι ἀντὶ τοῦ μου. ὡς τὸ μήτερι μοι μνηστῆρσιν. τὸ δὲ ἑξῆς. οὕτως μου τὰς λύπας μεγάλως ἀφανῶς καθίστησι τὰ περὶ θεῶν μελεδήματα. ὅταν εἰς φρένας ἔλθῃ. ὁρῶν δέ. ὁρῶν εὐσεβῆ μὲν ὄντα τὸν ἱππόλυτον κακῶς δὲ πράττοντα παρὰ τὸ δίκαιον θαυμάζει τοῦ βίου τὸ ἀνώμαλον. καὶ ταράττεσθαι φησὶ τὴν διάνοιαν ὑπονοῶν μὲν τὸ θεῖον προνοεῖσθαι τῶν ἀνθρώπων. ὁρῶν δὲ θείας προνοίας μὴ μετέχοντα τὰ τῶν ἀνθρώπων τὰ πράγματα. ἐκ τοῦ τοὺς μὲν ἀδίκους εὖ πράττειν. τοὺς δὲ δικαίους παρὰ τὴν ἀξίαν πράττειν κακῶς. ὁ δὲ νοῦς ὅταν φησὶ θεοὺς λογίσωμαι πάσης λύπης ἀπαλλάσσομαι. ἐνθυμούμενος ὅτι ἀδεκάστως τὰ πράγματα κρίνουσι τὰ πρὸς ἀξίαν ἑκάστῳ παρέχοντες. καὶ δοκῶν κατὰ τοῦτο συνετὸς εἶναι ἄφρων ἐλέγχο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χομαι. ὁρῶν τοῦ βίου τὴν σύγχυσιν. ξύνεσιν δέ τινα
ταῖς ἐλπίσιν ἔχων ἐλαττοῦμαι καὶ ἀπολείπομαι. βλέ-
πων ἔν τε ταῖς τύχαις τῶν ἀνθρώπων καὶ ἐν τοῖς ἔργοις.
τουτέστιν ὁπηνίκα αὐτὰ ἀνθρώπινα ἐννοήσω. ἐλαττοῦ-
μαι καὶ οὐ μέγα φρονῶ. Ξύνεσιν.) σοφίαν δέ τι-
να ἐν τῇ διανοίᾳ ἔχων ὡς πρόνοιαν θεῶν λογιζόμενος.
ἐκ πίπτω ταύτης. ἔν τε ταῖς τύχαις τῶν θνητῶν καὶ ἐν
ἔργμασι λεύσσων. Ἀλλὰ γὰρ πράγματα ἐναλλάσ-
σεται.) οἷον πολλὴ μεταβολὴ τῶν ἀνθρωπίνων πραγ-
μάτων. Μεταδ᾽ ἵσταται. εἰς πολλὰ πλανώμενος μετα-
βαίνει ὁ βίος. οἷον οὐ μένει βέβαιος τοῖς ἀνθρωπίνοις
ὁ αἰών. ἀλλὰ μεταβάλλεται. Ἄλλως. Τὸ ζῆν ἀεὶ μετα-
βάλλεται πολυπλάνητον ὂν τοῖς ἀνθρώποις. Δόξα
δέ.) οἷον μὴ ἔχω μεγάλαν δόξαν. μήτε μικράν. ἀλλὰ
μέσην καὶ σεμνήν. Παράσημος δέ.) ἀντὶ τοῦ ἀδόκι-
μος ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων. Ῥᾴ-
δια δ᾽ ἤθεα.) ἀντὶ τοῦ εὐχερῆ καὶ ἄλυπα ἤθη ἔχουσα
καὶ προβαίνουσα εὐτυχοίην ἀεί. Ἄλλως. Εὐχερῶς δὲ τὰ
συνήθη μεταβάλλουσα τὸν ὀλίγον χρόνον εὐτυχοίην τὸν
βίον. τὸ δὲ ἑξῆς εὔκολον δὲ ζωὴν ἐς τὸν καθ᾽ ἡμέραν χρό-
νον ἀεὶ διαδεχοίμην. καὶ σὺν ἄλλοις τὸν βίον εὐτυ-
χοίην. δύναται δὲ καὶ ἀντὶ ἐνεργητικοῦ κεῖσθαι τὸ με-
ταβαλλομένη. ἀντὶ τοῦ μεταβάλλουσα. δύναται δὲ
πάλιν εἶναι καὶ τὰ ἤθη μεταβαλλομένην.

Βίον συνευτυχοίην.) καλῶς ἡ σὺν ἔγκειται πρόθεσις.
δηλοῦσα ὡς οὐκ ἄκραν εὔχεται εὐδαιμονίαν. οὐ δὲ
πλεονεκτεῖν τῶν ἄλλων. ἀλλὰ σὺν ἄλλοις εὐπραγεῖν τὸν βίον
Οὐκ ἔτι γάρ.) ἀντὶ τοῦ οὐκ ἀτάραχον καὶ ἄφοβον. διὸ καὶ
μετὰ φυλακῆς ηὐξάμην. Ἄλλως. Ἄδηλον εἰς θεοὺς δη-
λονότι. τοῦτο δὲ ἐν τοῖς ἀνθρώποις συναπτέον. ἵν᾽ ἦ οὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τως ἐκπίπτω τοῦ ἀνάγειν εἰς θεοὺς πρόνοιαν τῶν ἀνθρωπίνων πραγμάτων. οὐκ ἔτι γὰρ καθαρὰν φρένα ἔχω. τουτέστιν οὐκ ἔχω γὰρ ἀτάραχον φρένα ἐπὶ τῷ παρόντι ὅτι ἀδίκως ἀπόλλυται ὁ ἱππόλυτος. Ἐπεὶ τὸν ἑλλανίας.) ἐπεὶ τὸν ἑλληνικῆς γῆς φανερώτατον ἀστέρα καὶ τὰ ἑξῆς. ἀστέρα δὲ λέγει τὸν ἱππόλυτον διὰ τὸ ἐπιφανὲς τῆς παρθενίας αὐτοῦ. Ὦ δρυμὸς ὄρειος.) ὑπερβατόν. ὅθι κατὰ κυνῶν ἐπέβης ὠκυπόδων. θεᾶς θῆρας ἐναίρων, τοὺς περὶ τὴν ἄρτεμιν. ὅ ἐστι τοὺς ὑποτεταγμένους τῇ ἀρτέμιδι. Δίκτυνναν ἀμφὶ σεμνάν.) δίκτυννα ἐκλήθη ἡ ἄρτεμις διὰ τοιαύτην αἰτίαν. βριμόμαντις νύμφη ἐγένετο συγκυνηγοῦσα τῇ ἀρτέμιδι, ταύτης ἠράσθη μίνως. καὶ κατεδίωξεν αὐτὴν ἐπὶ ἡμέρας θ΄ καὶ μὴ ὑποφέρουσα ἔτι ἔρριψεν αὑτὴν ἀπὸ τοῦ ὄρους εἰς τὴν θάλασσαν. καὶ ἐσώθη ἐν τοῖς δικτύοις. καὶ τούτου χάριν ἐκλήθη ἡ ἄρτεμις δίκτυννα. Πώλων ἐνετᾶν.) παφλαγωνικῶν. ἐνετοὶ γὰρ ἔθνος παφλαγονίας. εἰ δέ τις εἴποι, ἐκ ποίας πόλεως ὠνομασμένος. ἴσως ὅτι πολλοὶ βάρβαροι, οὐκ ἐκ πόλεων οὐδὲ χώρας, ἀλλ' ἐξ ἔθνους ὀνομάζονται. ὡς νομάδες. βλέμυες. ἡ δὲ ἐπὶ ἀντὶ τοῦ εἰς. οὐκ ἔτι εἰς συζυγίαν πώλων βήσῃ. ὡς τὸ δ' ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο. Τὸν ἀμφὶ λίμναν.) λίμνη τόπος τροιζῆνος ἀττικός. ἐνθα λιμνῆτις ἄρτεμις καλεῖται, παρὰ τὸ πεδίον τῆς λίμνης τὸ βρεχόμενον, τοὺς γυμναστικοὺς τόπους. κατέχων τῷ ποδὶ καὶ γυμνασίαν. Μοῦσα δ' ἄϋπνος.) τουτέστιν ὑπὸ τῇ κιθάρᾳ παύσεται ἐν τῷ οἴκῳ τοῦ σοῦ πατρός. ἄϋπνος. ἡ ἄπαυστος. τὸ ζυγὸν δὲ τῆς κιθάρας ἄντυγα καλεῖ. ἢ τὸν πῆχυν. ὡς κιθαρίζοντος αὐτοῦ. ἢ δὲ ἄϋπνος φησὶν ᾠδὴ τῶν χορδῶν τῶν ὑπὸ τῇ ἄντυγι λήξει. Ἀστέφανοι δέ.) αἱ δὲ ἀναπαύσεις τῆς θυγατρὸς λητοῦς

ὅ ἐστι τῆς ἀρτέμιδος αἱ κατὰ τὴν βαθεῖαν ὕλην ἀστέφανοι ἔσονται. λείπει γὰρ τὸ ἔσονται. ἄλλως αἱ ἀναπαύσεις τῶν κορῶν τῶν συγχορευουσῶν περὶ τὸ τῆς λητοῦς ἱερόν. ἀστέφανοι ἔσονται. τουτέστι λυπηθήσονται ὑπὸ σοῦ αἱ παρθένοι. τινὲς δὲ τὸ ἀστέφανοι, ἀντὶ τοῦ πολυστέφανοι ἔσονται. τὸ α λέγοντες ἐπιτατικόν. Φυγᾶ σᾶ.) διὰ τὴν φυγὴν οὐκ ἔτι ἀμελληθήσονται αἱ παρθένοι ὑπὲρ τοῦ γάμου τίς σοι δοθήσεται γυνή. ἄλλως φυγάδος σοῦ ὄντος ἡ φιλονεικία τῶν παρθένων τῶν ὑποδεχομένων τῷ σῷ γάμῳ ἀπώλετο. Συζύγιαι χάριτες.) αἱ συνεζευγμέναι χάριτες τῷ ἱππολύτῳ. αἱ συζευγνῦσαι. ὅ ἐστι γαμήλιοι. ἀντὶ τοῦ ὦ χάριτες ἔφοροι τῆς συζυγίας. Θησέως μερίμνης.) οἱ ἀρχαῖοι καὶ ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν. πολίτας δέ φησι τοῦ θησέως τοὺς ἀθηναίους καὶ τροιζηνίους. τούτων γὰρ ἀμφοτέρων πολίτης ἐστίν. ἐκ μὲν πατρὸς ἀθηναίων. ἐκ δὲ μητρὸς τροιζηνίων. Καὶ γῆς τέρμονας. περὶ τὰ τέλη τῆς τροιζῆνος. τοὺς ὅρους φησί. ἀστυγείτονας δὲ πόλεις τὰς δύο φησί. τροιζῆνα καὶ ἀθήνας. Πρὸς τοῦ.) αὐτῷ δηλονότι. μὴ ἄρα γυναῖκά τινος ἔφθειρεν ὡς τὴν ἐμήν. κἀκεῖνος φονεύει αὐτόν.
Ῥόπτρον.) ἡ ῥομφαία ὅ ἐστιν εἶδος ξίφους. καὶ ἡ πάγη. καὶ τὸ ἐπίπαστρον. Ἄλλως. Πλῆγμα. κυρίως δὲ ῥόπτρον, τὸ τῆς δίκης ῥόπαλον ἀπὸ τοῦ ῥαπίζω. Κυμοδέγμονος.) ἡμεῖς μὲν ἐν αἰγιαλῷ τῷ δεχομένῳ τὰ κύματα ἐφιλοκαλοῦμεν τοὺς ἵππους. κλαίοντες ὑπὸ τῇ φήμῃ τῆς ἐξορίας τοῦ ἱππολύτου. Ἠράσω πέρι.) ἡ περὶ ἀντὶ τοῦ κατὰ. κατὰ τοῦ σοῦ παιδὸς. ὦ πόσειδον ὄντως ἔμαθον ὅτι ἐμὸς εἶ πατήρ. Ψήκτραισιν.) ἀπὸ τοῦ κατὰ ψήχειν ὠνομάσθη ψήκτρα. Ὡς οὐκ ἔτ᾽ ἐν γῇ.) ὅτι ὁ ἱππόλυτος φεύγει τὴν ἰδίαν γῆν καὶ πόλιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ταυτὸ δακρύων.) τὸν αὐτὸν στεναγμόν. Μυρία δ' ὀπισθόπους) ἀντὶ τοῦ πολλὴ προπομπή. πολλὴ ἄθροισις. ὄπισθεν ἀκολουθοῦσα τοῦ ἱππολύτου. Τί ταῦτ' ἀλύω.) διατί δυσφορῶ. διατί ἀδημονῶ καὶ θρηνῶ. οὐκ ἐγχωρεῖ μὴ πεισθῆναι με τοῖς λόγοις τοῦ πατρός μου. καὶ ἀναχωρῆσαι ἐκ ταύτης τῆς γῆς. Ἐξηρτυμένας.) ἡτοιμασμένας. ἀντὶ τοῦ ταχέως. ἅμα τοῖς λόγοις καὶ πρὸ τοῦ πληρῶσαι αὐτὸν τὸν λόγον, παρεστήσαμεν αὐτῷ τὸ ἅρμα. Μάρπτει δὲ χερσίν.) εἰώθασιν οἱ ἁρματηλάται περιάπτειν τὰ λῶρα τῇ ἄντυγι. ὅπου δοκοῦσιν οἱ ἵπποι ὑπό τινος ἄγχεσθαι ὡς ὁποίη τις. ἐξ ἄντυγος ἡνία τείνας. Ἄλλως. Λαμβάνει τοὺς χαλινοὺς ἐν ταῖς χερσί. καὶ κρατεῖ ἐκ τοῦ ἅρματος. Αὐταῖσιν ἀρβύλαισιν.) ταῖς τοῦ ἅρματος περὶ τὴν ἄντυγα. ἐν αἷς τὴν στάσιν ἔχει ὁ ἡνίοχος. Καὶ πρῶτα μέν.) ἀντὶ τοῦ ηὔξατο τοῖς θεοῖς τὰς χεῖρας ἀνατείνας. Αἴσθοιτο δ' ἡμᾶς.) μάθοι ὁ πατὴρ ὅτι ἀτιμάζει με. ἑνικῶς πληθυντικὸν ἐπήγαγεν. διὸ τὸ χ. Κειμένη σαρωνικόν.) σαρωνικὸς κόλπος ἐστὶ πρὸς τῇ κορίνθῳ. ἱερὸς ἀρτέμιδος. ἐν ᾧ φασὶ τὴν σκύλλαν ὑπὸ μίνωος ἑλκυσθῆναι. ὄνομα οὖν ἐστὶ πελάγους ὀνομασθὲν ἀπό τινος σάρωνος κυνηγοῦ. οὗτος διώκων ἔλαφον ἐμάχυη καὶ ἡ ἔλαφος διωκομένη, ἔρριψεν ἑαυτὴν εἰς τὸ πέλαγος. καὶ αὐτὸς δὲ τῇ μανίᾳ φερόμενος ἔρριψεν ἑαυτὸν εἰς τὸ πέλαγος καὶ ἀπεπνίγη. ἄλλοι δὲ φασὶν ὅτι ἐκ τῆς σκύλλης τῆς θυγατρὸς νίσου τοῦ ἀδελφοῦ αἰγέως καὶ πάλλαντος. οὗτος γὰρ ᾤκησεν εἰς μέγαρα. ἰάσας τοὺς ἀδελφοὺς αὐτοῦ μαχομένους περὶ βασιλείας. καὶ ἦν ὁ νίσος. ὃς εἶχε χρυσοῦν πλόκαμον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ὁ οὖν μίνως στρατοπεδεύσας κατ' αὐτοῦ οὐκ ἠδυνήθη παραλαβεῖν ἕως οὗ εἶχε

τὸν χρυσοῦν πλόκαμον. ἡ δὲ θυγάτηρ αὐτοῦ σκύλλα
θεωρήσασα τὸν μίνωα ἐφίλησεν αὐτὸν. καὶ συνετάξα/
το αὐτῷ προδοῦναι τὴν πόλιν ἢν λάβοι αὐτὴν γυναῖκα.
ὁ δὲ συνέθετο. καὶ παραγινομένη τέμνει τοῦ τεκόντος
τὸν πλόκαμον. καὶ τὴν πόλιν παρέλαβε. καὶ μετὰ τὸ
παραλαβεῖν ἔλαβεν αὐτὴν ἐπάνω τοῦ πλοίου. καὶ ἔδη
σεν αὐτὴν εἰς τὸ πλοῖον. καὶ ἔμεινε συρομένη ἐν τῇ θα/
λάσσῃ. καὶ διὰ τοῦτο ἐκλήθη τὸ πέλαγος σαρωνικόν. ἐκ
πεσοῦσα δὲ ἐν τῇ θαλάσσῃ καὶ θηρίον γινομένη τὴν ἰ/
δίαν φύσιν οὐδαμῶς μετέβαλεν. Ἀκτὰς ἀπο/
βλέψαν.) εἰς δὲ τὰς πέτρας τὰς ὑπὸ τῶν κυμάτων
κλυζομένας. ἐθεωρήσαμεν. τὸ κῦμα μέχρι τοῦ οὐρανοῦ
ἀνερχόμενον. καὶ τοσοῦτον ὑψηλὸν ὥστε μηκέτι καθο/
ρᾶν ἡμᾶς τὸ ὄρος τοῦ σκείρωνος. ἐκ τοῦ ὕψους φησὶ τοῦ
κύματος οὐκέτι ἑώρων τὴν σκειρωνίδα αὐτήν.
Κἄπειτ' ἀνοιδήσαντε.) τὸ πνεῦμα εἰς ὕψος ἠρμένον
ἰσθμὸν δὲ τὴν στενὴν γῆν. τὴν κυκλουμένην ὑπὸ τῶν ὑδά
των καὶ τέθριππος ὄχος. τὸ ὄχημα τὸ ἐκ δ΄ ἵππων ἐ/
ζευγμένον τοῦ ἱππολύτου δηλονότι. Καὶ δεσπότης
μέν.) ἤθεσι τῆς μελέτης καὶ τῆς ἐμπειρίας συνήθειαν
πολλὴν ἔχων ἐν τῷ ἱππεύειν. Ἄλλως. Καὶ ὁ μὲν
ἱππόλυτος διὰ τὸ μὴ θροηθῆναι τοὺς ἵππους αὐτοῦ ἐπέ
πεσεν αὐτοῖς καὶ ἔσφιγγε τοὺς χαλινούς. Ἕλκει δὲ.)
τὸ ἑξῆς. ἕλκει δὲ ἱμᾶσι. κώπην δὲ τὴν μάστιγα νῦν λέ/
γει. ἕλκει δὲ εἰς τοὐπίσθεν ἱμάσιν ἀρτήσας δέμας.
ὡς ναύτης κώπην ἕλκει εἰς τοὐπίσθεν. Ἄλλως.
ὥσπερ δὲ ναύτης ζάλης οὔσης κρατεῖ τὸ πηδάλιον καὶ
σώζει τὴν ναῦν, οὕτω καὶ ὁ ἱππόλυτος τὰ λῶρα ἐκράτει.
Αἱ δ' ἐνδακοῦσαι.) αἱ δὲ πῶλοι δακοῦσαι καὶ ἐγκρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τήσασαι τοὺς χαλινούς· χαλινοὺς τοὺς ἐκ πυρὸς γενομένους ἐν ταῖς σιαγόσι· καὶ διάπυροι γενόμεναι ἔτρεχον. Κεἰ μὲν εἰς τὰ μαλθακά.) Οὐθ' ἱπποδεσμῶν.) μήτε τοῦ ἡνιόχου φροντίδα ποιούμεναι· μήτε τῶν χαλινῶν. Κεἰ μὲν ἐς τὰ μαλθακά.) καὶ εἰ μὲν ἐς τὰ ἁπαλὰ καὶ ἰσόπεδα τὸν δρόμον ἐποίει, ἐφαίνετο ὁ ταῦρος ἔμπροσθεν τῶν ἵππων καὶ ἐβρόει αὐτούς. εἰ δὲ ἐς τὰ ὄρη ἀπέφερον αὐτὸν οἱ ἵπποι ὄπισθεν περιεπάτει ὁ ταῦρος· καὶ προσπελάζων τῇ περιφερείᾳ συνηκολούθει. Εὐήλατα.) οἱ πασσαλίσκοι· οἱ πρὸς τῷ ἄξονι· τὰ καλούμενα ἁμαξηδόνια ὀχεῖ· ἢ τὰ ἐμβαλλόμενα πρὸς τῷ ἄξονι ὥστε μὴ ἐξιέναι τὸν τροχόν. Θραύων δὲ σάρκας.) ἀντὶ τοῦ θραυόμενος· ἤτοι συντριβόμενος κατακλώμενος τὴν κεφαλὴν ἐν ταῖς πέτραις. Ἵπποι δ' ἔκρυφθεν.) οἷον οἱ δὲ ἵπποι καὶ τὸ σημεῖον τοῦ ταύρου οὐδαμῶς ἐφάνησαν· ἀλλ' ἀφανεῖς ἐγένοντο ἀφ' ἡμῶν. Λεπαίας δέ.) ἤτοι τὸ ἐξέχον καὶ ὑψηλὸν μέρος τῆς ὀρείας γῆς· ἤτοι τῆς ὀρεινῆς παρὰ τὸ λελεπίσθαι. Οὐδ' ἢ γυναικῶν.) οὐ δυνήσομαι ποτὲ πισθῆναι ὅτι κακὸς ἐφάνη ὁ ἐμὸς δεσπότης οὐδὲ ἐὰν τὸ γένος ὅλον τῶν γυναικῶν ἀποθάνῃ. Καὶ τὴν ἐν Ἴδῃ.) ἄδηλον ποίαν Ἴδην· οὐδὲ ἐὰν πληρώσῃς γραμμάτων πάντα τὰ ξύλα τῆς Ἴδης· ὅ ἐστιν ὄρος σύνδενδρον ἐν τῇ Τροίᾳ. Οὗ δ' ἔστι μοίρας τοῦ δέοντος καὶ μεμοιραμένου· καὶ ἀναγκαίου. τὸ δὲ χρεὼν μετοχή ἐστιν ἀπαρεμφατικὴν σύνταξιν ἔχουσα. Μισῶ μὲν ἄνδρα.) τραγῳδεῖ εὐσεβῶς· ἐπειδή φησι μισῶν αὐτὸν ἐχαιρον ἀλλὰ πάλιν τοὺς θεοὺς αἰσχυνόμενος λυποῦμαι διότι ὑπάρχει ἐξ ἐμοῦ γεννηθείς. Πῶς οὖν.) ἀπὸ κοινοῦ τὸ χρὴ ὁ δὲ νοῦς πῶς οὖν κομίζειν χρὴ τὸν ἄθλιον, ἢ

τί χρὴ

τί χρὴ δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί. Ἐμοῖς
δέ. χρώμενος δὲ τοῖς ἐμοῖς βουλεύμασι οὐδέποτε σκλη-
ρὸς γενήσῃ εἰς τὸν σὸν υἱόν. Σὺ τὰν θεῶν.) σὺ φησὶ τὴν
ἀνυπότακτον ἤτοι ἀμετάβλητον, καὶ ἀκαταγώνιστον, καὶ
μὴ καμπτομένην τῶν θεῶν φρένα καὶ τῶν ἀνθρώπων, ποτνιά-
γεις καὶ ὑποτάσσεις ὦ ἀφροδίτη σὺν τῷ ἔρωτι. Ἀμφι-
βαλὼν δέ.) ἀντὶ τοῦ περισκεπάσας. σκέπει γὰρ τῶν ἐρώ-
των τὴν θέαν. ἵνα καὶ τὰ ἄμορφα, ἐράσμια ὁρῶμεν.
Χρυσοφαής.) ὁ ἔρως ὁ χρυσοφαής. τουτέστιν ὁ λαμπρὸς
ὤν. Ἄλλως. Οὐ προσηνὴς ὁ χρυσὸς. ἀλλὰ τὸ εἶδος
χρυσοφαής. Φύσιν ὀρεσκώων.) φύσιν ἔχων θηρῶν
ἀντὶ τοῦ ἄγριος ὢν τοῖς ποθοῦσι καὶ τῶν ἐν θαλάττῃ θηρίων
φύσιν ἔχων. καὶ τῶν ἐν τῇ γῇ. ὁ νοῦς δὲ τοιοῦτος. ὧν ἂν ἐφορ-
μήσῃ ἢ τῶν ὀρείων ἢ τῶν πελαγείων. ἢ τῶν ἐν τῇ γῇ ἣν ὁ ἥλιος
καταλάμπει. Ἄνδρα τε.) ἀντὶ τοῦ ἀνδρῶν ἄν-
δρας κατ᾽ ἐξοχὴν εἶπεν. Ἀφανῆ.) εἰργάσω ἀφανῶς
καὶ ἀνεξελέγκτως. πεισθεὶς τοῖς ψευδέσι λόγοις τῆς σῆς
γυναικός. καὶ τοῦτο ποιήσας φανερὰν ἔχεις βλάβην.
Πῶς οὐχ ὑπὸ γῆς.) τὸ πῶς οὐκ ἀπὸ κοινοῦ ἰτέον οὕτως. πῶς
οὐ πλέον ἄνω μετελθὼν τὸν βίον τέρματος ἔξω πόδα τοῦ
δ᾽ ἀνέχεις. Μεταβὰς δὲ μεταβιβάσας. Μεταβαλών.
μεταλλάξας ζωήν. καὶ ἀλλοιωθεὶς εἰς ὄρνεον. Ὡς ἐν ἀ-
γαθοῖς ἀνδράσι.) τοῦτο φησίν. εἰς ἀγαθοὺς ἄνδρας οὐκ
ἔτι μετρηθήσεταί σου ὁ βίος. Ἄλλως τὸ δ᾽ ἦλθον.)
ὁ ἀλλὰ ἀντὶ τοῦ γάρ. ἀντὶ τοῦ φανερώσω τὴν σωφροσύ-
νην τοῦ σοῦ παιδός. καὶ τῆς σῆς γυναικὸς τὸν οἶστρον. ἢ τά-
χα οὐκ οἶστρον. ἀλλὰ τρόπον τινὰ τὴν ἐγκράτειαν καὶ τὴν
σωφροσύνην. γενναιότητα γὰρ λέγει τὸ σπουδάσαι κρύ-
ψαι τὸν ἔρωτα. Δηχθεῖσα.) συσχεθεῖσα τοῖς πόνοις

τῆς ἀφροδίτης· τῆς ἐχθίστης ἡμῖν τῶν θεῶν, ὁπόσαι εἰσὶν ἐν τῇ παρθενίᾳ, ἠράσθη τοῦ σοῦ υἱοῦ· τὸ δέ· Γνώμῃ νι καὶ τὴν κύπριν· πειρωμένη·) ἀντὶ τοῦ τῷ λογισμῷ, τοῦ μὴ θέλειν συγκαθεύδειν τῷ ἱππολύτῳ, διὰ τὸ μὴ προδοῦναι τὴν εὐνὴν τοῦ ἀνδρός· Η σῶν δι' ὅρκων·) ἤ τις τροφὸς τῷ σῷ υἱῷ, τὸν ἔρωτα ἐσήμανεν· Αλλ' ἔχ' ἥσυχος·) ἀλλ' ἡσύχαζε, ὡς ἂν οἰμώξῃ πλέον τὰ μετὰ ταῦτα ἀκούσας· Ων τὴν μίαν παρεῖλες·) παρέπεμψας· ἀπώλεσας ἀφεῖλες· ὧν ἐξεῖλες τὴν μίαν εὐχὴν ἀπὸ τῶν τριῶν ὧν ἔλαβες ἀπὸ τοῦ πατρὸς· καὶ ἀπώλεσας τὸν υἱόν· Επεὶ σάφ' ἴσθι·) ἐπεὶ προεῖπεν παρὰ θεοῖς νόμον μὴ ἀντιπράττειν ἀλλήλοις, ὅτι εἰ μὴ νόμος ἐκώλυεν ἔσωσα ἂν αὐτὸν εὐσεβῆ τυγχάνοντα· μὴ εὐλαβουμένη τὸν δία· ἐν τίνι γὰρ ἔμελλεν αὐτὸν εὐλαβεῖσθαι μὴ δὲ νόμον λύουσα· ἀλλὰ καὶ εὐσεβῆ ἄνδρα σώζουσα· καὶ γὰρ ἀγαθὸς ἄνομα διαπραττόμενος ἐξουσίαν οὐ δέδοικεν· καὶ γὰρ εἰ μὴ νόμος με εἶργε· κωλυομένη ὑπό τινος λοιπὸν ἀδεῶς ἐβοήθουν αὐτῷ· Ερρωγε· δὲ ἀντὶ τοῦ συνερράγησαν· συνέπεσον· συμβεβήκασι·

Δύστηνος ἐγώ·) ἐπειδὴ χρησμὸν ἔλαβε παρὰ τοῦ ἀπόλλωνος ὁ θησεύς· ὅτι εἰς ὃ ἂν εὔξηται τῷ ποσειδῶνι τρίτον τελειοῦται αὐτῷ· χρησμοῖς δὲ τοῖς αἰτήμασι ταῖς καταραῖς· εἰσὶ δὲ αἱ εὐχαὶ θησέως πρὸς ποσειδῶνα τρεῖς· πρῶτον ἀνελθεῖν ἐξ ᾅδου· δεύτερον ἐκλαβυρίνθου, τρίτον· ἱππολύτου θάνατον· Σύντομα δ' ἕλκετε·) ἀντὶ τοῦ ἀσυντόνως· ἤγουν ἁρμοδίως καὶ προσεχόντως· καὶ συμφώνως· μὴ ὁ μὲν ἄνω· ὁ δὲ κάτω· ἀλλ' ἐξ ἴσου βασάζετε· ἡ μεταφορὰ ἀπὸ τῶν μουσικῶν τόνων· Ω πατρὸς·) τινὲς τὸ ὦ σχετλιαστικὸν προσφέρονται στίζοντες εἰς αὐ/

το. ἤγουν ἡ δύστηνος ἀρὰ τοῦ ἐμοῦ πατρὸς ἐλθεῖν· καὶ συναπτόμενον τῷ ἑξῆς. εἰς τὸ ἀρὰ δὲ τελείαν παρέχουσιν. ἤγουν καθ' ἑαυτὸ τὸ κῶλον· καὶ ὅτε σύνδεσμος ὁ ἑξῆς περιττός. Προγεννητόρων.) τῶν προγόνων τὸ κακὸν εἰς ἐμὲ ὁρίζεται καὶ φέρεται καὶ ἐπέρχεται εἰς τιμωρίαν. ἄλλως. ἀπὸ τοῦ ὅρου ἐκείνων εἰς ἐμὲ ἔρχεται τὸ τῶν προγόνων μύσος. ἀναφέρει δὲ καὶ ἐπὶ τὸν τῶν παλλαντιδῶν φόνον. εἰς δὲ τὸ τί ποτε λείπει ἡ διά· ἤγουν διατί ἐπ' ἐμὲ τὸν οὐδὲν ὄντ' ἐπαίτιον τῶν κακῶν. ὁ δὲ ποτὲ παρέλκει. Φρονῶ δή.) ἐννοῶ τὴν θεὰν ἥτις μ' ἀπώλεσεν. Τιμῆς ἐμέμφθης.) ὅτι ἐμὲ ἐτίμας ἐμέμφθης παρὰ σοί. ἢ ὅτι οὐδὲ ὅλως ἐτίμας αὐτήν. ἄλλως. ἴσθι ὅτι ἐμίσησε φρονοῦντα διότι ἐμέμφθη ὑπὸ σοῦ καὶ οὐκ ἠξιώθη τιμῆς. Τί δ' ἔκτανες.) τί μέμφῃ τὰς κατάρας. ἐφόνευσας γάρ ἄν με καὶ χωρὶς αὐτῶν. οὕτως ἦσθα ὠργισμένος. ἄλλως, καὶ ἄνευ τῆς κατάρας ἀπώλεσας ἄν με ἐκ τῆς ὀργῆς τοῦ λογισμοῦ. Δόξης γὰρ ἡμμένοι.) τῆς ὀρθῆς δοκήσεως τοῦ δικαίου, καὶ τῆς ἀληθείας ἠπατημένοι. Φεῦ εἴθ' ἦν.) εἴθε ἦν καταρᾶσθαι ἄνθρωπον θεῶν. ἵνα ἀμύνηται τὸν ποσειδῶνα ὑπὸ κατάρων τοῖς θεοῖς. Ἐγὼ γάρ.) ἐγὼ ἐκ τῆς ἐμῆς χειρὸς ἐν τοῖς ἀφύκτοις βέλεσι τιμωρήσομαι ἄλλον. ὅς τις ἂν τύχῃ. φίλτατα αὐτῆς τῆς ἀφροδίτης ἀπὸ τῶν ἀνθρώπων. εἰς τὸν ἄδωνιν δὲ αἰνίττεται ὥς τινες. λῆρος δὲ τὸ τοιοῦτον. οὐ γὰρ τόξοις ἀρτέμιδος ἀπώλετο ἄδωνις. ἀλλ' ὑπ' ἄρεως. ἄδηλον οὖν τίνα φησί. Κόραι γάρ.) ἐν τροιζῆνι ἱερὸν ἱππολύτου. ᾧ ἀποκείρονται αἱ μελλόνυμφοι. διὰ τοῦ μέλλοντος χρόνου ἀπολαυούσας ἐν ἤθει. Οὐ θέμις.) καὶ ἐν τῇ ἀλκήστιδι ὁ ἀπόλλων. Ἐγὼ δὲ μή.) λείπω με λάθρων τῶν δὲ φιλτάτων

τὴν στέγην. Κατόρθωσον.) ὀρθὸν κατάκλινον. ὅπερ εἰώθασι ποιεῖν ἐπὶ τῶν ἀποθνησκόντων. Κοινόν.) τοῦτο ὁ χορὸς ἐπιλέγει ἱππολύτου ἀποθανόντος. κοινὸν φησὶ τοῦτο τὸ πάθος πᾶσι τοῖς πολίταις κατέλαβεν ἀπροσδοκήτως. Πίτυλος.) ὁρμή. φορά. πλημμέλημα. οἱ γὰρ ἀναξίως πάσχοντες θρῆνον ἐμποιοῦσι. αἱ γὰρ ἀξιοπενθεῖς φῆμαι τῶν λαμπρῶν. Μᾶλλον ἐστὶ ἀντὶ τοῦ μάλιστα συγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ.

## ΥΠΟΘΕΣΙΣ ΑΛΚΗΣΤΙΔΟΣ.

Πόλλων ᾐτήσατο παρὰ τῶν μοιρῶν ὅπως ὁ ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα ἀποθανεῖν ἵνα ἴσον τῷ προτέρῳ χρόνῳ ζήσῃ. καὶ δὴ ἄλκηστις ἡ γυνὴ τοῦ ἀδμήτου ἐπέδωκεν ἑαυτὴν οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν ἄλκηστιν, ἐπορεύθη ἐπὶ τὸν τάφον. καὶ τὸν θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ ἄδμητον ἠξίου λαβόντα αὐτὴν, τηρεῖν. εἰληφέναι γὰρ αὐτὴν, πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου ἔδειξεν ἣν ἐπένθει. ἄλκηστις ἡ πελίου θυγάτηρ ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι. ἡρακλέους δὲ ἐπιδημήσαντος ἐν τῇ θετταλίᾳ διασώζεται, βιασαμένου τοὺς χθονίους θεοὺς, καὶ ἀφελομένου τὴν γυναῖκα. ἡ μὲν σκηνὴ τοῦ δράματος

ὑπόκειται ἐν φεραῖς μιᾷ πόλει τῆς θετταλίας. ὁ δὲ χορὸς συνέστηκεν ἐκ τινῶν πρεσβυτῶν ἐντοπίων. οἳ καὶ παραγίνονται συμπαθήσοντες ταῖς ἀλκήστιδος συμφοραῖς. προλογίζει δὲ ἀπόλλων. τὰ τοῦ δράματος πρόσωπα. ἀπόλλων. θάνατος. χορός. θεράπων. ἄλκηστις. ἄδμητος. εὔμηλος. φέρης. ἡρακλῆς.

Ὦ δώματ' ἀδμήτει' ἐν οἷς ἔτλην ἐγώ. θῆσσαν.) θητικὴν δίαιταν. Αἰνέσαι.) εὐαρεστῆσαι. καταδέξασθαι. Οὐ δὴ χολωθείς.) ἀνθ' οὗ τοῦ ἀσκληπιοῦ. Τέκτονας.) τὴν στερόπην τε καὶ ἄργον, εἰς ἐκδικίαν τῶν κυκλώπων κτείνω. Ἐς τόδ' ἡμέρας.) μέχρι τέλους ταύτης τῆς ἡμέρας. τοῦ δεῦρο. προσυπακουστέον τὸ λάτρις ἢ τὸ θής.

Θῆσσαν τράπεζαν.) ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς ἀπόλλωνος θητείας παρ' ἀδμήτῳ αὕτη ἐστὶν ᾗ κέχρηται νῦν εὐριπίδης. οὕτω δὲ φησὶ καὶ ἡσίοδος. καὶ ἀσκληπιάδης ἐν τραγῳδουμένοις. φερεκύδης δὲ οὔ φησι τοὺς κύκλωπας ὑπὸ ἀπόλλωνος ἀνῃρῆσθαι. ἀλλὰ τοὺς υἱοὺς αὐτοῦ γράφων οὕτω. παρ' αὐτὸν τὸν ἄδμητον ἔρχεται ἀπόλλων θητεύσων ἐνιαυτὸν διὸς κελεύσαντος. ὅτι κτείνει τοὺς βρόντεω καὶ ἀστεροπαίω καὶ ἄργεω παῖδας. κτείνει δὲ αὐτοὺς ἀπόλλων διὰ μεμφθεὶς ὅτι κτείνει ζεὺς ἀσκληπιὸν τὸν παῖδα αὐτοῦ κεραυνῷ ἐν πυθῶνι. ἀνίστη γὰρ ἰώμενος τοὺς τεθνεῶτας. ἀναξανδρίδης δὲ ὁ δελφὸς φησὶ θητεῦσαι αὐτὸν διότι τὸν πυθοῖ δράκοντα ἀνεῖλεν. ῥιανὸς δὲ φησὶν ὅτι ἑκὼν ἐδούλευσεν αὐτῷ δι' ἔρωτα τοῦ ἀδμήτου. καὶ περὶ μὲν τῆς ἀπόλλωνος θητείας ταῦτα. ἀπολλόδωρος δὲ φησὶ κεραυνωθῆναι τὸν ἀσκληπιὸν ἐπὶ τῷ τὸν ἱππόλυτον ἀναστῆσαι. ἀμελισαγόρας δὲ ὅτι γλαῦκον. πανύασις. ὅτι

τινδαρέων· οἱ δὲ ὀρφικοὶ ὅτι ὑμέναιον· στησίχορος δὲ ἐπὶ καπανεῖ καὶ λυκούργῳ· φερεκύδης ἐν τῇ ἱστορίᾳ τοὺς ἐν δελφοῖς φησὶ θνήσκοντας αὐτὸν ἀναβιώσκειν· φύλαρχος δὲ διὰ τὰς φονίσας· τελέσαρχος δὲ δι' ὠρίωνα· πολύαρχος δὲ ὁ κυρηναῖος διὰ τὸ τὰς κροίσου θυγατέρας αὐτὸν ἰάσασθαι κεραυνωθῆναι φησίν· Ἐβουφόρβουν·) ἔνεμον· ἀπὸ τοῦ διαφέροντος ζώου τοῦ βοός· Ἡ σφ' ἔτικτε μήτηρ ἀδμήτου·) ἡ κλυμένη, ἐγγὺς τοῦ θανάτου οὖσα·

συμμέτρως·) εὐκαίρως· μετρήσας ταύτην τὴν ἡμέραν ἐν ᾗ ἐπέπρωτο αὐτὸν ἀποθανεῖν· τουτέστι πρὸς αὐτὸν τὸν ὅρον καὶ τὸ μέτρον ἦλθεν· Ἆ ἆ·) ὁ θάνατος ὁρᾷ τὸν ἀπόλλωνα πρὸ θυρῶν καὶ δέδοικε μὴ αὐτὴν ῥύσηται τοῦ θανάτου ὥσπερ τὸν ἄδμητον· Οὐκ ἤρκεσέν σοι·) τὰς μοίρας τῇ δολίῳ τέχνῃ ἀπατήσαντα τὸν μόρον ἀδμήτου κωλῦσαι· Θάρσει·) ἐν μετὰ τοῦ δικαίου φησὶ φθέγγῃ, τίς ἡ αἰτία τῶν τόξων· Ἀφοριζόμενος·) ἀποσπῶν· ἀφορίζων· Μέλουσι θάνατοι·) τοῖς γεγηρακόσι τοῦτο γὰρ λέγει μέλλουσι· βραδύνουσιν γὰρ ἐν τοῖς ζῶσιν οἱ μέλλοντες· καὶ ἄλλως·

Κτείνειν ὃν ἂν χρῇ·) εἰς τοῦτο μὴ δεῖν πεῖσαι τὸ φονεύειν ὃν ἂν πέπρωται· Οὐκ ἀλλὰ τοῖς μέλλουσι·) ἢ οὐ χρὴ κτείνειν οὗ πέπρωται ἀλλὰ μᾶλλον πρὸς ἔλεον ῥέπειν· καὶ μόνοις γέρουσι θάνατον ἐπάγειν· καὶ ἄλλως· οὐχὶ τοῦτό σε θέλω ποιῆσαι τὸ κτείνειν ὃν ἂν χρῇ· τοῦτο γὰρ ὡμολόγηται· ἀλλ' εἰς τὸ τοὺς γεγηρακότας ἀναιρεῖν· καὶ ἄλλως· οὐχὶ ἐγώ σε λέγω φονεύειν δ' ἐνὸν πέπρωται· ἀλλὰ τοῖς γεγηρακόσι θάνατον ἐμβαλεῖν· Οὐκ ἔτι τιμὰς κἀμέ·) ὅταν γὰρ τιμὰς λάβωσιν οἱ νεκροὶ ὁ θά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νατος ἥδεται. καὶ ὅμηρος. τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων. Οὔτοι πλέον γ' ἄν.) ἐάν τε νέαν αὐτὴν λάβοις. ἐάν τε γεγηρακυῖαν. ἕξεις τε πλέον ἢ μίαν ψυχὴν λαβεῖν. Νέων φθινόντων.) ὁ θάνατος φασὶν ὑπὸ νέων πλουτούντων καθὸ ἐν τούτοις αὐτοῖς δείκνυται ἰσχύς. καὶ δυνατὸς ἐνδείκνυται. οὐ τῆς φύσεως διὰ γῆρας τούτους καταβαλλούσης. ἀλλὰ τοῦ καταπαλαίσαντος τὴν νεότητα. ἢ καθὸ δείκνυται καθαρῶς καὶ ἀδωροδοκήτως ὑπηρετῶν ταῖς μοίραις, ὑπερορῶν δωρεὰς καὶ θυσίας προσφερομένας ὑπὲρ αὐτ(ῶν). μόνος γὰρ θεῶν θάνατος οὐ δώρων ἐρᾷ. ἢ καθὸ μέγας ὁ θρῆνος καὶ πολλὰ τὰ δάκρυα. καὶ ἀξιοπαθὲς τὸ πάθος. καὶ μήκιστος ὁ χρόνος μὴ μαλάσσων τὴν συμφοράν. ὁ δὲ ἀπόλλων. καίτοι νοήσας τὸ λεχθὲν παραλογίζεται τὸν θάνατον φάσκων· ὅτι κἂν γραῦς ὄληται ἡ ἄλκηστις ἀξίως ταφήσεται. τὸ μεῖζον γέρας λέγων ὑπὸ πολυτελοῦς ταφῆς. ὅθεν ὁ θάνατος φησὶ νόμον σοὶ παραβάλλῃ τοῦ πλουσίως θάπτεσθαι τοὺς ἔχοντας. καὶ τοῦτο νομίζεις γέρας ἐμόν, ἐγὼ δὲ γέρας φημὶ τὸ ὑπὸ νέα νεανιεῦσθαι. Κἂν γραῦς ὄληται.) ὁ μὲν ἀπόλλων λέγει ὑπὸ τῆς ἀλκήστιδος ὅτι ἐὰν γενομένη γραῦς ἀποθάνῃ πλουσίως θάπτεται. ὁ δὲ καθόλου ἔλαβε καὶ φησὶ τὸν νόμον τίθης ὦ ἄπολλον ὑπὲρ τῶν πλουσίων. λέγων ἀγοράσουσι γὰρ οἱ πλούσιοι γέροντες εἰς θάνατον. διὸ ἀπόλλων φησὶν αὐτὸν πανούργως εἰρηκέναι. Τοῖος φερήται.) τὸ ἑξῆς τοῖος ἀνὴρ τοῦ εὐρυσθέως μεταπέμψαντος τὸ ὄχημα ἐκ τῶν τόπων τῆς θράκης. Στείχω δ' ἐπ' αὐτήν.) ἵνα ἀπαρχὴν τῶν τριχῶν λάβω. ὡς ἔθους ὄντος τὸν θάνατον τοῦ μέλλοντος ἀποθνήσκειν τὴν κόμην

τέμνει. Ἱερὸς γὰρ οὗτος.) οὗτος γὰρ ὁ ἄνθρωπος τῶν κατὰ χθονὸς θεῶν ἀνιερωμένος ἐστὶ τοῖς καταχθονίοις δαίμοσι οὗ δὴ τὸ ξίφος μου τὴν τρίχα τέμνει.

Τί ποθ᾽ ἡσυχία.) ἐκ γερόντων φεραίων ὁ χορός. διαιρεῖται δὲ εἰς δύο ἡμιχόρια. Διακναιομένων.) φθειρομένων χρὴ πενθεῖν. κίνησις γὰρ ἡ μάχαιρα. Μετακύμιος.) ὁ δεινὸς μετὰ τὸ κῦμα κατάστασιν παρέχων. ἀλλ᾽ ἦλθε φησὶν ὦ παιὰν φανείης μεταξὺ τοῦ κύματος τῆς ἄτης ταύτης. καὶ ἄλλως. ὥσπερ λέγομεν μεταίχμιον τὸ μεταξὺ τῆς μάχης διάστημα δύο στρατευομένων οὕτω μετακύμιον τὸ μεταξὺ τῶν δύο κυμάτων. Οὔτ᾽ ἂν φθιμένας.) ἀλλ᾽ εἰ ἦν φησὶν ἀποθανοῦσα, οὐκ ἂν ἐσιώπων ἐν τοῖς οἴκοις. Οὐ γὰρ δὴ φροῦδος.) οὐ γὰρ πρὸς τὸν οἶκον ἔλαθεν ἡμᾶς προκομισθεῖσα. πόθεν οἶδας ὅτι οὐκ ἐξηνέχθη. οὐ γὰρ ἐγὼ αὐχῶ καὶ θαρρῶ.

Πῶς ἂν ἔρημον τάφον.) οὐκ ἂν φησὶ τὸν τάφον αὐτῆς ὁ ἄδμητος ἐποίησε μεθ᾽ ἡσυχίας ὥστε μηδένα γνῶναι. καὶ ἄλλως. πῶς ὄχλους χωρὶς τὴν ἐκφορὰν ἐποιήσατο ἄδμητος ἀγαθῆς γυναικὸς ἐκφορὰν ποιούμενος. Πυλῶν πάροιθε.) οὐδεὶς δὲ ἐν τοῖς προθύροις ἄνθρωπος τετμημένος τὴν τρίχα. ἡ θρὶξ πρὸ τῶν θυρῶν οὐκ ἔστι τετμημένη. καὶ ἄλλως. παροξυτόνως τὴν πηγαῖον χέρνιβα τὴν ὕδατος πηγαίου πεπληρωμένην. Οὐδὲ νεολαία.) νέα. κυρίως δὲ ὁ ἐκ τῶν νέων ὄχλος. νῦν δὲ τὴν ἀκμάζουσαν, καὶ εὔτονον χεῖρα σημαίνει. λέγει δὲ ὅτι οὔτε κτύπος ἐστὶ χειρῶν γυναικῶν. νέων δὲ διὰ τὸ μᾶλλον αὐτῶν ἐξακούεσθαι καὶ ἰσχύειν κτύπον. Ἀλλ᾽ οὐδὲ ναυκληρίαν.) οὐδ᾽ εἰ πλεῦσαι μὲν ἵνα μαντεῖαι οὐδὲ ἔστιν ὅπου τῆς γῆς πέμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψας πλούτῳ παραλύσειεν τῆς δυστήνου ἀλκήστιδος τὴν ψυχὴν παραλύσειεν αὐτὴν τῆς δυστήνου τὴν ψυχήν, σώσει· καὶ παύσεις τῶν κακῶν· πλησιάζει γὰρ ὁ θάνατος καὶ καιρὸν οὐκ ἔχομεν διακονοῦντα τῇ προθυμίᾳ πενθεῖν μέν· τὸ μὲν γὰρ πενθεῖν καὶ πρὸ τοῦ πάθους συγγνώμης ἄξιον λυπεῖται γάρ. Τετέλεσαι βασιλέα.) ἀεὶ δεῖ ποιεῖν τετέλεσαι τῷ ἀδμήτῳ. τί δὲ τὸ εὔχεσθαι τὸ θῦσαι τοῖς θεοῖς τὰ πρόσφορα. ἐπὶ τοῖς εἱμαρμένοις τὰ προσήκοντα ὁ ἀνὴρ ποιεῖ. ἢ ἐπ' αὐτῇ τῇ ἀλκήστιδι. προνωπής. προπεπτωκυῖα. προνενευκυῖα εἰς θάνατον. Πρόσθεν ἑστίας.) ὡς πρὸς τὴν ἑστίαν λέγουσαν αὐτῇ. μετέβη δὲ ἐκ τοῦ ἐξηγητικοῦ ἐπὶ τὸ μιμητικόν ὀρφανεῦσαι· ὀρφανοτροφῆσαι ἐπιτροπεῦσαι, καὶ ὀρφανιστὰς τὰς ἐπιτρόπους λέγουσι. Μυρσίνης φόβην.) ὅ ἐστι τὰ φύλλα τῆς μυρσίνης. Παρθενείας.) τὰ τῆς παρθενείας κορεῖα. ὅ ἐστιν ἔνθα κόρη οὖσα ἔλυσα τὴν παρθενίαν. τὸ ἑξῆς· ὦ λέκτρον χαῖρε. Σώφρων μέν.) ἐμοῦ μὲν οὐ σωφρονεστέρα. εὐτυχὴς δὲ ἴσως. Πλημμυροῦσι.) πλήθει δακρύων. Προνωπής.) ἔξωθεν τοῦ προνωπείου θαλάμου. Καὶ κατθανὼν τ' ἄν.) καὶ εἰ μὲν συνέβη αὐτὸν ἀποθανεῖν· μία ἦν λύπη τὸ θανεῖν αὐτόν· νῦν δὲ ἐκφυγὼν τὸν θάνατον ἀνεπίληπτα ἔχει τὰ κακά. Ἄθλιον βάρος.) τὴν ἰσχὺν τῆς χειρὸς παραλελυμένην. Οὐ γάρ τι πάντες.) πάρεισαι μὲν γάρ. πάντες ὡς ὑπήκοοι· οὐκ εὐμενεῖς δὲ ἄξια καὶ σφαγᾶς ἃ πέπονθας ἄξια καὶ ἐστὶ σφαγῆς. Τίς ἂν πόρος.) τίς ἂν πόρος τῶν κακῶν ἡμῖν γένοιτο· ἢ πῶς ἢ ποῦ. Καὶ πάρος γάρ.) καὶ πρώην γὰρ τούτου τοῦ θανάτου εὗρε μηχανήν· δίκης τὸν ἄδμητον ἔσωσας. Ἡ βρόχῳ δέρην.) καὶ

μεῖζον τοῦ βρόχῳ ἀποθανεῖν τινά. βρόχῳ δὲ οὐρανίῳ ἀντὶ τοῦ μετεώρῳ. Η δ' ἐκδόμων δή.) οὐκ ἔστι. κατὰ γὰρ τὴν ὑπόθεσιν ὡς ἔσω πραττόμενα δεῖ ταῦτα θεωρεῖσθαι. Κατὰ γᾶν.) παρὰ τὸν καταχθόνιον ἅδην. Τοῖς τε πάροιθεν.) ἐκ τῶν παλαιῶν τεκμαιρόμενος καὶ τὰ νῦν. Οὐράνιαί τε.) ἀντιστρόφως εἴρηκεν. ἀντὶ τοῦ οὐράνιαί τε νεφέλαι. διὰ δίνης δρομαίου τῆς ἀεικινήτου περιφορᾶς. Ὁρᾶτε κἀμέ.) τοῦτό φησιν ἀποδεικνύων ὡς τῶν εἰς θεοὺς ἁμαρτανόντων ἐκκοπτομένων. Ἔχων χεῖρ'.) εἰκῆ φησὶ δεδόσθαι τὰ περὶ τῆς ἐν τῷ ἀχέροντι πορθμείας. ὡς μαρτυρεῖ καὶ δοῦρις ἐν τῇ ις τῶν λακεδαιμονικῶν ὅτι ἐν ἰωλκῷ ἐνυμφεύθη. ἰωλκοῦ γὰρ πελίας ἐβασίλευσεν. Χάρων μ' ἤδη καλεῖ.) καλεῖ με φησὶν ὁ χάρων ταῦτα λέγων. τί μέλλεις. ἐπείγου. Σπερχόμενος.) ταῦτα ἠπειγμένα ἔχων ταχύνει. Ω δύσδαιμον.) ἐπειδὴ περὶ πελίου ὁ λόγος. Δύσδαιμον.) ὦ ἀθλία ἄλκηστι. νεκύων ἐς αὐλάν.) πτερωτὸς ἅιδας. Οἰκτρὰν φίλοισιν.) προβαίνεις εἰς ὁδὸν τοῖς φίλοις οἰκτρὰν ἐκ δὲ τῶν φίλων ἐμοὶ μάλιστα οἰκτράν. παῖδες ἀδμήτου εὔμηλος καὶ περιμέλη. Οὐ σθένω ποσί.) οὐκ ἐπαντέχω. ὁ γὰρ ἅδης πλησίον. μέθετέ με. ὡς κατεχομένη ὑπὸ τοῦ χάρωνος λέγει. Ὁρῶντ' ὄν.) ὁρῶντε. γένοιτο φησὶν χαίροντας ἡμᾶς τὸ δὲ φάος ὁρᾶν. Μὴ πρὸς θεῶν με.) μὴ προδώσῃς με πρὸς τῶν παίδων. οὓς μέλλεις καταλιπεῖν ὀρφανοὺς ἐὰν ἀποθάνῃς. Ἄδμητ' ὁρᾷς.) τὸ ἑφεξῆς. ἄδμητε λέξαι σοι θέλω. ἀντὶ τῆς ἐμῆς ψυχῆς. ἐξόν μοι σοῦ ἀποθανόντος, ἄνδρα ἔχων μέγιστον τῶν θεσσαλῶν, οὐκ ἠθέλησα. Καλῶς μέν.) ἀντὶ τοῦ ἤκον-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τος. ὃ ἐστὶ καιροῦ αὐτοῖς ἥκοντος εἰς τὸ ἀποθανεῖν ἀπογεγηρακόσι. Τούτους. ἀνάσχου.) ἀπόδειξον. Σοῦ κατθανόντος.) ἀποθανόντος σοῦ. οὐ δὲ φυτεῦσαι ἠδύναντο ἕτερα τέκνα. Ὀρφανεύων.) ἐπιτροπεύων. τῆς κατὰ τὴν ὀρφανίαν τροφῆς προέστης. Καὶ παῖς μὲν ἄρσην. καὶ περὶ μὲν τοῦ ἄρσενος οὐδὲν ἔχω πλέον λέγειν ἱκανὸς γάρ ἐστι παῖς ἄρσην ἑαυτῷ βοηθεῖν. παῤῥησίαν γὰρ ἄγει πρὸς τὸν πατέρα. σὺ δὲ θήλεια πῶς παρθενεύσῃ ἄρα. Οὐκ ἐς αὔριον.) οὐκ εἰς τὴν αὔριον τοῦ μηνὸς τούτου οὐδὲ εἰς τὴν μετὰ τὴν αὔριον. Γυναῖκ' ἀρίστην.) ἐμὲ δηλονότι ἀρίστην ὡς εἴ τις λέγει ἀστεῖος ὁ ἀνήρ. καὶ ἡ γυνὴ ἀστεία δηλονότι. Οὐ χάζομαι.) οὐκ εὐλαβοῦμαι καὶ οὐκ ἀπέρχομαι. καὶ ὅμηρος. μὴ δ' ἄζεο θοῦρον ἄρηα. ὁ δὲ νοῦς, οὕτω θάρσει, ὅτι ποιήσει πάντα ὁ ἀνὴρ καὶ οὐ γαμήσει ἑτέραν. οὐκ εὐλαβοῦμαι γὰρ ἐγγυῆσθαι αὐτόν. Μὴ κέτ' οὖσι νεκροῖς.) οἱ δὲ μία ἄλλη γυνὴ ἐρήκοι ὦ πόσι. Ἅλις δὲ παίδων.) διατί κἀγὼ ὁ ποτὲ παῖδας ἔχων. ἕως τοῦ παίδων δεῖ στίζειν εἶτα ἀφ' ἑτέρας ἀρχῆς τὰ ἑξῆς. δηλοῖ δὲ ὅτι οὐ προσδέομαι ἑτέρων παίδων. Οἴσω δὲ πένθος.) οὐ μέχρις ὅλου τοῦ ἐνιαυτοῦ πενθήσω σε. ἀλλὰ μέχρι τοῦ αἰῶνός μου. Στυγῶν μέν.) μισῶν τὴν μητέρα. αἰωνίως καὶ αὐτὴν μισῶν. ὡς τὸ πάθος αἰώνιον ἔχω. Σὺ δ' ἀντιδοῦσα.) δοῦσα δ' ἀντὶ τῆς ἐμῆς ψυχῆς τὴν σήν. Παύσω δὲ κώμους. ἀντὶ τοῦ οὐκ ἔτι κωμάζωσοι. Οὐ γάρ ποτ' ἂν βαρβίτου. εἶδος ὀργάνου μουσικοῦ ὁ βάρβιτος. βαρυτέρας ἔχων τὰς χορδάς. καὶ ἐστὶν οἱονεὶ βαρύμιτός τις ὤν. Οὔτ' ἂν φρέν' ἐξαίροιμι.) οὐ πείσει με τὴν ἐμὴν φρένα λακεῖν πρὸς λίβυν αὐλόν. οἱ γὰρ ἀρχαῖοι πρὸς

αὐλὸν ἢ ᾠδήν. Πρὸς λίβυν λακεῖν.) λίβυν τὸν αὐλὸν φησίν. ἐκ γὰρ τῶν ἐν λιβύῃ λωτίνων λεγομένων καλάμων ὁ αὐλὸς γίνεται. ἢ ὅτι ἐν τρίτωνι τῷ ποταμῷ τῆς λιβύης εὑρέθη. Εἰ δ᾽ ὀρφέως μοι.) εἰ δὲ εἶχον τὸ μέλος τοῦ ὀρφέως πρὸς τὸ σὲ λαβεῖν κηλήσαντα τὴν κόρην ἢ τὸν πλούτωνα καὶ τοῦτο ἂν ἐποίησα.

Εἰ δ᾽ ὀρφέως μοι.) ὀρφέως γυνὴ εὐρυδίκη. ἧς ἀποθανούσης ἀπὸ ὄφεος κατελθὼν καὶ τῇ μουσικῇ θέλξας τὸν πλούτωνα καὶ τὴν κόρην αὐτὴν ἀνήγαγεν ἐξ ᾅδου.

Ἐπισκήψω.) ἐν πλοῦμαι γὰρ. ἐν τοῖς αὐτοῖς σοροῖς σὺν σοὶ ἐμὲ θάψαι. Καὶ μὴν ἐγὼ σοί.) τὸ ταύτης πένθος συνοίσω. ἀξία γὰρ αὐτὴ τοῦ πενθεῖσθαι. Ἐπὶ τοῖς δε.) πρὸς τὸ μὴ εἰσαγαγεῖν ἄλλην τινά. Ὅτι ζῆν χρή.) νέαν οὖσαν δηλονότι. Κοὐκ ἔτ᾽ οὖσαν.) οὕτως ἀποθανοῦμαι ὥστε μηκέτι οὖσαν με νόμιζε. Ἑκοῦσα.) οὐχ ἑκοῦσα προλείπω αὐτούς. Ἀπωλόμην.) ὡς αὐτῆς καταπεσούσης τὸ ἀπωλόμην. Τὴν οὐ κλύουσαν.) ταύτην δὴ καλεῖς τὴν οὔτε κλύουσαν οὔτε ὁρῶσαν. Ὑμεῖς.) καὶ ἐγὼ πρὸς τὸν εὔμηλον καὶ τὴν ἀδελφὴν αὐτοῦ. Νέος ἐγώ.) νέος καὶ ἔρημος λείπομαι φίλης μητρὸς ἀπὸ μεταφορᾶς τῶν μονοστελλομένων πλοίων. μονόστολος οὖν ἀντὶ τοῦ ἔρημος.

Σύ τ᾽ ἐμοί) ὅσα ἔλεγε. σωζόμεναι με. σὺν ἀδελφέ. τοσαῦτα ἔχεις ὅσα ἐγώ. Ἀνάγκη πᾶσα δε.) ἀνάγκη γὰρ ἀποθανεῖν ὡς τοῦ ἀδμήτου ὑπό τε τοῦ πάθους τῶν γυναικῶν, καὶ τοῦ θρήνου τῶν παίδων συγχυθέντος πρὸς αὐτόν. Κοὐκ ἄφνω κακὸν τόδε.) οὐκ ἐξαίφνης μοι αὕτη ἡ συμφορὰ ἐπῆλθεν ἀλλὰ προειδότι. Ἀλλ᾽ ἐκφοράν.) ποιήσομαι ἐκφορὰν τοῦ νεκροῦ. Πάρεστε.)

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παραμεῖναί τι· παραμεῖναι ὀφείλει τι· Παιᾶνα·) θρῆ-
νον ἐφ' ᾧ οὐ συνᾴδουσιν ὥσπερ ἐν τοῖς παιᾶσι·
Κουρᾷ ξυρήκει·) κελεύω αὐτοὺς μετέχειν τοῦ πάθους τῷ κεί-
ρασθαι καὶ μελανειμονεῖν· Ἴστω δ' Ἀΐδας·) γινω-
σκέτω δ' ὁ ᾅδης καὶ ὁ χάρων ὃς ἐπὶ τῷ πηδαλίῳ καὶ τῇ
κώπῃ ἤξει ἀρίστην γυναῖκα πορθμεύσας εἰς τὴν ἀχερου-
σίαν λίμνην· Οὐρείαν χέλυν·) τὴν λύραν· ἀπὸ γὰρ
χελώνης ὀρεινῆς ἡ λύρα ἐστίν· εἰσὶ δὲ καὶ ἄνυδροι διὸ
ὀρείαν εἶπεν· τουτέστι λύρας· καὶ παρὰ σοφοκλεῖ ἐν αἴαν-
τι λοκρῷ· καὶ πεζὰ καὶ φορμικτά· καὶ πεζαὶ δέ τινες ἑ-
ταῖραι λέγονται· αἳ χωρὶς ὀργάνου εἰς τὰ συμπόσια φοι-
τῶσι· Περινίσσεται·) περικυκλοῦται· κυκλοειδὴς
γὰρ ὁ χρόνος· καὶ ὅμηρος· περιτελλομένου ἐνιαυτοῦ·
Ἑπτάτονος χέλυς· ἀντὶ τοῦ ἡ ἑπτάχορδος· Ἀωριμέ-
νης·) μετεωριζομένης· πλησιφαοῦς τῆς σελήνης· ἐν παν-
σελήνῳ τῆς ἑορτῆς ἀγομένης· ἄλλως εὐφυῶς τὴν πλη-
σιφαῆ διὰ τὰς ἀγρομένας παννύχους ἐδήλωσεν· ὅτε
γὰρ πανσέληνός ἐστι δι' ὅλης τῆς νυκτὸς φέγγει· Κού-
φα σοι·) εἴησοι ἡ ἐπικειμένη ὁδὸς ἀνώδυνος· τοῦτο γὰρ
ἐν βιότῳ σπάνιον· συμβίῳ σὺν ἐμοὶ οἰκῆσαι με καλοῦ-
σης· ἡ τοιαύτη καὶ μετὰ τὴν κώμητω ἐπεὶ εἰς κώμας ἦσαν
διῃρημένοι· τουτέστιν εἰς φυλάς· Χρεία τίς σε· εἴτε τί-
σι χρεία πέμπει προσβῆναι φεραῖον ἄστυ· πόλιν θεσσα-
λῶν· πράσσω· ὑπηρετῶ· Τέτρωρον ἀντὶ τοῦ τετράωρον·
ὅταν ὦσι τέσσαρες ἵπποι ἐζευγμένοι· καὶ συνωρὶς δὲ
ὅταν ἕτερος ἑτέρῳ συνεζευγμένος· ἢ ἀπὸ τούτου· καὶ σύ-
ναορος ἡ γυνὴ λέγεται ἡ συνηρτημένη, καὶ συνεζευ-
γμένη· κτανεῖν ἄρ' ἥξεις· ἢ κρατήσεις ἢ οὐ κρατήσεις· οὐ γὰρ
χωρὶς αἵματος προβήσεται ὁ ἀγών· τί δ' αἱ κρατή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαις. εἰ συμβῇ σοι κρατῆσαι τοῦ δεσπότου τῶν ἵππων,
τί πλέον πράξεις, καὶ ὠφελήσεις. ὅπου γε οἱ ἵπποι ἀν-
δρόφαγοι εἰσί. Ἀρταμοῦσιν.) μαγειρεύουσιν. ἀρτα-
μὸς γὰρ λέγεται ὁ μάγειρος. χόρτον. βορὰν λεόντων οὐχ
ἵππων λέγεις. τίνος δὲ θρέψας. ὁ θρέψας τοὺς ἵππους,
τίνος ἐστὶ πατρὸς παῖς. Ἄρεως παγχρύσου. ἀπὸ τῶν ὁ-
πλων τοὺς πολίτας φησίν. πέλτη ἀσπίς ἐστιν ἴτυν μὴ
ἔχουσα. σκληρὸς γὰρ ἀεὶ ὁ δαίμων. οὐδέ ποτέ μοι ὁ βίος
δεῖ. ἀλλὰ πρὸς τὸ ἀνάντες καὶ δύσκολον ὁδοιπορεῖ. τὰ
γὰρ ὑψηλὰ δυσχερῆ ἐστιν. Περσέως τ' ἀφ' αἵματος. Περ-
σέως ἠλεκτρύωνος. ἀλκμήνη. ἧς ἡρακλῆς. Θέλοιμ' ἄν.)
θέλω μὲν χαίρειν. ἀλλὰ τὸ συμβὰν οὐ δύναμαι θαχαίρειν
φίλον βουλόμενον με χαίρειν. ἔστι τε κοὐκ ἔστι. ζῇ μὲν
γάρ φησι. τῷ δὲ προσδοκᾶν ἀποθανεῖν οὐκ ἔστι. εἰς τὸ δ'
ἀναβαλλε. ἕως οὗ συμβῇ ὑπὸ σοῦ τὰ δυσχερῆ. τέθνηκ'
ὃ σὺ λέγεις τὸ μήπω γινόμενον οὐκ ὀφείλεις ὡς οὐ λογί-
σασθαι. ἐγὼ δὲ τὸ ἐσόμενον ὡς ὂν λογίζομαι. χωρὶς τό τ'
εἶναι. κεχώρισται φησὶν τὸ εἶναι τοῦ μηκέτι εἶναι. καὶ τοῦ
ζῆν τὸ τεθνάναι. τί κλαίεις. ἐπειδὴ ἀορίστως εἶπεν ὁ ἀδ-
μητος ἐκπλεῖν τινάς. αὕτη δ' ἡμέρα νεκρόν, εἰπὲ τίνα νεκρὸν
ὁ ἡρακλῆς. μήτι ἡ ἄλκηστις ἀπέθανε φησίν. γὰρ ὁ ἄδμη-
τος ὅτι λυποῦμαι καὶ δι' ἄλκηστιν μέλλουσαν τελευτᾶν εἶ-
τα ὁ ἡρακλῆς μὴ πρόσκλαιε τὴν γυναῖκα. τίς δ' ὁ μὲν ἀπο-
θανών. εἶπεν ὁ ἄδμητος φησὶ γυνή τις τέθνηκε. πρὸς ἣν
ἔλεγον θάπτειν τινὰ μέλλω νεκρόν. εἰ εἰσχάζομεν. εἰς οὓς
ἀσιτῶσι δεῖ. Διψίαν.) τὸ ἄνυδρον. ἢ πολυπαθῆ. ἢ γὰρ
δίψα εἶδος ἐστὶ ἐπιθυμίας. Τἄμ' ἄδ' οὐκ ἐπίσταται.) θαυ-
μάζων τοῦ ἀνδρὸς τὸ φιλοξενώτατον λέγει ταῦτα.
Κλυτέων.) τῶν ἀνακεκλιμένων καὶ πλαγίων ὀργῶν. τοί

γάρ. ὦ ἄδμητε διὰ τὸν ἀπόλλωνα ἔχεις ἑστίαν πολυ-
θρέμμονα. θετταλίας δὲ λίμνη πλησίον φερῶν ἡ βοι-
βία λέγεται καὶ μεατωνίς. κνεφαίαν. τὸ ἑξῆς κνεφαῖον
αἰθέρα. καὶ ἄλλως. κνεφαίαν τὴν δύσιν. ὅπου ὁ ἥλιος
κατὰ κνέφας ἵστησι τοὺς ἵππους καὶ καταλύει. Τὴν
αἰγαίαν ἀκτὴν) τὸν πόντιον καὶ ἀλίμενον. Πηλίου κρα-
τύνει.) κρατεῖ δὲ καὶ ἐπὶ τὴν αἰγαίωνα ἀκτὴν τὴν πόντιον
καὶ ἀλίμενον. Νοτερῷ.) διύγρῳ. διὰ τὰ δάκρυα. Αρτι-
θανῆ.) τὸν νεωστὶ ἐν τοῖς θανοῦσι γινόμενον. τὸν νεκρὸν
τῆς φιλίας ἀλόχου τὸν ἀρτιθανῆ. πάντα τῆς σοφίας
ἔργον ἐν τοῖς ἀγαθοῖς ἐστιν. οὔτ' ἦλθες. οὐκ ἐκάλεσά σε
ἐλθεῖν ἐνταῦθα. οὔτε τὴν σὴν παρουσίαν ὡς φίλων ἀρ-
νοῦμαι. Τόν δε. ἑαυτὸν λέγει. Ος εἶ. ὁποῖος εἶ ἔδειξας,
ἐλεγχθείς. ἀργὴν. καλῶς κεῖται τὸ ἀργὴν. γίνεται γὰρ
ἀπὸ τοῦ αἴρειν δηλοῖ δὲ τὸ φοράδην. Καὶ μ' οὐ νομίζω.)
ἐμαυτὸν ἀρνοῦμαι. σὸς παῖς εἶναι. Πάντων. ἀντὶ τοῦ
περὶ πάντας. ὡς τὸ ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων
ἔμμεναι ἄλλων. Κἀπὶ τέρμ' ἥκων. γέρων ὤν. τὸν δ' ἀ-
γῶνα τὸ ἀποθανεῖν ὑπὲρ υἱοῦ. Διάδοχος. οἱ γὰρ διάδο-
χοι μὴ καταλιπόντες λυποῦνται μάλιστα. οὐ μὴν θρέψεις
γε ὡς θανεῖν με προὔδωκας ἀτιμάζοντα τὸ σὸν γῆρας.
τὸ γὰρ ἀτιμάζων. ἀντὶ τοῦ ἀτιμάζοντα. Οὐκ ἔτ' ἂν φθά-
νοις.) ἀντὶ τοῦ οὐ φυτεύσεις. γέρων γὰρ εἶ ὥς τε εἰ ἀπέ-
θανον ἐγὼ, ἄπαις σὺ ἔμελλες εἶναι. καὶ ἄλλως. οὐκ ἂν
ἀναβάλλοιο σπείρων παῖδας. ἀντὶ τοῦ σπεύδων ὀφεί-
λεις ταχέως σπεῖραι. Παῖδας γηροβοσκούς. ἐγὼ γὰρ
οὐκ ἔτ' εἰμὶ ὁ σός. ὅ καὶ ἄμεινον. τέθνηκα γάρ. ἢ δῆτ' οὐ-
πίσ' ὅς τε κατὰ σὲ τέθνηκα. ὦ παῖ. τίνα αὐχεῖς κακῶς
ἐλαύνειν. πότερον λυδὸν ἢ φρύγα ἀργυρώνητον σέθεν.

οὕτως ἄπει· οὐκ ἀπειβαλὼν ἡμῖν τὰς ὕβρεις ἀλλὰ καὶ ἀκούεις· οὐ γὰρ πατρῷον, οὐ παρέληφα νόμον παρὰ τοῦ πατρὸς ὥστε ἀντὶ τῶν παίδων ἀποθνήσκειν. τὸ δὲ ζῆν μικρὸν· πρὸς τὸ εἰρημένον ὑπὸ ἀδμήτου ἀντὶ θεί/σις· βραχὺς δὲ σοὶ πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος· εἰ τὴν παροῦσαν· εἰ ἂς λήψεις γυναῖκας πό/σιν ὑπὲρ σοῦ ἀποθνήσκειν ὡς ἐμοῦ λέγοντος· ὡς ἐμοῦ κακῶς ἐλέγξαντος· διὸ οὐκ ἠθέλησας ὑπ' ἐμοῦ ἀπο/θανεῖν. Σοῦ δ' ἄν· καὶ οὐ συναλοιφὴ σοῦ δ' ἄν· σὺ πρέ/σβυς ἐγὼ νέος· καὶ σὺ μίαν ἔχων ψυχὴν οὐκ ὀφείλεις ὑπὲρ β̄ ζῆν· οὔτοι πρὸς ἡμῶν· οὐ δύνασαι τοῦτο λέγειν ὅτι ὑπὲρ ἡμῶν ἀπέθανεν· κακὸν τὸ λῆμ· α οὐκ ἀποθα/νοῦμαι ὑπὲρ σοῦ· ἵνα σύ με νεκρὸν κομίζων κλαύσῃς θα/νόντι μοι· κἂν κακῶς με εἴπῃς ἀποθανόντα οὐ φροντί/ζω τεθνηκὼς ἀναίσθητος ὤν· εἰ δ' ἀπειπεῖν· ἔδει δὲ καὶ διὰ κηρύκων τὸν σὸν οἶκον ἀποκηρύξαι καὶ τοῦτο ποιήσω· χ' ἡ ξυνοικήσασα σοί· ἡ κἀμὲ τήσου, ἡ μήτηρ ἀδμήτου· ἐγὼ γὰρ οὐκ ἔτι εἰμὶ παῖς ἡμῶν· πολλοὺς μέν· θεράπων ὁ πρὸς ὑπηρεσίαν τῷ ἡρακλεῖ δοθεὶς ἐξεισι ἐφ' ᾧ ὁ ἡρα/κλῆς πένθους προκειμένου· καὶ οὐκ ἠσχύνετο οὕτως ἀναι/δῶς ἐσθίων, καὶ στεφάνῳ τὴν κεφαλὴν ὑπερβῆναι, οὐ σωφρόνως· οὐκ εὐτάκτως ἐκφορὰν μαθών· ᾤετο γὰρ ὁ θεράπων ἐγνωκέναι τὸν θάνατον τῆς ἀλκήστιδος· ὤτρυ/νε φέρειν· οὕτως ἡμῖν ἐκέλευσε φέρειν τὰ ὄψα· τοῦτο δὲ ἀναιδοῦς ξένου· ποτῆρα δὲ ἐν χερσὶν· τὸν ποτῆρα διὸ λέγεται καὶ ποτήριον ὑποκοριστικῶς· ἐξηγήσατο δὲ τί ἐστι κισσύβιον· εἰπὼν ποτῆρα κίσσινον· μελαίνης μητρὸς τῆς ἀμπέλου· ὁ γὰρ μέλας οἶνος ἰσχυρότερος ἐστί· σεμνόν· ἀλαζονείας μεστόν· θυραῖα πήματος· σπουδάζων εἰς ἀλλό

τριον πένθος. ἐνόμιζε γὰρ ἔτι ὅτι ξένη ἦν ἡ ἀποθανοῦσα.
τὰ θνητά. οὐ λόγῳ τὸν ἥρωα εἰσήγαγε φιλοσοφοῦν/
τα ἐν μέθῃ. ὃν ἔδει καὶ ἄλλου φιλοσοφοῦντος δια/
παίζειν. τυχὰς γὰρ πύλας. ἵν' ἢ ἀποβὰς τὰς πύλας.
ἢ δὲ τύχας καταφρονήσας πίτυλος. μεταστήσει σε
τοῦ κλαίειν ἡ συνεχὴς φορὰ τοῦ ποτηρίου. Ὡς γ' ἐμοί,
ὡς ἐμοὶ καταφαίνεται κρίνοντι ἤγουν σκεψαμένῳ ταῦτα. προ
συπακουστέον τὰ τοιαῦτα. οὐ νῦν δὲ πράττομεν τοι/
αῦτα. Δεσπότης ἐψεύσατο, οὐδεὶς τέθνηκεν εἰ μὴ ὁ
σός με δεσπότης ἐψεύσατο. ὀθνείως. εὐπαθεῖν. ὑπὲρ ξέ/
νου νεκροῦ. ἥκας τὸ μέντοι. οὐκ ἦν ξένη. ἀλλὰ πανοικεία,
οὐκ ἐνδέοντι ἦλθες καιρῷ. Σχέτλιε, ἄθλιε ἄδμητε. δα/
κρυρροοῦν τοῦ ἀδμήτου ἰδὼν τὸ ὄμμα δάκρυον. βία δὲ
θυμοῦ. βιασθεὶς δὲ καὶ ἀναγκασθεὶς ὑπ' ἐκείνου. πράττον/
τος οὕτω. ἀτυχοῦντος. ἀλλὰ σοῦ τὸ μὴ φράσαι. ἀλλὰ
τοῦτο ἁμάρτημα τὸ μὴ εἰπεῖν ἀληθὲς ἀντὶ τοῦ θάπτοντος
τοῦ ἀδμήτου τοῦ νῦν. ὀρθὴν βαδίζων τὴν ὁδόν. Μελάμπε
πλον. εἰδωλοποιεῖται μελαίνας πτέρυγας ἔχων ὁ θάνα
τος. Πίνοντα τύμβου. προσδοκῶ αὐτὸν εὑρεῖν πλησίον
τοῦ τύμβου πίνοντα τῶν προσφαγμάτων. Περιβαλὼν. καὶ
περιβαλὼν αὐτῷ κύκλον. μογοῦντα πλευρά. κατὰ πλευ
ρὰν μογοῦντα. ἐὰν δὲ μὴ εὕρω αὐτὸν πλησίον τοῦ τάφου
πίνοντα τὸ αἷμα εἰς τοὺς δόμους τῆς κόρης καὶ τοῦ βασι
λέως πάντων πλούτωνος. Πέλανον, τὴν ῥύσιν τοῦ αἵ/
ματος. τὸν πέλανον δὲ ἀντὶ τῆς οὐσίας φησί. Ἔκρυπτε
δ' ὤν. τὸ πένθος ἔκρυπτε. καὶ οὐκ ἂν εἴποι με ἀγνώμονα
ξένον. Ἰὼ στυγναὶ πρόσοδοι. ἀντὶ τοῦ εἴσοδοι. ἔρχεται ὁ
ἄδμητος ἀπὸ τοῦ τύμβου καὶ οὐ τολμᾷ εἰσιέναι. Ζηλῶ.
μακαρίζω. ὅμηρον. ἐνέχυρον. τοῦ δὲ ζῶ φασὶν ὅμηρον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοῦ γεγονέναι τὴν ἄλκηστιν. ἀντὶ γὰρ αὐτοῦ δέδοται τῷ ἅδῃ. Ἔμνησας. ὅμηρος. τοῦτό με ὑπέμνησας ὅ μου τὰς φρένας ἐλύπησεν. Ὦ φίλος. εὐχῆς σημαντικόν. Ἁμαρτεῖν. ἀποτυχεῖν. ἡ μεταφορὰ ἀπὸ τοῦ ἁμαρτάνειν τοῦ σκοποῦ. Ἔξω ἀτέκνους ἔξω εἶναι καὶ ἀγάμους καὶ ἀτέκνους. Δυσπάλαιστος. δυσκαταγώνιστος σοι ἐγένετο ἡ ἀτυχία. Ἥκει. ἦλθεν. Βαρεῖα μέν. ἀλλὰ μὲν πέπονθας βαρέα ἐστίν. ὅμως φέρετε. τὴν ἄπειρον λέγει. διαβάσαντ' ἔδει εἰπεῖν πρὸς τὸ σημαινόμενον. ὃ οὖν ἀπωτήσαμεν. μονόπους. παντελῶς ἄτεκνος. ἄτεκνος ὤν. ἀλλ' ἰδίως τὸ ἄλις τέταχεν ἐπὶ τοῦ μετρίως ἔφερε τὸ κακόν. μετρίως καίπερ ἄτεκνος ὤν. Βίου τε πρόσω. ἤδη προνενευκὼς ἐπὶ τὰς πολιὰς χαίτας, καὶ πρόσω τοῦ βίου ὤν. ὅ ἐστιν ἤδη προβεβηκὼς τὴν ἡλικίαν. Τὸ μέσον. τὸ διάφορον τῆς νῦν τύχης καὶ τῆς παλαιᾶς. Πολυάχητος. εὐπατρίδαι ὄντες ἀπ' ἀμφοτέρων τῶν γονέων εὐπατρίδαι. παρὰ εὐτυχῆ σοι. παρὰ τὴν εὐτυχῆ σοι πότμον τοῦτο τὸ ἄλγος ἦλθεν. ἀντὶ τοῦ εὐτυχοῦντι σοι τοῦτο συμβέβηκεν. συγεῖ δὲ τοὺς τεκόντας. δι' ὧν ὕβρισεν αὐτοῦ τὸν πατέρα. Ἐγὼ καὶ διὰ μούσας. ὁ ποιητὴς διὰ τοῦ προσώπου τοῦ χοροῦ βούλεται δεῖξαι ὅσον μετεῖχε τῆς παιδεύσεως. καὶ περὶ μετεώρων ἐφρόντισα. οἷον ἠστρολόγησα. καὶ ὁρμὴν ἐπὶ τούτῳ ἔσχον. κρεῖσσον οὐδὲν ἀνάγκας. ἐπικρατέστερον δυνατώτερον. καὶ ὅμηρος. κρείσσων γὰρ βασιλεύς. Ὀρφεία κατέγραψε. πρῶτος ὀρφεὺς μυστήρια θεῶν παραδέδωκεν ὅθεν καὶ θρησκείαν τὸ μυστήριον καλεῖται ἀπὸ τοῦ θρακὸς ὀρφέως. καὶ ἄλλως. καὶ ποιητὴς καὶ μάντις ἦν ὁ ὀρφεύς. φιλόχορος ἐν α΄ περὶ μαντικῆς ἐκτίθησιν αὐτοῦ ποιήματα ἔχοντα οὕτως. οὗτοι ἀθη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στερρὸς εἰμὶ θεοπρόπια. ἅς τινας κατέγραψε σανί-
δας. μεταφορικῶς ἀπὸ τῶν τὰς ῥίζας τεμνόντων,
καὶ εὑρισκόντων. καὶ γὰρ ζεὺς ὅ τι. τοῦτο ἀναγκαστικώ-
τατα πράττει. καὶ ὅμηρος. καὶ γὰρ ζεὺς ὑπόκειται τῷ τῆς
ἀνάγκης ζυγῷ. καθ' ὃ ἐπινεύσει τινί. οὐ γὰρ ἐμὸν παλιν-
άγρετον. οὐδ' ἀπατηλὸν, οὐδ' ἀτελεύτητον, ὅ τι κεν
κεφαλῇ κατανεύσω. καὶ τὴν ἐν χαλύβοις. χάλυβες
ἔθνος τοῦ πόντου. ἔνθα σιδήρου μέταλλα εἰσί. Ἀποτό-
μου λήματος. τοῦ σκληροῦ σου φρονήματος. Καί σ' ἐν ἀ-
φύκτοις. καὶ σὲ οὖν ποτε νῦν ἡ ἀνάγκη ὦ ἄδμητε ἐν ἀ-
φύκτοις δεσμοῖς. Καὶ θεῶν σκότιοι, οἱ λαθραῖοι παῖδες,
ἐξ ἀλαδοχήτων γάμων γενόμενοι. ὅμηρος. σκότιον δὲ
σὲ γείνατο μήτηρ. τούτους καὶ ῥόδιοι μακροξένους κα-
λοῦσιν. κρῆτες δὲ τοὺς ἀνήβους σκοτίους λέγουσι. χῶ-
μα νομιζέσθω τὸ ἐπιχεόμενον τοῖς νεκροῖς. ἀπὸ δὲ τού-
του τὸν τάφον φησὶν ὃς οὐ κληθήσεται τύμβος. ἀλλὰ καὶ
θεοῦ τινὸς ναός. Δοχμίαν κέλευθον ἐκ πλαγίου τοῦ τά-
φου πορευόμενος. Ν' ὀρφὰς δ' οὐχ ὑπό. οὐ χρὴ τὸν φίλον
τοὺς φίλους ἀποκρύπτειν τὰς μέμψεις. Εὐθὺς παρεστὼς,
εὐθὺς παρεστὼς τῇ σῶν κακῶν ἄξιον ἐμαυτὸν ἐνόμιζον
ἀριθμεῖσθαι ὡς φίλον. Πράξας δ' ὃ μὴ τύχοιμι. ἐὰν δὲ
μοι συμβῇ ἀποθανεῖν ὅπερ μὴ γένοιτο δίδωμί σοι
ταύτην δούλην παθὼν ὃ μὴ γένοιτο τυχεῖν. Πολλῷ δὲ
μόχθῳ. σὺν πολλῇ ταλαιπωρίᾳ. ἀγῶνα γὰρ ἀνίπτεται
εἰς τὸν τοῦ θανάτου ἀγῶνα. ὃν νικήσας ἀνήγαγε τὴν ἄλ-
κησιν. Ἐν τυχόντι μοι. Ἐπειδὴ ἔτυχον ἐκεῖ σε τὸ μὲν
κερδαίνειν αὐτὴν εὐκλεῶς ἡγησάμην. τὸ δὲ ἔσται αἰ-
σχρόν. Οὔτοι σ' ἀτιμάζω. οὐ διὰ τοῦτο σε ἔκρυψα τὸ πά-
θος τῆς γυναικὸς ἀτιμάσαι σε βουλόμενος. ἄλις δὲ.

ἀρκεῖ τὸ ἐμὲ κλαίειν τὸ ἐμὸν κακὸν τίς χρεία καὶ σὲ πα-
ρεῖναι· ἐστὶ δὲ δυνατὸν παρακαλῶ σε ταύτην τὴν γυναῖ-
κα ἄλλον κέλευε λαβεῖν θεαταλῶν· ὅς τις οὐ πέπονθεν
οἷα ἐγώ· καὶ πῶς ἀκραιφνὴς καὶ πῶς ἄφθορος ἀνδρῶν
εἴη· ἐν νέοις στρεφομένη· Ἡ τῆς θανούσης· ἀλλ' ὁρᾶς εἰς
τὸν τῆς τεθνηκυίας θάλαμον εἰσφέρει ταύτην· καὶ πῶς
οὐκ ἄτοπον τοῦτο· καὶ τῶν δημοτῶν· καὶ τοῦ δήμου· καὶ
τῆς γυναικός· οὐκοῦν διπλῆ μέμψις· Ἀξία δ' ἐμοί·
παρ' ἐμοῦ τιμᾶσθαι ἡ ἄλκηστις ἀξία ἐστί· Μορφῆς μέτρ' ἴ-
σθι· προσεοικὸς γὰρ ἔχει τὸ αἴνιγμα ἐκείνης τῆς μορφῆς·
θολοῖ δέ· ταράττει· ἀπὸ τοῦ θολοῦ τῆς σηπίας· ἣ μέλλου-
σα ἀγρεύεσθαι τοῦτον προΐεται ὑπὸ τοῦ σκοτίσαι τὸν
ἀγρεύοντα· Σάφ' οἶδα· καλῶς οἶδα ὅτι ἤθελες μοι συν-
εργεῖν· ἀλλ' ἀνέστιμος· ἀλλὰ καθηκόντως φέρε· ἢ παθόν-
τα ὡς νῦν ῥαδίως παραινεῖς· ὅμως· τοῦ θρηνεῖν· καὶ ἐπὶ
μᾶλλον· ὑπεραπόλεσεν τὸν ἑαυτὸν λέγει δεικτικῶς·
χρόνον λέγοις ἄν· ὁ χρόνος με θεραπεύσει· εἰ χρόνον λέ-
γοις τὸν μέχρι θανάτου· μέχρι γὰρ θανάτου λυπηθήσο-
μαι· τῶνδε· δεικτικῶς ἐμοί· ὡς μή ποτ' ἴσθι μὴ καλέσων
νυμφίον· θάνοιμ' ἐκείνην· ἐὰν γαμήσω προδοὺς ἐκεί-
νην καίπερ ἀποθανοῦσαν προδοὺς ἀποθάνοιμι· Καὶ
δρῶν γε· διὰ τὴν ἄλκηστιν αἰνίττεται· νικῶν τι μέν τοι·
μεταλαμβάνεις τῆς νίκης· Καλῶς ἔλεξας· ἐνόμισεν
διὰ τὴν φιλίαν εἰρηκέναι καὶ μετασχεῖν τῆς νίκης· Πρῶτα
δ' εἰ χρεών· εἰ χρὴ ἀπεῖναι με σκόπει· Γοργοῦς ὡς καρατό-
μου· ἧς τὸ κάρα ἀπετμήθη καὶ ἄλλως· καρατόμου· τῆς κα-
ρατομηθείσης· ἀπὸ τοῦ καρατόμος γενναῖον· τοῦ αὐτοῦ λέ-
γει ἢ κέρτομός με· ἄρα φησὶ μὴ χλευάζοιμι ὑπὸ χαρᾶς·
ὅρα μή· ὥστε φαντάσματα ποιεῖν καὶ μὴ ἀληθῆ· ἀπιστεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δ' οὔσι οὐδὲν θαῦμα εἰ ἀπιστεῖς. παρ' ἐλπίδα γὰρ γέγονεν· τοῦ ψυχαγωγοῦ. ψυχαγωγοί τινες γόητες ἐν θετταλίᾳ οὕτω καλούμενοι. οἵ τινες καθαρμοῖς τισὶ καὶ γοητείαις τὰ εἴδωλα ἐπάγουσί τε καὶ ἐξάγουσιν. ὡς καὶ λάκωνας μετεπέμψαντο. ἡνίκα τὸ παυσανίου εἴδωλον ἐξετάραξε τοὺς προσιόντας τῷ ναῷ τῆς χαλκιοίκου ὡς ἱστορεῖ πλούταρχος ἐν ταῖς ὁμηρικαῖς μελέταις. ἢ τῷ τῶν νεκρῶν κυρίῳ. φασὶ γὰρ τοὺς νεκροὺς δαίμονας. ἢ τῷ ταύτης κυρίῳ. Νερτέροις πλούτωνα καὶ περσεφόνην. Τὸν προκείμενον τὸν τῶν ἵππων διομήδους. Νόσιμον δ' ἔλθοις πόδα.) γράφεται καὶ δόμον καὶ ὁδόν.

Τέλος ἀλκήστιδος.

## ΕΥΡΙΠΙΔΟΥ ΑΝΔΡΟΜΑΧΗ.

Σιάτιδος γῆς σχῆμα θηβαία πόλις. Σχῆμα.) κάλλος. εὐπρέπεια. κό-
α σμος. ἀξίωμα. δόξα. Θηβαία πόλις.) τὴν ἐν ἀσίᾳ λέγει ὑποπλάκιον θήβην ἧς ἠετίων ἐβασίλευσεν. Χλιδῇ.) πολυτελείᾳ τῇ ἐν τῇ φερνῇ δώρων. καὶ ἄλλως. χλιδῇ τρυφῇ. προικὸς κόσμῳ. ἔστι δὲ παρὰ τὴν χύσιν. οἱονεὶ χύδην πληθύνοντα. Ἑστίαν.) οἰκίαν. Δάμαρ.) νομίμη. γνησία παιδοτρόφος. οἱ γὰρ σκότιοι παῖδες

ἐκρίπτονται. Ζηλωτὸς.) ἐπίφθονος. εὐδαίμων. μακαρία. τὸ δὲ πρὶν συναπτέον τῷ χρόνῳ. ἵν᾽ ᾖ ἐν τῷ προτέρῳ χρόνῳ. Νῦν δ᾽ εἴ τις ἄλλη.) ἀντὶ τοῦ ὡς οὐδεμία ἄλλη δυστυχὴς γυνή. ἢ καὶ οὕτως. ἐγὼ δὲ οὐχ ὑπολαμβάνω εἰ ἄρα τὶς γυνὴ ἀθλιωτέρα μου ἐστίν.

Ἀπ᾽ ὀρθίων.) ἀπὸ τῶν ὑψηλῶν καὶ τετμημένων πύργων. τουτέστι τειχῶν. Αὐτὴ δὲ.) ἐγὼ δὲ αὐτὴ εὐγενεστάτων γονέων οὖσα δούλη ἑλλάδος εἰσαφικόμην. ἢ εὐγενεστάτους οἴκους φησὶ τῶν αἰακιδῶν. Τῷ νησιώτῃ.) ὅτι ἐν σκύρῳ ἐτέχθη. ἥ ἐστι νῆσος περὶ τὴν θεσσαλίαν. ὅμηρος. ἠὲ τὸν, ὃς σκύρῳ μοι ἐντρέφεται φίλος υἱός. Συγχόρτοις ναίω πεδία.) τὰ ὅμορα. ἐν χόρτοις διέγραφον τὰς πόλεις οἱ ἄρχοντες. ἀλέξανδρος δὲ ἢ ὁρίοις. ἢ ἀλούροις. μεταξὺ δὲ τούτων τῶν πόλεων ἐστὶ τὸ θετίδειον. Ἐντίκτω κόρον.) ἕνα παῖδα. ἰδίως δὲ ἕνα φησὶ παῖδα γενέσθαι τῷ νεοπτολέμῳ. ἄλλων τριῶν λεγόντων πύρρον μολοσσὸν. αἰακίδην. Πλαθεῖσα.) ἀντὶ τοῦ συμπελασθεῖσα. ὅθεν καὶ ἡ πλάξ. Ἐν κακοῖσι κειμένην.) διὰ τὰ πάτρια κακά. Ἐπεὶ δὲ.) ἀφ᾽ οὗ δέ. Παρώσας.) ἀποστίμενος. ἀπωθήσας. ὑβρίσας. ἐκβαλών. δοῦλον δὲ τὸ δουλικόν. Πρός.) αὐτῆς τῆς δεσποίνης διώκομαι. Κεκρυμμένοις.) κρυφίοις. Ἐκλέλοιπα.) κατελείφθην. Συνδρᾷ.) συμπράττει. συνέρχεται. Πάροικον.) τὸ πλησιάζον τοῖς οἴκοις.

Θάσσω.) κάθημαι. Ἤν με κωλύσῃ.) εἴ πως με τοῦ κινδύνου ἐξέληται. Ἑρμήνευμα.) ὑπόμνησιν. ἄγγελον. σημεῖον. μνημόσυνον. τεκμήριον. ἄλλως. τὸ ἐν τῷ θετιδείῳ ξόανον, φησίν. ἰδίως τῆς θέτιδος λέγεται αὐτό. ἐπεὶ ἑρμηνεύει καὶ εἰς ὑπόμνησιν ἄγει τοὺς γάμους τῆς:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θέτιδος. Δίκην μανίας.) δίκην. κόλασιν. τιμωρίαν δὲ λέγει τὴν ἀπολογίαν. ἣν τιμωρίαν ἀπῄτησε τὸν Ἀπόλλωνα. ὅτι αὐθάδης ἀπῄτησε τὸν θεὸν ἀπολογίαν, δίδωσι τῆς τόλμης ἣν ἐτόλμησε δίκας ὑπὲρ Ἀχιλλέως ἠτήσατο τὸν υἱόν. ὅπως ἐν Πυθοῖ τιμωρίαν δίδωσι.

Ἠξίουν.) ἄξιον ἐνόμιζον δέσποιναί σε καλεῖν. Εἴ τις.) μή τις αἰσθήσεται δεσποτῶν. Τῇ πρόσθ' ἀνάσσῃ.) τῇ πρότερον δεσποίνῃ δεικτικῶς. ἑαυτὴν γὰρ λέγει.

Ὑπεξέθου.) ἐγκλείσασα παρεξέθου. Ἐκθετόν.) ἐκτεθέντα κρυπτόν. Πόθεν.) τὸ πόθεν πέπυσαι. οὐκ οἶδα.

Φροῦδος.) ἀφανής. ἔκδημος ἐκ τῶν οἴκων. Οὐδ' ἀμφὶ Πηλέως.) οὐ γὰρ περὶ τοῦ Πηλέως κεκίνηται ὅτι ἄρα ἥξοι. οὐδὲ περὶ τοῦ Πηλέως ἀκήκοας ὡς εὐχομένου.

Νωθής.) βραδύς. οἷον τὸ γῆρας αὐτῷ ἐμποδίζει. ὥστε ταχέως ἐλθεῖν, καὶ βοηθῆσαί σοι. καὶ ἄλλως. βραδύς φησιν ἐκεῖνος ἐστίν. ἅτε ὑπὸ τοῦ γήρως ἐμποδιζόμενος. ὥστε ἐλθεῖν καὶ βοηθῆσαί σοι. Καὶ μήν.) ἀλλ' ἔπεμψα πολλάκις φησὶ καὶ ἑτέρους, ἵνα χειραγωγούμενος ἔλθῃ.

Ἀπαυδᾷς ἐν κακοῖς.) λείπει τὸ οὖσιν. ἀπαγορεύεις βοηθεῖν τοῖς φίλοις οὖσι. Κοὐ περίβλεπτος.) οὐκ ἐπίσημος. οὐκ ἔνδοξος. Ἐκτενοῦμεν.) ἐκπέμπομεν. διαλεγόμεθα δηλονότι. Τῶν παρεστώτων γενικὴ ἀντὶ αἰτιατικῆς. ἀντὶ τοῦ τὰ παρεστῶτα κακά. δύναται δὲ τὸ τέρψις πληθυντικὴ εἶναι αἰτιατικὴ ἰωνικῶς. ἵν' ᾖ οὕτως. ἔμφυτον γὰρ ταῖς γυναιξὶν ἀπὸ στόματος ἔχειν τὰς τέρψεις τῶν παρεστώτων κακῶν. Στερρόν τε.) χαλεπόν. σκληρόν. στερρόν. δαίμονα δὲ τὴν τύχην. ᾧ δαίμονι συνεζεύχθην. Δούλειον ἦμαρ.) ἐς δούλειον ἦμαρ εἰσπεσούσης ἀναξίως. τελευταίαν ἡμέραν δηλονότι.

Ἰλίῳ αἰπεινᾷ.) τὸ μέτρον ἐξ ἐλεγείων. τοῖς γὰρ ἐλεγείοις οὐ μόνον τῶν θρήνων, ἀλλὰ καὶ τῶν ἄλλων ἐχρῶντο.

Εὐναίαν.) σύγκοιτον. Χιλιόναυς.) τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. ἦσαν γὰρ αἱ νῆες χίλιαι ρϛ.

Εἵλκυσεν.) ἀπὸ κοινοῦ τὸ εἷλεν. καὶ ἔστι τὸ μὲν ἀντὶ τοῦ ἐπόρθησε. τὸ δὲ δεύτερον ἀνεῖλε καὶ εἵλκυσε διφρεύων. πρὸς τῷ δίφρῳ δεσμήσας. καὶ ἄλλως. παρ᾽ ἱστορίαν. περὶ τὸ τεῖχος ἐδιώχθη ὑπὸ Ἀχιλλέως ὁ Ἕκτωρ. νεκρὸς γὰρ παρὰ τὸ Πατρόκλου σῶμα τρίτον ἐσύρη.

Ἀμφιβαλοῦσα.) περιβαλοῦσα ἑαυτῇ τὴν δουλείαν στολισαμένη. Τάκομαι.) ἀντὶ τοῦ κατ᾽ ὀλίγον λείβομαι. ὡς ἐκ πέτρας ἐκπηδῶσα σταγών. ὡς λιβὰς πηγὴν ὀργαζομένη. τὸ δὲ ἑξῆς λείβομαι ὡς λιβὰς τις πιδακόεσσα. τὴν πετρίνην εἶπε, διὰ τὸ ἐκ πετρῶν ἀναβλύζειν. Φθιὰς ὅμως.) καίπερ Φθιὰς οὖσα φησὶν Ἑλληνὶς ἔμολον πρὸς σὲ βάρβαρον οὖσαν τὸ γένος.

Ἄκος.) θεραπείαν καὶ ἴαμα. Τεμεῖν.) ἀπὸ τῶν ῥιζοτομούντων ἡ μεταφορά. τεμεῖν οὖν ἀντὶ τοῦ εὑρέσθαι τῶν δυσκόλων. Οἵ σε.) καὶ Ἑρμιόνην. οἵτινες πόνοι περὶ δύο λέκτρων ἔριδι συνέζευξαν Ἑρμιόνην καὶ σὲ τὴν ἐπίκοινον ἐοῦσαν, περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως. ἐπίκοινον οὖσαν τῶν περὶ τοῦ Ἀχιλλέως παιδὸς λέκτρων διδύμων. ὅ ἐστιν ὑπὸ Ἀχιλλέως παιδὸς λέκτρων κοινωνόν σε οὖσαν. Συνεκλῄσαν.) συνέβαλον. συνέζευξαν. οἱ πόνοι περὶ δύο λέκτρων.

Δεξίμηλον.) τὸ τῶν θυσιῶν δεκτικόν.

Ἀμιλλᾷ.) συγκρίνεις. ὅτι σὺ μὲν Τρῳάς, αὐτὴ δὲ Λακεδαιμονία. Τίς σοι καιρός.) τί ὠφελεῖ ἐκτήκουσα αὐτὴν δακρύοις καὶ λύπαις, καὶ ἐπαναγκάζουσα τὸν

δεσπότην ἀδικεῖν σε. καὶ ἄλλως. τίς σοι ὠφέλεια ἀτυχου/μένῃ, καὶ λυπουμένῃ περὶ τὴν ἄτην ἀπρεπῶς καὶ ὑπερπό/νως. Τί μόχθον.) δούλη οὖσα τί κάμνεις οὐδὲν ποιοῦσα. δούλη γὰρ εἶ. Οἰκτροτάτα.) οἰκτροτάτη οὖσα ἦλθον εἰς τοὺς ἐμοὺς δόμους. Ἡσυχίαν ἄγομεν. τὸ ἑξῆς. ἡσυχίαν ἄγομεν. μὴ παῖς τῆς διὸς κόρης. ἀντὶ τοῦ δεδοικυῖα μὴ τὴν εἰς σὲ μου εὔνοιαν αἴσθηται ἡ ἑρμιόνη ἔνδοθεν αἰτιῶμαι περὶ σοῦ. Εὖ φρονοῦσαν.) εὐνοοῦσαν. Χρυσέας χλιδῆς.) πολυτελοῦς τρυφῆς.) Στολμόν.) στολισμόν. Δορίκτητος.) οὐ γὰρ οἰκογενὴς δούλη. ἀλλὰ καὶ αἰχμάλωτος. Ἀκύμων.) ἄτοκος. ἡ μὴ ὑποδεχομένη σπόρον. Δεινὴ γὰρ ἡ ἠπειρῶτις.) εἰς φαρμακείαν γὰρ δεινή. ἡ φύσις τῶν τῆς ἑτέρας ἠπείρου γυναικῶν. λέγει δὲ τῆς ἀσίας. Ἢν δ' οὖν βροτῶν.) εἰ δέ τις θεῶν ἢ ἀνθρώπων σῶσαι θελήσει, ποιήσω σε καταπτῆξαι καὶ ὑποτάξαι σαυτὴν ἐμοί. Προσπεσεῖν.) δουλεῦσαι. ὑποπεσεῖν ταπεινωθεῖσαν καὶ φοβηθεῖσαν με. Παιδὶ πατρός.) τῷ νεοπτολέμῳ τῷ τοῦ ἀχιλλέως παιδί. Αὐθέντου.) τουτέστι φονέως. τοῦ δι' αὐτοῦ ἱέντος τὸ ξίφος. Ἃ μὴ παρ' ἡμᾶς.) ταῦτα περσικὰ ἔθη. ἐν ἡμῖν δὲ μὴ πράττει τὰ βαρβάρων τὰ ἔργα. οὓς οὐδεὶς νόμος κωλύει αὐτοὺς δηλονότι πράττειν ταῦτα. Κακόν γε θνητοῖς τὸ νέον.) διὰ τὴν προπέτειαν, κακὸν τὸ νέον. ἡ νεότης ἀτύφηλος ἀεὶ θνητοῖσι τέτυκται. ἡ δὲ δίκην βλάπτει, πολλὴ χειροτέρη. Οἱ γὰρ πνέοντες μεγάλα.) οἱ γὰρ μεγαλοφρονοῦντες βαρέως φέρουσιν ὑπὸ τῶν παρὰ τῶν ἐλαττόνων δικαιοπρεπεῖς λόγους ἀκούειν καὶ ἐλέγχεσθαι. Ἀσφαλεῖ λογισμῷ.) ἀξιοπίστως ἔχοντι ἐν ἑαυτῷ πίστιν. ὁ δὲ νοῦς τινὶ βεβαίῳ λογισμῷ πεισθεῖσα ἐγὼ ἀπωθῶ σε τοῦ γνησίου γάμου. βελτίω οὖσα, πῶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σε ἐξωθῆσαι δύναμαι. Τύχη θ' ὑπερθεῖ.) τῇ εὐδαι-
μονίᾳ ὑπερβάλλει ἡ Φρυγῶν πόλις τῆς Λακαίνης. ᾧ πά-
λιν ὑπακουστέον τὸ οὐδέπω. ἀκολούθως δὲ ἐπάγει.
Κἄμ' ἐλευθέραν.) ὁρᾷς; καί φησιν οἱ ἐμοὶ βασιλεύουσιν
οἱ ἐμοὶ παῖδες. Σφριγῶντι.) νεάζοντι. ἀκμάζοντι.
Φιλοῦσι γάρ μ' ἐλαύνειν.) καὶ διὰ τὸν ἕκτορα καὶ δι' ἐμαυτήν.
ἕκτορα μὲν, ὡς εὐεργέτην τιμῶντες. ἐμὲ δὲ, ὡς μὴ βάρ-
βαρον καὶ μὴ πολεμίαν περιφανῆ αὐτὴν γινομένην ἐ-
λεοῦντες. Ἀμαυρά.) ἀφανὴς ἄσημος. ἐν εἰρωνείᾳ
ταῦτά φησι. Πότερον.) πρὸς τί χρήσιμον ἀφορῶσα
βούλομαί σ' ἐκβάλλειν ἵνα τίκτω παῖδας, καὶ τί με ὠφε-
λήσουσιν, δοῦλοι γὰρ καὶ αὐτοὶ ἔσονται. Ἐφολκίδα.)
προσθήκην. κακὸν βάρος. ἐκ μεταφορᾶς τοῦ πλοίου μι-
κροῦ τοῦ ἐφελκομένου τῷ πλοίῳ τῷ μεγάλῳ. Ἢ τοὺς
ἐμούς.) ἢ ἄρα τυράννους ὄντας τοὺς ἐμοὺς παῖδας κα-
ταδέξεταί τις. Ἀλλ' εἰ ξυνεῖναι.) ἀλλ' ἐπειδὴ μὴ ἁρ-
μοδία τυγχάνεις εἰς τὸ συνοικεῖν ἀνδρὶ, διὰ τοῦτο σε
μισεῖ. Φίλτρον δὲ καὶ τόδε.) τὸ εἰδέναι καὶ πῶς δεῖ
συνοικεῖν ἀνδρὶ καὶ ζῆν, εἰς στοργὴν καὶ εὔνοιαν αὐτὸν
ἐπάγοιτο. οὐ γὰρ τὸ κάλλος αἴτιον τοῦ φιλεῖσθαι. ἀλλ' αἱ
ἀρεταί. ἀρετὴ δὲ γυναικὸς ἡ πρὸς τὸν ἄνδρα ὁμόνοια.
Σὺ δ' ἄντι κνισθῇς.) σὺ δ' ἄντι λυπηθῇς. ἀπὸ πατρίδος,
καὶ πλούτου, καὶ τύχης ὑβρίζεις τὸν ἄνδρα σου. καὶ τὴν
μὲν σαυτῆς πατρίδα τὴν λακεδαίμονα προσφέρεις ὡς
εὐτύχημα μέγα. τὸ σκῦρον δ' ἐκφαυλίζεις. Πάσαις
γυναιξί.) καὶ πῶς φησὶν οὐκ ἔμελλε δόξαν λαγνείας
ταῖς γυναιξὶ τιθέναι. τὸ δὲ προστεθεῖσα εἶπεν, ὅτι πρὸς
τὸ δόξαν ἔχειν αὐτὰς λαγνείας; ἔτι καὶ συνεβεβαίω-
σαν ἔργῳ τὴν δόξαν. Ὦ φίλταθ' ἕκτορ.) τοῦτο παρ'
ἱστορίαν φασὶν εἰρῆσθαι. μὴ γὰρ ἱστορεῖσθαι ἕκτορι ἐξ ἀλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λης γυναικὸς κεκυῆσθαι υἱούς. ἀπερίσκεπτοι δέ εἰσιν οἱ
ταῦτα λέγοντες. ἀναξικράτης γὰρ ἐν τῇ β΄ τῶν ἀργολι-
κῶν οὕτως λέγει. ὁ δὲ ἀμφινέα καὶ σκαμάνδριον τὸν
ἕκτορος υἱὸν καὶ παλαίτερον. ἦσαν δὲ αὐτῷ. οὗτος μὲν
νόθος. ὃς κατελήφθη ἐν ἰλίῳ καὶ ἀπόλλυται. οὗτοι δὲ
διασώζονται. σκαμάνδριος δὲ ἀφίκετο εἰς τανα̇ίδα.
Σοὶ καὶ ξυνήρων.) συνεφερόμην σοι εἰς ἔρωτα τῇ περὶ
τοὺς ἄνδρας σπουδῇ. Μὴ τὴν τεκοῦσαν τῇ φι-
λανδρίᾳ γύναι.) λέγει δὲ θησέα καὶ μενέλαον. ἀλέ-
ξανδρον καὶ δηίφοβον. καὶ μετὰ θάνατον ἡ ἐν ὀνείρῳ
ἀχιλλεύς. ὡς καὶ λυκόφρων. τῆς πεντάλεκτρου θυάδος
πλευρωνίας. ἢ κατ' εἰρωνείαν λέγεται, ἀντὶ τοῦ μισαν-
δρία. κἀκείνη γὰρ δοκοῦσα φιλεῖν τὸν μενέλαον, ὕστερον
αὐτὴν καταλέλοιπεν. ὅρα οὖν καὶ σὺ μὴ νῦν δοκοῦσα
διὰ ταῦτα φίλτρῳ ζηλοτυπεῖν τὸν ἄνδρα, ἐξαίφνης αὐ-
τὸν καταλίπῃς. Ἅμιλλαν οὐκ ἔχειν.) μὴ ἁμιλλᾶ-
σθαι καὶ στασιάζειν πρὸς τὸν ἄνδρα. οἷον μὴ ἐθέλειν τὸ
ὑγιεστέραν εἶναι τοῦ ἀνδρός, φρονοῦν μέγα. καὶ διὰ τοῦ
το παρατετάχθαι τῷ ἀνδρὶ πρὸς ἅμιλλαν. Πλουτεῖς
δ' ἐν οὐ πλουτοῦσι.) πλουτεῖν λέγεις, ἐν τῷ πλοῦτον μὴ
ἔχειν. ἐπειδὴ ἔλεξεν ἄνω περὶ τὸν κόσμον καὶ τὰ ἔθη τὰ
μὴ ἐκ τοῦ πλέως ἔχειν, ἀλλὰ παρὰ τοῦ πατρός. τοῦτο οὖν
ὀνειδίζεις εἰς πενίαν τοῦ ἀνδρός. Δίδωσι πολλαῖς.) ὅ-
που πολλαῖς γυναιξὶν εἷς ἀνὴρ κατὰ διαδοχὴν τὸ λέχος
αὐτοῦ. Καί τοι χεῖρον ἀνθρώπων νόσον.) καί τοι φη-
σὶν ἡμεῖς αἱ γυναῖκες καταφερέστεραι οὖσαι πρὸς τὰ ἀ-
φροδίσια τῶν ἀνδρῶν, ὅμως καλῶς περιστέλλομεν αὐτά.
καὶ οὐ φαναραὶ γινόμεθα. ἢ ὅτι ἰσχυροτέραν νόσον νοσοῦ-
μεν τὴν πρὸς τοὺς ἄνδρας. ἀλλὰ προϊστάμεθα αὐτῆς
καρτεροῦσαι. καὶ ὑπομένουσαι. Βούλεται δὲ λέγειν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι οὐκ ὀφείλει γυνὴ ἀνδρὶ ἑτέρᾳ γυναικὶ συνομιλοῦντι οὕτω φανερῶς ἀγανακτεῖν. καὶ εἰς μέσον φέρειν αὐτῆς τὸ πάθος. ἀλλὰ μᾶλλον ἰδίᾳ τῷ ἀνδρὶ ἐπιτιμᾶν. πειθοῖ τε καὶ κολακείᾳ ἀφιστᾶν αὐτὸν τῆς πρὸς τὰς ἄλλας πτώσεως. οὕτω γὰρ πείσει τὸν ἄνδρα. Ὅτον σοι ῥᾳδίως.) ὅσον σοι εὐκόλως καὶ δυνατῶς φαίνεται. καὶ παρίσταται ἴσον ἐπέρχεται. Τί σεμνομυθεῖς.) τί πιθανολογεῖς. μεγαλορρημονεῖς. ἀντὶ τοῦ σεμνὴν καὶ ἀξίαν ἐντροπῆς. καὶ ἀξιωματικὴν θέλεις ἑαυτὴν δεικνύναι. Κεἰς ἀγῶνα.) καὶ εἰς φιλονεικίαν ἔρχῃ ὡς δὴ σώφρων ὑπάρχεις ἐν οἷς λέγεις. Αἰσχρῶν τοι.) λαγνείαν γὰρ αἰσχρὴν ὑπὸ κεκαλυμμένοις λόγοις. Δρᾷς δέ μ᾽.) δι᾽ ὧν ἔχεις τὸν ἐμὸν ἄνδρα. Οὐκ ἂν σιωπῇ.) οὐ καθέξεις καθ᾽ ἑαυτὴν τὴν κατ᾽ ἐμὲ ζηλοτυπίαν. καὶ σιωπῇ κρύψεις τὸ πάθος; καὶ ἄλλως. εἰ καὶ ἀλγεῖς τὴν ψυχὴν τοῦ τῆς σῆς συνουσίας, σιωπᾶν ὀφείλεις. ἵνα μὴ δόξῃς διὰ λαγνείαν χαλεπαίνουσα. ἑλληνικὸν γὰρ τὸ παντὶ τρόπῳ ἀπείργειν τὸν ἄνδρα τῆς πρὸς ἑτέρας κοινωνίας. Καλῶς γε χρωμέναισι.) οἷον μετὰ σεμνότητος καὶ ἐπιεικείας ὡς πρέπει γυναιξίν. οὐ μετὰ τοσαύτης ἀναισχυντίας ὡς σύ. Μισοῦμαι γε πατρίδα σήν. ναὶ φησίν ὁρῶ τὸ ἄγαλμα οὐκ εἰς ἐμὲ βλέπον ὡς σὺ φῄς. ἀλλὰ πολὺ μῖσος ἐμφαῖνον κατὰ τῆς σῆς πατρίδος. ὅτι ἐκεῖ ἀνῃρέθη ὁ Ἀχιλλεύς. Ἦ καὶ πρόσω.) ἀντὶ τοῦ περαιτέρω μοι θέλεις ὀνειδίσειν. Κἀπολάζυμαι. λαμβάνομαι τὸ στόμα. κλείω. κατέχω. Οὕνεκ᾽ ἐστάλην.) οὗτινος χάριν παρεγενόμην. Λείψεις τὸ δ᾽ ἁγνόν.) ἐγκαταλείψω τὸ τέμενος τοῦ θεοῦ εἰ μὴ θανοῦμαι εἰ μή ποτε ἀποθάνω. καὶ τὸ λείψανον ληφθῇ ἐν τού-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεν. ἐπεὶ οὐ θέμις ἐν ἱερῷ νεκρὸν σῶμα. Εἰ δὲ μὴ ἀ-
ποθάνω.) ἀλλ᾽ ἐν ζῶσι τυγχάνω οὐκ ἄν ποτε τοῦτο λεί-
ψω. Πῦρ σοι προσοίσω.) ἔθος ἦν τοῖς εἰς βωμὸν κα-
ταφεύγουσι πῦρ προσφέρειν. Κοὐ τὸ σόν.) καὶ οὐ τὸ
σὸν συμφέρον προνοήσω. Μέτεισι.) μετέρχεται. με-
ταξελεύσεται. Δέλεαρ.) ἄγρευμα. ἀπὸ μεταφορᾶς
τῶν ἰχθύων. Ἐδραία.) ἰσχυρῶς καθιδρυμένη. τοῖς γὰρ
ἀνδριᾶσι μόλιβδος παραχέεται πρὸς ἀσφάλειαν.
Δεινῶν δ᾽ ἑρπετῶν.) δεινόν ἐστι τῶν θεῶν τινὰ τῶν μὲν ἀγρίων
θηρίων θεραπείας καταστῆσαι τοῖς ἀνθρώποις. τῆς δὲ
γυναικὸς τῆς δεινῆς μὴ εὑρεῖν θεραπείαν. καὶ ἄλλως. δυ-
νατόν ἐστι τῶν θεῶν τινὰ τῶν μὲν ἀγρίων θηρίων θεραπείαν
καταστῆσαι. τῆς δὲ δεινοτέρας γυναικὸς, οὐδεὶς εὑρήσει
θεραπείαν. Γυναικός.) ἀντὶ τοῦ γυναικῶν πληθυν-
τικῶς. ὁ δὲ νοῦς. τῶν δὲ γυναικῶν οὐδεὶς φάρμακον ἐξεύρη-
κέ πω. Σταθμοὺς ἐπὶ βούτα.) ἐπὶ τὰς ἐπαύλεις τοῦ
βουκόλου Πάριδος. καὶ πρὸς αὐτὸν τὸν μονότροπον νεα-
νίαν βουκόλον. καὶ πρὸς τὴν αὐλὴν τὴν οἰκουμένην μὲν
ἔρημον δὲ γυναικὸς καὶ παίδων. ἤτοι ἐρημίᾳ οὖσαν.
Βοτῆρα.) βουκόλοι κοινῶς οἱ νομεῖς. ἀπὸ τοῦ ἐπιφανεστέ-
ρου ζώου. Ἑστιοῦχον.) ἑστίαν ἔχουσαν. ἐνοικουμένην.
διαφέρει δὲ σταθμὸς καὶ αὐλή. ὁ μὲν γὰρ σταθμὸς θρεμμά-
των. ἡ δὲ αὐλὴ ἀνθρώπων οἰκητήριον. Ἔβαν δέ.) ἦλθον
δὲ πρὸς τὸν υἱὸν τοῦ Πριάμου Ἀλέξανδρον ἐπαγγελίας
λόγῳ αὐτὴν βλαπτόντων καὶ τὴν πόλιν. αὗται ἀπατῶσαι
καὶ ἐφελκόμεναι. Παραβαλλόμεναι.) περιβάλλου-
σαι τὰ κάλλη ἀλλήλων καὶ συγκρίνουσαι ἐμφιλονείκως.
Ἄλλως. Ἐριβίζουσαι. ὁ ποιητὴς περιβλήδην ἀγορεύων.
τινὲς δὲ παραλογιζόμεναι ταῖς ἐπαγγελίαις. καὶ ἀφαι

ρουμέναι αὐτὸν τοῦ φρονεῖν. Πικρὰν δὲ) βίου συγ-
χυσιν τῇ τροίᾳ κατασκευάζουσαν. Ἀλλ' εἰ ὑπὲρ κε-
φαλᾶς) ἀλλ' εἰ ὑπὲρ κεφαλῆς τοῦ πάριδος ἔβαλε θάνα-
τον ἢ τίκτουσα τὸν πάριν. Ἄλλως. ἀντὶ τοῦ ἀνεῖλεν. κατ'
ὄναρ γὰρ θεασαμένη ἡ ἑκάβη ὅτι λαμπάδα ἐγέννησεν,
ἅμα τῷ τεκεῖν τὸν ἀλέξανδρον, ἐδυσφόρει καὶ ἤρετο
τοὺς μάντεις. οἱ δὲ ἔφασκον χρῆναι τὸ τεχθὲν φονεῦσαι.
ἡ δὲ ἐξέθηκεν αὐτὸ μὴ τολμῶσα φονεῦσαι. καὶ τοῦτον λα-
βὼν ποιμὴν, ἐν τῇ πήρᾳ τέθεικεν, ὅπως διατρέφοι. διὸ
καὶ πάρις ὠνομάσθη ὁ ἐν τῇ πήρᾳ τραφείς. Ὁπηνίκα πα-
ρὰ θεσπεσίῳ) κατῴκουσα δάφνην. τοῦ γὰρ θεοῦ σὺν αὐ-
τῇ βουληθέντος συγκοιμηθῆναι, ἔφη μὴ πρότερον ἑαυτὴν
ἐκδώσειν εἰς κοινωνίαν εἰ μὴ λάβοι παρ' αὐτοῦ τὴν μαντι-
κήν. τοῦ θεοῦ δὲ χαρισαμένου ἠρνήσατο τὴν κοινωνίαν.
διὸ καὶ ἀγανακτήσας ὁ ἀπόλλων τὴν μαντικὴν ἅπαξ
χαρισάμενος, οὐκέτι ἀφείλετο. ἀπιστεῖσθαι δὲ αὐτὴν πε-
ποίηκεν. ὅθεν καὶ περὶ τοῦ πάριδος προειποῦσα ἠπιστήθη. Ἔδρασε)
οἰκήσας τοῦ νεοπτολέμου. Παρέλυσεν) ἔπαυσεν.
παρήλλαξεν τοὺς μόχθους. περὶ οὓς ἐπλανῶντο κατὰ τὴν
τροίαν δέκα ἔτη. Ἥκω λαβὼν) τὸν μολοσσὸν ἄγων
ταῦτα λέγει. Βρέτας) ἄγαλμα. ξόανον. Ὦ δόξα
δόξα) ὦ φήμη. ὦ ὑπόνοια. ὦ δόκησις. δόξαν γὰρ νῦν
τὴν ὑπόνοιαν φησί. παρ' ὅσον ἡ ὑπόνοια πολλοῖς τῶν ἀνθρώ-
πων ὄγκον ἐντίθησι. καὶ μεῖζον ἢ ἐστὶν ὑπολαμβάνειν
παρασκευάζει περὶ αὐτῶν οὐ πολλῶν ὑπαρχόντων. Εὐ-
κλεεῖς δ' οἷς) καλὴ ἡ δόξα μετὰ ἀληθείας. τοὺς μὲν οὖν
κλεεῖς. μακαρίζω. τοὺς δὲ ψευδῆ ἔχοντας ὑπόνοιαν οὐκ
ἀξιῶ εὐδαίμονας καλεῖσθαι. τῆς τύχης τοῦτο χαρισα-
μένης. ἡ μὲν γὰρ ἀληθὴς εὐδοξία, καὶ ἐκ πόνου καὶ ἀρετῆς

παραγίνεται· ἡ δὲ ψευδὴς, ἀπὸ τύχης. Εὐδαιμονίζω.) μακαρίζω· ἀντὶ τοῦ ἀξίους κρίνω μακαρίζεσθαι καὶ θαυμάζεσθαι. Τροίαν ἀφείλου.) σχῆμα ἀττικόν. Ὅστις θυγατρός.) μὴ προκοψάσης τῆς ἡλικίας. καταισχύνει δὲ αὐτὴν ὅτι ὑπὸ τηλικαύτης ὑπὸ βρέφους ἀδίκως προΐσαται. Τοσόνδ᾽ ἐπνεύσας.) τοσοῦτον ἐπήρθης· ἐθρασύνθης· ἐθυμώθης. Οὔτ᾽ οὖν σέ.) οὔτε σοῦ τὴν τροίαν ἀξίαν νομίζω, οὔτε σὲ τῆς τροίας. καὶ ἄλλως· οὔτε ἡ τροία ἀπὸ σοῦ τοσούτου ὄντος ἀξίως ἑάλω· οὔτε σὺ αὐτὴν ἀξίως ἀνεῖλες· τῇ τε γὰρ τροίᾳ ἄδοξον, ὅτι ὑπὸ σοῦ ἀπώλετο· σύ τε οὐκ ἄξιος εἶ τὴν τροίαν ἀπωλέσαι. ὡς εἴτις ἐκ τοῦ ἐναντίου λέγει, τῷ ἀχιλλεῖ ἔνδοξον ἦν τὸν ἕκτορα ἀποκτεῖναι· καὶ τὸν ἕκτορα ὑπὸ ἀχιλλέως ἀναιρεθῆναι· ὡς εἴτοι λέγοι, ἔπρεπε τῷ ἡρακλεῖ τὴν ἴλιον πορθῆσαι· καὶ τὸ ἴλιον ὑπὸ τοῦ ἡρακλέους ἁλῶναι. Ἔξωθεν εἰσίν.) ὑπὸ τῶν δορυφορούντων δείκνυνται· κατὰ γὰρ τὴν φρένα καὶ τὴν ψυχὴν, ὅμοιοι εἰσὶ τοῖς ἀνοήτοις· καὶ νῦν ὁ μενέλαος δοκῶν εἶναι φρόνιμος διὰ τὴν τῆς ψυχῆς ὑπεροχὴν, ἐλέγχεται ὡς ἀνόητος· τοὺς γὰρ φρονίμους πολίτας ἐκάλουν οἱ παλαιοί. Μῦσος.) τὸ μίασμα τοῦ φόνου ἀδύνατον αὐτὴν ἐκφυγεῖν· ἐμιάνθη γὰρ ὡς ποιήσασα. δόξεις δὲ καὶ σὺ τοῦτο παρὰ πολλοῖς τοῦ φόνου ἠγωνίσθαι. ἡ γὰρ χρεία τοῦ συνδρᾶσαι τῇ θυγατρί· ἀναγκάσει σε μὴ ἐκφυγεῖν τὸ μῦσος. Ἀλλὰ ψεύσεται.) τὸ σὸν ῥῆμα· καὶ ὡς ψευδῆ σε νομίσει ὁ ἀκούων· καὶ οὐ πεισθήσεται. Γαμ. δὲ τίς νιν.) τίς ἐθελήσει γυναῖκα λαβεῖν διὰ ζηλοτυπίαν ἀπερριμμένην. ἀρετὴ γὰρ γυναικὸς, μὴ μνησικακεῖν ἀνδρὶ ἔχοντι πρὸς ἄλλην κοινωνίαν· ἀνδρί, τοιαύτην γὰρ εὔξαντο

πολλαὶ γυναῖκες· αἰσχύνη δὲ τὸ ζηλοτυπίᾳ νοσεῖν·

Βούλοι' ἂν εὑρεῖν·) τί ἂν βούλοιο ἄρα πολλοῖς ἀνδράσιν ἐκδοῦναι σου τὴν θυγατέρα, ἢ παθεῖν ἃ λέγω· τινὲς δὲ βέλτιόν ἐστιν ἀνέχεσθαι πολλῶν εὐνῶν· ὅ ἐστι φέρειν τὸν ἄνδρα εἰ καὶ πολλαῖς πολλάκις χρῷτο, ἢ ταῦτα ὑποστῆναι ἃ ἐγὼ λέγω· θέλει δὲ εἰπεῖν, μὴ ἐξομοιοῦ τῇ θυγατρί σου· ἀναιδὲς γὰρ τὸ γυναικεῖον γένος· Βώμιοι·) τῷ βωμῷ καταφεύγοντες· Ἓν σου δέδοικα·) μὴ διὰ τὴν ἐρωμένην ἀπολέσῃς ὡς πρὸ διὰ τὴν ἑλένην τὴν τροίαν· οἷσιν οὐκ ἐλάσσονα· ἐν οἷς ἀποδειχθήσομαι οὐχ ἥττων ἢ εἰς ὑμᾶς ἁμαρτάνουσα καὶ τιμωρηθήσομαι ὑπ' ἐκείνων. καί σου τὸ σῶφρον· καὶ τῆς φρενός σοι τὸ τόξον ἐξέπεσε τοῦ προσήκοντος· τουτέστι παρὰ τὸν δέοντα καιρὸν λογισμὸν ἐφθέγξω λοιδορησαμένη ἄγαν θρασέως τῷ μενελάῳ, ἔξω τοῦ σκοποῦ ἔβαλλες καὶ προσέδραμες· πλέον ἢ κατὰ γυναῖκα ἐπαῤῥησιάσω·

Προστιθεῖτ' ἀπαιδίαν·) ἀπαιδίαν· τουτέστι κατασκευάζετε ἀπαιδίαν. Ἄγαν·) ἀπηνῶς ὑπὲρ τὴν τύχην· Τάδ' ἐστὶ σμικρά·) τὸ κρατῆσαι σου φησὶν οὐκ ἔστιν τῆς ἐμῆς στρατηγίας ἄξιον οὔσης αἰχμαλώτου· ἀλλ' ἐπειδὴ ὑπὸ τῆς θυγατρὸς κάμνω καὶ τούτου χρείαν ἔχω· μέγα νομίζω· Τοὐθ' ἑκάστῳ·) καλῶς ἐγίνωσκεν ὅτι ἀνδρὶ ἑκάστῳ τιμιώτερα νομίζεται τοῦ πορθῆσαι τὴν τροίαν· οὕτω καὶ νῦν· ἐμοὶ πολὺ μεῖζον φαίνεται τὸ βοηθῆσαι τῇ θυγατρί μου μᾶλλον· ἢ τὸ πορθῆσαι τὴν τροίαν· ἀναγκαῖον τοῦτο ἡγοῦμαι ἢ ἐκεῖνο· μὴ διὰ τοῦτο ἀνακρίνῃ με ἄξιον τῆς τροίας ὅτι συναγωνίζομαι τῇ θυγατρί· Κρίνω·) ἡγοῦμαι, δοκιμάζω· Τὰς ἐμάς·) τὰς ἐμὰς ἰδίας· τὴν θυγατέρα φησίν· κληρῶσιν· κλῆρον· ψῆφον· Δούλων δ'·)

ἐπειδὴ

δοκιμάζω. Τοὺς ἐμούς.) τοὺς ἐμοὺς ἰδίους. τὴν θυγατέρα φησὶν κληρῶσιν. κλῆρον. ψῆφον. Δούλων δ' ἐκείνων.) ἐπειδὴ εἶπεν ἡ ἀνδρομάχη ὅτι ἀνάμεινον τὸν νεοπτόλεμον καὶ λέγε ὅτι. ἐξουσίαν ἔχω τῶν ἑαυτοῦ δούλων ὥστε καὶ χωρὶς αὐτοῦ τιμωρεῖσθαι κἀγὼ θυγατρὶ σύμμαχος καθίσαμαι. τὸ γὰρ λέχους στερεῖσθαι μέγα κρίνω. Δυοῖν δ' ἀναγκαῖον.) ἀνάγκη ἐστὶν ἑτέρῳ ἀποθανεῖν. Δυστυχὴς καθίσαμαι.) κἄν τε γὰρ ἕλωμαι τὸ ἐμὲ τελευτῆσαι δεινόν. Ἀρχὴν ἀφείς.) ἀλλὰ τὴν ἀρχὴν ἐάσας πρὸς τὴν ἀναίτιον φέρει. καὶ ἄλλως. ἀλλὰ τὴν ἀρχὴν τοῦ πράγματος ἀφεὶς πρὸς τὴν τελευτὴν φέρει. Πρὸς τὴν τελευτήν.) πρὸς τὴν ὑστέραν οὖσαν. τὸ γὰρ τέλος τῆς ἀρχῆς δευτερεύει καὶ ὑστερεῖ. Ἄχθος τε τ' ἄχθει.) ἀντὶ τῷ ἄχθει τῆς δουλείας τὸ καὶ παῖδα δοῦλον τεκεῖν. Τί δῆτ' ἐμοὶ ζῆν.) τὰ κατὰ τὴν πατρίδα καὶ τὴν ἐκπολεμίου παιδοποιΐαν. τί ὀδύρομαι λόγῳ ἤ τις τούτων τὸ δεινὸν αὐταῖς ὄψεσι προτεθεώρηκα σφαγὰς ἕκτορος. ἴλιον πυρπολούμενον. τὴν πεῖραν τῆς αἰχμαλωσίας. τὰ δὲ πλησίον ὄντα κακὰ οὐ δακρύω καὶ ἀναζητῶ; λέγει δὲ τὴν ἐπιβουλὴν μενελάου. ἀρχὴν δὲ ποιεῖται τοῦ θρηνεῖν. Τί δῆτ' ἐμοὶ ζῆν.) τὰ ἐν ποσὶν οὐκ ἐξικμάζω. τὰ πλησίον. τὰ νῦν με περιέχοντα κακά. οὐ δακρύω παρὰ τὴν ἰκμάδα τὴν περὶ τὸ θρηνεῖν. βέλτιον γὰρ τὸ ἀποθανεῖν ἢ ζῆν τοιαῦτα πεπονθυῖαν. Εἰσωθήσεται.) νέος ὢν φησὶν οὗτος ἐλπίδα ἔχειν καὶ βασιλεύσειν. εἰσωθείη τοῦ παρόντος κινδύνου. Δοκεῖ.) ἀρέσκει. Ἀπαρτῆσαι.) κρεμάσαι. πνῖξαι. Ἰδοὺ προλείπω βωμόν.) ἰδοὺ ἐγὼ ὑπεξουσία καὶ ὑποχειρία γίνομαι πρὸς τὸ φο



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοῦσιν ἡ. Ην δ' ἐπεκδράμης.) ἐὰν δὲ τὰς χεῖρας ἐκφύγῃς τοῦ πόσι μενέλαον. καὶ ζήσῃς ἐκ φυγὼν τὸν μόρον καὶ προκόψῃς εἰς βίον. ὅ ἐστιν, ἐὰν ἀνδρωθῇς μνησθήσῃ τῆς μητρός. Ος τις δ' ὢν ἄπειρος.) ὅς τις δὲ τὰ ὑπ' ἐμοῦ ῥηθέντα ὑπὸ τέκνων ψέγει. λέγων ὡς ἰσότυχα τοῖς ἀνθρώποις οὐκ ἔστι τὰ τέκνα, ὁ τοιοῦτος κατὰ τὸ μὲν εἶναι ἄτεκνος δυστυχεῖ. κατὰ δὲ τὸ ἀπολελύσθαι τῆς τῶν παίδων φροντίδος εὐδαιμονεῖ. Ω σ' ὑπήγαγον.) ὦ λογισμῷ σε ἔπεισα. καὶ ἐδελέασα. καὶ ἐξηπάτησα. καὶ προετρεψάμην. Τὰ θεῖα τ' οὐ θεῖα.) τὰ θεῖα οὐ θεῖα ἡ γῆ οὐ δὲ ἔχειν αὐτὰ δίκην. ὅ ἐστιν ἀναιρεῖν τὰ θεῖα καὶ τὸ παρ' αὐτῶν δίκαιον. Οταν τὸ δ' ἦ πάλι.) ὅτ' ἂν δοκῇ τῷ θεῷ καὶ ἐνστῇ τὸ τιμωρηθῆναι. καὶ ἡμᾶς εἰς αὐτὸν ἀσεβοῦντας ὑπομένουμεν. τότε οὖν μέντοι τοῦ παιρόντος κακοῦ οὐ δὲ μία ἀναβολὴ τῆς ἀναιρέσεως. Οὐκοῦν θρασεῖα γ' αὐτόν.) θαρρεῖν ποιοῦσα. θάρσος ἔχουσα τοῦ ζῆν. οἱ γὰρ ζῶντες θαρσοῦνται. ἄλλως. οὐ γὰρ ἀσφαλὴς αὐτῷ ὑπόκειται ἐλπὶς ζωῆς. ἀνίησι δὲ ὅτι ἡ ἑρμιόνη αὐτὸν ἀναιρήσει. Ψευδῶν αἰνικτάς.) περικυκλοῦντες ψευδέσι λόγοις τὴν ἀλήθειαν. καὶ μὴ κατ' εὐθεῖαν ἀφρονεῖτε λέγοντες. Ελικτά.) πανοῦργα οὐχ ἁπλᾶ. ἡ μεταφορὰ ἀπὸ τῶν παρὰ γεωμέτραις γραμμάτων. Αμφιλίξαντες.) περιστρέψαντες. δήσαντες. Δέδοκται.) νενόμισαι. δεδοκίμασαι. τότε ἐλυπήθην ὑπὲρ νῶν. Θυραῖος.) ἀλλότριος. ξένος. Ος σε πολλάκις.) ὅς τις σε πολλάκις ὢν τῆς παρατάξεως ἑστὼς καὶ πολεμῶν ταύτην καλῶν ἐποίησεν διωκόμενον. τί γὰρ κακὸν πρὸς τοῦτο εἰπεῖν ὅτι φεύγων τὴν ἐν τῷ πεδίῳ μάχην ἐς τὰς ναῦς κατέφυγεν. καὶ ἀλ-

λοις. εἰς τὰς ναῦς εἰλούμενος καὶ διωκόμενος ἐκείνων δ' ἂν εἴη τῶν ἔπων μεμνημένος. ἄσωτοι δ' ἐγένοντο νεῶν. πόθεν δ' ἐξεῖθον ἀκραινῆες ὅσαι πρῶται ἐρύατο. Φθόνον.) πρὸς τὸ φθόνον οὐκ εἰσὶ βελτίονες αἱ διπλαῖ τυραννίαι τῆς μιᾶς. καὶ δύο ἀρχαὶ τίκτουσιν ὕμιν. Πνοιαὶ δ' ὅτι δ' αἴτιον. δύο κυβερνητῶν ἢ πλειόνων αὐτῇ νηΐ. τινὲς στίζουσιν εἰς τὸ κατὰ πηδαλίων. φάσκοντες λείπειν τῷ λόγῳ τὸ ἐπιβλαβεῖς εἰσίν. Ἀμφιμάτορας.) τοὺς ἐκ διαφόρων μητρῶν. ἐξ ἑνὸς δὲ πατρός. οὐδὲ τούτους ἐπαινέσω τοὺς κούρους. λέγω δὲ τὰς ἔριδας τῶν οἴκων. Μίαν μοι στεργέτω.) καὶ αὐτὸς μίαν μοι στεργέτω πόσις εὐνὴν ἐμήν. καὶ αὐτὴν ἀκοινώνητον ἄλλου ἀνδρός. ἀντὶ τοῦ ἄμικτον. ἀκοινώνητον. ἀντὶ τοῦ σώφρονα καὶ μὴ ἐπικοινωνοῦσαν ἑτέρῳ ἀνδρὶ ἢ τῷ γήμαντι μόνῳ νομίμως. Οὐδὲ γὰρ ἐν πόλει) παρὰ τὸ ὁμηρικόν. οὐκ ἀγαθὸν πολυκοιρανίη. ἡ διπλῆ τυραννὶς δηλονότι. ἐκ γὰρ δύο τυράννων, κακὸν ἐπὶ κακῷ γίνεται καὶ παρακολουθεῖ. Πνοιαὶ δ' ὅταν.) καὶ δύο κυβερνῆται ἐν μιᾷ νηῒ ἀγχοστατοῦντες κατὰ τῶν πηδαλίων γίνονται καὶ οὐχ ὑπὸ τῶν πηδαλίων. Σοφῶν τε πλῆθος.) τὸ πλῆθος καὶ εἰ σοφὸν ἀβουλότερον ἐστὶ τῆς αὐτοδεσπότου μιᾶς φρενός. ὁ δὲ νοῦς ἐὰν φησὶ καὶ φαῦλος ᾖ αὐτοκράτωρ σύμβουλος, κρεῖττον διοικήσει τὰ πράγματα ἢ μόνος ἦν, ἤπερ ἐὰν πολλοὶ ὦσιν ἔμπειροι καὶ σοφοὶ προστασιάζουσι γάρ. βούλεται δὲ ὁρίσασθαι ὅτι ἐν παντὶ πράγματι κρεῖττόν ἐστιν ὑποτάσσεσθαι ἑνὶ ἢ πολλοῖς. Ἑνὸς ἀδύνασις.) λείπει ἰσχυρὰ ἐστίν. ἀπὸ ἑνικοῦ μετῆλθεν εἰς τὸ πληθυντικόν. ἀντὶ τοῦ ὅτι τῆς τυχίας καὶ δικαιοσύνης λαβέσθαι θέλουσιν. Ἔπεσι.) πρὸς τὴν ἐσομένην. οἷον ἴσμεν ὅτι μετανοήσας



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐὰν πράξῃς. διὸ βέλτιόν σοι μηδὲν προπετὲς ἐργάσα-
σθαι. ἀλλὰ μᾶλλον φιλανθρώπως διατεθῆναι.
Μετατροπά.) μεταβολή. μετάνοια ἔπεστιν ὦ δέσποινα
ἐγχωρεῖ καταβοῦ. Βρόχοισι.) δεσμοῖς συνεχομέ-
νη συνδεδεμένη. Δαΐον.) κατακεκομμένον σφά-
γιον. Δυστυχῶ ἀνάγκην.) ἐμοί καὶ τῆς θυγατρός.
Υἱπὸν ἐχθρῶν.) λείψανον ἔσται τῶν ἐχθρῶν.
Παράτροπον.) ἐκτετεμμένων. παρατροπικόν.
Κεκλασμένη.) δεσμοῖς συνεχομένη. συνδεδεμένη.
Παράτροπον.) παρατεταγμένον παρατροπικόν.
Χρίμπτων.) προσπελάζων. Λισσάδος.) ἀπὸ λείας
πέτρας καταστάζομαι τοὺς ὀφθαλμοὺς τοῖς δακρύοις.
Λίσσον γούνασι.) εἰποῦσα ὡς ἀθώπευτον γέ σε γλώσ-
σης ἀφήσω τῆς ἐμῆς. αὐτὴ μὲν ἐπιμένει τῷ φρονήματι
τῷ δὲ παιδὶ τὸ παρακαλεῖν ἐπιτρέπει διὰ τοὺς παῖ-
δας εἰς ὑπόμνησιν φιλοστοργίας ἄγει τὸν μενέλαον. μο-
νονουχὶ βοῶσα καὶ σὺ παίδων πατὴρ πέφυκας.
Ανήλιος.) πολυήλιος. ἐν ἡλίῳ οὖσα. ἢ ἥλιον μὴ ὁρῶσα
σταγών. ἢ οὐ καταλάμπεται ὑπὸ ἡλίου ἢ ἀνήλιον λιβά-
δα εἶπεν ἐν σπηλαίῳ. αὕτη γὰρ οὐ καταλάμπεται ὑπὸ
ἡλίου. Μόριον.) μόρος. τινὲς δὲ οὕτως ἀντὶ τοῦ ἐκ-
δαπανηθῶ. ἀντὶ τοῦ πολλὰς ψυχὰς ἀναλώσας ἀπο-
λέσας ἐν τῷ ἰλιακῷ πολέμῳ. ἔθελε δὲ εἰπεῖν ὅτι πολέ-
μιός μοι ὑπάρχεις. εἴγε πολλὰ ἔπαθον ἵνα πορθήσω τὴν
τροίαν. οὐκοῦν οὐ δὲ φείσομαι. Τί ταῦτα ποιεῖτε.)
πρὸς ταῦτα λέγουσιν. Η γοῦ σύ.) πρὸς τὸν γέρα-
ντα γογγύζοντα φησί. Ανηβητηρίαν.) ἀναγκαστικὴν. ἀνα-
ζέσασαν νεωτερικήν. καὶ ἄλλως. ἀνηβῶσαν ἢ τὴν ἀνα-
πρὸς τὸ λαμβάνειν συναπτέον. ἵν᾽ ᾖ ἀναλαμβάνειν ἀκ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μασικὴν, ἰσχὺν ὃ καὶ ἄμεινον. Επαινῶ.) βούλομαι. ἀσπάζομαι. τουτέστιν ἥδιστ' ἂν ἀναβήσομαι. γῆρας ἀποξύσας ἀνήσειν νέον ἢ βῶντα. Κατ' οὖρον.) ὃν τρόπον ἄνεμος ἴδιοις οὕτω κἀγώ. ταύτῃ ὁμοίως οὐρίῳ ἀνέμῳ καὶ πνεύμονι. πρῶτον μὲν κατ' οὖρον φανήσομαι. τουτέστι τοῦ περιέχοντος αὐτὴν χειμῶνος ἀπαλλάξω. ὁ γὰρ οὔριος ἄνεμος ὄπισθεν πνέων εὐκταῖος ἐστὶ καὶ σωτήριος τοῖς ναυτιλλομένοις τραχῆς αὐτοὺς ἀπαλλάττων. Οὐ γὰρ μικρᾶς σοι φήμης. σπουδῆς. κληδόνος. Μετῆλθον.) μετεπεμψάμην. μετεστειλάμην. Σέβας.) τιμᾶς τουτέστι θαυμάζων διαπλεῖς καὶ μακαρίζων ἐπ' αὐτῇ ἑαυτόν. οὔτε τινὶ δικαιοσύνην κρίναντες. Αλλ' ἀντιάζω σ' ὦ γέρον τῇ σῶν πάρος πιτνοῦσα γονάτων.) διὰ τὸ δεδίεσθαι οὐ δυνατὸν ἅψασθαι. δέδιμαι γὰρ ἢ ὅτι νόμος ἦν τοῖς βαρβάροις μὴ ἅπτεσθαι τοῦ γόνατος τοῦ δεσπότου. Τἀκείνου τἀμὰ πάντα σά ἐστιν τὰ τοῦ νεοπτολέμου ὅτι βούλει τί καλὸν ποιεῖν. Ως τήνδ' ἀπάξεις.) τοῦτο γνῶθι. οὕτως ἐστὶ τὰ τοῦ νεοπτολέμου ἐμά. εἶναι μὴ δύνασθαι σε τήνδ' ἀναγαγεῖν ἐκ τῆς ἐμῆς χειρός. Σὺ γὰρ μετ' ἀνδρῶν.) σὺ γὰρ ἐν ἀνδράσιν ἀριθμῇ. τὸ δὲ ὦ κάκιστε κακῶν κατ' ἰδίαν ὑβριστικῶς ἐπιφαίνει. Ακλῄστ' ἄδου.) ἀνεῳγμένα μὴ κλειόμενα ἀποδημοῦντος γὰρ εἰς κρήτην μενελάου δοκεῖ ἡ ἁρπαγὴ ἑλένης γεγονέναι διὰ τὸ εἶναι πολύδουλά τε καὶ ὅλως ἀφύλακτα. Οὐκ ἀνάσχε τις. οὐκ ἀρέσκουσας οὐκ ἀφικτὰς κοινὰς ἔχουσι. κοινὰς τοῖς ἀνδράσι. σώματος εὐρωστίας ἀντιποιοῦνται λάκωνες. διὸ τὰς παρθένους γυμνάζουσιν ἵνα γενναῖα παιδία κύωσι. Εξεκώμασεν.) ἐξώρμησεν. ἐξωρχήσατο. ἐξεβακχεύθη. εἰς

αἰσχύνην μετετράπη. Ἐπούρισας) ἔστησας ἐφώρμισας· ἐσίξας ἀπὸ τῶν ὅρων. Τρωθὰς) τρωθὰς εἶπεν οὐ βληθὰς καὶ γὰρ ἐβλήθη ὑπὸ πανδάρου. διαφέρει δὲ τὸ βληθῆναι τοῦ τρωθῆναι. ὅμηρος· βέβληται μὲν ὁ τυδείδης κρατερὸς διομήδης. οὔτασται δ' ὀδυσσεύς. οἱ γὰρ χρώμενοι ποσὶ ταχέως αὐτὰ τρίβουσι. σὺ οὖν μὴ χρησάμενος, τὰ ὅπλα ὁποῖα ἔλαβες αὐτὰ τοιαῦτα καὶ ἐνταῦθα κεκόμικας. Σάγμασι) θήκαις τῶν ἀσπίδων. Ἐκφέρουσι) μιμοῦνται, τὰ γὰρ ἐκ κακῶν μητέρων τέκνα, ἀπομάττονταί τι τῆς μητρικῆς ὕβρεως καὶ κομίζουσι τὰ μητρῷα βουλεύματα εἰς τοὺς γάμους. Μὴ οὐ κακήν) οὕτω φησὶν εὐλαβήθης μὴ στερηθείης τῆς κακῆς γυναικός, τὸ γὰρ μὴ οὐκ ἔχῃς αὐτῆς τοῦ οὐκ ἔχειν σε ταύτην τοῦ λοιποῦ συμβῇ. Ἀλλ' ἐκκομίζου παῖδα) φυγάδευσον ἐκκόμιζε ἄπαγε λάμβανε τούτου τὴν θυγατέρα. Σμικρᾶς ἀπαρχῆς) ἐκ μικρᾶς ἀφορμῆς εἰς ἔχθραν μεγάλην προελθεῖν. Ἐλαύνειν) ἀπορρῖψαι ταύτης τῆς γῆς. Δοριπετῆ) δορίπληκτα· δόρατι ἀνῃρημένα. Προνοίᾳ) προνοούμενος σοῦ καὶ ἐμαυτοῦ. Μωραίνουσαν) ἀκολασταίνουσαν ἀσελγαίνουσαν πορνεύουσαν. τοῦτο δύναται ἀνήρ τε καὶ γυνὴ πρὸς τὸ ἐγκαλεῖν γυνὴ ἀδικουμένη πρὸς ἀνδρὸς εἰ καὶ ἀνὴρ γυναῖκα μωραίνουσαν ἐνδόμοις ἔχει. πρὸς δὲ τὸ β ἀπήντησεν. εἰπὼν γὰρ ἀνήρ τε καὶ γυνὴ ἀδικουμένη. αἱ ζεύξεις τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας ἐπὶ ἰσότητι γίνονται. οὐχ ἵνα ὁ μὲν ἀνὴρ ἀδικῇ. ἡ δὲ γυνὴ ἀδικεῖται οἷον ἴσον τὸ γυναῖκα ἀδικεῖσθαι ὑπὸ ἀνδρὸς καὶ ἄνδρα ὑπὸ γυναικός. οἷός ἐστιν ἀμύνεσθαι τὴν γυναῖκα· ἡ δὲ γυνὴ διὰ τὴν ἀσθένειαν τοῦ

σώματος πρὸς ἄμυναν τοῦ ἀνδρὸς τῇ τῶν γονέων χρῆται προστασίᾳ. Ὁμιλία.) περὶ συνήθεια. μελέτη. Οὐδ' ἄν σε Φῶκον.) ὥσπερ ἐγὼ οὐκ ἐφόνευσα τὴν ἑλένην. οὕτως οὐδὲ σὺ ὤφειλες τὸν φῶκον ἀνελεῖν καὶ τὸν ἀλκμαιωνίδαν. Παύσασθε.) παύσασθε ματαιολογοῦντες ἐν μακρῷ. τουτέστιν ἐπὶ πολὺ ἀλλήλους ὑβρίζοντες. τοῦτο γὰρ βέλτιον καὶ λῷον τὸ παύσασθαι.

Ἄρνυται.) λαμβάνει. κομίζεται τῆς νίκης τὴν δόξαν. πηλέως ἐχθρόν ποτε. ἕνεκα τῶν ἐν τῇ τροίᾳ γεγενημένων ἐγώ σε ποιήσω ἐξ αὐτῶν τῶν ἔργων γνῶναι μὴ τὸν ἰδαῖον πάριν ἥσσον νομίζειν ἐχθρὸν τοῦ πηλέως. τὸ δὲ μὴ ἥσσονα ἀντὶ τοῦ μὴ ἧσσον. καὶ ἐκείνων εὐλαβήθη. εὐλαβηθήσῃ κἀμὲ ἴσως γάρ σοι εἰμὶ τῷ πάριδι ἐχθρός. Δυστυχεῖ παίδων πέρι.) ἡ ἑρμιόνη δυστυχεῖ περὶ παιδοποιίαν καὶ ἡμᾶς δεῖ ἀπαίδας εἶναι καὶ μὴ ἐξ ἄλλων γυναικῶν ἔχειν τέκνα. Φθείρεσθε.) πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὴν ἀνδρομάχην. Ἐξανήσομαι.) λύσω. ἐκκομιοῦμαι. Ἀνειμένων.) προπετές. κοινουμένην. μετέχουσαν τοῦ φόνου. λάσκεις. ἐλοιδόρεις. στερρός. στερρὸς οὖσα ἀντὶ τοῦ στεῖρα. ἔπαιρε. κούφισον. σαυτήν. ἀντιστοιχής. ἰσόστοιχος. ὡς οὐδ' ἡσυχῆ δύναταί τι οὐ γὰρ σύ. Ἐκμηρύσω.) ἐλυμήνω. ἔφθειρας. Προνωπής.) εὐκατάφορος. ἕτοιμος. πρόχειρος. εὐχερής. προπετὴς καὶ ὁ εἰς τοὔμπροσθεν φερόμενος ἀναιδής. Ἀνειμένον.) τινὲς παρέχον ὡς ἡσύχιον. δυσφύλακτον ἀντὶ τοῦ ἀχαλίνωτον τῆς ὀργῆς μὴ κρατεῖν δυνάμενον. ὃ γὰρ νῦν χαλινὸν τὸ τῶν γερόντων γένος ὕβρεως μὴ παραπτόμενον καὶ φερόμενον. πρὸς ὀργὴν γὰρ ἑαυτοῦ κρατεῖν οὐ δύναται. Ἀντίστοιχος.) ἀνακειμένη τοῖς σώμασιν. ἢ ἀντὶ τοῦ

ἴσῃ. Ἠχοῦ τέκνον μοι.) ἠχοῦ ὑπὸ τοὺς ἡμετέρους οἴκους τέκνον δή. Εὐηνέμους.) εὐδίους. Πτήξαντες.) λοχήσαντες. ἐκφοβήσαντες. Κρεῖσσον δέ.) βέλτιον δικαίως ἡττᾶσθαι ἤπερ θαῤῥοῦντας βασκανία καὶ δυνάμει παραλύειν τὸ δίκαιον. Ὡς τῷ χρόνῳ.) τῷ νικᾶν οἱῳδήποτε τρόπῳ. καὶ τῷ μὲν χρόνῳ αὐτὸ μαραίνεται τουτέστιν ἡ ἐπ' αὐτῷ ἡδονή. Ὁ μιλῆσαι πολυμῆσαι.) συγκοινωνῆσαι. ὑπὸ τῷ τῆς ἀργοῦς. Καὶ ἐπ' ἀργώου.) ἀπὸ κοινοῦ τὸ πείθομαί σε. Κλεινάν.) ἔνδοξον. τὰς πέτρας τὰς συμπληγάδας φησίν.

Ἰλιάδα τε πόλιν.) θνητοὺς γὰρ ἀντὶ ἀθανάτων ἵππων λαβὼν παρὰ λαομέδοντος ἐπόρθησε τὴν τροίαν.

Τρόπαιον.) νικητήριον. σπάνις. οὐδὲ μία ἔδρα. οὐδὲ χρεία. κηρυττομένων φημιζομένων. λεγομένων. πορσύνεται. παρασκευάζεται. τῶν γὰρ ἠθάδων. ἀρχαίων. συνήθων. εὐτυχέστεροι. μᾶλλον πᾶσαι δυνάμενοι. ἀμύγματα. σπαράγματα. ξύσματα. φᾶρος. τὸ κρήδεμνον λέγει πευκάεν πεύκινον πλοῖον τὴν ἀργὼ οὐ μέσον τοῦ μετρίως ἀλλὰ μεγάλως. Ἀλλόχρως. ἀλλόμορφος. Συννοίᾳ.) μετανοίᾳ. συνειδήσει. φροντίδι. Λογιζομένη. ὁποῖον ἐβουλεύσατο ἔργον τὴν ἀνδρομάχην κτανεῖν. Ἀγχόνης κάμνω.) τί διαφέρει ἀγχόνη. καὶ ἀγχονή. τὸ σχοινίον. ἀγχονὴ δὲ ὀξυτόνως αὐτὸ τὸ πρᾶγμα. καὶ μὴν ἐν οἴκοις. ἔοικας φησὶν ἀληθῆ λέγειν. οὐδὲν γὰρ βοῆς ἀκούομεν ἔνδον γινομένης ἐφ' ἧς ἡμῖν ἀπήγγειλας. Πόθῳ.) ἐπιθυμίᾳ ἔρωτι.

Μὴ φρονοῦσαν.) μὴ νήφουσαν. Κατακτῆ.) ὑβρίζῃς ἀφανίζῃς. Φᾶρος.) τὸ κρήδεμνον λέγει. Μὴ φρονοῦσαν. μὴ νήφουσαν. Θεήλατοι.) θεόπεμπτοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σπάραγμα κόμης διὰ τῶν χειρῶν θήσομαι καὶ κατάξυσμα διὰ τῶν ὀνύχων. Δάϊα.) διακοπτικά. πολέμια. ἐχθρά. Τί ταῦτα.) ἄμεινον τῆς τροφοῦ εἶναι τὸ πρόσωπον ἀντὶ τοῦ ἢ ταχὺ ἢ βραδύ. Ωσεὶ μόνα δ' ἔρημον.) ὥσπερ ναῦν ἐν τῷ αἰγιαλῷ ἐστερημένην πηδαλίου. Η δούλα δούλας.) ἀρχὰ φησὶν ὡς δούλη προπίτνω τοῖς γόνασι τῇ δούλῃ. λέγει δὲ τῆς ἀνδρομάχης. Πευκάεν.) πεύκινον πλοῖον τὴν ἀργώ.
Οὐ κάμιστως.) ἀλλὰ μεγάλως. Ονομα δ' ὀρέστης.) ἐκβληθεὶς τοῦ ἄργους ὀρέστης ἀπήει εἰς τὸ ἱερὸν τοῦ διὸς τὸ ἐν τῇ δωδώνῃ μαντευόμενος ποίαν οἰκήσει πόλιν. ἀπιὼν οὖν ἔρχεται εἰς τὴν φθίαν. δίδυμος δὲ ταῦτα φησὶν εἶναι ψευδῆ καὶ ἄπιστα. Τηλουρά.) τηλοῦ ὄντα τὰ πεδία. ὅ ἐστι μακρὰ κεχωρισμένα. Αἰκάλλων.) σαίνων κολακεύων. τὴν αὐθάδη γυναῖκα.
Στεμμάτων.) χωρὶς ἱκετηρίας σε παρακαλῶ. ἐπεὶ ἔθος ἦν τοὺς δεομένους ἐλαίας κλάδους καὶ ταῖς χερσὶ καὶ τῷ στόματι ἔχοντας δέεσθαι. Βαθεῖαν.) τὴν κατάρρυτον καὶ κοίλην. Τί χρῆμα.) τί χρῆμα κακὸν ἢ παρὰ θεῶν ἢ παρ' ἀνθρώπων. Εξηνεμώθην.) ἀνεπτερώθην. ἐκουφίσθην. ὑψώθην. ἐπήρθην. Ομόγνιον.) συγγενικῶς ἀντὶ τοῦ προγονικῶς διὸς ἀνεψιοὶ γὰρ ὀρέστης καὶ ἑρμιόνη φθέγμ' ἔχοντες. μονονουχὶ φωνὴν ἀφιέντες. τὸ δὲ μονονουχὶ ἀντὶ τοῦ διὰ τοῦτο. Τῶν. δεγνάζων ἐστὶ τὸ ἱκετευόντων. μὴ πεφυκότων μὴ γεγεννημένων μὴ ὄντων.
Επ' αἰσχίστοισιν.) ἢ αἰσχροῖς. ἢ ἐπ' αἰσχροῖς ἐλοῦσαν. ἀλλ' ἐρωτήσει τις πῶς ταῦτα ἐξημάρτανες. Ερράψας.) ἐβουλεύσω. κατεσκεύασας. Συννοσεῖν.) συμπάσχων ἑαυτῇ τὰς ἄλλας ἵνα μὴ μόνη ἀσχημονῇ. καὶ ἄλλας ἐξα-

μαρτάνουσα ἀνδρός· ὅ ἐστι διαζευχθεῖσα σιωπεῖν ἀναξίαν βούλεται τὶ τὰς ἄλλας. Μαργότητα.) μανία· πορνεία· ὅ ἐστι πορνεύουσα. βούλεται δὲ πρὸς ἀπολογίαν αὐτῆς πάσας ἀσχημονεῖν. Θύραθεν εἴσοδοι.) εἰς τὸ γυναικεῖον γένος. εἰς τὸ σύμφυτον. Σὰς μὲν οὐ σέβων.) ἀπ' ἐμαυτοῦ ἦλθον, οὐ διὰ τὰς σὰς ἐπιστολάς. οὐ γὰρ ἐπεστάλη μοι τὶ παρὰ σοῦ. Κέλωρ.) υἱός. Εἰς καιρόν.) εἰς εὐκαιρίαν. Κηδόσυλοι.) ἤδη ἀκοντίων ἐν μέσῳ πάντων δεδεμένων ὃ κατέχοντες ἐφίστανται. ὁ οὖν ἐπίθετον τῶν ἀμφιβόλων. Τρωϊκὸν πήδημα.) ὅπερ ἐπήδησεν Ἀχιλλεύς. λέγει ὅτι ἥλλατο ἐκ γῆς. τοσαύτη δ' ἦν ἡ φορὰ ὡς καὶ ὕδωρ ἐκ γῆς ἀναδοθῆναι. Ἔνθεν κομίζων.) προνοίας ἐστὶ θείας σημεῖον τοῦ διὰ θαλάσσης ὁδεύοντα μὴ τέγγειν τοὺς πόδας. Λευκήν.) λευκὴν νῆσον. ἐν ᾗ διέτριβεν ὁ Ἀχιλλεὺς μεταξὺ τοῦ εὐξείνου πόντου. ὅθεν καὶ ὁ Ἀχίλλειος δρόμος. Χοιράδος.) πᾶσα πέτρα ἐξέχουσα καὶ περικλυζομένη θαλάσσῃ σπήλαιον ἔχουσα. ἐν ᾗ εἰώθει ἐκ θαλάσσης ἀνιοῦσα ἡ Θέτις. Σηπιάς δέ.) τόπος περὶ τὸ σπήλαιον. ὅπου τὴν Θέτιν ἥρπασεν ὁ Πηλεὺς εἰς σηπίαν μεταβληθεῖσαν.

Τέλος τῆς Ἀνδρομάχης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΕΝΕΤΙΗΣΙ ΠΑΡΑ ΛΟΥΚΑ ΑΝΤΩ
νίου τοῦ ἰούντα· οὐ μὴν γε αὐτοῦ προνοουμένου· χιλιο
στῷ πεντακοσιοστῷ τριακοστῷ τετάρτῳ·
ἐλαφηβολιῶνος τετάρτῃ
φθίνοντος·

Venetijs in officina Lucæantonij Iuntæ
cū priuilegio M. D. XXXIIII
die XXIIII Decembris.

Index chartarum.

✱ A B C D E F G H I K L M N O P
Q R S T V X Y Z AA BB CC
DD EE FF GG HH II KK LL
MM NN. Omnes sunt quaterniones
præter ✱ qui est duernio.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ